This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

N.i.110

CONFINED

3029717680

DEMOSTHENES

EX RECENSIONE

GULIELMI DINDORFII.

VOLUMEN VIII.

SCHOLIA GRÆCA EX CODICIBUS AUCTA ET EMENDATA.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
M.DCCC.LI.

ASHMOLEAN
OXFORD
MUSEUM

D.T.C/824

PRÆFATIO.

SCHOLIA Græca in Demosthenem ad codices recensui tredecim, quorum duo sunt Monacenses, unus Florentinus, decem bibliothecæ Parisinæ maximæ, eximie adjutus Friderici Duebneri in codicibus conferendis diligentia et perspicacitate plurimis hujusmodi laboribus probata. Est autem

A. Monacensis 485. membranaceus seculi undecimi.

B. Monacensis 85. bombycinus seculi decimi tertii.

C. Parisinus 2946. chartaceus seculi decimi quinti.

D. Parisinus 2944. (olim 684, et 2769.) bombycinus seculi decimi quinti.

E. Parisinus Supplementi 256. bombycinus seculi decimi tertii exeuntis. Inscriptum *Θεοδώρου τοῦ Σοφιανοῦ πέλει βιβλίον τόδε*, postmodum *Πέπου Παντίνου Τιλεταίου*, cui tertius successit possessor *Κάρολος Βερβέκιος Κορτκακῖνος*, a quo ad Andream Schottum pervenit.

F. Parisinus 2995. eleganter scriptus in charta bombycina seculo decimo tertio.

G. Parisinus 2946. (olim 784. et 2772.) chartaceus manu eleganti scriptus seculo decimo sexto. Hic codex et C.D. scholia sola habent, textu omisso.

H. Parisinus 2508. chartaceus seculi decimi quarti.

L. Florentinus bibliothecæ Laurentianæ plutei 59. codex 9. membranaceus seculi undecimi.

R. Parisinus 2936. (olim 380. et 2188., inter Colbertinos 3769., in catalogo codicum Græcorum Nicolai Rodulphi Cardinalis 17.), membranaceus seculi decimi tertii.

S. Parisinus 2934. (olim 125. et 2137.), membranaceus seculi undecimi.

T. Parisinus 2940. bombycinus seculi decimi tertii.

Y. Parisinus 2935. (olim 2819.) membranaceus seculi undecimi.

Præterea editionibus usus sum duabus, quarum altera tota, altera partim ex codicibus derivata est,

V. Aldina anni 1503. inscripta "Οὐλπιανοῦ ῥήτορος "προλεγόμενα εἴς τε τοὺς ὀλυνθιακοὺς καὶ φιλιππικοὺς δημο- "σθένους λόγους. Ἐξήγησις ἀναγκαιοτάτη εἰς δεκατρεῖς τοῦ "δημοσθένους λόγους." Tredecim quum dicit orationes, minus promisit quam præstitit. Nam editio Aldina scholia complectitur in orationes duodeviginti, secundum ejus ordinem, has, 1—4. 10. 11. 22. 21. 18. 19. 23. 24. 20. 13. 14. 15. 16. 17., i. e. Olynthiacas I.—III., Philippicas I. et IV., Androtioneam, Midianam, De corona, De falsa legatione, Aristocrateam, Timocrateam, Leptineam, De ordinanda republica, De symmoriis, Pro Megalopolitis, De Rhodiorum libertate, De fœdere Alexandreo; quibus finibus scholia ampliora in codicibus quoque qui adhuc innotuerunt omnibus continentur. Nam quæ ad orationes reliquas in codicum marginibus hic illic annotata reperiuntur nihil sunt nisi tenuissima scholiorum fragmenta. Non dubitandum tamen quin hæ quoque orationes si non omnes, certe pleræque copiosioribus scholiis illustratæ fuerint, quorum vestigia quædam inter fragmenta illa, quæ ex codicibus nostris nonnihil aucta exhibemus, deprehenduntur, inter quæ eminet scholion ad orationem (LIV.) adversus Cononem p. 1256, 1. ex codicibus Monacensi A. et Parisino R. erutum, quod doctum et antiquum grammaticum prodit.

Altera quam dicebam editio est P. sive Parisina a. 1570. ab Gulielmo Morelio, typographo regio, inchoata, post mortem ejus continuata ab Dionysio Lambino inde ab oratione de falsa legatione.

Horum librorum omnium vetustissimus est Parisinus S. scriptus seculo decimo, additis postmodum scholiis ab ea, ut videtur, manu scriptis quæ orationibus varias lectiones plurimas adscripsit, quam seculi undecimi esse videri dixi in præfatione ad Demosthenem vol. I. p. viii. Scriptura non raro detrita, ita ut interdum vel chemicis remediis adhibitis resuscitanda, vel ex vestigiis quæ stilus librarii ex metallo fusus membranis impressit eruenda fuerit; margines etiam passim præsecti cum aliquot de singulis versibus literarum jactura, quam plerumque ex aliis codicibus reparare licuit. Ipsa autem scholiorum collectio nullo certo consilio est instituta: nam scholia in orationibus nonnullis orationumve partibus sunt copiosissima, in aliis brevissima, sæpe ex amplioribus, quæ alii codices servarunt, excerpta. Scholiis veteribus manus recentiores non raro futiles adjecerunt infimi ævi grammaticorum annotationes, quarum gratiam fecimus lectoribus. Satis enim videbatur istiusmodi glossematum, quæ plerumque verbum verbo reddunt, specimina ab Gulielmo Morelio ad orationis de corona partem postremam, ubi vetera scholia deficiunt, ex aliis codicibus edita proponi paucarum paginarum dispendio. Semel S. ex Photii Lexico est interpolatus in scholio ad p. 29, 3., de quo dixi in annot. p. 118, 16.

Proximus ætate codex est Parisinus Y., accurate descriptus ab Dobræo in Auctario ad Porsoni *Tracts and Miscellaneous Criticisms* p. 387. Constat partibus duabus, quæ a duobus scriptæ sunt ejusdem fere ætatis, i. e. seculi undecimi, librariis. De parte priore octo tantum folia supersunt, quorum in primo hunc indicem posuit librarius,

+ τάδε ἔνεστιν ἐν τῇδε τῇ βίβλωι +
δημοσθένους
+ φιλιππικοὶ +
ᾱ ὀλυνθιακὸς ᾱ

β̄ ὀλυνθιακὸς β̄
γ̄ ὀλυνθιακὸς γ̄
δ̄ κατὰ φιλίππου ᾱ

et sic porro enumerantur orationes eo ordine quem indicavi in præfatione ad Demosthenem vol. I. p. xiv. Tum in alia columna sequuntur,

+ ζωσίμου ἀσκαλωνίτου εἰς δημοσθένην +
∴ βίος δημοσθένους ∴

δευτέρωι λοιπὸν etc.

ἑτέρως ὁ δημοσθένους βίος,—

ὁ περὶ δημοσθένους etc. quas Vitas nos scholiis præfiximus. Post hæc αἱ ὑποθέσεις, i. e. Libanii Argumenta orationum, quorum ultimo subscriptum λιβανίου ὑποθέσεις. Tum post quosdam calami ductus opusculorum distinguendorum caussa positos, σχόλια εἰς τὸν ᾱ λόγον τῶν ὀλυνθιακῶν, quæ unam paginam et dimidiam implent, non ultra quartum orationis versum procedentia: nam finiuntur scholio ad verba (p. 9, 4. ed. Reisk.) ὅτε τοίνυν ταῦθ' οὕτως ἔχει. Partis posterioris, quæ orationes Demosthenis continet cum scholiis ad marginem scriptis, folia orationes I.—VI. et VII. usque ad p. 81, 12. complexa exciderunt, suppleta postmodum ab librario duobus minimum seculis recentiore cum scholiis brevibus et futilibus, qualia Moschopulus, qui aliquoties in iis nominatur, similesque grammatici Byzantini scripserunt: quæ exscribi operæ pretium non fuit. Tanto majoris facienda sunt scholia partis reliquæ vetera, ab antiqua seculi undecimi manu adscripta, quæ magna quidem ex parte similia sunt scholiis codicis Parisini S., sed multo quam illius copiosiora. Parisino Y. omni ex parte similis est L. Florentinus, de quo dixi in Præfatione vol. I. p. xv. Hoc usus sum in scholiis ad orationem contra Androtionem.

Quartus ejusdem generis codex est Parisinus F., qui quum scholia plurima cum S. et Y. communia habeat, aliis non paucis caret. Scholiis in orationes Olynthiacas

præfixa sunt, quibus S. et Y. carent, Οὐλπιανοῦ ῥήτορος προλεγόμενα εἰς τοὺς Ὀλυνθιακοὺς καὶ Φιλιππικοὺς λόγους: quo uno loco Ulpiani nomen deprehendi, quod nusquam alibi aut in hoc codice aut in ullo ceterorum quibus ego usus sum codicum exstat, sed fortasse lectum fuit in codice eo, ex quo Parisini T. et C. derivati sunt, in quibus Prolegomenorum illorum folia prima desiderantur.

Parisino F. similis est, quem Reiskius non satis accurate usurpavit, Monacensis B., licet plurimis Parisini scholiis careat nec Prolegomena illa Ulpiani habeat. Propria huic codici sunt quas nullo alio in libro reperi Suidæ glossæ multæ, modo ad verbum descriptæ modo leviter mutatæ, quas novitius aliquis grammaticus scholiis Demosthenicis eadem temeritate inseruit qua Marcus Musurus scholia in Aristophanem ex Suida interpolavit: de quo dixi in præfatione ad scholia illa vol. I. p. viii. Hæc ego omnia, ut par erat, exclusi satisque duxi glossarum illarum, quas Suidas plerumque ab Harpocratione sumsit Demosthenicos locos explanante, specimina in annotationibus ad orationes I.—XIV. apposuisse, omissis ceteris, quæ inprimis frequentes sunt in orationibus de corona et de falsa legatione. Neque enim excerpta illa ulli usui esse possunt neque ad emendanda Suidæ exemplaria quidquam conferunt.

Monacensis B. tanquam apographum est Parisinus E., in vitiis etiam et lacunis (velut in scholio ad p. 24, 10.) cum illo consentiens: quo factum ut raro ejus mentionem fecerim.

Brevior scholiorum collectio servata est in codice Monacensi A., cujus scholia accuratius quidem quam Hieronymus Wolfius, cui prima hujus codicis notitia debetur, sed tamen non sine multis erroribus descripta edidit Reiskius. Codex aliquot ab initio foliis defectus est, quæ manus aliquanto recentior ex simili codice supplevit;

de quo dixi in annotatione ad Demosthenem vol. I. p. 10. 11.

Monacensi A. simillimus est Parisinus R., nisi quod longiora scholia rhetorica plurima, præsertim ad orationem Timocrateam, habet, quibus Monacensis caret, ceterum utilissimus mihi fuit ad hujus vel vitia corrigenda vel lacunas explendas. Nam margines libri Monacensis non raro vel ita detriti sunt ut quid scriptum fuerit erui nequeat vel bibliopegi cultro amputati. Communem cum Parisino R. originem habet H., qui non ultra orationem de corona procedit. Scholiis præfixa est brevis de vita Demosthenis commentatio eadem quam in Parisino Y. Vitæ ab Zosimo Ascalonita scriptæ subjectam esse supra dicebam.

Alia codicum classis eorum est, qui continuas orationum quarundam expositiones rhetoricas et ampliora ex veterum interpretum ὑπομνήμασιν excerpta continent eam in formam redacta quam corpus scholiorum inde ab Aldi Manutii temporibus Ulpiani nomen gerens repræsentat. Hujus generis codices ego habui quattuor, Parisinos T.D. C.G., quorum nullus utilitate sua caret, licet duorum instar librorum sint, quum D. cum T. ac G. cum C. ita ubique fere consentiant ut communis primi et secundi origo æque manifesta sit atque tertii et quarti. Neque inter T., qui est seculi decimi tertii, et C., qui est decimi quinti, majus intercedit discrimen quam inter antiquiores et recentiores ejusdem familiæ libros quorumvis scriptorum intercedere solet. Quamobrem his libris ita sum usus ut codicis T. lectionem prope integram afferrem, ceteris cum delectu quodam uterer consensumque codicum D. cum T. et G. cum C. plerumque omitterem, notarem vero dissensum.

Cum Parisinis C.G. magnam similitudinem habuerunt codices ex quibus Aldus Manutius suam scholiorum col-

lectionem composuit. Fuerunt tamen aliquanto negligentius scripti plurimisque vitiis inquinati quibus libera sunt exemplaria Parisina T.C.D.G. quæ ubi in vera scriptura consentiunt, non fuit operæ pretium omnia editionis Aldinæ vitia in annotatione memorari: quæ ex Appendice p. 819 seqq. cognoscere poterunt qui volent.

Editio Aldina anni 1503 postquam ab Aldo ipso a. 1527. cum levi scripturæ diversitate repetita et mox (a. 1532) Basileæ ab Joanne Hervagio iterata esset, primus qui meliores codices quærendos esse intelligeret fuit Gulielmus Morelius, qui editioni Parisinæ a. 1570. scholia partim ex conjectura partim ex codicibus quibusdam Parisinis, inter quos fuerunt nostri T. et F. (apud Morelium *Par.* α. et *Par.* β.), correcta et aucta adjunxit. Hujus quique ei inde ab oratione de falsa legatione successit Lambini opera etsi hoc effectum est ut editionis Aldinæ vitia plurima tollerentur, alia tamen non pauca temerariis conjecturis vel textui illatis vel in margine positis sunt depravata. Neque codices ea qua oportebat diligentia sunt usurpati, sed sæpe fugitivo tantum oculo perlustrati nec raro scripturæ iis sunt affictæ, quarum nullum in iis vestigium cernitur.

Eodem fere tempore in Demosthenis orationibus scholiisque Aldinis emendandis atque adeo in Latinum sermonem transferendis occupatus fuit Hieronymus Wolfius. Is quum nullis adjutus esset librorum manuscriptorum præsidiis præter codicis tum Augustani, nunc Monacensis A. scholia negligenter excerpta, solis confisus ingenii viribus innumerabilia exemplaris Aldini vitia vel certis, quas codices nostri non raro confirmarunt, conjecturis persanavit vel emendandi viam declarato verborum sensu ostendit. His ego omnibus diligenter usus sum, omisi vero quæ Wolfius vel falsa vel nimis improbabilia attulerat, qualia fieri non poterat quin sæpe exciderent melioribus libris destituto, illa præsertim ætate, quæ severioribus

artis criticæ regulis nondum erat adstricta. Prodiit autem Wolfii editio Basileæ a. 1572. quinque partibus in duo volumina divisis, quarum ultima scholia complectitur adjectis in fine scholiis codicis Monacensis A. et brevibus annotationibus excerptisque ex editione Parisina Morelii, quæ prodierat quum Wolfiana ab typographo prope absoluta esset.

Wolfii editio bis intra breve temporis spatium, nullis factis mutationibus, repetita prodiit, Francofurti a. 1604. et Aureliæ Allobrogum a. 1607. Eadem tanquam fundamento usus est Gul. Steph. Dobsonus, qui recensionem scholiorum Wolfianam editionis Morelianæ lectionibus auctam et commodiorem in formam redactam in sextum editionis suæ (Lond. a. 1828.) volumen recepit, adjecta appendice scholiorum quæ Reiskius ex codicibus Monacensibus A. et B. Lessingiique exemplari Aldino, de quo dixit in præfatione vol. I. p. lxxiv., descripserat: quod exemplar nihil continet præter pauca quædam scholiorum excerpta, partim ex codice qui similis fuit Monacensi B. petita, admixtis etiam duabus annotationibus partim Latinis [a].

Scholia in orationes Olynthiacas Philippicamque primam passim emendata Ricardus Mounteneius editioni harum orationum suæ addidit, quæ primum prodiit Cantabrigiæ typis Academicis a. 1731., aliquoties postmodum in Britannia repetita. Idem præfationi suæ adjunxit J. Chapmanni commentationem de Ulpiano scholiorum auctore vulgo habito: quam præfationi meæ subjeci.

Orationem de falsa legatione cum scholiis Oxonii a. 1721. edidit H. Brookius, qui totus ab Hieronymo Wolfio pendet.

[a] Ad p. 364, 13. *ἴσως ἐσώθησαν κατὰ τὸ εἰωθὸς παρὰ τοῖς λατίνοις, ὡς λίβιος milites vicimus pro . . . . . ut certum quoddam institutum esse videatur.* et 365, 3. *τὸ ἀσύνδετον, ὅπερ τῆς γοργότητος δοκεῖ εἶναι κατὰ ταὐτὰ τῷ ferte citi flammas, date tela, scandite muros.*

Scholia orationis Leptineæ partim ex Hieronymi Wolfii partim ex suis ipsius conjecturis emendata editioni suæ adjecit F. A. Wolfius, quæ Halis Saxonum prodiit a. 1789. Aliquanto diligentius scholia orationis Midianæ pertractavit M. H. E. Meierus, qui hanc orationem edidit ibidem a. 1831.

Scholia codicum Monacensium A. et B., quæ parum diligenter ab Reiskio (a. 1770.) edita esse supra dicebam, editioni oratorum Atticorum Turicensi (a. 1845.) adjecit Hermannus Sauppius, qui non solum utrumque codicem denuo accuratius excussit, sed etiam ipse in scholiis his emendandis tantum præstitit quantum præstare poterat qui aliorum codicum auxilio careret.

Restat ut de origine et compositione scholiorum dicatur, quorum genera duo facile discerni possunt. Eorum alterum continuas complectitur orationum expositiones rhetoricas, quales nunc non supersunt nisi in Prolegomenis Ulpiani nomen gerentibus ad orationes Olynthiacas et Philippicas commentariisque in orationes 10. 11. 13—17. (i. e. Philippicam quartam, Ad Philippi epistolam, De republica ordinanda, De symmoriis, De Rhodiorum libertate, Pro Megalopolitis, De fœdere Alexandreo): quibus tanta intercedit cum Prolegomenis illis similitudo ut hæc ab eodem omnia auctore scripta videri possint, sive is Ulpiani nomen gessit sive aliud, fueruntque haud dubie aliæ quoque orationes hujusmodi commentariis illustratæ, quorum excerpta nunc ad singulos complurium orationum locos relata inter scholia legi videntur. Ulpianus autem ille quis fuerit nescitur. Eum Valesius (ad Harpocrat. p. 92.) et Kusterus (ad Suidam s. v. Οὐλπιανὸς Ἀντιοχεύς) rhetorem fuisse Antiochenum conjecerunt ab Eunapio aliisque memoratum, qui seculo tertio exeunte æræ nostræ vixit. Cui opinioni obstat quod in Prolegomenis ad orationes Olynthiacas et quibusdam in locis scholiorum Zeno rhetor memoratur, quem seculo quarto fere medio vixisse

infra ostendetur. Quo argumento solo contra Valesium uti debebat Chapmannus in commentatione de Ulpiano §. 4., ceteris vero quæ attulit abstinere. Nam etiam si scholia non ab Ulpiano Antiocheno, sed ab rhetore aliquanto recentiore scripta sint, illud tamen certissimum est, ne huic quidem imputanda esse quæ in scholiis passim reperiuntur citata ex Gregorio Nazianzeno et quæ sunt alia annotata ab antiquiorum scholiastarum consuetudine aliena, quæ Valesius verissime judicavit ab inferiorum temporum grammaticis esse adjecta. Quod frequens est in quorumvis scriptorum scholiis interpolationis genus, quo non solum infimæ ætatis codices, sed etiam antiquiores libri, ut Ravennas Venetusque Aristophanis et Parisini S.Y. Demosthenis, etsi rarius, affecti sunt. Alia Dobræi sententia est (in Auctario ad Porsoni Miscellanea p. 387.), qui quum codicis Parisini Y., de quo supra dicebam, parti priori præscriptum videret *Ζωσίμου Ἀσκαλωνίτου εἰς Δημοσθένην*, ab Ulpiano sola in orationes Olynthiacas et Philippicas Prolegomena scripta, scholiorum vero quæ vulgo Ulpiano tribuatur collectionem non hujus, sed Zosimi esse conjecit, quem Anastasii imperatoris ætate, i. e. seculo quarto medio, vixisse commentariosque in Lysiam et Demosthenem scripsisse ab Suida et partim etiam ab Joanne Tzetza traditum est, quorum locos infra apponemus. Eundem similem operam impendisse Isocrati ex Vita Demosthenis colligitur, cui *δευτέρῳ* post Isocratem *ἐπιβῆναι* se ait Zosimus, et ex ejusdem, ut videtur, scholio ad Demosthenem p. 9, 1. ubi de usu quodam verborum *νομίζειν* et *δοκεῖν* agitur, de quo jam *ἐν τοῖς Ἰσοκρατικοῖς* dictum sit: nam sic ab Dobræo recte correctum est pro *συγκριτικοῖς* vel *σωκρατικοῖς*, quæ librorum vitia sunt. Porro quæ in scholio ad p. 742, 23. de Callistrato traduntur, cujus exemplo Demosthenes ad eloquentiam exercendam incitatus sit, jam in Vita Demosthenis exposita esse dicuntur (*ὡς εἰρήκαμεν ἐν τῷ βίῳ αὐτοῦ*), quod

factum est in Vita ab Zosimo scripta, ut illud quoque scholion ab Zosimo scriptum esse videatur. Hæc igitur omnia satis probabiliter disputavit Dobræus, quocum ego ita consentio ut quibus finibus Ulpiani opera circumscripta fuerit in medio relinquendum, Zosimum vero, hominem, ut ex Vita Demosthenis jejune ab eo scripta apparet, neque ingenio neque doctrina eminentem, in scholiis in Demosthenem colligendis eandem fere operam posuisse credam, quam Aristophanicis impendit Symmachus, de quo dixi ad scholia in Aristophanem vol. I. p. xiii. et vol. III. p. 390—392. Quæ observatio ad alterum nos ducit genus scholiorum, quod grammaticorum more, quem tetigi in præfatione ad scholia in Aristophanem l. c., *ἐκλογὰς ὑπομνημάτων* appellare licet, i. e. excerpta ex antiquiorum interpretum commentariis in unum corpus redacta et ab grammaticis recentioribus aliis aliter conformata: quales sunt collectiones scholiorum in Homerum, Aristophanem, Sophoclem, Apollonium Rhodium aliosque scriptores non paucos. Quorum grammaticorum studiis hoc effectum est ut non contemnenda veterum commentariorum in poetas prosæque orationis scriptores pars ab interitu servata ad posteros pervenerit, a quibus majorem etiam gratiam inituri erant, si scholia ad suos quæque auctores retulissent. Quod ut in aliis scriptoribus plerumque facere neglexerunt, ita in Demosthenicis quoque scholiis tam parum curarunt ut veterum interpretum nomina alia silentio plane præterirent, alia vix uno alteroque loco apponerent, de quibus infra posuimus nostrisque additamentis, quæ uncinis quadratis inclusa sunt, auximus quæ M. H. E. Meierus disseruit in præfatione ad orationem Midianam p. xiv—xxi. "Queritur jam Hermogenes de form. 2, 7. vol. 3. p. 348. ed. Walz., Demosthenis interpretes insulsos *ἰαλέμους, οἵ φασιν ἐξηγεῖσθαι τὸν ῥήτορα καὶ δὴ καὶ βιβλία καταλιπεῖν ἐτόλμησαν τῶν εἰς αὐτὸν ἐξηγήσεων, ἃ καὶ νῦν ἐξελίττοντες οἱ πολλοὶ*

τῶν διδασκάλων οἴονταί τινες εἶναι. Sed utinam tulissent modo ætatem Longini commentarii περὶ τοῦ κατὰ Μειδίου ab Suida s. v. Λογγῖνος excitati, quibus caussæ nihil est cur, quæ videtur Ruhnkenii (de vita et scriptis §. 14. pr.) esse sententia, unam eam quæstionem agitatam arbitremur, Midiana utrum χαρακτῆρος παθητικοῦ an πραγματικοῦ sit [b]; sed si modo exstarent, quæ ex Alexandrinorum inde et Pergamenorum grammaticorum temporibus ad crisin vel interpretationem Demosthenis facientia a veteribus scripta sunt, veluti ab Cæcilio [c], Siculo rhetore, qui Julii Cæsaris et Augusti temporibus eloquentiam Romæ docuit, ab Didymo Alexandrino, Aristarcheo, qui sub Julio et Augusto floruit, indefessis laboribus χαλκεντέρου cognomen meritus, commentariis in tragicos, comicos [d], Pindarum [e], lyricos [f], oratores [g], historicos [h], editis et

[b] Longini judicium de indole procemii Leptineæ cf. ap. Phot. cod. 265. p. 492, a. 29.

[c] Cf. de hoc Toup. ad Longin. Π. Ὑ. Ι, 1. Mongitor Bibl. Sicul. vol. I. p. 177 sqq. Tayl. Præf. ad Lys. p. 66. ed. R. Sæpius commemoratur a Tiberio de figur. p. 44. ed. Boisson.

[d] Meineke Quæst. Scen. III. p. 5.

[e] Bœckh. Præf. ad Schol. Pind. p. xvii.

[f] Etym. M. p. 690, 35. 777, 10. citat Δ. ἐν τῷ περὶ λυρικῶν ποιητῶν.

[g] Hujus in Demosthenem et Isæum ὑπομνήματα Harpocr. s. v. γαμηλία, εἰς τὸν Ὑπερίδου λόγον κατὰ Δημάδου idem s. v. ὀξυθύμια, in orationem Demosthenis de corona. id. s. v. ἔνθρυπτα (cf. ἑωλοκρασία, οἰκίσκῳ) disertis verbis excitavit; quos vero in Demosthenem scripsit commentarios, significantur ab Harpocr. s. v. ἐξένιζε, ὁ κάτωθεν νόμος, ἐσπαθᾶτο, λυκιουργεῖς, περὶ τῆς ἐν Δελφοῖς σκιᾶς, περίστοιχοι, ποδοκάκκη, Πολύστρατος, πρόπεμπτα, πωλῶσι, et φαρμακός, in Hyperidem scripti s. v. ἐλευθέριος Ζεὺς et Πυθαΐα, in Æschinem s. v. Θύστιον, Κραναλλίδαι, Παιανιεῖς, προστασία, ἐπιδίετες ἡβῆσαι (cf. schol. ad Æschin. c. Ctesiph. ad p. 70, 42. ed. H. Steph.), in Isæum s. v. παιδαισία, in Isocratem s. v. ἀπὸ μισθωμάτων, in Lycurgum s. v. πέλανος, προκώνια, στρωτὴρ, τοὺς ἑτέρους τραγῳδοὺς ἀγωνεῖται, in Dinarchum s. v. ματρυλεῖον, denique commentarii in Midianam innuuntur s. v. κυμβίον et παρασκήνια.

[h] Vitam Thucydidis eum enarrasse ex Marcellino colligas §§. 3. 16. 32.

proverbiorum [i] explicatione clarus, ab Sallustio [k] sophista, quem sub Tiberio floruisse volunt, ab Apollonide [l] Nicæensi, ejus æquali, ab Hermogene [m], qui sub Domitiano, ab Numenio rhetore [n] et Diodoro philosopho [o], Valerii Pollionis Alexandrini filio, qui sub Hadriano floruerunt, ab Ælio Theone [p] Alexandrino, progymnasmatum auctore, ab Herone [q] Atheniensi, incertæ utroque ætatis, ab

[i] Libros 13. de proverbiis inscripsit; *πρὸς τοὺς περὶ παροιμιῶν συντεταχότας.* Phot. cod. 279. p. 530, a. 10. ed. Bekk.

[k] Suid. s. v. Σαλούστιος. Hemsterh. ad schol. Aristoph. Plut. 725.

[l] Hujus *ὑπόμνημα περὶ παραπρεσβείας Δημοσθένους* Ammonio s. v. *ὄφλων* commemoratur.

[m] Commentarium suum ad orationem Leptineam ipse excitat de form. orat. 1, 12. vol. 3. p. 290, 15. *τὰ εἰς Δημοσθένην ὑπομνήματα, ὧν καὶ αὐτὸς ποιεῖται μνήμην* Syrian. in Hermog. de form. vol. 7. p. 90.

[n] Hic argumenta orationum Demosthenis et *τῶν Θουκυδίδου καὶ Δημοσθένους χρειῶν συναγωγὴν* scripsit. Suidas, Νουμήνιος, *ῥήτωρ. Περὶ τῶν τῆς λέξεως σχημάτων, Ὑποθέσεις τῶν Θουκυδίδου καὶ Δημοσθένους, Χρειῶν συναγωγήν, Ἀδριανῷ παραμυθητικὸν εἰς Ἀντίνοον.* [Præter *ὑποθέσεις* orationum Demosthenis ab Libanio scriptas verbosiores quædam argumentorum expositiones supersunt ad orationes octo (De pace, De corona, De falsa legatione, Leptineam, Midianam, Androtioneam, Aristocrateam, Timocrateam): quæ neque Numenii nec Posidonii Olbiopolitæ esse possunt, quum in argumento orationis de falsa legatione Menander rhetor memoretur, qui post illos vixit. Sunt hæc argumenta ab iisdem rhetoribus scripta quibus ampliores quæ supersunt orationum expositiones rhetoricas debemus.]

[o] Hic *ἐξήγησιν* scripsit *τῶν ζητουμένων παρὰ τοῖς ἑ ῥήτορσιν.* (Suid. s. v. Παλλίων. Διόδωρος.) et *λεξικὸν τῶν παρὰ τοῖς δέκα ῥήτορσι λέξεων*, quod cum Juliani lexico ita conspiret, ut ei exemplorum tantum et auctoritatum numero cedat. (Phot. cod. 150. 15.) Qui sintne diversi libri, non constat. Quam vero Diodorus rhetorices finitionem statuit, extat apud Spengel. *συναγ. τεχν.* p. 224.

[p] Hunc commentarios in Xenophontem, Isocratem, Demosthenem et argumenta rhetorica scripsisse auctor est Suid. s. v.

[q] Hic præter Dinarchi enarrationem, præter commentarios in Herodotum, Xenophontem, Thucydidem, alia, librum scripsit *περὶ τῶν ἀρχαίων ῥητόρων καὶ τῶν λόγων, οἷς ἐνίκησαν πρὸς ἀλλήλους.* Suid. s. v. Ἥρων.

Gymnasio [r] Sidonio sophista, qui Constantini imperatoris temporibus vixit, ab Tiberio [s] sophista, auctore librorum de figuris Demosthenicis, ab Posidonio Olbiopolita sophista, qui Suida teste argumenta Demosthenicarum orationum, ab Timæo, qui eodem teste *συλλογὴν* scripsit *ῥητορικῶν ἀφορμῶν*, quam Ruhnkenius Præf. ad Tim. p. xiv. ad Timæum juniorem, lexici auctorem, refert, ab aliis. Ex his fere nihil in Ulpianea immigrasse videtur. Nam præter Dionysium Halicarnassensem, Hermogenem (et hunc quidem sat multis, illum paucissimis locis), [Metrophanem, Hermogenis interpretem [t], in scholio ad p. 722, 12.] et Apsinem [u], quem conjiciunt Phœnicem Gadarenum esse, auctorem artis rhetoricæ, quæ Aldina collectione rhetorum Græcorum continetur, soli in scholiis citantur hi interpretes:

[1. Cæcilius, rhetor Siculus ævi Augustei, supra ab Meiero memoratus, citatur in scholio insigni, ad orationis Olynthiacæ secundæ exordium servato in codicibus Parisinis R. et S. ex quo discimus quibus argumentis Cæcilius Dionysii Halicarnassensis de ordine orationum Olynthiacarum sententiam impugnaverit Dionysiumque plura de hac quæstione dixisse quam nunc in Epistola I. ad Ammæum vol. 6. p. 726. legimus. Ex ejusdem Cæcilii commentariis fortasse excerpta sunt quæ contra alium Dionysii errorem dicuntur in scholio ad p. 48, 16.]

2. Aspasius, in scholio ad orat. Leptin. p. 458, 9. Hujus judicium de procemio Leptineæ vid. ap. Phot.

[r] Scripsit hic declamationes et commentarium in] Demosthenem. Suidas s. v. *Γυμνάσιος*.

[s] Hic *περὶ Δημοσθένους καὶ Ξενοφῶντος περὶ Ἡροδότου καὶ Θουκυδίδου* commentatus est.

[t] [Suidas, *Μητροφάνης, Εὐκαρπίας τῆς Φρυγίας, σοφιστής. ἔγραψε—— Εἰς τὴν Ἑρμογένους τέχνην ὑπόμνημα, Εἰς Ἀριστείδην ὑπόμνημα.*]

[u] Schol. in orat. Leptin. p. 458, 9.

Bibl. p. 492, 40. Est vero procul dubio Byblius sophista, æqualis Hadriani et Aristidis, quem ad Æschinis orationes commentarios scripsisse colligas ex schol. ad Æschin. c. Tim. p. 12, 11. ed. H. Steph. Sed hoc quasi præteriens adnotabo, auctorem scholiorum ad Æschinem scriptorum etiam in Thucydidem et Demosthenem videri esse commentatum; nam ad p. 5, 3. legimus: *ὡς ἔγνωμεν ἐν τοῖς Θουκυδιδείοις ἐν τῷ δευτέρῳ* (quæ spectant ad schol. Thuc. 2, 2); [adde schol. ad p. 9, 35, 27, 9.] ad p. 28, 3. *ἔγνωμεν καὶ τοῦτο ἐν τοῖς Δημοσθενικοῖς* (quæ eadem extant in hypoth. ad or. in Ctes. p. 354. ed. Reisk.) et paullo post, *ὡς καὶ τοῦτο ἔγνωμεν ἐν τῷ ὑπὲρ στεφάνου* (hypoth. ibid.). [Et sic alibi sæpius in his scholiis, de quibus mox alius nobis erit locus dicendi. In iisdem (ad p. 79, 24.) *ὡς ἔγνωμεν ἐν τοῖς Πινδαρικοῖς*.] Fragmentum *Ἀπολλωνίου εἰς Αἰσχίνην ἐξήγησις* inscriptum in Reisk. edit. p. 12. (in cod. Helmst. *περὶ Αἰσχίνου ῥήτορος*) ad quem Apolloniorum referendum sit non constat; de Molone non cogitandum; fuerit is, quem inter Græcos rhetoras Verus imperator audivit (Capitol. c. 2). Ex hypoth. ad Antiph. or. de cæd. chor. p. 760. et ex schol. Aristid. Panath. p. 44. 25. Dind. colligas eorum quoque auctores Demosthenicas orationes explicuisse; quodsi verum est, jam hinc consequitur Sopatrum quoque Apameensem, quem scholiorum Aristidis auctorem putant (Fromm. Præf. p. xiv.), de Demosthene esse commentatum.

3. Asclepius, in scholiis ad Philippicæ primæ exordium p. 40, 1. et De falsa leg. p. [342, 11.] 375, 25. 378, 18. Idem commentarios in Thucydidem scripsit (schol. Thucyd. 1, 56), in quibus etiam de descriptione operis egit (Marcellin. Vit. Thucyd. extr.).

4. Athanasius, in scholio ad p. 732, 28. Est sine dubio is, qui de orationibus Aristidis commentatus est, excitatus ab ejus schol. p. 76. 168. 182. Fromm. cf. Fromm. præf. p. xvi. Idem excitatur schol. Hermogen. p. 146. Ald. [apud Walzium vol. 4. p. 359. vol. 5. p. 353.

vol. 7. p. 432. 611. 612. 619. 921.] De Athanasio in diversam sententiam discessit Chapmann Observat. §. 5. [qui Sanctum Athanasium intellexit.]

5. Alexander, in scholio ad Philippicam quartam p. 131, 1. Est haud dubie Numenii filius, sophista, auctor librorum de figuris sententiarum et elocutionis, qui in Aldina collectione [vol. 8. p. 421. ed. Walz.] extant, et teste schol. Hermog. vol. 4. p. 35. etiam artis rhetoricæ; ex Alexandro Numenio sua habet Aquila Romanus; cf. rhet. Latin. Pithœi p. 24.

6. Diocorus sive Dioscorus in scholio eodem. Pro eo sitne Diodori nomen reponendum, de quo supra diximus, nondum mihi stat sententia. [Διόκορος editionis Aldinæ vitium est. Codices Διόσκορος, quod non est probabile ex Διόδωρος esse corruptum. Διοσκόρου nominis exempla ex inscriptionibus et aliunde memoravi in Thesauro Stephani vol. 2. p. 1542.]

7. Genethlius, in scholiis ad p. 227, 25. 243, 1. 341, 13. 387, 12. Genethlium Suidas discipulum fuisse tradit Minuciani et Agapeti, eique inscriptus est Menandri commentarius de encomiis, si quidem hujus libri initium recte a Valesio restitutum est.

8. Zeno, qui ὁ πολυθρύλητος dicitur in scholio ad Philippicam quartam p. 131, 1., memoratur in Ulpiani Prolegomenis ad orationes Olynthiacas circa finem et ab schol. ad p. [10, 16.] 470, 15. Fuit Citiensis rhetor, quem Chapmannus in temporibus Juliani Augusti collocat. Commentarios in Xenophontem, Lysiam, Demosthenem scripsisse Suidas literis mandavit; cf. Taylor. Præf. ad Lysiam p. 68. ed. Reisk. Citatur ab schol. Hermog. vol. 5. p. 396. [Tzetza in scholiis in Hermogenem ap. Cramer. Anecd. Oxon. vol. 4. p. 126.

πρὸ Ἑρμογένους ἔγραψαν καὶ ἄλλοι γὰρ ἰδέας,
αὐτὸς ὁ Διονύσιος, σὺν ᾧ καὶ Βασιλίσκος,
καὶ Ζήνων δὲ καὶ Ζώσιμος ἀνὴρ Ἀσκαλωνίτης
καὶ σὺν ἐκείνοις ἕτεροι, ὧνπερ ἐῶ τὰς κλήσεις.

ubi quod in codice sequitur scholion (cum lemmate ὅρος γὰρ αὐτοῖς ἄλλοις), sic est scripturæ vitiis liberandum, πρὸς γὰρ αὖ τοῖς ἄλλοις (quæ sunt Hermogenis verba vol. 3. p. 192, 16.): εἰς τοὺς ὑπομνηματίσαντας τῶν Δημοσθενικῶν λόγων ἐνίους ἀποτείνεται καὶ τὰς περὶ αὐτῶν θεωρίας φιλοτιμότερον ἐπεξεργασαμένους, Βασιλικόν (male codex Oxoniensis et hic et in versu Tzetzæ Βασιλίσκος. De vera nominis forma constat ex Suida s. v. Βασιλικός) τε καὶ Ζήνωνα καὶ τοὺς ὁμοίους. quemadmodum hæc scripta leguntur in scholiis ad Hermogenem vol. 7. p. 878. Quod autem Zenonem rhetorem Citiensem fuisse dicit Meierus, ab uno Suida traditum est, cui subobscura fuit memoria viri, quem πολυθρύλητον dixit scholiasta Demosthenis. Sic enim scribit Suidas, Ζήνων, Κιτιεύς [x]. εἰ δὲ ῥήτωρ τις ἦν ἢ φιλόσοφος ἄδηλον. ἔγραψε Περὶ στάσεων, Περὶ σχημάτων, Ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Λυσίαν, εἰς Δημοσθένην, Περὶ ἐπιχειρημάτων. Est haud dubie idem quo artis rhetoricæ magistro se usum esse narrat Sulpicius Victor in præfatione ad Institutiones oratorias ad Silonem generum: unde seculo quarto medio eum vixisse probabiliter collegit Chapmannus §. 4., non obstante Tzetza, qui in versibus supra appositis Basilicum, Zenonem et Zosimum Ascalonitam ante Hermogenem vixisse statuit triplici errore. Nam Hermogenem Marco Aurelio, Basilicum Maximino, Zosimum Ascalonitam Anastasio imperante vixisse scimus. Erravit vero Chapmannus in eo quod Zenonem illum Citio, quæ Cypri urbs est, oriundum

[x] [Nomen Κιτιεύς Bernhardyo ab mala manu accessisse videtur, sumtum ex iis quæ Suidas paullo ante de Zenone Citiensi, Stoicorum principe, dixerit, videndumque esse ne Zeno dicatur Myndius, quo Zenobius utatur Proverb. 2, 30. quemque inter Myndios rettulerit Stephanus Byzantius s. v. Μύνδος. Quæ valde incerta conjectura est, quum Stephanus non *rhetorem* nominet Zenonem, sed Ἀπολλώνιον καὶ Ζήνωνα Μινδίους γραμματικούς, proverbii autem interpretatio quam Zenobius memorat ipsa quoque grammatici potius esse videatur quam rhetoris.]

eundem esse sibi persuasit atque Zenonem Cyprium, clari nominis medicum Juliani Augusti ætate, male intellectis Eunapii de eo verbis p. 102. ἄμφω δὲ ὁ Ζήνων ἐξήσκητο, λέγειν τε καὶ ποιεῖν ἰατρικήν. quæ non significant, quod vult Chapmannus, rhetorem eum fuisse et medicum, sed hoc potius, parem in eo fuisse facultatem artis medicæ et docendæ et exercendæ.]

9. Menander, in argum. orationis de falsa legatione et in schol. ad p. 342, 11. 375, 25. 558, 16. 734, 28. Est hic sine dubio rhetor idem, qui Aristidem enarravit (schol. Aristid. p. 13. 84. ed. Fromm.), idem, cujus commentarium de encomiis post Aldum Heerenius edidit, quo judice p. 20. hic commentarius ab Menandro Laodicensi, sophista, auctore commentariorum de arte Hermogenis et progymnasmatis Minuciani scriptus est.

10. Epiphanius ὁ τεχνικὸς, in schol. ad p. 90, 1. 227, 25. Est hic auctor commentarii in Hermogenem. Vid. schol. Hermog. vol. 4. p. 493."

[11. Joannes Atheniensis. Hujus nomen præscriptum est scholio longiori ad p. 18, 17. in codice Monacensi B., si compendium codicis, quod in annotatione posuimus, recte interpretatus est Reiskius.]

" Hi quum omnes rhetores fuerint, Ulpiani quoque " scholia fere in sola rhetorica expositione versantur, " grammaticam [y] vero et historicam maximam partem " negligunt. Sæpius numero [z] in scholiis nullus inter- " pretationis auctor diserte nominatur, sed τινὲς τῶν ὑπο- " μνηματιστῶν [a], τινὲς τῶν ἐξηγησαμένων [b], τῶν πρὸ ἡμῶν " τινὲς [c], οἱ πρὸ ἡμῶν ἐξηγησάμενοι [d], οἱ πρὸ ἡμῶν διελόντες [e],

[y] Οἱ τεχνικοὶ τῶν γραμματικῶν schol. Olynth. 2. p. 23, 6.

[z] Cf. Taylori Proleg. ad Dem. p. 710. 714. Reisk.

[a] Schol. ad or. de cor. p. 229, 16.

[b] Schol. ad or. c. Timocr. p. 747, 3.

[c] Schol. ad or. de symm. p. 178, 1.

[d] Ulpian. Proleg. in or. Olynth. et Philipp. et in Philipp. IV. princ.

[e] Schol. ad Philipp. IV. [p. 203, 18. ed. nostræ] οἱ πρὸ ἡμῶν εἰς τὸν

" οἱ πρεσβύτεροι vel solum τινὲς[f] citantur, quos quidem
" etiam ipsos probabile est alios non fuisse quam rhetoras.
" De Zosimo Gazæo vel Ascalonita ponam infra verba
" Taylori (Præfat. ad Lys. p. 67): sub Anastasio vixit,
" scripsit præter Lexicon Rhetoricum Commentarios in
" Demosthenem et Lysiam (Suid). Interfectum a Zenone
" Imp. refert Cedrenus p. 291, qui Zosimum virum spec-
" tabilem vocat. Perierunt utique quæ in Lysiam
" scripsit; attamen Zosimi Ascalonitæ scholia in Demo-
" sthenem diversa ab Ulpiani scholiis servantur hodie
" inedita una cum Demosthenis orationibus in bibliotheca
" Vaticana, ut ex Ryckii Catalogo MS. didici.—Zosimi
" in Demosthenis Philippicas Lexicon in eadem biblio-
" theca extare memorat Labbæus.—Fabricius Bibl. Gr.
" vol. 14. p. 15. memorat Franciscum Salmonium Præ-
" fectum Bibliothecæ Sorbonicæ habere MS. ejusdem
" lucubrationem 'εἰς τὸν βίον τοῦ Δημοσθένους.' Hæc Tay-
" lorus. Vitam hanc Zosimi Reiskius e duobus libris,
" Parisino et Romano, edidit (Corp. Orat. Gr. vol. 4.
" p. 145 sqq.), quæ vita, si cui commentariorum deside-
" rium Taylorus movit, lenibit desiderium; adeo tota
" jejuna est et nihil præter vulgaria tenet. Sed eandem
" esse commentariorum quoque naturam etiam magis per-
" spexit Reiskius, cum Bianconii opera speciminis caussa
" commentarii in primam Olynthiacam ex codice illo
" Vaticano descripti sibi missi essent; nam verbum non
" repperit, quod in editis Ulpianeis non legeretur." De
Zosimo quæ scripsit Reiskius l. c. p. 143. hæc sunt: " Zo-

λόγον θεωρίας καὶ διαιρέσεις συγγράψαντες, ibid. [p. 195, 22.] οὐδένες τῶν πρὸ ἡμῶν Philipp. IV. [p. 193, 28.] In schol. ad Olynth. I. [p. 32, 13.] quattuor, ad Olynth. II. [p. 96, 7.] tres, Phil. I. [p. 149, 6. 150, 24.] diversæ diversorum interpretationes proponuntur, quorum vero sint, non dicitur. Quæ in hac proximaque annotatione attulit Meierus augeri possunt locis in Indice nostro indicatis s. v. Δημοσθένους ἐξηγηταί.]

[f] Schol. Olynth. I. [p. 57, 20.] II [p. 89, 7.] Aristocr. ad p. 623, 5. al.

" simi opusculum, ut orationis infantia et spurcitie, ita
" nugis quoque anilibus et commentis in veritatem rerum
" historicam abnormiter impingentibus putidisque fabellis
" scatet. Posterius, est illud quidem paulo tersius, sed in
" se ipsum quoque leve; ambo illa opuscula nihil nos
" docent quod non dudum nossemus, aut ea nobis per-
" suasum eunt, quæ nunquam committemus ut nobis per-
" suadeantur. Misit illa duo opuscula ad me Schweig-
" hæuserus meus Strasburgo, e codice bibliothecæ regiæ
" Parisinæ 2935. a se exscripta, qui notulas ei quoque
" nonnullas suas adspersit, quas hic, ut par erat, omnes
" retulimus, apposito ipsius nomine, nam cæteræ meæ
" sunt. Alterius, a Zosimo profecti, exemplum Roma
" quoque ad me missum est: quo factum ut ad Zosimum
" afferre lectiones codicis Romani possim. Noram scilicet
" in Vaticana superesse commentarios ad XVIII. priores
" Demosthenis orationes, tributos Zosimo cuidam Asca-
" lonitæ. Ardebam cupiditate cognoscendi, utrum illo in
" codice superessent fragmenta vetustissimorum Demo-
" sthenis interpretum meliora illis, quæ vulgo sub Ulpiani
" nomine circumferuntur. Dabam super hac re literas ad
" Ludovicum Bianconium, V. I. aulæ Saxonicæ apud
" Romanam Residentem, cujus, cum inter nos adhuc
" ageret, egregia erga me fuit voluntas, multaque et
" magna ab illo in me collata ornamenta, quorum ei,
" quoad vivam, habebo præ me feramque gratiam. Bian-
" conius pro incredibili sua humanitate studioque, quo et
" olim de me meritus est et adhuc meretur, Abbati Jo-
" sepho Spallettio in mandatis dedit ut ex illo codice
" commentarios ad primam Olynthiacam, speciminis ergo,
" meam in gratiam exscriberet. Fuit in potestate viri
" nobilissimi Spallettius, et certior hoc pacto ego factus
" sum, de quo diu dubitaveram, pæne dubitationis illius
" anxietatem atque stimulos haud ferens, possumque nunc
" alios, quorum id interest, certiores facere, meæque fidei

" jubere securos acquiescere, in illo codice Vaticano, si
" apographum ad me missum ipso cum codice concinit,
" et reliqua similia si sunt ad me misso specimini, (et
" similia esse consentaneum est,) quod in editis Ulpianeis
" haud legatur, verbum non legi. Prodesse tamen hac-
" tenus poterit ille codex, ut primum loci quidam in
" vulgatis corrupti, inde emendentur; deinde, ut ex eo
" constet, quid ille Zosimus ad Demosthenem compila-
" verit, et quid ætas posterior ejus operi addiderit. Com-
" mentariorum itaque horum Zosimi ad Demosthenem
" præfatio hæc est, quam nunc damus, vita, sic dicta,
" Demosthenis."

Scribebam Lipsiæ mense Maio a. 1849.

I. CHAPMANNI

COMMENTATIO DE ULPIANO*.

1 ANNI jam elapsi sunt ducenti circiter et triginta, ex quo primum in lucem prodiere sub Aldi curis et auspiciis Commentarii in Demosthenis orationes octodecim Ulpiani nomen præferentes. Ex eo, alios atque alios editores ac patronos subinde nacti magnam sibi ad hodiernum usque diem apud eruditos famam et auctoritatem obtinuerunt. Interea tamen, quamvis Ulpiano eorum pleraque tribuerent, nonnulla interpolatoris manum referentia facile animadverterunt critici; id utique ex voculis, Ἄλλως, ἐπὶ τὸ αὐτὸ, et similibus luce clarius constabat. His vero exulantibus, cætera pro genuino rhetoris fœtu amplectebantur; aut si quædam quasi minus pulchra respuerent, vix ullo tamen hoc aut ne vix quidem argumento fulti. Ita igitur res erat, atque etiamnum est. Aliqua hinc inde per enarratorem nostrum reprehendunt Casaubonus, Valesius, alii, obiter et desultorie; ad plenum vero et accuratius examen nemo hactenus eum, quod sciam, ne clarissimus quidem Fabricius revocavit. Liceat itaque mihi paucula quædam, quæ commentariis hisce paulo diligentius excussis observaveram, erudito lectori expendenda subjicere.

§. 1. Primo igitur disquirendum est, enarrator iste quis fuerit, quæ illi patria, quod studium, quibus indiciis externisque quæ
2 vocantur testimoniis Ulpiani rhetoris nomen et personam induit? Præfationis ipsius titulus ita concipitur apud Hieronymum

[* Doctam Chapmanni commentationem de Ulpiano sumsi ex editione orationum Olynthiacarum Cantabrigiensi a. 1731., cujus paginarum numeros in margine posui. Nonnulla ab Chapmanno non recte disputata correxi in Præfatione mea. G. DINDORF.]

Wolfium ex codicibus MSS. Οὐλπιανοῦ Ῥήτορος προλεγόμενα εἰς τοὺς Δημοσθένους Ὀλυνθιακοὺς καὶ Φιλιππικοὺς λόγους. Antiochenum illum veterem, ut opinor, designat; illum scilicet haberi se voluit; celebrem enim quendam et satis notum illud Ῥήτορος innuit, quod Ulpiano nulli magis quam Antiocheno convenit. Atqui nondum liquet vel hunc vel alium quemvis Ulpianum commentarios unquam in Demosthenem scripsisse. Quatuor Ulpianos memorat Suidas. Ex his duorum opera recenset. De commentariis ne hilum quidem. En ejus verba. Οὐλπιανὸς, Ἐμεσηνὸς, σοφιστής. Περὶ πατρίδος Ἐμέσης, Ἡλιουπόλεως, Βοσποριατῶν (vel Βοσποριτῶν, ut legendum maluit Kusterus) καὶ ἄλλων πλείστων. Προγυμνάσματα. τέχνην Ῥητορικήν. Deinde de nostro. Οὐλπιανὸς, Ἀντιοχεὺς τῆς Συρίας, σοφιστὴς, παιδεύσας πρότερον εἰς Ἔμεσαν, ἐν τοῖς κατὰ τὸν βασιλέα Κωνσταντῖνον χρόνοις. Λόγους διαφόρους. Μελέτας. Διαλέξεις καὶ ἄλλα τινά. Alios duos quidem nominat, scripta eorum nulla tradidit. Unde suspicari saltem licet, Suidam nullas istiusmodi ἐξηγήσεις aut vidisse aut inaudivisse, alioqui certe vix opus tam insigne præteriturum. Kusterus quidem ad hunc Suidæ locum hæc habet: *Hic etiam fuerit Ulpianus, cujus hodie adhuc in quasdam Orationes Demosthenis extant Commentarii,* de Antiocheno loquens. Ex conjectura vero magis quam rei cognitione virum eruditissimum ista dixisse crediderim. Wolfius contra se plane quis fuerit hic Ulpianus ignorare profitetur, cum apud veteres tum Suidam tum alios altum sit de commentariis Ulpianeis silentium. Quare cum testes satis idoneos enarrator iste pro se nullos proferat, ipsum 3
jam introspiciamus, sicubi ad finem usque qualis ab incœpto processerit, sibi constiterit, sophistæque veteris partes caute callideque peregerit.

§. 2. Cæterum, cum hic sumus, aliqua prius, ipsius methodi ratione ita quodammodo postulante, de Ulpiano rhetore Antiocheno præfationis vice sunt præmittenda. Is patria fuit Antiochenus, professione sophista, scholam rhetoricam habuit primum Emesæ, postea Antiochiæ, ἐν τοῖς κατὰ τὸν βασιλέα Κωνσταντῖνον χρόνοις inquit Suidas, ambiguo sane sensu, cum dictu difficile sit utrum hæc ad παιδεύσας referantur, an ad tempora quibus inclaruit: verum ut ut hæc sint, haud satis accurate Suidas hæc descripsit. Videor enim mihi ex Eunapio Sardiano collegisse, eum ante Constantini tempora etiam Antiochiæ publice rhetoricam docuisse, multo magis Emesæ. Is in vita Proæresii

sophistæ hæc habet. Νέον δὲ αὐτὸν ἐξ Ἀρμενίας ἀναστήσαντος δαίμονος, καὶ πρὸς τὴν Ἀντιόχειαν διαβάλλοντος, οὐ γὰρ ἐπεθύμησεν εὐθὺς τῶν Ἀθηνῶν, ἥ τε ἔνδεια παρελύπει τῶν χρημάτων (γεγονὼς γὰρ ἄνωθεν καλῶς, τοῦτο ἠτύχει·) καὶ πρὸς τὸν Οὐλπιανὸν κρατοῦντα τῆς Αντιοχείας ἐπὶ λόγοις ὠσθεὶς, &c. Ita secundum interpretem, *Fors fortuna compulit illum in juvenili ætate Armenia excedere, atque Antiochiam transtulit, nam Athenas recta non appetiit quod rei pecuniariæ inopia* (potius, *copia*) *destitutus fuerit,* (*ea in re infœlix, honesto alioqui loco natus,*) *ubi ad Ulpianum rhetoricæ artis professione nobilem divertens,* &c. Iterum sub vitæ ejusdem initium. Διέβαλε μὲν γὰρ ὁ ταῦτα συντιθεὶς ἐξ Ἀσίας εἰς τὴν Εὐρώπην καὶ Ἀθήνας τελῶν εἰς ἕκτον καὶ δέκατος ἔτος·——ὁ δὲ Προαιρέσιος προεληλύθει μὲν ἐπὶ τὸ ἕβδομον ἐπὶ τοῖς ὀγδοήκοντα
4 ἔτεσιν, ὡς αὐτὸς ἔλεγεν. Interpres, *Is scriptor* (potius, *Qui hæc scribit*) *ex Asia in Europam trajecerat et circa decimum sextum ætatis annum Athenas appulerat——Tum vero Proæresius ad septimum supra octogesimum annum accesserat, ut ipse prædicabat.* Et sub fin. ὁ δὲ συγγραφεὺς κατὰ τουτονὶ τὸν χρόνον εἰς ἕκτον που καὶ δέκατον ἔτος τελῶν παρῆλθεν εἰς τὰς Ἀθήνας καὶ τοῖς ὁμιληταῖς ἐγκατεμίγη. Interp. *Ea tempestate scriptor* (potius, *hujus operis scriptor*) *decimum sextum circiter annum ingressus Athenas pervenit ac discipulorum numero ascriptus* (*fuit.*) Loquitur hic de temporibus Juliani imperatoris. Ex his locis inter se collatis ita argumentandum esse duxi. Constat Eunapium nostrum (ut cuivis ipsum inspicienti patebit) ex his ipsius verbis ad Proæresium se contulisse imperante Juliano. Hoc vero contigit secundum Hieronymum in Chronico circa ann. Chr. 363. Eodem tempore Proæresius ut idem scribit ad octogesimum septimum ætatis annum pervenerat. Proæresius igitur ad Ulpianum devenerat septuaginta circiter ante annos juvenis admodum, annum agens puta decimum septimum, (raro enim aut nunquam serius ad rhetorices magistros deferebantur discipuli.) i. e. circa ann. Dom. 293. Ergo jam diu ante Constantini tempora Antiochiæ floruit Ulpianus, quum ille imperium auspicatus sit anno tandem 306.

§. 3. Unum adhuc restat discutiendum, quod prima fronte calculos nostros perturbare videtur et labefactare; id sc. quod scribit Eunapius noster in excerptis Græcis περὶ πρεσβέων. Μετὰ τὴν Ἰουλιανοῦ τῆς βασιλείας ἀναγόρευσιν πρεσβεῖαι πανταχόθεν συνέβαινον.——Λυδοὶ δὲ καὶ εὐχῆς κρεῖττον ἔπραττον Εὐναπίου μὲν

τοῦ Ῥήτορος ὑπὲρ αὐτῶν πρεσβεύοντος, Εὐημερήσαντος δὲ οὕτω κατὰ τὴν πρεσβείαν, &c. Quæ sic reddo. *Juliano imperatore declarato, legationes undique confluxerunt.——Lydi vero majora etiam,* 5 *quam optarent, impetraverunt, Eunapio rhetore pro ipsis legationem obeunte; qui tam feliciter etiam in legatione successerat,* &c. At si, dixerit aliquis, imperante Juliano Eunapius rhetor legationem obiit, quomodo annum agere decimum sextum his temporibus dicitur, eo munere ætatem certe provectiorem postulante? Aliquam hic subesse difficultatem neutiquam diffitendum est. Facile tamen omnis solvitur, præeunte Fabricio lib. 5. Bibliothec. Græc. cap. 5. Ubi disserit in hanc sententiam. *Editio Commeliniana* (Eunapii sc.) *recusa est Coloniæ Allobrogum sive Genevæ* 1616. *Atque excerpta de legationibus ex Historia Eunapiana Græce subjuncta habet ex eodem Schotti codice. Ex his constat Eunapium rhetorem a Lydis missum esse legatum ad Julianum imperatorem* p. 17. seqq. edit. Par. *Et quum legatione cum magno successu functus esset, jussum a Juliano causam agere adversus potentem adversarium idque fecisse cum laude, et judicibus persuasisse. Diversus hic videtur a nostro et ætate prior, idemque forte cum Eunapio τῷ ἐκ Φρυγίας rhetore, cujus meminit Suidas in* Μουσώνιος. Hæc Fabricius vir doctissimus. Cujus conjecturam non modo vehementer probo, verum etiam certissimam et verissimam esse demonstraturum prope me confido. Audiamus modo Eunapium in vita Proæresii sub fin. *Ἰουλιανοῦ δὲ βασιλεύοντος τόπων τοῦ παιδεύειν ἐξειργόμενος, ἐδόκει γὰρ εἶναι Χριστιανὸς, συνορῶν τὸν ἱεροφάντην ὥσπερ Δελφικόν τινα τρίποδα πρὸς τὴν τοῦ μέλλοντος πρόνοιαν πᾶσι τοῖς δεομένοις ἀνακείμενον, σοφίᾳ τινὶ περιῆλθε ξένῃ τὴν πρόγνωσιν· ἐμέτρει μὲν γὰρ ὁ βασιλεὺς τὴν γῆν τοῖς Ἕλλησιν εἰς τὸν φόρον, ὅπως μὴ βαρύνοιντο. Ὁ δὲ Προαιρέσιος ἠξίωσεν αὐτὸν ἐκμαθεῖν περὶ* (lege, *παρὰ*) *τῶν θεῶν, εἰ βέβαια μένει τὰ τῆς φιλανθρωπίας· ὡς δὲ ἀπέφησεν, ὁ* 6 *μὲν ἔγνω τὸ πραχθησόμενον καὶ ἦν εὐθυμότερος. Ὁ δὲ συγγραφεὺς κατὰ τουτονὶ τὸν χρόνον εἰς ἕκτον που καὶ δέκατον ἔτος τελῶν, παρῆλθεν εἰς τὰς Ἀθήνας καὶ τοῖς ὁμιλητοῖς ἐγκατεμίγη. Καὶ ἀγαπηθεὶς ὑπ' αὐτοῦ καθάπερ παῖς γνήσιος·* (Punctum in edit. ad *γνήσιος* positum est omnino tollendum) *ἠπείγετο μὲν μετὰ πέμπτον ἔτος εἰς τὴν Αἴγυπτον. Οἱ δὲ πατέρες καλοῦντες ἐπὶ Λυδίας ἐξεβιάσατο.* (Leg. *ἐξεβιάσαντο.*) Interpres, *Idem Juliano imperante exclusus a docendi munere quod Christianus haberetur, cernens,* (potius, *cum cerneret*) *hierophantam tanquam Delphicum tripodem omnibus*

futura præscire optantibus esse (abundat *esse*) *expositum, mira quadam et nova arte cognitionem ejusce rei fraudulenter intercepit. Imperator namque doctis hominibus agros tributarios et vectigales admetiebatur, ut immunes onerum essent. Proæresius autem obsecravit, uti de* (potius, *a*) *diis disceret, mansurane esset constans ea liberalitas; illo inficiante hic quid eventurum esse speculatus, animum induit tranquilliorem.* Ea tempestate scriptor (potius, *hujus operis scriptor*) *decimum sextum circiter annum ingressus Athenas pervenit, ac discipulorum numero adscriptus et vice filii adamatus fuit: qui exacto demum quinto post anno Ægyptum versus properabat, sed a parentibus ipsum in Lydiam revocantibus redire compulsus est.* Quomodo igitur cum Athenis esset, bonis literis operam navans, juvenis adhuc et tiruncolus, pro Lydis ad Julianum eodem tempore legationem obierit? Videamus jam quæ de Eunapio Suidas habet in Musonio. Μουσώνιος. Ἐπὶ Ἰοβιανοῦ ἦν βασιλέως. πάντα ὅσα ἦν ἄριστα, &c. Deinde sub fin. ἐπεκάλει δὲ οὐδεὶς ἄδικον οὐδὲν τοῖς γινομένοις. Ἀλλὰ παιδιά τις ἦν ἅπασι τοῖς καταβάλλουσι τὰ εἰσφερόμενα. Εὐνάπιος γὰρ ὁ ἐκ Φρυγίας
7 Ῥήτωρ ἐπεστάτει τοῖς πραττομένοις. Portus, *Musonius. Hic sub imperatore Joviano vixit. Quæcunque vero optima erant,* &c. ——*Nullus vero de rebus illis quæ fiebant ut injustis querebatur; sed illa quæ tributorum causa conferebantur, omnibus qui ea pendebant ludus quidam erat. Eunapius enim Phrygius orator negotio illi præerat.* Atqui Jovianus imperavit post Julianum octo tantum menses. Quomodo igitur Eunapius noster qui ab imperio Juliani (quod ipsum fuit unius tantum anni) per annos quinque continuos Athenis commoratus est libris et studiis incumbens, intra annos duos ab eodem imperio rationalis officium quoddam in Asia gesserit? Hæc sunt quæ me ut clarissimi Fabricii sententiæ lubens accederem, impulerunt. Et miror sane neque Philippum Labbeum in præclara sua scriptorum Byzantinorum editione, ubi hæc ipsa excerpta de legationibus Eunapiana recudit ac recensuit, neque Carolum Cantoclarum neque Henricum Valesium, qui annotationes ad excerpta scripserunt, istiusmodi quicquam adnotasse, ullam movisse vel habuisse quæstionem suspicionemve. Atque his de Ulpiano illo præmissis, quæ in cæteris persequendis usui forte veniant, transeamus ad reliqua.

§. 4. Enarrator noster in Prolegomenis suis perstringit Zenonem quendam his verbis: *οὐ γὰρ ὑπολαμβάνειν ἀντίθεσιν δεῖ τὴν ἔννοιαν ἀπὸ γνώμης τοῦ Φιλίππου, ὥσπερ ὁ Ζήνων εὐήθως ὑπείληφεν,*

&c. Eundem etiam laudat in Philippic. quartam sub init. *καὶ Ζήνων ὁ πολυθρύλλητος*, &c. Ad locum priorem hæc adnotat Wolfius. *Zenonem* nescio quem, (*non utique illum sectæ Stoicæ principem*) *stultitiæ arguit Ulpianus*, &c. At Suidas eum melius certe noverat. *Ζήνων. Κιτιεύς. Εἰ δὲ ῥήτωρ τις ἦν ἢ φιλόσοφος, ἄδηλον. Ἔγραψε περὶ Στάσεων. περὶ Σχημάτων. Ὑπόμνημα εἰς Ξενοφῶντα. εἰς Λυσίαν. εἰς Δημοσθένην. περὶ Ἐπιχειρημάτων.* Hic 8
ipse est, ni fallor, quem innuit Ulpianus. De hoc Zenone loquitur ut opinor Eunapius in Vitis sophistarum. *Ἰατροὶ δὲ κατὰ τούτους ἤκμαζον τοὺς χρόνους Ζήνων τε ὁ Κύπριος, διδασκαλίαν τε πολυύμνητον συστησάμενος· ἀλλ' ἐπέβαλε τοῖς χρόνοις Ἰουλιανῷ τῷ σοφιστῇ καὶ μετ' ἐκεῖνον κατὰ τοὺς Προαιρεσίου χρόνους οἱ διαδόχοι Ζήνωνος. ἄμφω δὲ ὁ Ζήνων ἐξήσκητο λέγειν καὶ ποιεῖν ἰατρικήν.* Interpres, *Eo temporum tractu complures floruerunt medici, inter quos Zenon Cyprius doctrina celebri clarus, attigit* (potius, *incidit in*) *tempora Juliani sophistæ et post illum Proæresii qui Zenoni successerunt. Hic utrumque profitebatur et factitabat medicinam* (melius fortasse, *Hic in utroque se exercuit, et dicendo et facienda medicina*, i. e. *tam rhetorices quam medicinæ scientia.*) Neque mirum hoc, si a Suida dicatur *Κιτιεὺς*, ab Eunapio *Κύπριος*. Nam Citium urbs est Cypri. Plinius lib. 5. cap. 35. inter oppida Cypri numerat etiam Citium. Hieronymus vir longe doctissimus in Esaiam, lib. 5. cap. 23. *Usque hodie est apud eos* (Cyprios) *urbs Citium, de qua et Zeno Stoicæ sectæ hæresiarches fuit.* Ipse Suidas alibi, *Κιτιεύς. ἀπὸ τόπου. Κίτιον γὰρ πόλις Κύπρου. ἔνθεν καὶ Ζήνων ὁ Κιτιεύς.* Hunc Eunapius refert ad Juliani tempora; præcesserat enim vita Nymphidiani, quem ab epistolis fuisse Juliano dixerat, cui subjungit Zenonem, eumque *κατὰ τούτους τοὺς χρόνους* floruisse scribit. Huic etiam Zenoni, ut videtur, inscripsit epistolam Julianus imperator numero 45; eidem Libanius sophista in versione Zambicarii 3, 18. notante Fabricio, mihi enim hunc librum videre non contigit. His accedat insigne testimonium Sulpitii Victoris in oratoriis institutionibus ad Silonem generum his verbis in præfat. *Contuli in ordinem ea quæ fere de oratoria arte traduntur secundum institu-* 9
tum magistrorum meorum, *Zenonis præcepta maxime persecutus.* Iterum, *Hic erat ordo revera, ut de statibus protinus traderemus, si non esset a Zenonis vestigiis recedendum.* Alibi p. 262. *Hoc, si apud Zenonem depositum est, mihi tamen thema hujus controversiæ non placet.* Ibid. *Nam hanc Zeno translationem facit,*

nonnulli præscriptionem. Et paucis interjectis, *Zeno præscriptivas ait causas scripti et voluntatis esse: metalepsin autem translationem facit.* In primo loco manifeste Zenonem inter magistros suos numerat. Hic est autem ille Victor, cujus meminit Rufinus de Compositione et Metris Orat. *Ut Cicero dicit, isti scripserunt apud Græcos, Thrasymachus, Naucrates, Gorgias, Ephorus, Isocrates, Theodectes, Aristoteles, Theodorus Byzantius, Theophrastus, Hieronymus. Latine de numeris hi, Cicero, Victorinus, Eusebius, Terentianus, Varro, Probus, Charisius, Diomedes, Quinctilianus, Donatus, Victor, Servius,* vel *Servius, Victor*, sicut edidit Putschius. Victor, ut videtur, sub finem seculi quarti vel ineunte quinto Victorino et Servio fortasse
10 suppar floruit [a]. Claruerit igitur Zeno circa ann. 350. imo 340.

[a] De Sulpitio Victore, quando res et tempus ita ferunt, non possum non monere paucis lectorem, eum inter rhetores antiquos ex Pithœi Bibliotheca collectos minus recte post Curium Fortunatianum tanquam eo recentiorem collocari. Crediderunt quidem viri docti Curium Fortunatianum rhetorem cujus extant hodie de Rhetorica libri tres, fuisse etiam historicum, illum ipsum cujus meminit Julius Capitolinus in *Maximo et Balbino.* Ita Gerardus Joannes Vossius de Histor. Lat. lib. 2. cap. 3. Et nuper ex eo præstantissimus Fabricius in Bibliotheca sua Latina lib. 4. cap. 8. §. 4. Verum falluntur certe, uti constat ex Aurelii Cassiodori libro de Rhetorica. Ille postquam de Cicerone, Quinctiliano, Mario etiam Victorino, verba fecisset, hæc subjungit. *Fortunatianum vero doctorem Novellum, qui tribus voluminibus de hac re subtiliter minuteque tractavit, in pugillari codice apte forsitan congruenterque redigimus; ut et fastidium lectori tollat, et quæ sunt necessaria, competenter insinuet; hunc legat, quisquis brevitatis amator est.* Hinc colligere vix dubitem Fortunatianum rhetorem, historico altero multo fuisse recentiorem et a Cassiodori temporibus haud longe remotum. Neutiquam enim Cassiodorus historicum qui ante Constantini M. ætatem sua scriptis mandabat, i. e. annos ante se (qui ineunte sæculo sexto vixit) ad minimum ducentos, *doctorem Novellum* appellasset; præsertim cum Mario Victorino istiusmodi nomen non tribueret, qui post ipsum Fortunatianum historicum floruit. Hinc porro suspicari licet, libros Fortunatiani de Rhetorica quos nunc habemus, non extare hodieque quales ipse eos edidit Fortunatianus, verum quales ex epitome sua dedit Cassiodorus. Neque sane mirandum adeo est, viros tantos tam insigniter errare potuisse. Lapsi sunt enim similiter interdum viri etiam maximi. Exemplo sint Isaacus ille Casaubonus, et Salmasius illustrissimus. Hic in Prolegomenis ad Solinum, Priscianum grammaticum sub Juliano imperatore floruisse dicit; cum tamen certo sit certius eum sub Justiniano vixisse; anachronismo annorum 160. Alter ille in notis ad Athenæum lib. 1. cap. 5. Rufinum Aquileiensem episcopum vocat, cum tamen eum episcopalem infulam nunquam attigisse pateat ex Gennadio Massiliensi.

Hoc, ut maturissime innotuerit. Quod si ita sit, vix sane videtur verisimile, eum laudari potuisse ab Ulpiano Antiocheno qui Antiochiæ docuit quadraginta septem ante annos, scilicet A. D. 293. Certe πολυθρύλλητον dicere non potuit, cum ea vox antiquiorem et pervulgati nominis virum denotaret.

§. 5. Idem in commentariis ad hæc verba in orat. contra Timocratem, ὥστε ἔμοιγε δοκεῖ (καὶ γὰρ, εἰ φορτικώτερον εἶναι τὸ ῥηθησόμενον δόξει, λέξω καὶ οὐκ ἀποκρύψομαι) κατὰ τοῦτό γ' αὐτὸ ἄξιον αὐτὸν εἶναι θανάτῳ ζημιῶσαι, ἵνα ἐν ᾄδου τοῖς ἀσεβέσι θῇ τοῦτον τὸν νόμον, &c. ista subjicit. Οἷον τοῖς περὶ τὸν Τάνταλον καὶ τὸν Τιτυὸν, καὶ τὸν Ἰξίονα. Ἐπειδὴ οὖν ᾔσθετο ὡς ὅτι τὰ τοιαῦτα τολμηρὰ ποιητικῆς μᾶλλόν ἐστιν, ἀλλ' οὐ ῥητορικῆς, ὥσπερ συγγνώμην ᾔτησεν εἰπὼν, καὶ γὰρ εἰ φορτικώτερόν ἐστιν, ἀνόητον, ὥς φησιν Ἀθανάσιος. Ex versione Wolfii, *Veluti Tantalo, Tityo,* 11
Ixioni. Quia vero sentit talia commenta poeticæ audaciæ esse magis quam rhetoricæ artis, quasi veniam petit his verbis: Etsi onerosius est (sit), hoc est, stolidum, ut inquit Athanasius. Hic locus genuinus est, si quis alius; nullæ lectionum varietates, nullum ἄλλως, ἐπὶ τὸ αὐτὸ, et cætera id genus; nulla manus interpolatricis vola vel vestigium, omnia plana, aperta, sincera. Atque id quidem confitente Wolfio; nullam enim hic ut alibi sæpe sæpius virgulam censoriam admovet. Atqui hæc non modo non ab Ulpiano Antiocheno, verum ne ab eorum quopiam qui a Suida laudantur proficisci potuerint, quum illi omnes sophistæ sint ethnici, hic vero ethnicæ fabulæ ipsis episcopi Christiani verbis explodantur. Respexit enim proculdubio enarrator ad Athanasii vel orationem pulcherrimam contra gentes, vel ad alteram de Verbi incarnatione λογικωτάτην simul et nitidissimam.

§. 6. Neque locus hic est unicus, qui Christianum sapit. Ecce alium in comm. ad Olynthiacam secundam, sub exordium ipsum. Ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι] Δεύτερος τόπος τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων· ἐξ ἀορίστου δὲ προλήψεως τὸ σχῆμα τοῦ λόγου· εἰρηκὼς γὰρ τὸ, ἐπὶ πολλῶν, ἀόριστον, ἐπήγαγεν ὡρισμένον τὸ περὶ τῶν Ὀλυνθίων· ὅμοιον τούτῳ τὸ εἰς τὸν ἅγιον Βασίλειον τοῦ θεολόγου προοίμιον. Wolfius, *Cum multis in rebus, Athenienses, perspici mihi posse videtur*] *Secundus locus exordiorum quæ ex subdivisione ducuntur. Orationis autem figura sumpta est ex indefinitæ rei adjunctione,* (legit προσλήψεως, enarratoris mentem haud satis ut opinor assecutus:) *cum enim dixerit, in multis,*

quod indefinitum est, subjunxit definitum illud de Olynthiis. Simile huic est theologi principium in laudatione divi Basilii. Idem hic
12 quoque consensus tum in manuscriptis tum editis. Laudatur vero diserte Gregorii Nazianzeni (is enim est theologus ut satis notum est) oratio funebris in Basilium. Cujus etiam procemium est, ut legenti patet, verissime *τῶν ἐξ ὑποδιαιρέσεως*. Hic autem tum tempora tum studia et mores ab Ulpiano sophista immane quantum discrepant. Basilius postquam ecclesiæ Cæsariensi Cappadociæ octo annos præsederat, moritur tandem imperante Gratiano, teste Hieronymo in Catalogo, Suida in v. *Βασίλειος*, et Caveo nostro in historia literaria, i. e. circa annum 378. vel 379. Ejus vero amicus conjunctissimus Gregorius Nazianzenus funebrem in ipsum orationem habuit non nisi longum post tempus, adeo ut moræ veniam in orationis exordio petat his verbis. *Εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος καὶ μετὰ τοσούτους ἐπαινέτας, ἰδίᾳ τε καὶ δημοσίᾳ τὰ ἐκείνου σεμνύναντας, μηδεὶς θαυμαζέτω. Ἀλλὰ συγγινωσκέτω μὲν ἡ θεία ψυχὴ, καὶ πάντ' ἐμοὶ σεβασμία καὶ νῦν καὶ πρότερον* (forte *προσώτερον*). Billius, *Quod si multo serius quam tempus postulabat ac post tot alios, qui res illius privatim publiceque laudibus ornarunt, ad hoc munus accessi, nemini mirum videatur. Verum ignoscat mihi, velim, divina anima mihique et nunc et antea* (forte, *et in futurum*) *veneranda.* Quomodo igitur Ulpianus qui hanc orationem tot annis præcesserit, ipsam citaverit? Deinde quis unquam sophista gentilis Nazianzenum *θεόλογον* vel Basilium *ἅγιον* appellaverit? Adeo profecto conclamata res videtur, ut Henricus Valesius in Harpocrationem hæc scribere non dubitaret. P. 44. *Ἀντίθεσις*) *Aliter antithesin sumit Ulpianus ubique ut legenti patebit, qui etiam ætate posterior fuit Harpocratione et Christianus: nam in secund. Olynth. laudat theologi procemium in Basilium.* Hactenus recte. Quæ sequuntur,
13 pace viri maximi dixerim, judicium Valesii desiderant. *Sed in Ulpiani scholiis multa a recentioribus sunt temere assuta, quale et hoc esse existimo. Ulpiani rhetoris meminit Eunapius et Sozomenus aut si quis alius in Historia ecclesiastica* Pro Sozomeno Evagrium, credo, dicere voluit; is enim Ulpiani Antiocheni mentionem facit Hist. Eccles. lib. 1. cap. 20. Hunc igitur Ulpianum Valesius etiam cum Kustero doctissimo commentarios hosce scripsisse arbitrabatur. Ad hanc autem Valesii *τῆς ἀπορίας* solutionem quod attinet, longe longeque abest ab arte critica. Nihil enim est nisi manifesta principii petitio. Siquidem

pro concesso sumit, 1mo. Ulpianum in Demosthenem commentarios scripsisse, quod nondum constat. 2do. Hos commentarios non esse ψευδεπιγράφους, verum genuinos, licet interpolatos. Enimvero assuta esse iis quæ vocantur ἐξηγήσεις Ulpianeæ a recentioribus aliquammulta nullus negaverim. Eaque adeo certis quibusdam notis atque indiciis distinguuntur, ut inter omnes convenit. Quædam tamen inter hæc enarrationes continuæ et seriatim dispositæ principem quendam locum obtinent, et jure quodam peculiari Ulpiani manum sibi vendicant. Hic libenter criticos rogarem, Bentleium puta hoc nomine jure suo celeberrimum, num codieum MSStorumque titulis atque ἐπιγραφαῖς pronam usquequaque implicitamque quæ vocatur fidem faciles accommodent, an de epigraphis ipsis ex iis quæ intus in scripto continentur, judicent? Primum illud, probe scio, pernegaverit acutissimus et doctissimus ille Bentleius. Aliter semetipsum conficeret, et sua Phalaridis epistolis adhuc staret auctoritas. Ad Valesium jam redeamus. Tu, Valesi, dixerit aliquis, hunc locum tanquam a recentioribus assutum rejicis. At quo auctore, quibus indiciis? Ea solum de causa, inquit ille, quoniam Ulpianus rhetor, cætera qui scripsit, ista scribere non potuit. 14
Bella sane responsio! Nimirum hoc dictum si valet, actum est de arte critica in libris dijudicandis et discriminandis.

§. 7. Ad alia jam deveniamus. In comm. ad orat. cont. Midiam habentur hæc. Χλανίδας δὲ καὶ κυμβία καὶ κάδους] Χλανίδας μὲν τὰς Μιλησίας· κυμβία δὲ εἶδος ἐκπωμάτων· Κάδοι, δὲ, γυναικεῖον ἀγγεῖον ᾧ χρῶνται πρὸς τὰς ἀρύσεις τῶν ὑδάτων, ἢ τὰς νῦν σίτλας. Wolfius. *Multitia et cymbia et cados*] *Per* χλανίδας *vestes intelligit Milesias,* κυμβία *sunt genus poculorum,* κάδοι *vasa muliebria, quibus utuntur ad excipiendam aquam, quas* (quæ) situlas nunc *vocamus.* Nostri igitur ætate bene notum fuit hoc σίτλας vocabulum, vasculumque ipsum communis fere usus et in ore omnibus. At veteribus lexicographis, quantum sciam, prorsus fuit incognitum, Polluci, Harpocrationi, Hesychio, Etymologico Magno, Suidæ, glossis Philoxeni Cyrilli et aliorum, veteri Onomastico apud Vulcanium, Phavorino demum qui ex veteribus sua omnia totidem verbis compilavit, locupletissimo. In primis quidem Julii Pollucis editionibus legebatur σίτλας lib. 5. segm. 97. Περὶ δὲ τοῖς ὠσὶν, ἔρματα, διόπας, ἐλλόβια, ἐνώτια, ἕλικας, ἑλικτῆρας, Σίτλας κατὰ τοὺς Αἰολέας, κατὰ δὲ τοὺς Δωριέας ἀρτίαλα. At viri doctissimi Henricum Stephanum secuti jampridem legendum ibi

monnerunt pro σίτλας Σίγλας. Atque id jure merito. Nam præterquam quod alienum prorsus locum occupat, si vasculum alicujus generis significaret (quid enim auribus cum poculis?) constat ἐνώτια quædam dicta fuisse σίγλας. Hesychius. Σίγλαι. ἐνώτια. Σίγλον. νόμισμα Περσικὸν δυνάμενον ὀκτὼ ὀβολοὺς Ἀττικοὺς, καὶ εἶδος ἐνωτίων. Claviculas etiam inaurium significabant.
15 Idem. Τὰς κατακλεῖδας τῶν ἐνωτίων σίγλας φασίν. Οἱ δὲ αὐτὰ τὰ ἐνώτια. Huc accedit, quod MSS. codices plurimi hanc lectionem exhibent testibus Kühnio et Jungermanno. Hinc satis apparet enarratorem nostrum veteribus lexicographis fuisse recentiorem; neutiquam enim, si usus et sermonis quotidiani ætate sua vox illa fuerat, omisissent tot onomastici. Præterea recensetur a Joanne Meursio in glossario suo Græco-Barbaro inter voces Græco-Barbaras, et a Latino verbo *situla* manifestissime difficta est. Alexander Trallianus primus vel inter primos videtur esse qui hoc vocabulum usurparit, sicut observatum dedit post Constantinum, et Meursium Cangius etiam eruditissimus. Hic autem professione medicus vixit temporibus Justiniani, i. e. circa A. C. 530. diu post Ulpianum rhetorem. Denique apud ecclesiasticos mediæ atque infimæ Græcitatis præcipue in usu fuit. Sic glossæ biblicæ MSS. apud Cangium. Κρατῆρες, αἱ σίτλαι, αἱ σκύφαι. Rursum Σκύφη, σίτλον. Aliæ habent σκύφον. Vita S. Theodori Syceotæ MS. ibid. Καὶ ἐρεννήσας ἐν Κωνσταντινουπόλει ὅτι ἀπὸ σίτλας ἦν τινὸς ἑταιρίδος, &c. Zacharias Papa in versione sua Græca dialogorum Gregorianorum lib. 1. cap. 1. ibid. Καὶ μετὰ σίτλας ξυλίνης καθὼς αὐτόθι ἔθος ἐστὶν, τὸ ἀνδράποδον εἰς τὴν πηγὴν εἰσῆλθε. Ubi Gregorius magnus habet *situlam ligneam*. Sic etiam eucholog. Goari in officio dedicat. templi. p. 833. Χύτραν, θερμηρὸν ἀγγεῖον, καὶ σίτλαν ἢ ἐπιχύτην. Rursus p. 844. Καὶ φέρεται σίτλα τοῦ ἁγίου βαπτίσματος πεπληρωμένη ὕδατος χλιαροῦ.

§. 8. Idem auctor ad Olynthiacam secundam hæc adnotat. Ἀγνωμόνως ἔχετε] Ἀγνώμονας λέγει τοὺς ἀνοήτους, κατὰ στέρησιν
16 τῆς γνώμης· οὐχ ὥσπερ νῦν Ἀγνώμονας καλοῦμεν τοὺς μὴ ἀποδίδοντας τὰ χρέα, ἤγουν τὰς ἀμοιβάς. Wolfius. *Incogitantes estis*] Ἀγνώμονας *dicit incogitantes, quasi privatos cogitatione. Non ut* nunc ἀγνώμονας *vocamus eos qui debita id est vicem non reddunt; hoc est ingratos.* Ex his scholiastæ verbis duo præcipue sunt observanda. Primo. Vocem Ἀγνώμων enarratoris temporibus diversum prorsus habuisse sensum ab illo quem olim tenuit.

secundo. Unam tantummodo significationem possedisse, sc. ὁ μὴ ἀποδιδοὺς τὰ χρέα. Videamus igitur quid antiquitus significabat ἀγνώμων. Significabat apud veteres quidem *iniquus, improbus, malus, infidus, inficiator*; hinc ἀγνωμονεῖν *improbe, mala fide agere,* ἀπομνύναι et ἀποστερεῖν, *depositum non reddere,* &c. Videndus est Budæus, qui hæc omnia, ut solet, fuse et accurate persequitur. Nihil horum itaque voluit enarrator, quum nihil esset novi, nihil interesset inter sua et Demosthenis tempora. Quid igitur? Longe aliud profecto, rarum admodum et peculiare, nec nisi sæculis posterioribus notum; nempe verbum juris, strictiori sensu definitum, quo qui se dignum reddidisset, ad judices rapiebatur, crimini pœnæque obnoxius. Id nos unice docent Glossæ Nomicæ Caroli Labbæi. Ubi hæc sunt in V. Ἀγωγή· Ἀγωγὴ λέγεται ἡ κίνησις τῆς ὑποθέσεως, ἀπὸ τοῦ ἄγειν τοὺς Ἀγνώμονας εἰς τὸ δικαστήριον. Iterum. Ἀγωγή ἐστι δίκαιον τοῦ ἀπαιτεῖν ἐν δικαστηρίῳ τὸ ὅθεν δήποτε χρεωστούμενον. Εἴρηται δὲ Ἀγωγὴ παρὰ τοῦ ἄγειν τοὺς ἀγνώμονος εἰς τὸ δικαστήριον [b]. Hic diligentissime notandum venit, respondere τὸ χρεωστούμενον in glossis 17
nomicis τῷ τὰ χρέα apud nostrum, et vocari eos τοὺς ἀγνώμονας qui illud χρεωστούμενον non reddiderunt, i. e. τοὺς μὴ ἀποδιδόντας, ut dicit noster. Frustra itaque est Wolfius qui subjungit *hoc est ingratos,* nam *ingratus* antiquitus etiam τὸ ἀγνώμων significabat, neque contra *ingratos* actio unquam juris competebat; quanquam in eo sane excusandus est error, quoniam Labbæi glossas nondum viderat. Glossæ autem hæ nomicæ ad libros Βασιλικῶν spectant, id utique agentes, ut Juris Græco-Romani Vocabula difficiliora et obscuriora dilucide interpretarentur. Ita scribit ipse Labbæus in epistola ad Augustum Thuanum. *Veteres jurisconsulti Græci tot glossas sive* Ῥωμαϊκῶν λέξεων συναγωγὰς *ad imperatoriarum constitutionum iis refertarum interpretationem et legum Romanarum intelligentiam sibi paraverunt, quæ quidem huc usque maximo studiosorum damno in Bibliothecarum pulvere sepultæ jacuerunt, sepultæ, inquam, integræ fuerunt, particulas enim aliquas eruerunt amplissimi doctissimique viri,* Alciatus, Cujacius, Brissonius, Pithœi, Fornerius: *nunc vero omnes*

[b] Ex his Labbæi Glossis emendandum est egregie nobilissimi Cangii *Glossarium mediæ et infimæ Græcitatis* v. Ἀγωγή. Ubi hæc leguntur in editis. Ἀγωγή, *actio,* ἡ κίνησις τῆς ὑποθέσεως παρὰ τὸ (pot. τοῦ) ἄγειν τοὺς ἀγομένους εἰς τὸ δικαστήριον. Gloss. Basil. Utcunque ea vel intellexit vel descripsit Cangius, legendum est omnino τοὺς ἀγνώμονας.

quas nancisci potui, a me collectæ et in unum corpus redactæ ac emaculatæ prodeunt in lucem Augustissimi nominis tui splendorem mutantes. De iisdem nuper Fabricius Biblioth. Græc. lib. iv. cap. 36. §. 2. *Vocabula forensia juris Attici veteris petere licet ex Harpocratione et virorum doctorum in illum commentariis——tum ex Gulielmi Budæi Commentariis Linguæ Græcæ. At in constitutiones imperatorum, quæ* Basilicorum *libris continentur et in alia monumenta juris Græco-Romani,* glossaria *varia ex codicibus MSS. regis Galliæ descripsit et ad calcem observa-*
18 *tionum atque emendationum in Synopsin Basilicon edidit* Carolus Labbæus Paris. 1606. *Eadem subjecta deinde etiam sunt glossariis Latino-Græcis et Græco-Latinis* Cyrilli, Philoxeni, et aliorum, *quæ post Henricum Stephanum longe auctiora magisque digesta et emendata ex* Labbæi *ejusdem recensione habemus excusa Parisiis* 1679. fol. Huc usque Fabricius Vir Ornatissimus. Sciendum porro est libros Βασιλικῶν a Basilio Macedone inchoatos, a Leone tandem sapiente ejus filio absolutos fuisse circa A. C. 886. Ita testatur post antiquos et recentiores plurimos Josephus Maria Suaresius in accuratissima sua Basilicorum notitia ad Urbanum VIII. Pontif. Max. *Libri* Βασιλικῶν *in sex* τεύχη *seu volumina distincti sunt indeque dicti* ἑξάβιβλος, *et in libros sexaginta subdivisi, indeque* ἑξηκοντάβιβλος *nuncupati. Imperator* Basilius Macedo primus *illis manum admovit, ut Cedrenus asserit; ideoque Leo Sophus eidem Basilio Patri suo libros hosce tribuit, Novella* LXXXI. *teste Cujacio* cap. 31. lib. 17. *Observat. Juris. Et plerique Basilium* βασιλικῶν *auctorem esse crediderunt, in quibus fuit et Franciscus Balduinus.* Et paulo infra. Leo philosophus *Basilio Patri succedens inchoatum ab eodem Basilio* Διατάξεων Βασιλικῶν *volumen perfecit, uti Cedrenus asserit, operaque sabbatii protospatharii* (*uti Matthæus Blastares tradit, ex eoque Antonius Augustinus in Bibliotheca libro de propr. Nomin.* π'. *et in* προλεγομένοις *ad Novellas*) *promulgavit.* ——*Anno a Virginis partu circiter* 886. *a Leone concinnatos fuisse Basilicorum libros* Michael Psellus, Michael Attaliota, Harmenopulus, Balsamon, Blastares, et Cujacius *summo consensu testantur.* Hæc Suaresius. Sed enim quisquis vocabula Nomica ex his libris Βασιλικῶν desumpserit, eaque proprie et
19 communiter usitata apud suos fuisse dixerit (quod ante tempora Βασιλικῶν dici non potuit) sæculum decimum ægre admodum superaverit.

§. 9. His accedat unum vel alterum Romanum quam Græcum referens. In commentariis ad orationem contra Timocratem hæc habet. Εἰ δέ τις ἀγορανόμος] ἔστι δ' ἀγορανόμος, ὁ ἐπόπτης τῶν ὠνίων τῆς ἀγορᾶς· Ἀστυνόμος δὲ ὁ ἐπὶ τοῦ εἶναι καθαρὰν τὴν πόλιν ἀσχολούμενος, ὁ παρ' ΗΜΙΝ Πατήρ. Wolfius. *Si quis ædilis*] *Est autem* ἀγοράνομος *inspector rerum venalium in foro.* Ἀστύνομος, *qui in eo occupatur ut urbs munda sit, qui* apud nos Πατὴρ *appellatur.* Hic enarrator plane et aperte nos docet τὸν Græcorum ἀστυνόμον in suorum civium lingua vel dialecto proprie vocari Πατέρα. Nam phrasis ista παρ' ἡμῖν propriam alicujus regionis dialectum domi natam non aliunde invectam significat. Sic Harpocration. Ἀνακαλυπτήρια, δῶρα διδόμενα ταῖς νύμφαις &c. ταῦτα δ' εἰσὶ παρ' ἡμῖν θεώρητρα. sc. in dialecto Alexandrina. Iterum. Ἰπνὸς, Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος πρώτῳ. μέρος τί (rectius τὶ) τῆς οἰκίας οὕτω καλεῖται, τὸ λεγόμενον παρ' ἡμῖν μαγειρεῖον. Hesychius. Θριδακίναι, εἶδος μάζης παρὰ Ἀττικοῖς. Καὶ αἱ παρ' ἡμῖν θρίδακες, ἤτοι μαϊσύλια. Eodem sensu. Innuit præterea noster apud suos vocem ἀστυνόμον vel non agnosci vel certe exolevisse. Primo vero in confesso est apud omnes, vocem πατὴρ pro curatore civitatis acceptam, puram putam esse Romanam. *Atheniensium* ἀστύνομοι, *Thebanorum Telearchæ, Romanorum* patres civitatum, *aut curatores reipublicæ non valde differunt inter se, sicut nec Atheniensium* ἀγορανόμοι, *et ædiles* 20 *Romanorum.*——*Multis in locis juris* (sc. Romani) ἀστυνόμοι (sc. Græcorum) patres *simpliciter vel* patres civitatum *vocantur.* ——*Curator reipublicæ* pater civitatis est vel Ἀστυνόμος.—— *Astynomi igitur—aliquando curatores reipublicæ, aliquando* patres civitatum *dicebantur.* Pauca hæc delibavimus ex Philippi Maussaci notis doctissimis in Harpocrationem p. 80. Qui plura voluerit, ipsum consulat auctoresque bene multos quæ laudantur ibid. Cæterum ex illis quæ protulimus constat vocem πατὴρ non aliunde venisse in Græcam linguam et locum Ἀστυνόμου quam ex legibus Romanis. 2do. Post Ulpiani Antiocheni tempora diu perdurasse vocis ἀστυνόμος usum apud Græcos, hinc liquet. Hesychius, Harpocration, Suidas, Etymologicum Magnum eam quam olim habuit significationem ipsi tribuunt, nulla τοῦ Πατρὸς explicatione addita. Deinde Philoxeni Glossæ satis demonstrant tam ἀγορανόμον quam ἀστυνόμον locum adhuc suum tenuisse. Glossæ Lat. Græc. *Ædilatus,* ἀστυνομία. *Ædiles,* ἀγορανόμοι. *Ædilis,* ἀγορανόμος, ἀγορονόμος. (Ubi forte pro

ἀγορονόμος legendum est ἀστυνόμος.) Gloss. Græc. Lat. Ἀστυνομία, *ædilatus*. Ἀστυνόμος, *jecorus*, quod quid velit, sane nescio. Si divinari liceat, *viocurus* legerem. Erat enim apud Romanos viarum curator, cujus officio respondebat aliquatenus ἡ ἀστυνομία Attica, dictus etiam *viocurus*. Varro de ling. Lat. lib. 4. *Quis enim non videt, unde arifodinæ et viocurrus?* Ita quidem in edit. Verum Dionysius Gothofredus recte monuit legendum esse *viocurus*. Et Josephus Scaliger quamvis ad locum illum Varronis nihil adnotet, postea tamen in conjectaneis suis pag. 64. viocuros per ædiles interpretatur. Alia
21 quædam de illis tradit Isaacus Cassaubonus in notis ad Ælium Spartianum p. 110, nomen vero retinuit. Adeoque neque violenta neque vero absimilis fuerit emendatio ista nostra, pro *jecoro* viocurus. 3tio. Persuasum prope me habeo verbum πατὴρ usque ad Justinianum multo magis Constantini Magni temporibus hospes in Græcia fuisse et vix fando auditum. Id suadet Papiniani J. C. celeberrimi liber Ἀστυνομικὸς dictus. Ibi munera et partes ἀστυνόμου fuse accurateque descripsit atque exposuit. Manibus Græcorum jurisconsultorum unicus assidue terebatur. Ex eo curas et negotia τοῦ ἀστυνόμου αὐθεντικῶς ediscebant. Illi denique supra alios omnes maximus et doctrinæ et auctoritatis cumulus accesserat. Quamobrem dum quotidie libellum hunc Papinianeum tanto studio ac honore Græci versarentur, vix, ut opinor, τὸν ἀστυνόμον, unde liber ipse nomen suum duxerat, in desuetudinem abiisse sivissent. Postea vero cum Justiniani ævo et jussu liber hic una cum aliis plurimis in Digesta mutilus transferretur, percrebrescens paulatim τοῦ πατρὸς vocabulum illud alterum τοῦ ἀστυνόμου antiquasse crediderim. Nostras porro conjecturas mire confirmat illustrissimus Cangius in Glossario supra memorato, ubi nobiscum ipse τὸ πατὴρ pro patre civitatis acceptum numerat inter voces *mediæ et infimæ Græcitatis*, neque ullum scriptorem Justiniano antiquiorem, apud quem extaret, indicavit.

§. 10. Similia sunt illa ejusdem ad orationem de *falsa legatione*. Ἰστέον δὲ ὅτι ἀριθμοῦσιν οἱ Ἀθηναῖοι ἕως τῶν δώδεκα ὡς ἡμεῖς, ὡς ἔχομεν τὴν χρῆσιν ἐν τῷ κατὰ Τιμοκράτους, ἐν οἷς λέγῃ, ἑνδέκατον, δωδέκατον τὸν νόμον εἰσήνεγκε τὸν τῶν Κρονίων. Εἶτα λοιπὸν οὐκ ἔτι ὁμοίως ἡμῖν, ἀλλὰ κατὰ προσθήκην ἀριθμοῦσιν.
22 Wolfius. *Sciendum autem est numerare Athenienses usque ad duodecim* ut nos, *cujus rei usum habemus in oratione Timocratea*

cum ait, Undecimo, duodecimo legem tulit Saturnaliorum. Deinceps non jam ut nos, sed cum additione *numerant.* In his ultimis eo dicit a suis discrepare Athenienses in numerorum ordinalium supputatione a duodecim usque ad viginti, quod illi *κατὰ προσθήκην* numerarent, sui non item. Hæc sane a nemine nisi Romano vel Romano-Græco proficisci unquam potuerunt. Nam Græci omnes in numeris ordinalibus a duodecim ad viginti *κατὰ προσθήκην* sive cum adjectione copulativæ *καὶ* numerabant. Exempla passim et ubique sunt obvia, sufficiant vero impræsentiarum illa quæ sequuntur. Henricus Stephanus ad calcem Thesauri sui Græci postquam notas numerorum Græcas veteres ex Herodiano produxerat, ex professo deinde agit ipse de nominibus ordinalibus, eaque ita recenset post *δωδέκατον, τρισκαιδέκατος, τεσσαρεσκαιδέκατος, πεντεκαιδέκατος, ἑκκαιδέκατος*, et similiter usque ad viginti. Priscianus in libro de Ponderibus. *Ex his* (sc. numeris cardinalibus) *nascuntur ordinalia nomina hæc, inæqualiter quidem quantum ad vocem* primus et secundus: *æqualiter vero,* tertius, et quartus &c. undecimus, duodecimus *ab* undecim et duodecim. *Nam reliqua—declinantur* contra consuetudinem Græcorum, *usque ad* nonum decimum: (sc. inclusive) *ut* tertiusdecimus, quartusdecimus, quintusdecimus &c. *Sic omnes sequentes, velut in primitivis ad imitationem* Græcorum *a vicesimo et supra majori minorem addunt numero plerumque:* ante decem vero minorem *ponunt, quando* composita *accipiuntur, et sub uno accentu proferuntur. Nam licet* dissoluta compositione, *diversis accentibus ea proferentes, mutare ordinem,* quomodo et apud Græcos, *et dicere,* decimus et septimus, *pro* septimusdecimus 23
&c. Hic itaque, ut opinor, manifesta est *αὐτοφωρία*; suam satis aperte gentem, patriam, et originem enarrator noster indigitavit; certo enim certius est Ulpianum illum veterem, rhetorem Antiochenum nihil istiusmodi unquam aut extulisse aut efferre potuisse.

§. 11. Idem ad orat. contra Timocratem. *Προσαγωγεῖ*] *ἀντὶ τοῦ δηλάτωρι.* In Romanis vocibus probe profecto noster est exercitatus, et Latinas formulas longe melius quam rhetor Ulpianus calluit. *Δηλάτωρ*, ut primo intuitu patet, Romanæ est tota originis, Romanæ significationis, usus etiam omnimodo Romani. Hinc Suidas. *Δηλάτωρ, ὁ κατήγορος· Δηλατωρίαι· παρὰ Ῥωμαίοις αἱ εἰσαγγελίαι.* Cedrenus in Julio. *Δηλάτορας, τοὺς διαβόλους καὶ συκοφάντας καλοῦσι Ῥωμαῖοι.* Præterea quis un-

quam veterum Græcorum Antiochenus ad Græcos etiam scribens vocabulum Græcum per Romanum interpretaretur? Hoc quidem aliud quid esset quam (quod absurdissimum certe foret) notum per ignotum exponere? Ulpianus proculdubio, si quidpiam adnotasset, dixisset vel *κατηγόρῳ* vel *εἰσαγγελεῖ*, hæc enim verba tum temporis longe notiora Græcis erant scriptoribus quam *δηλάτωρ*. Ejusdem prorsus generis et pretii sunt illa ad orat. de Corona. *Ἑπτακόσια στάδια*] *μίλια μη*. Hæc quidem in Aldina, Hervagiana et Wolfii editione prima desiderantur. Mutilo nimirum codice Aldus, Hervagius, et Wolfius usi sunt. Nam commentarii sicut ab his prodeunt Ulpianei vix ad dimidiam partem orationis de Corona pertingunt. Neque sane credibile cuivis fuerit enarratorem dimidium totum tam præclaræ orationis intactum reliquisse. At supplentur una cum aliis
24 plurimis ex codice Lutetiano et ex eo descripta comparent in editione Benenati per Morellum, et in Wolfii secunda inter accessiones. Hic autem noster similem calami sui lapsum patitur improvisus. Annon enim aliquid miri videretur, rhetorem Græcum ad Græcos scribentem *μέτρον ὁδοῦ* Græcum per Romanum exposuisse? Hæc, si quæ alias, indicia sunt *νοθείας* et fraudum maxime genuina.

§. 12. Alia sunt quæ Græcum rhetorem antiquum et orientis incolam minime sapiunt. Ad eandem Orat. de Corona. *Ἑκατομβαιῶνος*] *Μαρτίου*. *Μαιμακτηριῶνος δεκάτῃ φθίνοντος*] *Αὐγούστου τῇ κα*. *Ἐλαφηβολιῶνος*] *Νοεμβρίου*. *Βοηδρομιῶνος*] *Ἰουνίου*. *Θαργηλιῶνος*] *Ἀπριλλίου*. *Μηνὸς Μουνυχιῶνος ἕνῃ καὶ νέᾳ*] *Ἰανουαρίου Τριακοστῇ*. *Σκιρροφοριῶνος*] *Μαΐου*. Nihil necesse est ut in hoc loco de mensibus Atticis longam criticamque instituamus disputationem, cum Romanis eos ut conferamus, Scaligerique Petaviique cæterorumque chronologorum ratiocinia sententiasque eventilemus; satis sit impræsentiarum illud enarratori nostro veteri neque temere neque injuria vitio vertere, quod ubicunque per omnes suos commentarios mensium Atticorum mentionem facit, generaliter et absolute (sicut hic quoque factum videmus) Romanis eos nominibus designet. At hoc etiam contra Græcorum veterum, certe Asiaticorum consuetudinem. Epistola ecclesiæ Smyrnensis antiquissima de martyrio Beati Polycarpi. *Μαρτυρεῖ δὲ ὁ μακάριος Πολύκαρπος μηνὸς Ξανθικοῦ δευτέρᾳ ἱσταμένου, πρὸ ἑπτὰ καλανδῶν Μαΐων*. (Legendum est cum Siculorum Fastorum autore *Ἀπριλλίων*, uti jampridem monuit Usserius Armachanus.)

Hic, ut videtis, (nam Halloixius, qui hæc verba in dubium vocavit, non est audiendus, uti ostendit Usserius idem κριτικώτατος) calendæ Romanæ non solæ et simplices nominantur, sed præfixo 25
ab uno eodemque scriptore Macedonum mense Xanthico. Galenus apud Theodorum Gazæum de Mensibus cap. 5. Ἔστι μὲν ὡραιότατον τῆς ἐλάτης τὸ σπέρμα περὶ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου, ὅστις καιρὸς ἐν Ῥώμῃ ὁ καλούμενος μὲν (legere non dubitem μὴν *mensis*) Σεπτέμβριός ἐστι. Perrelius. *Est maturimum* (rectius, *maturissimum*) *tempestivissimumque abietis semen circiter Arcturi ortum, quod* tempus Romæ *Septembrem vocant*. Ita Cynulcus apud Athenæum lib. 3. Ὁ δ' αὐτὸς οὗτος σοφιστὴς Φεβρουαρίῳ μηνὶ ὡς Ῥωμαῖοι λέγουσι &c. Interpres. *Hic ipse sophista mense Februario* ut Romani *loquuntur*. Ita Eunapius. Ἡ τρίτη δὲ ἦν ἡμέρα τῶν καλανδῶν, ἃς οὕτως Ἰανουαρίας ἡμέρας Ῥωμαῖοι προσονομάζουσι. Interpres. *Tertius illuxerat dies a calendis Januariis, quas ita* Romani *nuncupant*. Euseb. Hist. Eccl. lib. 8. in appendice. Ἔτος τοῦτο ἦν ἐννεακαιδέκατον τῆς Διοκλητιάνου βασιλείας, Ξανθικὸς μὴν, ὃς λέγοιτ' ἂν Ἀπρίλλιος κατὰ Ῥωμαίους, &c. Valesio interprete. *Anno imperii Diocletiani nono ac decimo, mense Xanthico quem* Romani Aprilem *vocant* &c. Idem cap. 1. ibid. Δεσίου μηνὸς ὀγδόῃ, (sive ἑβδόμῃ ut vult Valesius) πρὸ ἑπτὰ εἰδῶν Ἰουνίων λέγοιτ' ἂν παρὰ Ῥωμαίοις. *Die octavo mensis Desii, hoc est* ut Romani dicunt *ante diem septimum idus Junias*. Cap. eod. sub fin. Δίου μηνὸς ἑπτακαιδεκάτῃ· αὕτη παρὰ Ῥωμαίοις ἡ πρὸ δεκαπέντε καλανδῶν Δεκεμβρίων. *Die septimo decimo mensis Dii, quod est* apud Romanos *ante diem* 15. *cal. Decembris*. Cap. 7. Δίου μηνὸς πέμπτῃ, κατὰ δὲ Ῥωμαίους νώνναις Νοεμβρίαις. Cap. 11.
Τῇ δ' ἑξῆς Περιτίου μηνὸς ἡμέρᾳ ἑκκαιδεκάτῃ, Μαρτίου κατὰ Ῥωμαίους 26
ἡ πρὸ δεκατεσσάρων καλανδῶν. *Postridie vero qui dies erat* 16, *mensis Peritii*, hoc est juxta Romanos *ante diem* 14. *calendas Martias*. Evagrius Hist. Eccl. lib. 4. cap. 9. Τούτῳ τῷ Ἰουστίνῳ ὄγδοον ἔτος τῆς βασιλείας ἄγοντι ἐννέα τε μῆνας πρὸς τρισὶν ἡμέραις, Ἰουστινιανὸς ἀδελφιδοῦς αὐτοῦ συμβασιλεύει, ἀναῤῥηθεὶς τῇ πρώτῃ τοῦ Ξανθικοῦ ἤγουν Ἀπριλλίου μηνὸς, &c. *Porro cum Justinus annum imperii octavum transegisset, ac præterea menses novem et dies tres, Justinianus sororis ejus filius una cum illo imperavit, Augustus nuncupatus die primo mensis Xanthici*, id est calendis Aprilis, &c. Ibid. Καὶ τούτων ὧδε προελθόντων Ἰουστῖνος μεθίσταται τῆς ἐντεῦθεν βασιλείας, ὑπελθὼν τὴν τέλειον ἡμέραν ἀνὰ τὴν πρώτην ἡμέραν τοῦ Λώου τοῦ καὶ Αὐγούστου μηνὸς, &c. *Quibus ita*

peractis Justinus ex hoc regno ad cœleste imperium migravit, fatali morte defunctus primo die mensis Loi id est calendis Augusti. Ibid. cap. 4. Φεύγει δ' οὖν (sc. Σεῦηρος) τὸν οἰκεῖον θρόνον ἀνὰ τὸν Γορπιαῖον μῆνα, ὃν Σεπτέμβριον ἡ Ῥωμαίων λέγει φωνή, &c. *Porro ex Antiochena sede fugit Severus mense Gorpiæo, quem* Romani *Septembrem vocant,* &c. Et cap. 5. Ἀνὰ τὸν Ἀρτεμίσιον μῆνα ἤτοι Μάϊον——βρασμὸς καὶ σεισμὸς ἐπελθόντες τῇ πόλει μικροῦ πᾶσαν ἀνατρέψαντες κατήγαγον. *Mensis Artemisii quem Maium* Romani *vocant——succussio et terræ motus urbi supervenientes, pæne universam prostraverunt.* Ita etiam Chronicon Casaubon. ap. Scalig. seu Antiochenum seu Constantinopolitanum. Ἔτους ιθ̄ Διοκλητιάνου βασιλείας——Δύστρου κε̄, λέγοιτο δ' ἂν Μάρτιος
27 κατὰ Ῥωμαίους. Iterum sub consulibus Οὐεννικίου καὶ Λογγίνου. Ἐν τῷ παρόντι ΕΦΛΗ ἔτει γενέσεως κόσμου ἀρχὴν εἰληφότι ἀπὸ κᾱ τοῦ κατὰ Ῥωμαίους Μαρτίου μηνός. Objici fortasse ex adverso possit clausula illa S. Ignatii Episcopi Antiochiæ antiquissimi in Epistola ad Romanos. Ἔγραψα δὲ ὑμῖν ταῦτα, τῇ πρὸ ἐννέα καλανδῶν Σεπτεμβρίου. Ita leguntur hæc verba tum in genuinis tum in interpolatis Ignatii epistolis, et apud Simeonem Metaphrastem veteremque interpretem Usserianum. Sed respondeo cum Usserio maximi apud eruditos omnes nominis viro, *ad Romanos scribentem, Romanis consueta temporum notatione uti quis rationi consentaneum esse non existimaverit?* Peculiaris nimirum hujusce formulæ apud hanc Ignatii epistolam ratio est habenda, neque ullo modo omnibus scriptoribus Asiaticis omni tempore adjudicanda. Ex his igitur atque aliis plurimis quæ proferri possint liquet scriptores Græcos orientales raro admodum Romana mensibus nomina indidisse, sed plerumque vel suis mensium nominibus Romana subjecisse, vel Romanis nominibus præfixisse voculas ἤτοι, ἤγουν, κατὰ Ῥωμαίους, ὅστις ἂν εἴη et alias id genus plures. Exempla posterioris generis aliqua jam dedimus. Prioris quamplurima sunt videnda in singulis fere paginis apud Chronicon Casaubon. Ita p. 291. Ἐπὶ τούτων τῶν ὑπάτων σεισμὸς ἐγένετο μέγας, ἑσπέρας, ἡμέρᾳ πρώτῃ μηνὶ Ξανθικῷ πρὸ ιβ̄ καλανδῶν Μαΐων. Iterum. Ἐπὶ τούτων τῶν ὑπάτων γέγονεν ἔκλειψις ἡλίου, μηνὶ Πανέμῳ, πρὸ ιδ̄ καλανδῶν Αὐγούστων. Iterum. Τῷ αὐτῷ ἔτει ἐδηλώθη νίκη κατὰ Περσῶν, μηνὶ Γορπιέῳ, πρὸ η̄ ἰδῶν Σεπτεμβρίων. Neque hoc mirum, namque menses Macedonici apud Asiaticos prope omnes in usu erant, Antiochenos nempe,
28 Pergamenos, Tyrios, Cæsarienses &c. Interea vero neutiquam

inficias iverim orientales ipsos aliquando menses per Romana simpliciter nomina extulisse. Hoc quidem non est negandum. Sic enim Epiphanius de Ponderibus et Mensuris cap. 20. Ἐφ' ὧν ἐτελεύτησεν ὁ Οὐαλεντινιανὸς ὁ νεώτερος, υἱὸς Οὐαλεντινιανοῦ τοῦ μεγάλου, εὑρεθεὶς ἄφνω ἐν τῷ Παλατίῳ πεπνιγμένος ὡς λόγος, ἐν εἰδοῖς Μαΐαις. Petavio interprete. *Quibus coss.* (sc. Arcadio 2, et Rufino) *mortuus est Valentinianus junior Valentiniani magni filius: qui subinde, uti ferunt, præfocatus in palatio repertus est,* idibus *Maii.* At paulo postea se corrigit præsul eruditissimus, his verbis. Ἦν δὲ κατ' Αἰγυπτίους τότε μηνὸς Παχὼν μία καὶ εἰκὰς, κατὰ δὲ Ἕλληνας Ἀρτεμισίου τρίτη καὶ εἰκὰς, κατὰ Ῥωμαίους δὲ πρὸ δεκαεπτὰ καλανδῶν Ἰουνίων. Petavius. *Erat tum apud Ægyptios mensis Pachon dies vicesima prima; juxta Græcos* Artemisii *mensis tertia et vicesima; secundum* Romanos *decimo septimo kalend. Junias.* Neque sane id in enarratore reprehenderim quod aliquando sed quod semper eos ita extulit. Atque hoc quidem in Ulpianum Antiochenum cadere potuisse vix unquam crediderim.

§. 13. Neque aptius ævum Ulpianeum sonat illud ad orat. *de falsa legatione.* Ἐν δὲ τοῖς ἀρχαιοτέροις βιβλίοις εὑρίσκεται τὸ πρόσωπον. *In codicibus autem antiquioribus invenitur* πρόσωπον. Per βιβλίοις voluit ἀντιγράφοις, *exemplaribus.* Ita enim apud veteres exemplaria reddi solebant. Demosth. Orat. contra Leptin. τῆς στήλης τὰ ἀντίγραφα. Auctor antiquissimus de LXX interp. ad Timocratem. δηλώσομεν δέ σοι περὶ τῆς κατασκευῆς, ὡς ἂν τὰ τῶν ἐπιστολῶν ἀντίγραφα διέλθωμεν. Philemon criticus vetustissimus mendas appellabat, inquit Casaubonus Præf. in 29
Athen. τὰς ἐν τοῖς ἀντιγράφοις ἐμμεμενηκυίας ἡμαρτημένας γραφάς. Origen. cont. Celsum, lib. 5. Κατὰ μὲν τὰ κοινὰ τῶν ἀντιγράφων. Idem in Joh. tom. 6. ed. Huet. Τὸ μέντοιγε ἡμαρτῆσθαι ἐν τοῖς Ἑλληνικοῖς ἀντιγράφοις τὰ περὶ τῶν ὀνομάτων πολλαχοῦ, καὶ ἀπὸ τούτων ἄν τις πεισθείη· ἐν τοῖς εὐαγγελίοις ἡ περὶ τοὺς ὑπὸ τῶν δαιμονίων κατακρημνιζομένους οἰκονομία &c. (Ita lego hæc ultima, non πεισθείη ἐν τοῖς εὐαγγελίοις· ἡ περὶ τοὺς &c. ut pessime in edit.) Ferrarius. *Peccatum equidem frequenter fuisse in Gentilium exemplaribus, indeque errata in Evangeliis translata facile quis credat.* Quam inepte, quam oscitanter! Totam periochen hic ut alibi sexcenties misere intervertit et corrumpit Ferrarius. Ita potius, ni fallor, refingi debuit. *Et subesse quidem Græcis exemplaribus mendas sæpenumero circa nomina, exinde etiam*

probari cuipiam possit. In evangeliis dispensatio illa circa porcos a dæmoniis e rupe præcipitatos &c. Ad rem redeamus. Eusebius Dem. Evang. lib. 8. Ὅθεν καὶ παρὰ τοῖς ἀκριβέσιν ἀντιγράφοις τῶν Ἑβδομήκοντα. *Unde et in exemplaribus LXX interpretum emendatissimis.* Socrates Hist. lib. 7. cap. 32. Αὐτίκα γοῦν ἠγνόησεν (Νεστόριος) ὅτι ἐν τῇ καθολικῇ Ἰωάννου γέγραπτο ἐν τοῖς παλαιοῖς ἀντιγράφοις &c. Valesius. *Primum itaque ignoravit* (Nestorius) *in catholica Joannis epistola ita scriptum esse in antiquis exemplaribus,* &c. Epiphanius Ancorato cap. 31. Ἀλλὰ καὶ, ἔκλαυσε, κεῖται ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ ἐν τοῖς ἀδιορθώτοις ἀντιγράφοις. Petavius. *Sed et, ploravit, ut in evangelii Lucæ exemplaribus non correctis legitur.* (Scio quidem virum optime de
30 Christiano et literario orbe meritum Joannem Millium aliter hæc verba Epiphanii et interpunxisse et intellexisse in Prolegomenis ad N. T. n. 798. Verum mihi locum hunc diu multumque versanti et expendenti aliud longe suadet contextus ipsius series, argumentum et scopus, sicut ostendere haud admodum refugerem si esset hujus loci. Illud vero Cl. Viro facillime et libentissime assentior, errare toto cœlo Grotium, cum ista quæ in hoc capite de orthodoxis refert Epiphanius, in præsides ecclesiasticos rejicienda esse judicaret.) Philoxeni glossæ Lat. Græc. *Exemplar,* ἀντίγραφον. Græco-Lat. ἀντίγραφον, *rescriptum, exemplum, exemplar.* Ita etiam passim scholiastæ vetustissimi in Pindarum et Apollonium Rhodium. Βίβλιον vero apud veteres diversum quid ab exemplari significabat, nempe epistolam. Suidas. Βιβλίον, ἐπιστολή. Βιβλίον etiam epistolas. Hesychius. Βιβλία, βυβλία, ἐπιστολαί. Pro libris etiam generaliter acceptis usurpabatur. Athenæus lib. 3. Καλλίμαχος ὁ γραμματικὸς τὸ μέγα βιβλίον ἴσον ἔλεγεν εἶναι τῷ μεγάλῳ κακῷ. Dalechampius. *Callimachus grammaticus dicere solebat magnum* librum *magno malo parem esse.* Glossæ Philoxeni Græc. Lat. Βιβλία, *libri.* Βιβλίον, *libellus, liber, codex.* His suffragium ferat etiam Julius Pollux in Onomastico lib. 10. cap. 14. Εἰ δὲ ——ἐπὶ τὴν πρὸς τὰ βιβλία συνουσίαν τις τράποιτο &c. Ubi liber in eo sensu longe longeque ab exemplari differt. De exemplaribus ita loquitur idem lib. 8. cap. 6. Τῶν δὲ δικαστικῶν ὀνομάτων, γραμματεῖα, διαμαρτυρίαι, διαθῆκαι, ἀντίγραφα.

§. 14. His breviter expositis, latius aliquanto diducendis nisi alio traherer impræsentiarum, coronidem imponant observa-
31 tiones aliæ duæ, verum diversi generis. Primi sit, argumenta

illa longiuscula quæ incerti auctoris nomine feruntur, ab eodem profecta fuisse, quo ipsi commentarii. Ad orationem *de falsa legatione* ait enarrator. Ἐπειδὴ, ὡς ἔγνωμεν, κατὰ σελήνην ἀριθμοῦσιν οἱ Ἀθηναῖοι. *Quoniam, sicut* antea notum fecimus, *lunæ cursum in computis suis sequuntur Athenienses.* Et ad Orat. cont. Timocratem. Πρυτάνεις δὲ τοὺς πεντήκοντα, οὓς εἴπομεν ἀεὶ προβαλλομένους ὑπὲρ (vel ὑπὸ) τῆς ἰδίας φυλῆς, καὶ πρυτανεύοντας τὸ μέρος αὐτοῦ (pro μέρος αὐτοῦ legendum velim μέρος αὐτῶν τοῦ, i. e. partem suam) ἐνιαυτοῦ. *Prytanes vero, viri quinquaginta quos* diximus *semper deligi solitos pro sua tribu, et munere fungi senatorio pro sua parte anni.* In prima pericope dicit se antea lectorem docuisse, menses Atheniensium ad lunæ cursum componi. Hoc vero nusquam docet nisi in argumento ad Orat. cont. Androtionem, his verbis. Ἰστέον ὅτι οὐκ ἐψήφιζον οἱ Ἀθηναῖοι τοὺς μῆνας κατὰ τὸν ἡλιακὸν δρόμον ὡς ἡμεῖς, ἀλλὰ κατὰ τὸν σεληνιακόν. Wolfius. *Sciendum, non supputatos esse* menses ab Atheniensibus ad solis, ut a nobis, *sed* ad lunæ *cursum.* Patet igitur ultro nostrum argumentum illud pro suo agnovisse. In pericope secunda monuisse se dicit singulam tribum elegisse pro se prytanes quinquaginta, et annum inter se magistratui gerundo distribuisse. Hoc quoque nusquam alias nisi in hoc argumento inveniendum est. Ἦρχον οὖν οἱ πεντακόσιοι, τὰς τριακοσίας πεντήκοντα ἡμέρας. Ἀλλ' ἐπειδὴ πολλοὶ ἦσαν, καὶ δυσχερῶς ἤννον τὰ πράγματα, διεῖλον ἑαυτοὺς εἰς δέκα μερίδας κατὰ τὰς φυλὰς, ἀνὰ πεντήκοντα. Τούτους γὰρ ἑκάστη φυλὴ προεβάλλετο. Wolfius. *Quingenti igitur illi trecentos quinquaginta dies in magistratu erant. Sed quia multi erant, et negotia non expedite* 32
succedebant, decuriarunt sese pro tribuum numero, ut singulæ decuriæ quinquagenos continerent. Hos enim unaquæque tribus designabat. Deinde paulo infra. Ἰστέον δ' ὅτι οἱ μὲν πεντήκοντα ἐκαλοῦντο πρυτάνεις. *Sciendum autem est, quinquagenos illos vocatos fuisse curiones.* Clarius profecto aliquid vix optares. Respondent enim quam exactissime τούτους γὰρ ἑκάστη φυλὴ προεβάλλετο istis supra citatis οὓς εἴπομεν ἀεὶ προβαλλομένους. Omnia autem argumenta illa anonyma ejusdem commatis et manus esse nemo est, credo, qui negaverit. Porro confirmatur idem ex alio loco. Is est in argumento ad Orat. πρὸς Λεπτίν. sub fin. Ἰτέον δὲ ἐπὶ τὴν μεταχείρισιν τοῦ λόγου. *Verum ad ipsius orationis expositionem transeundum est.* Hæc quidem absunt in editione Wolfii, at comparent in Morelliana quæ eam

secuta est. Neque ea cur rejicienda sint, video. Sed enim si revera pro genuinis accipiantur, non opus fuerit ut nos diutius illis immoremur, cum ipsa satis clament.

§. 15. Secunda sit, vitam illam Demosthenis brevem, qui Plutarcho inscribitur, non alii quam nostro esse tribuendam. En ipsum ad orat. cont. Timocratem. Καλλίστρατος δέ ἐστι ῥήτωρ, οὗ ζηλωτὴς ἐγένετο Δημοσθένης. Περὶ οὗ ἔφη ἐρωτηθεὶς ὁ Δημοσθένης, τίς ἀμείνων ῥήτωρ, σὺ ἢ Καλλίστρατος; ἐγὼ μὲν γραφόμενος, Καλλίστρατος δὲ ἀκουόμενος. Ἦν γὰρ ἐπιδεικτικὸς σφόδρα ὁ Καλλίστρατος. Ὅθεν καὶ ἀκούσας αὐτοῦ ἐπιδεικνυμένου ὁ Δημοσθένης, εἰς ἐπιθυμίαν ἦλθε λόγων, ὡς εἰρήκαμεν ἐν τῷ βιῷ αὐτοῦ. Wolfius. *Callistratus autem orator fuit, cujus admirator exstitit*
33 *Demosthenes, deque eo rogatus uter esset melior orator, ipsene an Callistratus? Ego, inquit, in scribendo; Callistratus in dicendo. Multum enim in declamando valuit Callistratus: quem cum declamantem vidisset Demosthenes, eloquentiæ cupiditate,* ut in vita ejus diximus, *est inflammatus.* Videamus nunc Demosthenis vitam quæ dicitur ex Plutarcho. Ὡς δὲ Ἡγησίας ὁ Μάγνης φησὶν, ἐδεήθη τοῦ παιδαγωγοῦ ἵνα Καλλιστράτου Ἐμπαίδου Ἀφιδναίου ῥήτορος δοκίμου καὶ ἱππαρχήσαντος καὶ ἀναθέντος τὸν βωμὸν τῷ Ἑρμῇ τῷ ἀγοραίῳ, μέλλοντος ἐν τῷ δήμῳ λέγειν ἀκούσῃ. Ἀκούσας δὲ ἐραστὴς ἐγένετο τῶν λόγων. Wolfius. *Ut autem Hegesias Magnes refert, pædagogum oravit ut Callistratum Empædum Aphidnæum probatum oratorem qui et magister fuit equitum, et Mercurio forensi aram dedicavit, quum is ad populum verba facturus esset, audire liceret:* eoque audito eloquentiæ amore *captus est.* Ad priora illa in Comment. ad Timocrat. hæc subnotat Wolfius. *Libanius et Plutarchus Callistrati actionis Oropiæ mentionem faciunt. Sed comparationis Callistrati et Demosthenis non meminerunt. Forsan et* Ulpianus *Demosthenis vitam descripsit.* (Dum Plutarchum laudat Wolfius, prolixiorem et limatiorem Demosthenis vitam, qui certe Plutarchi fœtus est, innuit, ab hac brevi de qua agimus longe diversam.) Mirum profecto est Wolfium cum hæc scriberet nullam vidisse inter enarratorem et βιόγραφον similitudinem, quum, ut aiunt, ovum ovo non est similius, quam ἀκούσας αὐτοῦ ἐπιδεικνυμένου ὁ Δημοσθένης εἰς ἐπιθυμίαν ἦλθε λόγων, illis ἀκούσας δὲ ἐραστὴς ἐγένετο τῶν λόγων. Ista me, fateor, (præsertim cum hanc vitam Demosthenis incerti esse auctoris et Plutarcho temere falsoque inscriptam consentiant pæne eruditi omnes) eandem utrobique

manum non modo cogunt libenter agnoscere, verum etiam paulo 34
constantius asserere.

Atque hæc tibi qualia qualia sunt pro tempore et ingenii nostri modulo, erudite lector, in manus do. Exilia quidem illa fortasse et imperita, juventutisque ut est ferventioris temeritatem referentia; spero tamen, haud prorsus injucunda. Neque interea eo unice spectare credas quæ legis ut commentarios tam insignes tam doctos atque utiles e manibus tuis excuterent. Extremæ quidem id esset dementiæ, et hominis, qui diligentiam tot virorum clarissimorum in evolvendis illis et elucubrandis ineptissime reprehenderet. Ipsi denique amico nostro et necessitudinis arctissimæ rationibus defuerim, si in eam ejus operam et industriam involarem, quam adeo felicem et eruditam in illis excolendis atque exornandis collocavit. Suus igitur illis, pseudulpianis licet, adhuc sit honos et auctoritas. Plures indies Casaubonos, Valesios, Petitos, Sigonios, Meursios, Pearsonios (quales Deus bone! et quantos viros!) exerceant. Absit profecto, ut quæ literati illi heroes etiam laudare non dedignantur, ea nos homunciones sciolique despicatui habere audeamus.

J. C.

Coll. Regal.
3. id. Novemb. 1730.

ΟΥΛΠΙΑΝΟΥ

ΟΥΛΠΙΑΝΟΥ ΡΗΤΟΡΟΣ

ΠΡΟΛΕΓΟΜΕΝΑ

ΕΙΣ ΤΟΥΣ ΟΛΥΝΘΙΑΚΟΥΣ

ΚΑΙ ΦΙΛΙΠΠΙΚΟΥΣ ΛΟΓΟΥΣ.

ΠΛΕΙΣΤΗΝ δοκοῦσιν ὁμοιότητα σώζειν οἱ Φιλιππικοὶ λόγοι πρὸς τὰς τοῦ Θουκυδίδου δημηγορίας. οὐ γὰρ μόνον τὰ κεφάλαια ἴδοι τις ἂν ἐν τοῖς λόγοις τούτοις συμπεπλεγμένα ὥσπερ ἐν ἐκείναις καὶ τὰς ἀντιθέσεις οὕτω μετακεχειρισμένας, ἀλλὰ καὶ πολλὰ τῶν νοημάτων παραπεφρασμένα. αὐτίκα τῶν Ὀλυνθιακῶν ὁ πρῶτος οὐ πρὸς μίαν, 5 ἀλλὰ καὶ πλείους ἔχει τὸν ζῆλον. ἔστι δ' ὅτε οὐχ ἕνα μόνον λόγον πρὸς μίαν ὅλην προάγει δημηγορίαν, ἀλλὰ καὶ ὅλον κεφάλαιον πρὸς ὅλον κεφάλαιον, καὶ κεφαλαίου δὲ μέρος πρὸς μέρος, πολλάκις δὲ καὶ πρὸς μέρη πλειόνων δημηγοριῶν κεφάλαιον ἕν. τό τε σύντομον τῶν λόγων ὅμοιον οὐδὲν ἧττόν ἐστι· καὶ τὸ ἀναγκαῖον δὲ πλεῖστον, ᾧπερ 10 ἐκεῖνος χρῆσθαι φιλεῖ. ἔστι δ' ὅτε καὶ τὰς ὑποθέσεις οὐχ ὑπὲρ τῶν προσώπων, οἷς συνίστασθαι βούλεται, φανερῶς ἐνδείκνυται ποιού-

2. τῶν addidi ex F.

τὰ κεφάλαια] κεφάλαια tria sunt, Exornationis, τὸ καλὸν, *honestum*: Suasionis, τὸ συμφέρον, *utile* sive *dignitas*: Judicii, τὸ δίκαιον ἢ νόμιμον, *Justum sive legitimum*. τὸ δυνατὸν καὶ ἀδύνατον, τὸ ῥᾴδιον καὶ ἀναγκαῖον, τὸ χαλεπὸν καὶ περιττὸν, communia sunt omnium generum, et partim ad facultatem, partim ad utilitatem referuntur: et quæ Aristoteles addit, μέγα, μικρὸν, ad amplificationem pertinent, ἀγαθὸν ad utile. Horum inter se comparationes et ipsæ sunt exaggerationis. WOLF.

3. τὰς ἀντιθέσεις] *Objectiones* sive *oppositiones*; utamur enim docendi causa his vocibus, ea quæ contra nos dicuntur, aut saltem cogitantur ab adversariis. Neque enim hic contentiones contrariorum, quæ contraposita vulgo dicunt, intelligendæ sunt. WOLF.

7. καὶ ὅλον κεφάλαιον] ὅλον om. F.V. καὶ κεφαλαίων P.

μενος, ἀλλ' ὑπὲρ αὐτῶν τῶν ἀκροατῶν, ὥσπερ ὁ Θουκυδίδης. τοιγάρτοι καὶ ὁ Λέσβιος καὶ ὁ Κερκυραῖος, ὁ μὲν πρὸς Ἀθηναίους καταφεύγων διὰ συμμαχίαν, ὁ δὲ ἀφιστάμενος πρὸς Λακεδαιμονίους, οὐχ ὑπὲρ ἑαυτῶν τοσοῦτον δοκοῦσι ποιεῖσθαι λόγον ὅσον ὑπὲρ τοῦ συμφέροντος τῶν ἀκροωμένων. καὶ ὁ Δημοσθένης δὲ τὸν πρῶτον τῶν Ὀλυν- 5
θιακῶν μεταχειριζόμενος οὐχ ὡς ὑπὲρ Ὀλυνθίων σπουδάζων προσποιεῖται λέγειν, ἀλλ' ὑπὲρ αὐτῶν τῶν ἀκροατῶν καὶ τοῦ συμφέροντος τῶν Ἀθηναίων. καὶ τὴν μεταχείρισιν φαίνεται ὁ Δημοσθένης ἐκ τῶν δύο δημηγοριῶν, ὡς ἔφην, εἰς ταύτην τὴν Ὀλυνθιακὴν μεταστήσας. προσεκτικώτερος γὰρ ὁ ἀκροατὴς γίνεται, ὅταν ὡς ὑπὲρ οἰκείων 10
ἀκούων καὶ τῶν αὐτῷ συμφερόντων συμβουλεύηται. ταύτῃ μὲν οὖν συγγένειαν πλείστην ὁ λόγος ἔχει πρὸς ἐκείνας τὰς δημηγορίας κατὰ τὴν μεταχείρισιν. οὔτε γὰρ τοσοῦτον οἱ Κερκυραῖοι οὔτε οἱ Λέσβιοι δοκοῦσι ποιεῖσθαι τὸν λόγον ὑπὲρ τοῦ οἰκείου συμφέροντος ὅσον ὑπὲρ τοῦ τῶν ἀκροωμένων· οὔτε μὴν ὁ Δημοσθένης συνιστάμενος ὡς ὑπὲρ 15
Ὀλυνθίων τὸν λόγον βούλεται ποιεῖσθαι δοκεῖν, ἀλλ' ὑπὲρ τοῦ κοινῇ συμφέροντος καὶ τοῦ μέλλοντος συνοίσειν τῇ πόλει. καὶ μὴν καὶ τὴν πρόοδον τῶν κεφαλαίων γεγενημένην εὑρήσεις κατὰ ζῆλον τῆς Κορινθίων δημηγορίας. καὶ γὰρ ἐν ἐκείνῃ βουλόμενος ὁ Θουκυδίδης παροξῦναι τὸν ἀκροατὴν οὐ τὴν δύναμιν αὔξει τῶν Ἀθηναίων, ἀλλὰ 20
τὴν προαίρεσιν αὐτῶν διαβάλλει καὶ τὴν γνώμην καὶ τὴν κακοήθειαν, μεθ' ἧς ἐν τοῖς Ἕλλησι πολιτεύονται· καὶ Δημοσθένης δὲ τὸ αὐτὸ τοῦτο ποιῶν πανταχοῦ τὴν φιλοπραγμοσύνην θρυλεῖ τὴν Φιλίππου καὶ τὸ σπουδαίως καὶ κατὰ καιρὸν ἀντιλαμβάνεσθαι τῶν πραγμάτων, οὔτε ταῖς δυνάμεσιν οὔτε τῇ ῥώμῃ περιτιθεὶς μέγεθος· ὥστε τὸ 25
κεφάλαιον τῷ κεφαλαίῳ πολλαχῶς παραπλήσιον εἶναι. καὶ μὴν καὶ τὸ ἀπὸ τοῦ καιροῦ παροξύνειν Θουκυδίδειον καὶ τῆς αὐτῆς δημηγο-

1. αὐτῶν om. F. Sed ὑπὲρ αὐτῶν τῶν ἀκροατῶν infra v. 7.

8. μεταχείρισιν hic et infra F.P. μεταχείρησιν V. Frequens in scholiis Demosthenicis et in rhetorum scriptis vocabulum μεταχείρισις, tractationem significans, sed in libris sæpissime in μεταχείρησις corruptum.

10. ὅταν ὡς ὑπὲρ οἰκείων ἀκούων] ὅταν ὑπὲρ οἰκείων ἀκούῃ F.

11. συμβουλεύηται] τὸ συμβουλεύεσθαι hic est ἀκροᾶσθαι συμβουλῆς καὶ μεταλαμβάνειν, παθητικῶς. WOLF.

13. τὴν] τινα libri. Correctum in marg. P.

17. τοῦ μέλλοντος συνοίσειν] Demosth. p. 9, 3.

23. θρυλεῖ] θρυλλεῖ libri hic et infra duplici λ.

τὴν Φιλίππου om. F.

27. τοῦ add. F.

ρίας. ἔχει δὲ πολλὴν ὁμοιότητα καὶ πρὸς δημηγορίας Ὁμηρικὰς ὁ λόγος, ἃς Ὀδυσσεὺς καὶ Νέστωρ ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ πρὸς τοὺς Ἀχαιοὺς ποιοῦνται, ὁ μὲν ἐπιτιμῶν ὅτι οὐκ ἀντέχονται τῶν πραγμάτων ἐρρωμένως καὶ ἀξιῶν χρῆσθαι ταῖς τῶν θεῶν εὐνοίαις, ὁ δὲ ὑπομιμνήσκων ὅρκων καὶ συνθηκῶν τοῖς Ἀτρείδαις, ὥσπερ καὶ οὗτος 5 " Νυνὶ γὰρ ὃ πάντες ἐθρύλουν, ὡς Ὀλυνθίους ἐκπολεμῶσαι δεῖ Φιλιπ- " πῳ" ὑπομιμνήσκων ὡς ἐπηγγείλαντο Ὀλυνθίοις βοήθειαν καὶ ὅπως τὸ παραβαίνειν τὰς ὑποσχέσεις αἰσχρόν. ἐν οἷς δέ τις ἐκείνων τῶν δημηγόρων ὑπομιμνήσκει τῶν παρὰ τῶν θεῶν ὑποσχέσεων καὶ τῶν συμβόλων καὶ τῶν οἰωνισμάτων, ἐν τούτοις ὅτι θεοὶ τοῦ Ἑλληνικοῦ 10 στρατοπέδου προεστήκασι συνίστησι· τοῦτό τοι καὶ Δημοσθένης πεποίηκεν ἐν τούτῳ τῷ λόγῳ, ὑπομιμνήσκων τῶν καιρῶν ἐκείνων καὶ τῶν προφάσεων ὧν παρέσχον πολλάκις οἱ θεοὶ τῇ πόλει, οἷον " Καί " μοι δοκεῖ τις, ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιος λογιστὴς τῶν παρὰ τῶν " θεῶν ἡμῖν ὑπηργμένων καταστάς" λέγων· ὥστε πῇ μὲν νουθετικὸν 15 καὶ ἐπιτιμητικόν, πῇ δὲ ὑποθετικόν, πῇ δὲ προτρεπτικὸν εἶναι τοῦτον τὸν λόγον, πρὸς τὰς Ὁμήρου καὶ Θουκυδίδου δημηγορίας μεμιμημένον.

Τριῶν δὲ ὄντων τῶν ἀντικειμένων αὐτῷ καὶ λυπούντων πρὸς τὴν παροῦσαν ὑπόθεσιν, ἑνὸς μὲν τοῦ μὴ οἰκεῖον εἶναι τὸν πόλεμον—τί 20 γὰρ προσήκει τῇ πόλει τῶν Ἀθηναίων ὁ πρὸς Ὀλυνθίους πόλεμος;—· δευτέρου δὲ τοῦ μηδὲ χρήματα ὑπάρχειν πρόχειρα τοῖς στρατευομένοις, τρίτου δὲ τοῦ ἰσχυρὸν εἶναι τὸν Φίλιππον, πρὸς ἑκάτερον ἐρρωμένως ἀντέστη, τὸ δὲ ἀνῄρηκε. τὸ μὲν γὰρ μὴ ἀλλότριον εἶναι τὸν πόλεμον, ἀλλὰ οἰκεῖον καὶ προσήκοντα τῇ πόλει, διχόθεν δείκνυσιν, 25 ἐξ ἑνὸς μὲν καὶ πρώτου, οὗ καὶ πεφύκασιν ἅπαντες ἡττᾶσθαι ἄνθρωποι, τῆς φιλοτιμίας λέγω καὶ τῆς ἡγεμονίας. δείκνυσι γὰρ τὸν ὑπὲρ Ὀλυνθίων ἐσόμενον πόλεμον ἀρχὴν ὄντα προστασίας Ἑλληνικῆς καὶ ἡγεμονίας, ἣν εἶχον πάλαι. καὶ γὰρ ἂν αὐτῶν γενέσθαι πάλιν

5. οὗτος] p. 10, 28.
6. δεῖ] δεῖν F.V.
8. αἰσχρόν addidit Wolfius. In marg. P. καὶ ὡς αἰσχρὸν τὸ π. τὰς ὑ.
9. δημηγόρων margo P. δημηγοριῶν libri.
12. πεποίηκεν ἐν τούτῳ] πεποίηκε τούτῳ F.
13. οἷον] p. 11, 29.
15. ἡμῖν F. ὑμῖν vulgo.
16. ἐπιτιμητικὸν Wolfius. ἐπιθυμητικὸν libri.
24. γὰρ add. P. om. F.V.
26. ἄνθρωποι add. F.P. om. V.
28. ὄντα addidit Wolfius.
29. ἣν εἶχον—] Hinc incipit T,

βραβεύειν τὰ Ἑλληνικά, εἰ τούτων ἀντιλάβοιντο τῶν πραγμάτων. καὶ ταῦτά φησιν ἐν οἷς λέγει "Ὁ μὲν οὖν παρὼν καιρὸς μονονουχὶ "λέγει φωνὴν ἀφιεὶς ὅτι τῶν πραγμάτων ἐκείνων ἀντιληπτέον ἡμῖν, "εἴπερ περὶ σωτηρίας αὐτῶν φροντίζετε." ἐπειδὴ γὰρ ὁ λόγος καὶ ἡ προτροπὴ μέγεθος ἔχει, περιέθηκε τῷ καιρῷ τὴν προτροπήν, οὗτός 5 ἐστιν ὁ καιρὸς ἐκεῖνος, λέγων, ὁ καλῶν ὑμᾶς καὶ διεγείρων ἐπὶ τὴν ἀνάκτησιν καὶ τὴν σωτηρίαν τῶν πραγμάτων ἐκείνων, εἰ φροντίζετε τῆς αὐτῶν σωτηρίας· τουτέστιν, εἰ μέλει τῇ πόλει τοῦ προεστάναι τῶν Ἑλλήνων, οὗτός ἐστιν ὁ καιρὸς ὁ διδοὺς πάλιν τὴν ἡγεμονίαν τῇ πόλει. ἐξ ἑτέρου δὲ ὃ περιέχει τὸ ἀναγκαῖον, δι' οὗ καὶ φόβον ἤδη 10 τοῖς ἀκούουσιν ἐργάζεται, συνιστὰς ἐξήκοντα ἂν ἐπὶ τὴν Ἀττικὴν Φίλιππον, εἰ μὴ Ὀλύνθιοι σώζοιντο, ὥστε αὐτοὺς φοβουμένους λοιπὸν τῶν πράξεων ἐρρωμένως ἀντέχεσθαι. ἑκατέρα δὲ τῶν ἀποδείξεων Θουκυδίδου, καὶ εἴληπται ἐκ τῆς Κορινθίων, ὡς ἔφην, δημηγορίας. καὶ γὰρ ἐπὶ προστασίαν τῶν Ἑλλήνων προάγει τοὺς Λακεδαιμονίους 15 ὁ Κορίνθιος καὶ φοβεῖ πάλιν οἷς δείκνυσιν ὁδῷ βαδίζοντας ἐπὶ τὴν Πελοπόννησον Ἀθηναίους· ὃ καλῶς ἄν τις εἴποι τὸ ἀναγκαῖον εἶναι. καὶ ταῦτα μὲν περὶ τοῦ οἰκεῖον εἶναι τῇ πόλει τὸν πόλεμον. τὸν δὲ περὶ τῶν χρημάτων λόγον ἐγύμνασεν ἐξ ἀντιθέσεως, συνιστὰς ὑπάρχειν ἱκανὰ τῇ πόλει, εἰ βούλοιντο λῦσαι τὸν νόμον, ὃν Εὔβουλος 20 ἔθηκεν. ἐν ᾧ καὶ θαυμάσειεν ἄν τις αὐτοῦ τὴν μεταχείρισιν καὶ τὸ ὑπερβάλλον τῆς δεινότητος. εἰδὼς γὰρ δυσχερέστατον εἶναι τὸν λόγον τοῖς ἀκούουσι καὶ οὐκ ἂν ἡδέως προσιεμένους ἄλλην ἀνάγκην αὐτοῖς ἐφίστησι μείζονα. φησὶ γὰρ δεῖν εἰσφέρειν ἕκαστον, οὐ τῶν

in quo folia priora desunt, ut in codice ei simillimo C. In T. versus primus ἦν εἶχον—τὰ Ἑλληνικά, εἰ legi nunc non potest quia chartæ lacinia obductus est folii laceri continendi caussa.

αὐτῶν (αὐτῷ C.) γενέσθαι] αὐτοῖς ἐγγενήσεσθαι margo P. Non attendit corrector ad ἄν particulam.

2. λέγει] p. 9, 10. ubi legitur ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστὶν, εἴπερ ὑπὲρ—.

οὖν om. F.V. Abscissum est in T: unde abest ab C.

8. προεστάναι vel προῖστασθαι Wolfius. Legebatur προϊστάναι.

15. προάγει, ut Wolfius correxerat, C. προσάγει F.T.V.

16. φοβεῖ] Libri φοβεῖται. φοβεῖ δὲ Wolfius. φοβεῖ αὐτοὺς P.

βαδίζοντας] βαδίσοντας margo P.

17. ὃ addidit Wolfius.

19. ἐγύμνασεν ἐξ ἀντιθέσεως] *Exercuit ex oppositione:* id est, præoccupatione tractavit. Demosthenes habet, περὶ δὲ χρημάτων πόρου; Quæ verba videntur esse adversarii. Tu duplicem parari jubes et magnum exercitum, cum a pecunia simus imparati. WOLF.

πλουσίων μόνον, ἀλλὰ καὶ πάντων ἁπλῶς, ἵν' εὐλαβούμενοι τὴν ἐκ τῶν οἰκείων εἰσφορὰν ἕλωνται τὸν νόμον ἐξαλεῖψαι, δι' ὃν δοκοῦσι μικρὰ κερδαίνειν. καὶ ἔστι τοῦτο τὸ μέρος περιεκτικὸν μέρους τοῦ δυνατοῦ τῶν Ἀθηναίων. καὶ ὃν τρόπον ἐν ταῖς κατασκευαῖς τοῦ προσήκειν αὐτοῖς τὸν πόλεμον μετέστησε τὸν φόβον ἐπ' αὐτούς, ἵνα 5 μὴ ὡς ὑπὲρ Ὀλυνθίων, ἀλλ' ὡς ὑπὲρ αὐτῶν βουλεύωνται, τοῦτον τὸν τρόπον κἀνταῦθα περιέστησεν αὐτοῖς φροντίδα, μὴ περὶ τοῦ δεῖν λαμβάνειν ἐκ τῶν κοινῶν, ἀλλ' ὅπως οἴσουσιν ἐκ τῶν οἰκείων, ἵνα δυοῖν αἱρέσεων προκειμένων, τοῦ τε μὴ λαμβάνειν μικρὰ καὶ τοῦ πρὸς τὴν χρείαν εἰσφέρειν, ἂν δέῃ, πολλὰ, ἕλωνται τῶν ἐλαττόνων ἀποστάντες 10 τὰ οἰκεῖα κερδαίνειν. καὶ ἔμοιγε δοκεῖ καὶ τὸν περὶ τῆς διπλῆς παρασκευῆς λόγον διὰ τοῦτο πεποιῆσθαι, οὐχ ἵνα δύο δυνάμεις ὄντως ἐξαποστείλωσι, τὴν μὲν ἐπὶ τὴν Μακεδονίαν, τὴν δὲ ἐπὶ τὴν Ὄλυνθον, ἀλλ' ἵνα φοβηθέντες τὴν ὑπερβολὴν τῶν ἀναλωμάτων, εἰ ἀνάγκη γένοιτο ἐκ τῶν οἰκείων εἰσφέρειν, πάσῃ γνώμῃ καὶ παντὶ τρόπῳ τῶν 15 θεωρικῶν ἀποστῶσι. τρίτον ἐστὶν ἓν ἔτι τῶν λυπούντων πρὸς τὴν ὑπόθεσιν. τοῦτο δὲ ἐστὶ τοῦ Φιλίππου τὸ δυνατόν. τοῦτο τοίνυν διέλυσε Θουκυδιδείῳ μεταχειρίσει, καθάπερ ἐκεῖνος ἐν ταῖς Σικελικαῖς δημηγορίαις καὶ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ. μὴ ἔχων γὰρ ἀρνεῖσθαι ὅτι ὁ Φίλιππος δύναμιν ἔχει, κατὰ μέρος αὐτὴν διελὼν καὶ 20 κατακερματίσας πρὸς μέρος, ἀσθενέστερον τῷ λόγῳ κατέστησε, τοὺς ἐφεστηκότας μὲν σκαιοὺς ταῖς γνώμαις δεικνὺς, τοὺς δὲ ἐπιβούλως διακειμένους, τοὺς δὲ ἀσθενεῖς ὑπάρχοντας φύσει· ὅπερ ἐκεῖνος ἐποίησεν ἐπὶ τῆς βασιλέως δυνάμεως.

Οὐ μὴν ὁμοίαις εἰσαγωγαῖς ἐχρήσατο ἐπὶ τῶν τριῶν τούτων, 25 ἅπερ ἔφαμεν ἀντικεῖσθαι αὐτῷ πρὸς τὴν ὑπόθεσιν, οὐδὲ κατὰ ἀντιθέσεις ἁπαντᾷ· ἀλλὰ τὸ μὲν πρῶτον, δι' οὗ κατασκευάζει οἰκεῖον εἶναι τὸν πόλεμον, ὡς προηγούμενον. οὗ προελθόντος καὶ προκεχωρηκυιῶν ἤδη τῶν κατασκευῶν, λεληθότως τῆς ἀντιθέσεως καὶ ἀνυπόπτως μνήμην πεποίηται. μετὰ γὰρ τὸ πολλάκις ἀποδείξεις ποιήσασθαι 30

3. τὸ add. C. et Wolfius: om. F.T.V.

6. Alterum ὡς add. P.

22. ταῖς γνώμαις] τὰς γνώμας margo P.

28. προελθόντος καὶ προκεχωρηκυιῶν margo P. προσελθόντος καὶ προσκεχωρηκυιῶν libri.

29. κατασκευῶν F.T. et γρ. P. σπουδῶν V. unde Wolfius σπουδῶν, quod est in C.

30. πολλάκις] πολλὰς Wolfius.

τοῦ δεῖν τῶν πραγμάτων ἀντέχεσθαι ἐπήγαγε "Νῦν γὰρ ὃ πάντες "ἐθρύλουν ὡς Ὀλυνθίους ἐκπολεμῶσαι δεῖ." ὃ δοκεῖ ὥσπερ ἀναίρεσιν ἐργάζεσθαι τῆς ἀντιθέσεως. τίς γὰρ ἂν τολμήσειεν ἀλλότριον ἔτι φάσκειν εἶναι τὸν πόλεμον ὃν οὗτοι πολλάκις κατασκευάζειν ᾑροῦντο; σύνηθες δὲ αὐτῷ τοῦτο ποιεῖν, κρύπτειν μὲν τὰς ἀρχὰς, ἐκ δὲ τοῦ 5 τέλους ἄρχεσθαι, ἐν οἷς συναρπάζειν βούλεται τοὺς ἀκούοντας, ὡς ὑπὲρ ὁμολογουμένων. οὐ γὰρ ἦν ὅμοιον εὐθὺς μάχεσθαι πρὸς ἀμφισβητούμενον καὶ ὡς ὑπὲρ ὁμολογουμένων προτρέπειν, ἄλλως τε καὶ τοῦ ἀναγκαίου δεικνύντος τὸν ἐσόμενον κίνδυνον, εἰ ῥᾳθυμήσαιεν. τοῦτο μὲν οὖν ἐστὶ τὸ πρῶτον μέρος τῶν κεφαλαίων. τὸ δὲ δεύτερον, 10 ὅπερ ἔχει τὸν περὶ τῶν χρημάτων λόγον, ἐξ ἀντιθέσεως εἰσήγαγε, "περὶ δὲ χρημάτων πόρου" λέγων, ἀλλὰ πόθεν ἕξομεν χρήματα; ὃ καὶ αὐτῷ χαλεπώτατον εἶναι δοκοῦν μετὰ κατασκευῆς προοιμιακῆς εἰσήγαγε, προθεραπεύσας ἑαυτῷ τὸν ἀκροατὴν καὶ προεπαγγελλόμενος κατορθώσειν αὐτοὺς ἅπαντα, εἰ μόνον πεισθεῖεν αὐτῷ. τὸ δὲ τρίτον ἐξ 15 ἀντιθέσεως φανερῶς καὶ λαμπρῶς εἰσηγμένης. ἔστι τοίνυν τὰ ἀνωτάτω κεφάλαια τοῦ λόγου δύο, τὸ συμφέρον καὶ τὸ δυνατόν. κατασκευάζει δὲ διὰ μὲν τοῦ συμφέροντος τὸ μήτε ἀλλότριον εἶναι τὸν πόλεμον μήτε ὑπὲρ μικρῶν. τῷ μὲν γὰρ δοκεῖν ἐπὶ Θρᾴκης ἔσται, τῇ δὲ ἀληθείᾳ ὑπὲρ αὐτῆς Ἀττικῆς, ὑπὲρ αὐτῶν Ἀθηναίων, ὑπὲρ δόξης, ὑπὲρ φιλοτιμίας. 20 τοῦτο δὲ ποικίλως κατεσκεύασεν, οὐ μόνον ἐκ τῶν ἐνδόξων καὶ προτρεπτικῶν, ἀλλὰ καὶ ἐκ τῶν ἀντικειμένων, δεικνὺς ὅση αἰσχύνη καὶ ὅσον ὄνειδος περιέσται τῇ πόλει, εἰ περιϊδοῦσα τοῦτον τὸν πόλεμον ὑπὲρ τῶν οἰκείων καὶ ὑπὲρ τῆς χώρας αὐτῆς κινδυνεύσειεν. εἶτα καὶ ἐκ τοῦ ζήλου τοῦ πρὸς τὸν πολέμιον, ὡς αἰσχρὸν ἐκεῖνον μὲν διὰ φιλοπονίαν 25 ἅπαντα κατορθοῦν, Ἀθηναίους δὲ, καὶ ταῦτα τοὺς θεοὺς ἔχοντας καὶ τὴν τύχην συναιρομένην, μηδὲν ἄξιον μήθ' ἑαυτῶν μήτε τῶν κρειττόνων

2. δεῖ] δεῖν F.C.V.
6. συναρπάζειν Wolfius. ἐναρπάζειν libri. ἀναρπάζειν margo P.
13. αὐτῷ Wolfius. αὐτὸ libri.
14. προεπαγγελλόμενος C. προσπαγγελλόμενος vulgo.
17. δύο F.C. δύω vulgo.
τὸ alterum add. C.
19. τῇ] τὸ F.
22. ὅση αἰσχύνη Wolfius. ὅσην αἰσχύνην libri: unde margo P. περιστήσεται pro περιέσται, addito etiam γρ. περιγενήσεται. Quorum prius ductum ex annotatione Wolfii "ὅσην αἰσχύνην locum non habet, ni "subintelligas: ὅσην αἰσχύνην ὁ Φί-"λιππος περιστήσεται τῇ πόλει. Re-"liqua duo verba nominativos po-"stulant."
27. συναιρομένην] συναιρουμένην F. et, deleto ν, T.

διαπράττεσθαι. ταῦτα μὲν τοῦ συμφέροντος. τὸ δὲ δυνατὸν ἐφ' ἑκάτερα τὴν ἐργασίαν ἔχει. καὶ γὰρ τὸ οἰκεῖον ἐζήτασε καὶ τὸ τῶν πολεμίων. ἀλλὰ τὸ μὲν οἰκεῖον, ὡς ἂν ὑπάρξειε καὶ πόθεν τὰ χρήματα· δηλονότι ὁμολογουμένων μὲν ὁπλιτῶν, ὁμολογουμένων δὲ ἱππέων, αὐταρκούσης δὲ καὶ τῆς Ὀλυνθίων μετὰ τῆς Ἀθηναίων δυνάμεως. 5 διόπερ καὶ ὁ περὶ τούτων ὡς ὁμολογουμένων παρείληπται λόγος. τὸ δὲ τοῦ Φιλίππου ἔλυσε δυνατὸν, ἀποδείξας σαθρὸν ὑπάρχον διὰ πολλὰς καὶ μεγάλας αἰτίας, αἳ σημαίνονται διὰ τῶν καθ' ἕκαστον.

Ἀναγκαῖον δέ ἐστιν ἀναλαβόντα διελέσθαι τὸν λόγον καὶ δεῖξαι ὃν τρόπον αὐτῷ προῆκται. οὐκοῦν ἐν μὲν τῷ προτέρῳ προοιμίῳ δῆλός 10 ἐστι καὶ τὸ κατὰ τὰ χρήματα διοικούμενος ὅθεν ἕξουσιν οἱ στρατιῶται. καὶ εἴωθε τοῦτο ποιεῖν τοῦ συναρπάζειν τὸν ἀκροατὴν, τὰ δεύτερα πρὸ τῶν προηγουμένων εἰσάγων. ὡς γὰρ ὁμολογουμένου τοῦ ὅτι ὑπὲρ αὐτῶν ἔσται ὁ πόλεμος, οὕτω τὸν περὶ τῶν χρημάτων ποιεῖται λόγον. καίτοι γε πρότερον ἀποδειχθῆναι ἔδει πότερόν ποτε οἰκεῖος αὐτῶν ὁ 15 πόλεμος, πότερον οὐκ οἰκεῖος. ὁ δὲ τοῦτο ὥσπερ ὁμολογούμενον συναρπάσας ἀπὸ τῶν δευτέρων ἄρχεται. τοῦτο δὲ πεποίηκε καὶ ἐν τῷ περὶ τοῦ στεφάνου λόγῳ. μηδέπω γὰρ συστήσας πότερον αὐτὸν ἢ Κτησιφῶντα ἀπολογήσασθαι δεῖ, συναρπάσας τοῦτο ὡς ὁμολογούμενον ἀξιοῖ τοὺς ἀκούοντας ἐπιτρέπειν αὐτῷ καθ' ἣν βούλεται τάξιν 20 προάγειν τὸν λόγον. τὸ δὲ δεύτερον μέρος τοῦ αὐτοῦ προοιμίου λεληθυῖαν ἔχει τὴν ἔνδειξιν τοῦ πεποιθέναι τοῖς λογισμοῖς, καὶ ὅτι οὐδεὶς βελτίονα εἰσηγήσεται. ἡ γὰρ εἰς ἅπαντας τοὺς ῥήτορας πρόκλησις θαρροῦντός ἐστι καὶ πεποιθότος τῷ σκέμματι, δι' οὗ προαποκρούεται τοὺς περὶ τῶν χρημάτων ἀντικειμένους λόγους. ἅπασα γὰρ ἡ ἔννοια 25 ἡ περὶ τῆς προκλήσεως τῶν ῥητόρων ἐπὶ τὸν περὶ τῶν χρημάτων λόγον ἔχει τὴν ἀναφοράν· ὥστε τὸ μὲν πρότερον προοίμιον τοῦ συμφέροντος ἅμα καὶ τοῦ δυνατοῦ εἶναι, τῆς μὲν προτέρας ἐννοίας ἐμφανιζούσης τὴν τῶν χρημάτων χρείαν, τῆς δὲ δευτέρας ἀντιπροκαλουμένης ἤν τις ἔχῃ λέγειν βελτίονα πόρον. τὸ δὲ δεύτερον προοιμιον 30 ἐνδεικτικὸν μὲν τοῦ συμφέροντος—ἀπὸ γὰρ τοῦ ἐνδόξου εἴληπται

5. αὐταρκούσης—Ἀθηναίων F.T. et, omisso καὶ τῆς, margo P. αὐτάρκους δὲ οὔσης καὶ τῆς Ἀθηναίων καὶ αὖ τῆς Ὀλυνθίων vulgo, consentiente C.

6. παρείληπται vel παραλέλειπται Wolfius: περιείληπται libri.

12. τοῦ addidit Wolfius.

21. προάγειν] ἄγειν C, non T.

καὶ ἔχει τὴν περὶ τῆς ἡγεμονίας ἔννοιαν, ὅτι τῶν Ἑλλήνων αὐτοὺς προστατεῖν δεῖ καὶ ἀντιλαμβάνεσθαι τῆς ἡγεμονίας καὶ ἀνακτᾶσθαι πάλιν προαπολωλυῖαν—, ἐνδεικτικὸν δὲ οὐδὲν ἧττον καὶ τοῦ δυνατοῦ ἂν εἴη μέρους. οὐκοῦν πρὸς τὴν φύσιν τῶν κεφαλαίων ἑκάτερον ἂν εἴη τῶν προοιμίων μικτόν, ἐπεὶ καὶ μικτὴ τῶν κεφαλαίων ἡ φύσις. τὰ δὲ 5 ἐντεῦθεν λοιπὸν εἰσβολὴν εἰς τὸ δυνατὸν ἔχει, "ἔστι δὴ τά γ' ἐμοὶ "δοκοῦντα," λαβόντα ἐντεῦθεν τὴν ἀρχήν. πρὸ γὰρ τοῦ τὸ συμφέρον φανερῶς κατασκευάσαι καὶ ἀποδεῖξαι τὸν πόλεμον ὄντα οἰκεῖον προϋπέβαλε τὸν περὶ τοῦ δυνατοῦ λόγον, ἵν' ὥσπερ ἐφ' ὁμολογουμένοις τὸ τῆς συμβουλῆς συμπεραίνηται. οὐ γὰρ εἰ συμφέρει βοηθεῖν ἢ μὴ ἡ 10 πρώτη ζήτησίς ἐστιν, ὥσπερ οὖν κατὰ φύσιν ἦν, ἀλλὰ περὶ τοῦ πότερον πολιτικῇ δυνάμει χρηστέον, ἢ ξενικοῖς στρατεύμασι. καὶ δέδωκε καθόλου μέθοδον τοῦ συναρπάζειν ἀεὶ τὸν ἀκροατὴν ἐν τοῖς κατεπείγουσι, καὶ μὴ περὶ τῶν πρώτων τῇ δυνάμει ποιεῖσθαι τὴν ζήτησιν, ἀλλὰ περὶ τῶν δευτέρων πολλάκις, ὡς τῶν μὲν ὁμολογου- 15 μένων, τῶν δ' ἀμφισβήτησιν ἐπιδεχομένων ἔτι. οὐ μὴν ἀπολείπεται τοῦ κατασκευάζειν καὶ αὐτὸ τὸ προηγούμενον· ἀλλ' ὅταν προκαταλάβῃ τε τὸν ἀκροατὴν καὶ ἀναδεδεγμένον τὴν ὑπόθεσιν ἴδῃ, τότε καὶ περὶ τῶν τῇ μὲν φύσει προηγουμένων, τῇ δὲ τάξει δευτέρων πείθειν ἐπιχειρεῖ, οὐχ οὕτως διδάσκων μέντοι ὡς αἰτιώμενος ἢ νουθετῶν, καὶ 20 ὅλως τοιαύταις μεταχειρίσεσι κατ' αὐτῶν ἀεὶ χρώμενος· ὅπερ κἀνταῦθα πεποίηκεν. ἐνίσταται δὲ εὐθὺς ἐξ ἀρχῆς πρὸς ἀντίθεσιν. ἐπειδὴ γὰρ δέδοικε μὴ ξενικῷ πάλιν ἡ πόλις χρήσηται καὶ ἐπί τινα συνήθη παραμυθίαν δράμῃ, δι' ἣν ἀπολώλεσαν καὶ οἱ σύμμαχοι, ὑποτέμνεται τὴν ἀντίθεσιν, ἀξιῶν βοήθειαν πέμπειν ἐκ τῆς πόλεως. εἶτα τούτου 25 τοῦ μέρους ἀπαλλαγεὶς ἐπισυνῆψεν εὐθὺς τὸ πρεσβείαν πέμπειν

1. τῶν F.C. τὰ τῶν T.V.
2. τῆς] τὰς F.
3. προαπολωλυῖαν] ἀπολωλυῖαν F.
13. τοῦ om. F.C.V.
14. τῇ om. V.
17. προκαταλάβῃ τε Wolfius: προκαταλάβηται libri. προκαταλάβῃ margo P.
18. ἀναδεδεγμένον C. Legebatur ἀναδεδειγμένην. ἀναδεδειγμένον T. Sensit vitium, sed male correxit qui in marg. P. posuit ἀποδεδειγμένην.
19. τῇ φύσει προηγουμένων (καὶ add. C.) τῇ τάξει δεύτερον libri. Correxit Wolfius.
20. οὕτως] ὡς margo P.
ὡς Wolfius. ἀλλ' ὡς libri.
21. ὅπερ] ὥσπερ C.
23. χρήσηται—δράμῃ] χρήσεται—λάβῃ C.
24. ἀπολώλεσαν] ἀπολώλεισαν F.C.

πρὸς Ὀλυνθίους καὶ συμμαχίαν αὐτοῖς ἐπαγγέλλεσθαι. καὶ ἄξιον ἐπισημήνασθαι παρ' ὅλην τὴν ὑπόθεσιν, τῶν πρὸ ἡμῶν ἐξηγησαμένων εἰπόντων ἁπάντων σχεδὸν πρεσβείαν· ἀλλὰ τοὐναντίον αὐτὸς φαίνεται πρεσβείαν ἀξιῶν ἐκπέμπειν, καὶ τὴν αἰτίαν ἀποδιδοὺς δι' ἣν ἀναγκαῖον ἤδη πρεσβεύεσθαι, τὸ δύνασθαι τὸν Φίλιππον ἐξαπατῆσαι καὶ παρα- 5 σπάσασθαί τι τῶν πραγμάτων σκήπτεται. οἰηθείη μὲν οὖν ἄν τις τοῦτο τοῦ συμφέροντος εἶναι, τὸ δεῖν πρεσβείαν ἐκπέμπειν. ὅτι γὰρ συμφέρει πρεσβεύεσθαι κατασκευάζει. καὶ οὐκ ἂν ἁμάρτοι τις λέγων ἐντεῦθεν εἶναι τὴν εἰσαγωγὴν τοῦ συμφέροντος, ὡς πρὸς τὴν ἀντίθεσιν, ἣ μετὰ μικρὸν δειχθήσεται. αἱ μέντοι γε αἰτίαι σύμπασαι καὶ 10 κατασκευαὶ τοῦ δυνατοῦ ἂν εἶεν. ποιεῖ δὲ τοῦτο καὶ Θουκυδίδης, συμπλέκων πανταχοῦ τὰ κεφάλαια. καὶ τοῦτο εὑρήσεις ἐν τούτῳ τῷ λόγῳ. τὰς γὰρ αὐτὰς ἐννοίας καὶ τοῦ συμφέροντος καὶ τοῦ δυνατοῦ εἴποις ἂν εἶναι. θαυμάσαι δὲ ἄξιον τῆς δεινότητος, ὅτι φόβον τινὰ θαυμάσιον περιίστησι τοῖς ἀκούουσι, τὸν τρόπον διεξιὼν τοῦ Μακε- 15 δόνος καὶ οὐ τὴν ῥώμην, τοῦ μὴ παρασκευάζειν αὐτοὺς ἀπαγορεύειν πρὸς τὰς πράξεις ἐκ τῆς ὑπερβολῆς τῶν φόβων, ἀλλὰ τοῦ προτρέπειν καὶ κινεῖν ἐπὶ τὸν ὅμοιον ζῆλον. εἶτα δι' ὧν φοβεῖ, διὰ τούτων καὶ παραμυθεῖται πάλιν, εὐφώρατον ἀποδεικνὺς τὸν τρόπον τοῦ Μακεδόνος, καὶ ταύτῃ μὴ ἂν ἔτι ταῖς ἀπάταις ἁλωσόμενον τὸν Ὀλύνθιον· 20 ὃ ποιεῖ καὶ Θουκυδίδης ἐν τῇ Κορινθίων δημηγορίᾳ. ἐν οἷς γὰρ ἐπιτιμᾷ, ἐν τούτοις ἐπαινεῖ πάλιν, καὶ παραμίγνυσι ταῖς μέμψεσι τὸ ἐγκώμιον, καὶ φοβεῖ καὶ προτρέπει καὶ ἐπαινεῖ καὶ μέμφεται, διὰ τῶν ἐναντίων τὴν δημηγορίαν προτάσσων. εἶθ' ὥσπερ ἀπαλλαγεὶς τῶν ἐκ τοῦ Φιλίππου φόβων εἰς τοὺς αὐτοὺς πάλιν ἐπάνεισι· συμφέρει 25 γὰρ μὴ ταχέως ἀπαλλάξαι τὸν ἀκροατὴν τῶν φόβων. ταῦτα δὲ ποιεῖ συνεχῶς καὶ ὁ Κορίνθιος πρὸς τὸν Λακεδαιμόνιον. φοβούσης δὲ αὐτὸν

3. εἰπόντων ἁπάντων σχεδὸν πρεσβείαν] Mutilus hic locus est. Quid si legas? ἀπειπόντων, cum negent verba fieri de legatione, aut, εἰπόντων ὅτι μὴ κελεύει πέμπειν πρεσβείαν; Quod si eadem scriptura, quæ nobis est, illis quoque fuit, quomodo id negarunt, cum expressis verbis scriptum sit, πρεσβείαν δὲ πέμπειν? Sed quid ad nos αἱ σοφιστικαὶ φιλονεικίαι; Disceptent ipsi suas controversias. WOLF.

αὐτὸς Wolfius. αὐτὸ libri.

5. τὸ] τῷ Wolfius.

6. σκήπτεται] σκηπτόμενος Wolfius.

8. πρεσβεύεσθαι F.C. marg. P. πρεσβεῦσαι vulgo.

14. εἴποις C. εἴπῃς vulgo. εἴπερ F. εἶναι] εἶεν F.

16. τοῦ Wolfius. μετὰ τοῦ libri.

17. τοῦ Wolfius. μετὰ τοῦ hic quoque libri.

καὶ τῆς τῶν ἀκροατῶν ῥᾳθυμίας, πανταχοῦ τὸν καιρὸν προβάλλεται, ὅσπερ ἐστὶ τόπος τοῦ δυνατοῦ προτρεπτικὸς, μηδεμίαν αὐτοῖς ἄνεσιν ἐνδιδοὺς, μηδὲ ῥᾳστώνης καιρὸν, καὶ τὸν αὐτὸν τρόπον ἀξιῶν τῶν πραγμάτων προστατεῖν, ὅνπερ ὁρῶσι καὶ τὸν Φίλιππον, τῶν αὐτῶν καταρχόμενον, τῷ συμφέροντι συμπλέκων τὸ δυνατόν. ταῦτα γὰρ 5 ἅπαντα ὄντα τοῦ συμφέροντος οὐδὲν ἧττόν ἐστι τοῦ δυνατοῦ. οὐδαμοῦ δὲ ἐν τούτοις ἐκείνην ὁρῶ τὴν ἀντίθεσιν, ἣν εἰώθασι θρυλεῖν ἅπαντες, ἀλλὰ ἄπιστοι γεγόνασι περὶ τὴν πόλιν Ὀλύνθιοι. οὔτε γὰρ κατασκευάζει ὅτι οὐ διαλύσονται πρὸς τὸν Φίλιππον, οὐδὲ προσήσονται τοὺς παρ' ἐκείνου λόγους, οὔτε τὸ ὅτι πιστοὶ ἔσονται συν- 10 ίστησιν· ἀλλ' ἐπειδὴ εἶπεν ἵνα πέμψωσι πρεσβείαν, καὶ ἐξῆρε τὸν παρὰ Φιλίππου φόβον καὶ τὴν ἐκείνου πανουργίαν ὑπώπτευσε, μὴ τοὺς συμμάχους αὐτῶν διαφθείρῃ, λύων τούτους τοὺς φόβους, καὶ δεικνὺς τηνάλλως σοφιστὴν ἐσόμενον Φίλιππον, εἰ μόνον οἱ πρέσβεις οἱ τῶν Ἀθηναίων παραγένοιντο καὶ ἐπαγγείλαιεν τὴν βοήθειαν, εἰκότως 15 πρὸς σύστασιν χρῆται τούτοις τοῖς λόγοις, οὐκ ἀπολογούμενος ὑπὲρ τῶν Ὀλυνθίων, ἀλλὰ συνιστὰς μὴ ἁλωσομένους ταῖς τοῦ Μακεδόνος ἀπάταις. ὅπερ πεποίηκε καὶ ὁ Κερκυραῖος παρ' Ἀθηναίοις δημηγορῶν, ἐν οἷς φησὶν ὅτι οἱ αὐτοὶ πολέμιοι ἡμῖν, ὅπερ σαφεστάτη πίστις, καὶ οὗτοι οὐκ ἀσθενεῖς, ἀλλ' ἱκανοὶ τοὺς μεταστάντας 20 βλάψαι. ἃ γὰρ ἐκεῖνος πεποίηκε τὸν Κερκυραῖον λέγοντα ὑπὲρ ἑαυτοῦ, ταῦτα αὐτὸς ὁ Δημοσθένης ὑπὲρ Ὀλυνθίων λέγει, συνιστὰς μὴ ἂν ἔτι τὴν τοῦ Φιλίππου πανουργίαν ἰσχύσειν πρεσβευσαμένης τῆς πόλεως. πῶς ἂν οὖν εἴη ταῦτα τῆς ἀντιθέσεως, τῆς, ἀλλ' ὅτι ἄπιστοι Ὀλύνθιοι, ἣν ἑαυτοῖς οἱ ἐξηγησάμενοι πλάττονται; "Ταῦτ' 25 "οὖν ἐγνωκότες." πληρώσας ἄχρι τούτου μέρος τι τοῦ συμφέροντος, ἐν ᾧ τὴν αἰτίαν, δι' ἣν προσήκει πρεσβεύσασθαι, προὔθηκε, καὶ συν-

4. αὐτῶν Wolfius. ῥητῶν libri. ἔργων margo P.

5. τῷ] ἅμα τῷ Wolfius.

συμπλέκων Wolfius. Legebatur λέγω, quod om. F. C. Wolfii emendationem confirmat quod proxima pagina v. 6. legitur συμπλέκων οὐδὲν ἧττον κἀνταῦθα τὸ δυνατόν.

9. κατασκευάζει Wolfius. κατασκευὴν libri.

προσήσονται] προσοίσονται F. προστήσονται C.

11. πέμψωσι Wolfius. πέμψῃ libri.

14. δεικνὺς] δεικνύων C.

22. ὁ om. F.

25. οἱ addidit Wolfius. In marg. T. scripta sunt verba ἑαυτοῖς ἐξηγησάμενοι ὀλύμπιοι (sic).

Ταῦτ'—] p. 10, 22.

27. αἰτίαν addidit Wolfius.

ἔστησε τὸ μὴ ἐξαπατηθήσεσθαι τοὺς Ὀλυνθίους, μηδ' ἂν δυνήσεσθαι Φίλιππον παραλῦσαί τι τῆς ἐκείνων σπουδῆς, εἰ μόνον ἀντέχοιτο τῶν πραγμάτων ἡ πόλις καὶ τοὺς πρέσβεις πέμψειεν· ἐν οἷς ἔλαττον μὲν τὸ συμφέρον, πλέον δὲ τὸ δυνατὸν ἐξείργασται. ἐντεῦθεν μεταβαίνει ἐπ' ἄλλο τι μέρος τοῦ αὐτοῦ κεφαλαίου, λέγω τοῦ συμφέροντος, 5 συμπλέκων μὲν οὐδὲν ἧττον κἀνταῦθα τὸ δυνατόν· ἀλλ' ὥσπερ ἐν τοῖς προειρημένοις τὸ δυνατὸν ἐπλεόναζε καὶ αὐτοῦ ἦν ὡς προηγούμενον, οὕτωσὶ καὶ ἐν τοῖς ἐφεξῆς τὸ μὲν συμφέρον μᾶλλον προηγεῖται, τὸ δὲ δυνατὸν ἕπεται. "Νυνὶ γὰρ ὃ πάντες ἐθρύλουν." αὕτη ἐστὶν ἡ λύσις τῆς ἀντιθέσεως, τῆς ὅτι, Ἀλλ' οὐκ οἰκεῖος ἡμῖν ὁ πό- 10 λεμος. ἣν οὐκ ἔθηκε διὸ προείπομεν ἐν θεωρήματι, ἵνα μὴ δοκῶν ᾖ περὶ ἀμφισβητουμένων μάχεσθαι, ἀλλ' ὅτι προὔλαβε τὸν ἀκροατὴν, καὶ ἔδειξε μὴ ἀπατηθησόμενον τὸν σύμμαχον, ἵνα φαίνωνται μονονοὺ καὶ εὐξάμενοι συμβῆναι τὸν πόλεμον, ὅτι τε οἰκεῖος αὐτοῖς ἐστὶν ὁμολογοῦντες. βεβαιοῖ δὲ καὶ διὰ τῆς δευτέρας 15 ἐννοίας τὴν αὐτὴν λύσιν. καὶ γὰρ Εὐβοεῦσιν οὐκ οἰκείοις οὖσιν οὐδὲ συμμάχοις βεβοηθήκασιν. "Εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοη- "θηκότες." κἂν τούτοις τὸ μὲν συμφέρον προηγεῖται—μέμφεται γὰρ αὐτοῖς ῥαθυμήσασι καὶ καθάπτεται ἠμεληκότων—ἕπεται δὲ δι' ὑπονοίας καὶ τὸ δυνατόν. ὅταν γὰρ λέγῃ βεβοηθηκέναι τοῖς Εὐβοεῦσι 20 καὶ σεσωκέναι, δῆλός ἐστι καὶ τὸ δυνατὸν τὸ τῆς πόλεως συνιστάς. ἄξιον δὲ καὶ τὸ παράδειγμα θαυμάσαι. ἐπειδὴ γὰρ δοκοῦσι καὶ Εὐβοεῖς ἀποστάντες τῆς συμμαχίας τετυχηκέναι βοηθείας, οἰκείῳ καὶ τούτῳ κέχρηται τῷ παραδείγματι. καὶ μὴν κἀκεῖνα ἂν εἴη τοῦ συμφέροντος καὶ τοῦ δικαίου ἅμα καὶ τοῦ δυνατοῦ, ἐν οἷς αἰτιᾶται 25 αὐτοὺς μὴ βοηθήσαντας τοῖς ἀδικηθεῖσι πρότερον, καὶ ὅτι μεταποιοῦνται τῆς ἡγεμονίας αὐτῶν οἱ Ἕλληνες, ὅταν καλῶσι πρὸς ἑαυτοὺς Πυδναῖοι, ὅταν Ποτιδαιᾶται παραδιδῶσιν ἑαυτοὺς καὶ τὴν πόλιν· ἐν

2. τῆς ἐκείνων σπουδῆς F.T. τῶν ἐκείνου σπουδῶν C.V. τῶν πρὸς ἐκείνους σπουδῶν margo P.
7. αὐτοῦ Wolfius. αὐτὸ libri.
9. δὲ δυνατὸν F. δυνατὸν δὲ vulgo. Νυνὶ—] p. 10, 29.
ἐθρύλουν. αὕτη] ἐθρυλεῖτε. τοῦτο C.
12. ἀλλ'] καὶ margo P.
ὅτι] ὅτε F.C.V. et a m. sec. T.
14. μονονοὺ καὶ] Fort. μονονούκ.
εὐξάμενοι, ut Wolfius correxerat, C. et in γρ. F. δεξάμενοι vulgo.
ὅτι — ὁμολογοῦντες Wolfius. τότε οἰκεῖον (οἰκεῖος C.) αὐτοῖς ἐστὶν ὁμολογοῦντος φανήσεσθαι libri.
17. Εἰ γὰρ—] p. 11, 10.
21. τὸ τῆς] καὶ τὸ τῆς F.

οἷς δέ φησιν αὐτοὺς ηὐξηκέναι τῇ ῥαθυμίᾳ τὸν Φίλιππον, ὁμοῦ μὲν φοβεῖ, ὁμοῦ δὲ καὶ παραμυθεῖται. αὔξων μὲν γὰρ καταπλήττει, φάσκων δὲ διὰ τὴν αὐτῶν ῥαθυμίαν γεγενῆσθαι μέγαν πάλιν τοῦ δέους ὑφιέναι παρασκευάζει. ἐπ' αὐτοῖς γὰρ καὶ τὸ καταλῦσαι ἔσται. ὅπερ καὶ ὁ Θουκυδίδης φαίνεται ποιῶν ἐν τῇ δημηγορίᾳ τῇ Κορινθίων. ἐν δὲ τούτοις τὸ συμφέρον προηγεῖται, τὰ δ' ἄλλ' ἕπεται. μεμνημένος δὲ τῆς παρὰ τῶν θεῶν εὐνοίας συνέστησεν αὐτὴν ἐξ ὧν οὐκ ἄν τις ἤλπισε. τὰς γὰρ τῶν Θρᾳκῶν συμφορὰς καὶ τῶν ἐπὶ Θρᾴκης Ἑλληνίδων πόλεων τῆς παρὰ τῶν θεῶν εὐνοίας ἀφορμηθῆναι λέγων τὸ δυνατὸν τὸ τῆς πόλεως διὰ τούτων συνίστησιν, ὡς ὁμοῦ καὶ τὸ συμφέρον καὶ τὸ δυνατὸν πεπλέχθαι. ἄχρι μὲν τούτου προῆλθε κατασκευάζων ὡς, ἐξὸν τῇ πόλει τὴν ἡγεμονίαν ἀναλαβεῖν, ἐρραθύμησε, καὶ ὅτι νῦν γοῦν, εἰ καὶ μὴ πάλαι, ἀνακτήσασθαι αὐτὴν δεῖ. ἐξ ὧν συνίστησι καὶ τὸ οἰκεῖον εἶναι τὸν πόλεμον, εἴπερ ὑπὲρ ἡγεμονίας. τὰ δὲ ἐντεῦθεν τὸ ἀναγκαῖον ἔχει, καὶ τὴν εἰσβολὴν εἴληφεν ἀπὸ τοῦ "Εἰ δὲ προησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τούτους τοὺς ἀνθρώπους." φοβεῖ γὰρ καὶ δείκνυσιν οὐκ εἰς μακρὰν περὶ τῶν οἰκείων κινδυνεύσοντας, καὶ ὅτι ὁδῷ πρόεισιν ὁ Φίλιππος, ὥσπερ καὶ Θουκυδίδης πεποίηκεν ἐν τῇ δημηγορίᾳ τῶν Κορινθίων· καὶ ἴσμεν οἵᾳ ὁδῷ χωροῦσιν οἱ Ἀθηναῖοι ἐπὶ τοὺς πέλας. οὕτω καὶ Φίλιππος, τὸ πρῶτον Ἀμφίπολιν λαβών, μετὰ ταῦτα Πύδναν καὶ Θρᾴκην καὶ Παίονας, ἐπὶ τοὺς Ἀθηναίους ἥξει· οὐχ ὡς πρὸς ἀντίθεσιν ἀπαντήσας, ὡς ἂν οἰηθείη τις ὑποκρούων, καὶ τί ἂν ἡμεῖς βλαβείημεν Ὀλυνθίων ἑαλωκότων; ἀλλ' ἐξ ἀρχῆς ἐνστησάμενος οἰκεῖον καταδεῖξαι τὸν πόλεμον ἑκατέρωθεν αὐτὸ κατεσκεύασεν, ἀπό τε τῆς ἡγεμονίας, ἧς μεταποιεῖσθαι προσήκει τῇ πόλει, καὶ ἀπὸ τοῦ τὸν πόλεμον οὐκ εἰς μακρὰν ἥξειν εἰς τὴν Ἀττικήν, εἰ μὴ βοηθήσαιεν

5. ὅπερ καὶ margo P. καὶ ὅπερ F. καὶ ὅπως T.C.V.

ἐν] ἐπὶ F.C.

9. ἀφορμηθῆναι] ἀφορμασθῆναι F. T.C.

14. ὑπὲρ T.C. et margo P. περὶ vulgo. Abest ab F.

16. Εἰ δὲ—] p. 12, 20.

23. ὡς ἂν — καὶ Wolfius (alia etiam conjectura addita ὡς ἂν οἰηθείη τις ἀποκρούων, ὑπολαβὼν καὶ), nisi quod ὑποκρούων in ἀποκρούων mutari voluit. οὕτως ἂν οἰηθείη τις ὑποκρούων λαβὼν καὶ libri. οὐδ' ὡς ἂν οἰηθείη τις ἀποκρούων margo P.

24. ἐνστησάμενος, ut Wolfius conjecerat, C. συστησάμενος libri ceteri.

25. αὐτὸ Wolfius. αὐτὸς libri.

τοῖς ἔτι λειπομένοις τῶν Ἑλλήνων ἐπὶ τῆς Θρᾴκης. οὗ δὴ καὶ τὴν σύστασιν ποιησόμενος καθ' ὑπόνοιαν παρίστησι τὰ συμβησόμενα τῇ πόλει δεινὰ, εἰ γένοιτο πόλεμος πρὸς τῇ χώρᾳ, οὐ λέγων μὲν κατ' εἶδος, οὐδ' ἐπεξιὼν, ταῖς δὲ ὑπονοίαις μειζόνως φοβῶν. τέλος δὲ ἐπιθεὶς τούτῳ τῷ μέρει τοῦ λόγου, ἐν ᾧ τὸ συμφέρον ὁμοῦ καὶ τὸ δυνατὸν πέπλεκται, πῇ μὲν προτεροῦντος τοῦ δυνατοῦ, ἑπομένου δὲ τοῦ συμφέροντος, πῇ δὲ ἐναντίως τῆς τούτων τάξεως ἐχούσης, καὶ προηγουμένου πάλιν αὐτοῦ τοῦ συμφέροντος, δευτερεύοντος δὲ τοῦ δυνατοῦ, καὶ τοῦ λόγου παντὸς πεποικιλμένου συμβουλῇ καὶ προτροπῇ, ἀεὶ τῶν ἐννοιῶν διαδεχομένων ἀλλήλας, προοιμιάζεται λοιπὸν περὶ τοῦ δυνατοῦ πάλιν τῆς πόλεως, "τὸ μὲν ἐπιτιμᾶν ἴσως φήσαι "τίς ἂν ῥᾴδιον" ἀρχὴν τοῦ προοιμίου ποιησάμενος. τὸ δὲ δυνατὸν τέτμηκε δίχα, εἴς τε τὸν τρόπον τῆς παρασκευῆς καὶ εἰς τὸν τῶν χρημάτων πόρον. οὗτος δὲ ἦν αὐτῷ χαλεπὸς λόγος, καὶ διὰ τοῦτο προοιμίῳ κέχρηται, ἐπειδήπερ οὐκ ἦν ἀνέδην, οὐδὲ μετὰ παρρησίας, οὐδ' εὐχερῶς ἐπ' αὐτὸ ἐλθεῖν μὴ προθεραπεύσαντα καὶ προδιοικησάμενον. σκοπὸν δὲ ἔχων μίαν δύναμιν ἐκπέμψαι ἐπὶ τὴν Ὄλυνθον δύο δυνάμεις ἀξιοῖ ψηφίζεσθαι, μάλιστα μὲν ἵνα τὴν ἑτέραν αὐτῶν δυνηθῇ κατορθῶσαι· εἴωθε γὰρ μείζονα καὶ πλείονα ὧν βούλεται κατορθοῦν ἀεὶ προτείνειν, ἵνα τῆς ἀνάγκης αὐτῆς ἐπαρτηθείσης ἕλωνται τὰ ἐλάττω· εἶθ' ἵνα καὶ φοβήσας τῷ μεγέθει τῆς παρασκευῆς φοβήσῃ καὶ τῷ τῆς εἰσφορᾶς μεγέθει καὶ ταύτῃ καταναγκάσῃ τῶν θεωρικῶν ἀποστῆναι. ὅτι δ' οὖν οὐ πρόκειται αὐτῷ τὰς δύο δυνάμεις, οὐδὲ τὰς δύο παρασκευὰς ἀποστεῖλαι, φανερὸν ἐκ τοῦ

2. ποιησάμενος] ποιησομένοις C.
καθ' addidit Wolfius.
3. τῇ χώρᾳ F.C. τὴν χώραν libri reliqui. Correxerat Wolfius.
7. τάξεως] δυνάμεως C.
9. παντὸς F.C. πάντως vulgo.
12. ῥᾴδιον C. et Wolfius. ῥᾳδίως libri ceteri.
δὲ a Wolfio additum habet C.
15. ἀνέδην F.C. ἀναιδὴν ceteri.
16. εὐχερῶς Wolfius. εὐχερὲς libri.
αὐτὸ Wolfius. αὐτοῦ libri, nisi quod αὐτὸν C.
20. ἐπαρτηθείσης] ἀπαρτηθείσης F.
23. ἀποστῆναι] Quæ sequuntur ὅτι δ' οὖν usque ad finem Prolegomenorum exciderunt in T. (in quo manus recens adscripsit "*hic vel* "*unum vel duo folia desunt*") et C. Proximum in utroque libro folium (in T. ab alia manu scriptum) incipit ab verbis ζημίαν τοῖς γράψασι αὐτὰ γενέσθαι στρατιωτικὰ, ἵνα δειχθῇ τὸ συμβουλεύειν τὰ βέλτιστα—κατὰ τοῦ δήμου ἐκλελυμένον—πόλεως, quæ sunt Libanii verba in fine Argumenti orationis Olynthiacæ tertiæ.

μήτε πολύν τινα κινῆσαι λόγον, σύστασιν περιέχοντα τοῦ δεῖν ἐκπέμπειν ἑκατέραν, καὶ ἐκ τοῦ ταχέως ἐπὶ τὸν λόγον τῶν χρημάτων δραμεῖν. ἄξιον δὲ ἐπισημήνασθαι ὅτι οὐδὲ ἐγχρονίζειν βούλεται τῷ λόγῳ τῷ περὶ τῶν χρημάτων, διὰ τὸ δυσχερές, ἀλλ' εὐθὺς μεταβαίνει πάλιν ἐπὶ τὸν τῶν εἰσφορῶν, ἵνα μὴ φαίνηται ἐπιτηδεύων τὴν πρὸς 5 Εὔβουλον μάχην, ἀλλὰ τῇ χρείᾳ τῶν πραγμάτων ἑπόμενος, πῇ μὲν ἀξιῶν τῶν θεωρικῶν ἐξίστασθαι, πῇ δὲ ἀπὸ τῶν οἰκείων εἰσφέρειν, καὶ οὐ τοὺς πλουσίους μόνον, ἀλλὰ καὶ τοὺς ἀπόρους. ποιεῖ δὲ τοῦτο ἐξεπίτηδες. οὐκ ἐγχρονίζει μὲν γὰρ τῷ περὶ τῶν θεωρικῶν λόγῳ, διὰ τὸ ἀνιᾶν· οὐ μὴν οὐδὲ ἀφίσταται, διὰ τὸ μὴ ἀλλαχόθεν εἶναι πόρον. 10 τὸν δὲ περὶ τῆς εἰσφορᾶς ποιεῖται λόγον, οὐκ ὄντως τοῦτον ἔχων τὸν σκοπὸν, ἵνα εἰσενέγκωσιν, ἀλλ' ἵνα διὰ τῆς εἰσφορᾶς καταναγκάσῃ τῶν θεωρικῶν ἐκστῆναι. "Λέγουσι δὲ καὶ ἄλλους τινὰς ἄλλοι πό-" ρους, ὧν ἕλεσθε." ἔστι μὲν ἀνθυποφορὰ, χρὴ δὲ ἀναφέρειν τὴν προκατασκευὴν ὡς λύσιν ἐπὶ τὴν ἔννοιαν τοῦ προοιμίου, ἵνα ἐκ συγκρί- 15 σεως συμφορώτερος ὁ πόρος φαίνηται. διὰ τοῦτο γὰρ κατ' ἀρχὰς ἠξίωσε μηδένα κωλυθῆναι βουλόμενον λέγειν, ἵνα ἡ εἰσήγησις αὐτοῦ ἡ περὶ τῶν χρημάτων βέλτιον ἔχουσα φαίνηται. τέθεικε δὲ καὶ ἐν τῷ τρίτῳ πλείονα τῆς ἐν τούτῳ τῷ λόγῳ λύσιν. "Ἄξιον δὲ ἐνθυμη-" θῆναι καὶ λογίσασθαι τὰ πράγματα." ἐντεῦθεν πρὸς τὸ δυνατὸν 20 τοῦ Φιλίππου ἵσταται. προτέθεικε δὲ τὴν λύσιν τῆς ἀντιθέσεως, ἣν ἐπεσημήνατο εὐθὺς προελθὼν ἐξ ἀναιρέσεως. θαυμάσαι δὲ ἄξιον καὶ ταύτης τὴν μεταχείρισιν. οὐ γὰρ εἶπεν, οὐ φοβερὸς Φίλιππος, ἀλλ' εἶπεν, οὐκ εὐπρεπῶς καὶ καλῶς ἔχει τὰ Φιλίππου πράγματα. ἣν

13. Λέγουσι—] p. 15, 3.

14. ἔστι μὲν ἀνθυποφορὰ] *Est hæc quidem anteoccupatio.* Sed referenda est procatasceue tanquam solutio ad sententiam exordii, ut ex comparatione, uter commeatus sit utilior appareat. κατασκευὴ est inter alia etiam *confirmatio:* ἀνασκευὴ, *confutatio.* Hinc προκατασκευὴ, *præparatio,* ἡ καὶ θεραπεία καλουμένη, καὶ προδιόρθωσις, *color et commodus aditus tractandæ rei.* Sicut προκατάστασις ἡ προδιήγησις, *præparatio narrationis, et quasi propositio.* WOLF.

16. ὁ om. F.

17. ἵνα ἡ] ἵν' F. omisso ἡ.

19. πλείονα τῆς Wolfius. πλεῖον εἰς τὴν libri.

Ἄξιον—] p. 15, 6.

21. προτέθεικε F.P. προτέθηκε vulgo.

ἣν ἐπεσημήνατο] Fortassis ἣν ἐπεισήγαγεν εὐθὺς προελθὼν ἐξ ἀναιρέσεως. Sed et sic obscurum est non minus quam si legas: ἣν ἐπεσημήνατο εὐθὺς, προελθὼν ἐξ ἀναιρέσεως. WOLF.

23. Alterum οὐ et mox οὐκ ante εὐπρεπῶς addidit Wolfius.

ἔλυσε κατακερματίσας τὴν Φιλίππου δύναμιν εἰς τέσσαρα· εἰς τὸν καιρὸν, δι' ὃν ταράττεται· εἰς Θετταλοὺς, τοὺς ἑαυτοῦ συμμάχους, ἀποστατικῶς ἔχοντας· εἰς ἀπορίαν χρημάτων, δι' ἣν οὐχ ἕξει ξένους· εἰς τοὺς ὑπηκόους Ἰλλυριοὺς καὶ Παίονας, ἐπιθυμοῦντας ἐλευθερίας· ὥσπερ καὶ διαιρούμενοι τὸν λόγον εἴπομεν, τὴν ἐντελεστέραν ἐργασίαν τοῦ κεφαλαίου πρὸς ὁλόκληρον φυλάξας ὑπόθεσιν. "Διόπερ πολλά-
" κις δοκεῖ τὸ φυλάξαι τὰ ἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον
" εἶναι." τοῦτο ἐπὶ τῶν ἀνοήτων καὶ παρ' ἀξίαν εὐτυχούντων εἶπεν. ὥστε εἴ τις αὐτῷ συγκρούειν ἐθέλει πρὸς τὸ εἰρημένον, οὐκ ἔχει τοῦτ' εὐλόγως ποιεῖν, διὰ τὸ εἰρῆσθαι κατὰ μέρος. ἐν δὲ τῷ δευτέρῳ καθολικώτερον εἴρηται καὶ ἀποφαντικώτερον· τὸ δὲ ἐν τούτῳ κατὰ τῶν ἀνοήτων μόνον· καὶ τοῦτο οὐκ ἀπολύτως. τὸ γὰρ Πολλάκις καὶ τὸ Δοκεῖ * * οὐχ ὅτι πάντως δεῖ τοῦτο συμβαίνειν, ἀλλὰ ἔστιν ὅτε. "Δεῖ
" τοίνυν ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἀκαιρίαν τὴν ἐκείνου." ἐντεῦθεν τῶν ἐπιλόγων ἅπτεται, οὓς ὁμοίως εἰς δύο μέρη διῄρηκεν, εἰς τὸ δυνατὸν καὶ τὸ συμφέρον. καὶ γὰρ οἱ ἐπίλογοι ἀπὸ τῶν τελικῶν

6. πρὸς ὁλόκληρον φυλάξας] Scilicet, ὁ Δημοσθένης. Sententia est, locum hunc de imbecillitate Philippi reservatum esse ad secundam Olynthiacam, in qua Demosthenes id unum maxime tractat. WOLF.

Διόπερ—] p. 16, 2.

9. συγκρούειν] ἀντικρούειν Wolfius.

ἐθέλει] ἐθέλει F. a m. sec.

οὐκ ἔχει—κατὰ μέρος] Supplementum marginis P. Locum mutilum esse monuerat Wolfius.

10. δὲ additum ab Wolfio in interpretatione Latina.

13. οὐχ ὅτι] Fort. δηλοῖ οὐχ ὅτι, quod expressit Wolfius.

Δεῖ τοίνυν—] p. 16, 4.

14. ὑμᾶς] ἡμᾶς F.

16. ἀπὸ τῶν τελικῶν κεφαλαίων] Aphthonii interpres: τὰ τελικὰ κεφάλαια λέγονται ἢ διότι ἐν τῷ τέλει τοῦ πολιτικοῦ λόγου ὀφείλουσι τίθεσθαι, ἐν τῇ κοινῇ ποιότητι· ἢ διότι τὰ τέλη πάντων περιέχουσι τῶν πραγμάτων. κατὰ ταύτας γὰρ τὰς δυνάμεις τὰ πράγματα ἐξετάζεται, ὡς νόμιμον ἢ ἄνομον· ὡς δίκαιον ἢ ἄδικον· ὡς καλὸν ἢ αἰσχρόν· ὡς συμφέρον ἢ ἀσύμφορον· ἢ ὅτι τούτων ἕκαστον αὐτὸ καθ' αὑτὸ δύναται πέρας ἐπιθεῖναι τῷ λόγῳ, οὕτω καὶ Δημοσθένης μόνῳ τῷ συμφέροντι τοὺς Ὀλυνθιακοὺς ἐξετέλεσεν. Reliquos locos: τὸ δυνατὸν καὶ ἀδύνατον· τὸ ῥᾴδιον καὶ χαλεπόν· τὸ ἀναγκαῖον καὶ περιττόν· τὸ μέγα καὶ μικρόν· τὸ ἀγαθὸν καὶ κακόν. καὶ τὰς τούτων πρὸς ἄλληλα συγκρίσεις: vel contineri in superioribus, vel affines illis esse, vel ad amplificandum pertinere, supra diximus. Hermogenes de statibus recenset κεφάλαια τελικὰ, νόμιμον, δίκαιον, συμφέρον, δυνατὸν, ἔνδοξον: qui consulendus est. Ego enim nolo prolixum in commentarium scribere commentarium. Aphthonii commentarius: κεφάλαια τὰ μεγάλα καὶ κυριώτατα τῶν λόγων ὄντα. ὅτι ὥσπερ ἡ κεφαλὴ τὸ κῦρος τοῦ σώματος ἔχει παντὸς, οὕτω καὶ ταῦτα τὸ κῦρος τοῦ λόγου. Deinde sic desinit: κεφάλαιόν ἐστι μέρος λόγου ἀπόδειξιν ἔχον τοῦ προκειμένου πράγματος, ἐκ νοημάτων τε καὶ ἐπιχειρημάτων συγκείμενον. WOLF.

κεφαλαίων λαμβάνονται. καὶ τὸ μὲν δυνατὸν ἀπὸ τοῦ καιροῦ κατασκευάζει· ἀπὸ πρεσβείας τῶν Ἀθηναίων τῆς πρὸς τοὺς Ἕλληνας καὶ πρὸς τοὺς ὑπόπτως διακειμένους συμμάχους τοῦ Μακεδόνος· ἀπὸ στρατιᾶς αὐτῶν καὶ ἐξόδου· ἀπὸ τοῦ ἀτόπου, ὅπερ ἐστὶν ἀπὸ γνώμης, πῶς ἂν Φίλιππος διετέθη τοιούτου καιροῦ παραπεπτωκότος· 5 ἀπὸ τῆς αἰσχύνης τῶν ἐκβάντων ἄν. τὸ δὲ συμφέρον δίχα διῃρηκεν, εἰς σύγκρισιν δύο πολέμων, τοῦ τε ἐπὶ Θρᾴκης καὶ τοῦ ἐπὶ τῆς Ἀττικῆς, παριστὰς καὶ δεικνὺς τί κακὸν ποιήσουσι τὴν Μακεδονίαν συμμαχοῦντες Ὀλυνθίοις, τίνα δὲ αὐτοὶ πείσονται κομισθέντος δεῦρο τοῦ πολέμου, μηδένων ὄντων τῶν κωλυόντων, μὴ Φωκέων, μὴ Θη- 10 βαίων, τῶν μὲν δι' ἀσθένειαν, τῶν δὲ διὰ δυσμένειαν. οὐ γὰρ ὑπολαμβάνειν ἀντίθεσιν δεῖ τὴν ἔννοιαν τὴν ἀπὸ γνώμης τοῦ Φιλίππου, ὥσπερ ὁ Ζήνων εὐήθως ὑπείληφεν, ἀλλ' ἔστιν ἡ ἔννοια ἐπιλογικὴ τοῦ ἀναγκαίου. ἐπειδὴ γὰρ ἐν τοῖς ἔμπροσθεν κατεσκεύασε προσήκειν τῇ πόλει τὸν πόλεμον, διὰ δὲ τοῦ δευτέρου παρέστησεν ἐπὶ τὴν Ἀττικὴν 15 ἂν ἐλθεῖν τὸν Φίλιππον, λαβόντα τὴν Ὄλυνθον, εἰκότως κἀνταῦθα ἐπιλογιζόμενος τῶν αὐτῶν ἐμνήσθη. τοῦ Χαλκιδικοῦ γὰρ ἀπολωλότος γένους, καὶ δύο καὶ τριάκοντα πόλεων ᾑρημένων, τίνες ἔσονται λοιπὸν ἐμποδών; ἃ δὲ αὐτοὶ πείσονται οἱ Ἀθηναῖοι γενομένου πρὸς αὐτοῖς τοῖς ὁρίοις τῆς Ἀττικῆς τοῦ πολέμου βουλόμενος αὐξῆσαι δίχα 20 διῃρηκεν, εἴς τε τὰ πρὸ τοῦ πολέμου καὶ εἰς αὐτὸν τὸν πόλεμον, τίνα ὑπομενοῦσιν οἱ γεωργοῦντες, τίνα δὲ καὶ ἡ χώρα, χρωμένου αὐτῇ κατ' ἀνάγκην τοῦ στρατοπέδου τῶν Ἀθηναίων πρὸς τὴν ὑπηρεσίαν τῶν ἀναγκαίων· τίνα δὲ ἐργάσονται οἱ πολέμιοι καὶ ἀναγκαίως ὑβρίζοντες καὶ φλέγοντες τὴν χώραν· ὡς διπλοῦν περιίστασθαι τῇ Ἀττικῇ 25 πόλεμον, τοῦτο μὲν παρὰ τῶν οἰκείων, τοῦτο δὲ διὰ τῶν πολεμίων.

2. τοὺς addidi ex F.

4. ἀπὸ γνώμης] Scilicet τοῦ Φιλίππου. WOLF.

7. καὶ τοῦ ἐπὶ τῆς Ἀττικῆς addidit Wolfius.

8. παριστὰς καὶ δεικνὺς τί κακὸν ποιήσουσι P., ex conjectura, ut videtur. In F.V. nihil legitur præter καὶ τί ποιήσουσι.

9. πείσαιντο F. πίσαιντο V. πείσοιντο P. Correxi πείσονται.

15. δὲ ego addidi, παρέστησεν ἐπὶ τὴν Ἀττικὴν addidit Wolfius.

16. λαβόντα F., ut Wolfius. λαβόντες V.

21. πρὸ addidit Wolfius.

22. γεωργοῦντες Wolfius. γέροντες libri.

αὐτῇ additum in P., om. F. Ald.

24. καὶ ἀναγκαίως F. καὶ ἀναγκαίως καὶ vulgo.

25. φλέγοντες vel καίοντες vel δηοῦντες Wolfius. λέγοντες libri.

26. τοῦτο μὲν—τοῦτο δὲ] τοῦτον μὲν

ὧν ἀπαλλαγεὶς ἀξιοῖ πᾶσαν ἡλικίαν καὶ πᾶν ἔθνος, καὶ εὐπόρους καὶ ἀπόρους καὶ ῥήτορας, ἀπωθεῖσθαι ἐπὶ τὴν Θρᾴκην τὸν πόλεμον, δεικνὺς οὐ μικρὰ τὰ κέρδη οὐδὲ τὰ διαφέροντα ἐσόμενα πᾶσιν, εἰ τοῦτο γένοιτο. ἄξιον δὲ καὶ τὴν μεταχείρισιν θεωρεῖν καὶ τὴν ποικιλίαν. προηγεῖται μὲν γὰρ ὁ τῆς συμβουλῆς λογισμὸς, ἕπεται δὲ ὁ τῆς προτροπῆς εὐθύς· ὥστε κατὰ τοῦτο τὸ εἶδος πεπλέχθαι τὸν λόγον, ἐπειδήπερ ἡ μὲν συμβουλὴ λόγος ἐστὶν ὑποθετικὸς τῶν πραγμάτων, ἡ δὲ προτροπὴ λόγος προάγων ἐφ' ὁμολογουμένας τὰς πράξεις, παραίνεσις δὲ λόγος ὑποθετικὸς καὶ περιεκτικὸς τοῦ τρόπου τῶν πράξεων.

—τοῦτον μὲν Wolfius. Hoc si voluisset, scripsisset τὸν μὲν — τὸν δέ—.

1. ἔθνος] γένος margo P.

9. τρόπου F. et Wolfius. τόπου V.

ΖΩΣΙΜΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΕΙΣ ΔΗΜΟΣΘΕΝΗΝ.

ΒΙΟΣ ΔΗΜΟΣΘΕΝΟΥΣ.

ΔΕΥΤΕΡΩΙ λοιπὸν ἐπιβῆναι τῷ Παιανιεῖ καιρός· καὶ μή μοι χαλεπήνῃς, ὦ θεία κεφαλή, δεύτερος ταττόμενος, ἡδέως ἂν πρὸς αὐτὸν ἐφθεγξάμην. εἰ γὰρ δεῖ τἀληθὲς λέγειν, αὐτὸς σὺ σαυτῷ ταύ- 5 την τὴν τάξιν προὐξένησας, μηδαμοῦ τῇ νεότητι τῷ μεγέθει τῶν ῥημάτων ἐπιδιδοὺς σεαυτὸν, μηδὲ ἀμυήτοις ῥητορικῶν συγχωρῶν ἐπιβῆναι τοῖς σοῖς. διὸ προτελεσθέντες τοῖς τοῦ Θεοδώρου, οὕτως τοῖς σοῖς μυστηρίοις ἐπιχειρεῖν τολμῶμεν. προσευξάμενοι οὖν τὸν θεσπέσιον ῥήτορα καὶ κρατῆρα στησάμενοι τἀνδρὶ, ὅπως ἂν δυνηθείημεν 10 ἀρκέσαι τοῖς αὐτοῦ, οὕτω χωρήσομεν εἰς τὸ τἀκείνου διελθεῖν. τί γὰρ οὐ μέγα τε καὶ θαυμάσιον τῶν ἐκείνου; ὃς Ἀθήνας μὲν πρῶτον εὐτύχει πατρίδα, δῆμον δὲ Παιανιέα, ἐκ γονέων δὲ μὴ πάνυ τι σεμνῶν προελθὼν τοῖς αὐτοῦ τἀκείνων συνέκρυψεν· πατρὸς μὲν γὰρ ἦν ὁμωνύμου μὲν τὴν προσηγορίαν, τῇ δὲ τέχνῃ μαχαιροποιοῦ, (ὅ ἐστιν 15 ἐργαστήριον ἔχοντος μαχαιροποιῶν, ὡς εἴπομεν ἤδη περὶ τοῦ πατρὸς Ἰσοκράτους,) μητρὸς δὲ Κλεοβούλης μὲν ὀνόματι, Σκυθίδος δὲ τὸ γένος. Γύλων γὰρ, ὁ πάππος αὐτοῦ, Νύμφαιον προδοὺς, τόπον τινὰ ἐν τῷ Πόντῳ, μέλλων ποιεῖσθαι τὴν κρίσιν ὑπὲρ τούτου, φυγὼν παρὰ τοῖς τοῦ Πόντου δυνάσταις, καὶ τοὺς καλουμένους Κήπους, τόπους 20 τινὰς, καρποῦσθαι λαβὼν παρ' αὐτῶν, γυναῖκα ἐκεῖσε Σκυθίδα ἠγά-

3. Δευτέρῳ λοιπὸν] Sic Paris. Interponit Romanus μέν. Significat auctor, ab interpretatione Isocratis ad interpretationem Demosthenis se jam transire. REISK.

5. δεῖ] Sic Rom. δὴ Paris. REISK.

6. τῷ μεγέθει] Id est διὰ τὸ μέγεθος. qui ea sis usus orationis magnificentia, ut nusquam tui copiam dederis juventuti, h. e. tironibus sis invius. REISK.

7. ἀμύητα] Sic ambo codices. Sed lego ἀμυήτους. iisque, qui rhetorices sacris nondum initiati sint, haud permittens limina tuorum sacrariorum calcare. REISK. Scripsi ἀμυήτοις ex cod. Vat. 96.

8. ὁ τοῦ Θεοδώρου (scil. υἱὸς) est Isocrates. REISK.

19. ποιεῖσθαι] Imo vero ὑπομένειν. Verum ingenio ne abutamur ad eluendum has orationis sordes. REISK. Nihil mutandum.

γετο, ἐξ ἧς ἔσχε τὴν Κλεοβούλην, τὴν μητέρα τοῦ ῥήτορος. αὕτη γὰρ πεμφθεῖσα ὑπὸ τοῦ πατρὸς λάθρα εἰς Ἀθήνας καὶ γαμηθεῖσα Δημοσθένει τῷ μαχαιροποιῷ τίκτει τοῦτον τὸν ῥήτορα. καταλειφθεὶς δὲ ὀρφανὸς ἀπὸ πατρὸς αὐτὸς ἑαυτοῦ τῇ φρονήσει τε καὶ συνέσει πατὴρ ἐγένετο. ὡς γὰρ ἑώρα τοὺς καταλειφθέντας αὐτῷ παρὰ τοῦ πατρὸς ἐπιτρόπους οὐκ ἐπιτρόπων μᾶλλον ἔργον ποιοῦντας, ἀλλὰ πολεμίων, τῷ κακῶς κεχρῆσθαι τῇ αὐτοῦ οὐσίᾳ, παῖς μὲν ὢν ἔτι καὶ κατηγορεῖν ἐκείνων κωλυόμενος τῇ [τῶν νέων] ἡλικίᾳ, τέως μὲν τὰ τῶν νέων ἐποίει καὶ διδασκάλοις τε ἑαυτὸν καὶ παιδεύσει παρεδίδου, ἵνα σχοίη τὴν κατηγορίαν ὡς εἰπεῖν ἠκονημένην ἐκ τῶν λόγων κατ' ἐκείνων εἰς ἄνδρας ἐγγραφείς. διὸ καὶ ὡς μιαροί τινες οἱ ἐπίτροποι τοῦτο αὐτὸ ἐνθυμηθέντες καὶ τῶν διδασκάλων αὐτοῦ τοὺς μισθοὺς ἀπεστέρουν, ὅπως ἐμποδὼν γένοιτο τοῦτο αὐτὸ πρὸς τὸ μανθάνειν σπουδαίως ἐκεῖνον. ὅμως πάντα ποιῶν ὁ θεῖος ἀνὴρ φιλοσόφων μὲν ἑαυτὸν παρεδίδου Πλάτωνι, ῥητορικῶν δὲ ἐπιθυμήσας ἐκ τοῦ ἀκούειν Καλλιστράτου τοῦ ῥήτορος ῥητορεύοντός τε καὶ εὐδοκιμοῦντος Ἰσαίῳ ἐφοίτα, ἑνὶ τῶν δέκα ῥητόρων τῶν κριθέντων ἀναγινώσκεσθαι. καὶ οὕτως αὐτὸν λέγεται μιμήσασθαι ὥστε αὐτοῦ νομίζεσθαι τοὺς κατὰ τῶν ἐπιτρόπων λόγους· ἀρτίως γὰρ ἦν ἐξελθὼν ἀπὸ τῆς ἐκείνου διατριβῆς. ἐζήλωσε δὲ μάλιστα τῶν πρὸ αὐτοῦ τὸν συγγραφέα Θουκυδίδην καὶ τὰ πλεῖστα ἐκ τῶν ἐκείνου λόγων ἐπὶ τὸ πολιτικώτερον μετέφρασε· καὶ οὕτως λέγεται αὐτὸν ἐκμεμαθηκέναι ὥστε φέρεσθαί τι τοιοῦτον περὶ αὐτοῦ, ὅτι ποτὲ καείσης τῆς βιβλιοθήκης ἐν Ἀθήναις καὶ συγκαεισῶν τῶν ἱστοριῶν Θουκυδίδου αὐτὸν μόνον ἀπομνημονεῦσαι πασῶν καὶ οὕτως μεταγραφῆναι ποιῆσαι. ἐπιτροπευθεὶς δὲ δέκα ἔτη καὶ ἐγγραφεὶς ὀκτωκαιδεκαέτης εἰς ἄνδρας (οὕτως γὰρ ἐνεγράφοντο παρ' Ἀθηναίοις) κρίνας τοὺς ἐπιτρόπους εἷλε τὴν δίκην, καὶ ἀπῄτησεν αὐτοὺς οὐχ ὅσα ἠδυνήθη δεῖξαι παρὰ τοῖς δικασταῖς αὐτοὺς χρεωστοῦντας, ἀλλ' ὅσα συνῄδει ἑαυτῷ κατὰ τὸ ἀληθὲς ἠδικημένῳ. τὸ μὲν γὰρ ἦν τῆς δεινότητος τῆς ῥητορικῆς, τὸ δὲ τῆς Δημοσθένους φιλανθρωπίας. λ' γὰρ τάλαντα ἀποδείξας αὐτοὺς τοὺς τρεῖς χρεωστοῦντας ιδ' μόνον ἀπῄτησεν. ἦσαν δὲ οὗτοι οἱ τρεῖς

8. Seclusi τῶν νέων.
13. αὐτὸ] αὐτῷ Reiskius.
17. ἀναγινώσκεσθαι] Qui digni habiti sunt a grammaticis quorum scripta legenda et imitanda proponerentur juventuti eloquentiæ studiosæ. REISK.
18. αὐτοῦ] Isæi puta. REISK.

Ἄφοβος, Δημοφῶν, Θηριππίδης. πολλὰ δ' ἐκ φύσεως ἔχων ἐλαττώματά τε καὶ νοσήματα ἐπιμελείᾳ τὴν φύσιν ἐνίκησεν. καὶ γὰρ τὸ στόμα τραυλὸς ἦν καὶ τὴν ἀκοὴν ἀσθενής, ὡς μὴ δύνασθαι φέρειν κραυγάς τινας ἢ κτύπους, καὶ τὸ πνεῦμα ἄτονος, ὡς μηδὲ ἓν ἔπος εἰπεῖν ἀπνευστὶ δύνασθαι, καὶ τὴν κίνησιν τοῦ σώματος ἀπρεπὴς καὶ μαλακώτερος, ὁπότε δέοι λέγειν· κινῶν γὰρ ἀεὶ τοὺς ὤμους περιέρριπτε τὸν τρίβωνα κατὰ τῆς γῆς. ἐπηνωρθώσατο δὲ ταῦτα πάντα διὰ τούτων τῶν τρόπων· τὸν μὲν τραυλισμὸν ἐμβάλλων τινὰς ψήφους ἐν τῷ στόματι καὶ τῶν Ὁμήρου συνεχῶς ἔπος τι λέγων, τὸ, "Ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο." οὕτως δὲ τοῦτο ἐπηνωρθώσατο ὥστ' εἰσελθόντα εἰπεῖν τοῖς Ἀθηναίοις ἐκεῖνο τὸ περιφερόμενον· "Ἥκω φέρων ὑμῖν τὸ ρ καταρρητορευμένον." διὰ τοῦτο δὲ εἶπε τὸ ρ, ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον οἱ τραυλοὶ ἀεὶ περὶ τὸ γράμμα τοῦτο σφάλλονται, τὸ λ ἀντὶ τοῦ ρ προφέροντες. καὶ τοὺς θορύβους δὲ φέρειν ἐμελέτησεν ἐπὶ τὴν θάλατταν κατιὼν καὶ πρὸς τὸν ἦχον τῶν κυμάτων λογοποιούμενος. καὶ τὸ πνεῦμα διαρκὲς κατεσκεύασεν οὕτως, πρὸς ὑψηλά τινα χωρία τρέχων καὶ ῥήσεις λέγων τινάς. τὸ δὲ σχῆμα τῆς ἐν τῷ λέγειν κινήσεως, καὶ τοῦτο ἰάσατο, τὰ μὲν πρῶτα ξίφος ἐξαρτήσας ἐκ τῆς στέγης τῆς οἰκίας ἑαυτοῦ καὶ ὑποκάτω τούτου ἱστάμενος, ἵνα τῷ φόβῳ τῆς προσδοκίας τοῦ πεσεῖσθαι κατὰ τῶν ὤμων αὐτοῦ ἐκεῖνο ἀκινήτους ἔχῃ αὐτούς, ὕστερον δὲ καὶ πρὸς κάτοπτρον ἀνδρόμηκες ταῖς μελέταις χρώμενος. οὐ μόνον δ' ἐν νέοις οὕτως ἑαυτοῦ ἐπεμελεῖτο, ἀλλ' ἤδη καὶ τέλειος ἀνὴρ γενόμενος. καὶ γάρ φασιν αὐτὸν ἀνδρῶν ἄγοντα ἡλικίαν ξυρῶντά ποτε τοῦ πώγωνος τὸ ἥμισυ, ὅπως μὴ προΐοι δι' αἰσχύνην, οἴκαδε καθείρξαντα ἑαυτὸν ἀσκεῖσθαι. λογογραφεῖν δὲ ἀρξάμενος καὶ εἰς τὰ ἰδιωτικὰ καὶ εἰς τὰ δημόσια καὶ πολλοὺς ἐκδοὺς λόγους δικαζομένοις, ὕστερον τούτων ἐπαύσατο διὰ τοιαύτην αἰτίαν· Ἀπολλοδώρῳ καὶ Φορμίωνι δικαζομένοις πρὸς ἑαυτοὺς ἥλω ἀμφοτέροις λόγους ἐκδοὺς κατ' ἀλλήλων. ὅθεν μισήσας τοῦτο τὸ ἔργον ἐπὶ τὸ παιδεύειν λοιπὸν ἐτράπη. καὶ παρὰ τὰς ἀρχὰς μὲν εὐτυχήσας ἔν τε τῷ πλήθει τῶν μαθητῶν καὶ τῷ εὔνους εἶναι αὐτῷ πάντας τοὺς φοιτῶντας, ὕστερον

8. μὲν γὰρ τραυλισμὸν] γὰρ e Romano addidi. REISK. Delevi γάρ.

10. τὸ] Malim οἷον τὸ· ῥόχθει—. REISK.

17. πρὸς] Sic Paris. καὶ πρὸς Rom. REISK.

καὶ τούτου ἀπέσχετο διὰ ταύτην τὴν αἰτίαν· Ἀρίσταρχόν τινα, υἱὸν Μόσχου, ἔχων μαθητὴν εὐνούστατόν τε καὶ θρασὺν καὶ φονεύσαντα τοὺς ἀντιπολιτευομένους αὐτῷ, τόν τε Νικόδημον τὸν Ἀφιδναῖον καὶ Εὔβουλον τὸν πολιτευόμενον, αὐτὸς ὑπενοήθη ὑποβαλεῖν τῷ Ἀριστάρχῳ τοῦτο ποιῆσαι. ἀπαλλαγεὶς δὲ καὶ τούτου τοῦ ἐπιτηδεύ- 5 ματος, ὕστερον ὁρῶν φυόμενόν τε καὶ ἀκμάζοντα κατὰ τῆς Ἑλλάδος τὸν Φίλιππον ἐτράπη ἐπὶ τὸ γράφειν λόγους κατ' ἐκείνου καὶ τῶν προδιδόντων ἐκείνῳ· ἐτριηράρχησε δὲ καὶ ἐχορήγησε τῇ πόλει καὶ εἰσφορὰς ἐποιήσατο χρημάτων πολλάκις, καὶ κόρας ὀρφανευθείσας καὶ πενιχρὰς ἐπιγάμους πρὸς γάμον ἐξέδωκε καὶ λύσεις αἰχμαλώτων 10 Ἀθηναίων ἐποιήσατο· ὅθεν πολλάκις εὐνοίας τῆς πρὸς τὴν πόλιν χρυσοῖς στεφάνοις ἐστεφανώθη. Ἁρπάλου δέ τινος χρήματα κεκλοφότος παρ' Ἀλεξάνδρου τοῦ Φιλίππου καὶ φυγόντος παρ' Ἀθηναίοις καὶ ἀποθανόντος ἐν τῷ δεσμωτηρίῳ, ὑπονοηθεὶς ὡς λαβὼν παρ' αὐτοῦ χρήματα, κριθεὶς ἐπὶ πεντήκοντα ταλάντοις ἔφυγεν εἰς Αἴ- 15 γιναν, ὕστερον δ' ἀφείσης αὐτῷ τῆς πόλεως ἐπανῆλθεν, καὶ πάλιν κατ' Ἀλεξάνδρου ἔλεγε τοῦ παιδὸς Φιλίππου, ὡς καὶ κατὰ τοῦ πατρὸς αὐτοῦ. κρατήσαντος δ' Ἀλεξάνδρου τῆς Ἑλλάδος καὶ μέλλοντος ἐλθεῖν καὶ ἐπὶ τὰς Ἀθήνας, ἐξαιτηθεὶς παρ' αὐτοῦ οὐκ ἐδόθη, τῶν Ἀθηναίων πρεσβευσαμένων πρὸς αὐτὸν καὶ λεγόντων ὅτι "ἐν σοί 20 "ἐστι καὶ τὸ λαβεῖν καὶ τὸ μὴ λαβεῖν, ὁπότε καὶ τὴν πόλιν αὐτήν· "ὅμως φρόνησόν τι καὶ βούλευσαι ἄξιον τῆς σεαυτοῦ φύσεως." ὁ δὲ ἐπικλασθεὶς τῷ ἐλέῳ καὶ γελάσας ἀνεχώρησεν· ἔσχε γὰρ τὸ φιλάνθρωπον μετὰ τῆς δυναστείας, ᾗπερ ὁ αὐτοῦ πατήρ. ὡς δὲ καὶ Ἀλέξανδρος ἐτελεύτησε καὶ τὴν τούτου βασιλείαν διεδέξατο Ἀντίπατρός 25 τις τῶν παρασπιστῶν ἐκείνου, πάλιν καὶ κατὰ τούτου ἐδημηγόρει. ἀμέλει καὶ φρουρὰν καταστήσαντος Ἀλεξάνδρου ἐν ταῖς Θήβαις μετὰ τὸ κατασκάψαι τοὺς Θηβαίους διὰ τὸ ἀπογυμνώσασθαι αὐτῷ ἐν τῇ πολιορκίᾳ καὶ ὑβρίσαι αὐτόν, ἐναντία πράττων ὁ Δημοσθένης τῷ Ἀντιπάτρῳ ἔπεισεν Ἀθηναίους ὥστ' ἐξελθεῖν καὶ ἐξελάσαι ταύτην 30 τὴν φρουράν. ὅθεν ὀργιζόμενος Ἀντίπατρος ἐστράτευσε κατὰ τῶν

11. πολλάκις] Sic Paris. πολλῆς Rom. REISK.

13. παρ' Ἀθηναίοις] Imo vero παρ' Ἀθηναίους. verum jam supra in hunc soloecismum impegerat, initio opusculi, in illis φυγὼν παρὰ τοῖς τοῦ Πόντου δυνάσταις, pro παρὰ τοὺς τ. Π. δυνάστας. sed relinquendæ sunt isti fæci Græcitatis suæ sordes. REISK.

24. ᾗπερ] Sic emendandum esse adscripserat Schweigheuserus. nam in utroque codice est ἤπερ. REISK.

Ἀθηναίων. προορώμενος δ' ὁ Δημοσθένης ὡς ὅτι οὐκ ἐλεηθήσεται παρὰ τούτου ἐξαιτηθεὶς διὰ τὸ ὠμόν τε καὶ βίαιον τοῦ ἀνδρὸς, ἔφυγεν εἰς τὸ ἱερὸν τοῦ Ποσειδῶνος τὸ ἐν τῇ Καλαυρίᾳ τῇ νήσῳ τῇ πρὸς τῇ Τροιζῆνι. μέλλων δ' ἄγεσθαι πρὸς Ἀντίπατρον ὑπὸ Ἀρχίου τοῦ ὑποκριτοῦ τοῦ πεμφθέντος πρὸς αὐτὸν καὶ παρακρουομένου αὐτὸν, ὡς οὐκ 5 εἰς θάνατον ἄγοιτο, ἀπεκρίνατο αὐτῷ ὡς ὅτι οὐδέποτέ μοι ἤρεσας, οὔτε ὑποκρινόμενος οὔτε νῦν με πείθων. καὶ τοῦτο εἰπὼν, μικρὸν παρεξελθὼν, ἵνα μὴ μιάνῃ τῷ θανάτῳ τὸ ἱερὸν, λαβὼν δ' ὑπὸ τῇ σφραγῖδι εἶχε φάρμακον εἰς τοῦτο ἐκ πολλοῦ αὐτῷ κατεσκευασμένον ἑκὼν ἀπέθανεν. ἐβίωσε δὲ ἔτη ξ' καὶ τρία, ἐγεννήθη δ' ἐνιαυτῷ πρότερον 10 τῆς ἑκατοστῆς ὀλυμπιάδος. εἰκόνα δ' αὐτοῦ ἔστησαν οἱ Ἀθηναῖοι ἐν τῷ Κεραμεικῷ χαλκῆν, θαυμάσαντες αὐτοῦ τήν τ' ἀρετὴν καὶ τὴν εὔνοιαν, ἣν εἶχε περὶ τὴν πόλιν. ἐπεγέγραπτο δὲ τῇ εἰκόνι αὐτοῦ τοῦτο τὸ ἐγίγραμμα·

εἴπερ ἴσην γνώμην ῥώμην, Δημόσθενες, ἔσχες, 15
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

ἀπέθανε δὲ ἕκτῃ ἐπὶ δέκα τοῦ πυανεψιῶνος μηνὸς, ἥτις ἐστὶν Ἀθήνησι σκυθρωποτάτη ἡμέρα διὰ τὸ συμβαίνειν τότε εἶναι τὰ Θεσμοφόρια καὶ νηστεύειν τότε τὰς γυναῖκας. κατέλειψε δὲ πολλοὺς λόγους, οἷον τοὺς Φιλιππικοὺς, τοὺς δημοσίους, τοὺς ἐπιτροπικοὺς, τοὺς ἰδιωτι- 20 κοὺς, τὰ προοίμια, τὸν ἐρωτικὸν, τὸν ἐπιτάφιον, τὰς ἐπιστολάς.

9. αὐτῷ κατεσκευασμένον] Interponit Paris. τοῦτο, quod a Romano abest. REISK.

18. τότε εἶναι τὰ Θεσμοφ.] Infinitivum εἶναι, qui Parisino deest, addidi e Romano. REISK. εἶναι est etiam in Parisino.

ΕΤΕΡΩΣ Ο ΔΗΜΟΣΘΕΝΟΥΣ ΒΙΟΣ.

Ὁ ΔΗΜΟΣΘΕΝΟΥΣ βίος τοῦ ῥήτορος ἀναγκαῖός ἐστι τοῖς ἐπὶ ῥητορικὴν ἀσκοῦσιν ἑαυτούς· πολλὴν γὰρ ὁ βίος αὐτοῦ φέρει τοῖς μαθοῦσιν ὠφέλειαν. ὅθεν ὅσα περὶ τἀνδρὸς πυνθανόμεθα λέγωμεν διὰ συντόμων, ὅστις τε ἦν διεξιόντες καὶ τίνος καὶ ἃ τὴν πόλιν διώρ- 5 θωσεν. ἀπὸ δὲ τοῦ γένους αὐτοῦ πρῶτον ἀρξώμεθα. ταῦτα τοίνυν ἐστὶν ἃ περὶ Δημοσθένους πυνθανόμεθα. Γύλων ἀνὴρ Ἀθηναῖος φθονηθεὶς, οἶμαι, δι' ἀρετὴν (οἰκεῖον γὰρ καὶ σύνηθες τῇ πόλει τοῦτο τὸ πάθος) αἰτίαν ἔσχεν προδεδωκέναι Νύμφαιον, χωρίον ἐν Πόντῳ κείμενον. ἀδοξήσας δὲ διὰ τὴν ἐκ τῆς κατηγορίας ὕβριν, τάχα δὲ 10 καὶ φοβηθεὶς τοὺς συκοφάντας, (ἰσχυρὸν γὰρ ἐν Ἀθήναις τὸ τούτων γένος) τὴν τούτων κρίσιν οὐ περιέμεινε, τῆς δὲ κατηγορίας προεξῆλθε· καὶ παραγενόμενος εἰς Σκυθίαν γαμεῖ τῶν ἐπιχωρίων τινὸς θυγατέρα, πολλὴν προῖκα σὺν αὐτῇ λαβών. δύο δὲ γεννήσας καὶ θρέψας θυγατέρας, ὡς τὴν τοῦ γάμου ὥραν ἐπέλαβον, ἑτοιμάσας προῖκας αὐταῖς 15 εἰς Ἀθήνας ἔπεμψε, κομίσασθαι τὴν πατρίδα θελήσας, εἰ καὶ μὴ δι' ἑαυτοῦ, διὰ γοῦν τῶν θυγατέρων. ἔγημε δὲ τὴν μὲν Φιλοχάρης, τὴν δ' ἑτέραν Δημοσθένης, τὸν μὲν δῆμον Παιανιεὺς, μαχαιροποιὸς δὲ τὴν τέχνην. ἐξ ἧς ἐγέννησε τὸν ῥήτορα Δημοσθένην, ὀνόματος μὲν πατρῴου κληρονόμον, οὔτε δὲ τέχνης οὔτε τύχης ὁμοίας διάδοχον. 20 ἀποθανόντος δὲ τοῦ πατρὸς καταλειφθεὶς ὑπὸ μητρὶ τρεῖς ἔσχεν ἐπιτρόπους, συγγενεῖς μὲν καὶ φίλους, ἐχθροὺς δὲ τῇ διαθέσει, Ἄφοβον καὶ Δημοφῶντα, ἀλλήλων ἀδελφιδοῦς, καὶ Θηριππίδην, φίλον αὐτοῦ τῷ πατρὶ ἐκ παίδων γεγενημένον. πολλὴν δ' οὗτοι παραλαβόντες

1. Ὁ Δημοσθένους] Interponit Paris. περί. sed annotaverat Schweigheuserus, illam præpositionem a nova manu punctis undique vallatam esse. Quod indicat eam esse cancellandam. REISK.

10. Lego τάχα δὲ καὶ φοβηθείς. REISK. Addidi καὶ, quod habet codex Gothanus.

οὐσίαν, δέον αὐτὴν ἐκ τῆς ἐπιτροπῆς ποιῆσαι πλείονα καὶ τηρῆσαι τὸν ὀρφανὸν πλούσιον, οὐ μόνον διήρπασαν, ἀλλὰ καὶ τῆς Δημοσθένους παιδείας ἠμέλησαν, οὐδένα λόγον δώσειν τῆς ἐπιτροπῆς ὑπολαμβάνοντες, ἐὰν τὸν ἀδικούμενον τηρήσωσιν ἀπαίδευτον. ἦν δ', ὡς ἔοικεν, ὁ παῖς ὑπὸ τῆς προνοίας τῶν θεῶν ἐπιτροπευόμενος, οἳ παρ- 5 έσχον αὐτῷ ἐπιθυμίαν παιδείας λόγου. προθέμενος γὰρ ἐλπίδας Δημοσθένης ἀγαθὰς, μείζονας ἑαυτοῦ, καὶ τὴν τοῦ πατρὸς καὶ τὴν τῶν ἐπιτρόπων χώραν ἐξέπλησεν· τῆς τε γὰρ ἐγκυκλίου καλουμένης παιδείας μετέλαβε, τῷ τε μάλιστα κατὰ ῥητορικὴν καὶ ἐν τῷ δικαστηρίῳ ἐπαινουμένῳ παρήδρευσεν Ἰσαίῳ, μαθητῇ μὲν Ἰσοκράτους 10 ὄντι, κεκοσμηκότι δὲ τὴν σχολικὴν ἡσυχίαν ἐναγωνίῳ δεινότητι. πάντα δ' ἦν, ὡς ἔοικε, Δημοσθένει πρὸς τὸ τέλειον συνεργοῦντα, φύσις, φιλομάθεια, πόνος. φύσις μὲν ἡ ῥᾳδίως αὐτῷ τὴν κατάληψιν τῶν πραγμάτων χορηγοῦσα· πόνος δ' ὁ καὶ τὰ δυσχερῆ κτώμενος· φιλομάθεια δὲ τὴν τῶν καλῶν ἐπιθυμίαν εἰσάγουσα. 15 ἔστι δὲ τοῦ Δημοσθένους πόνου καὶ τῆς περὶ τὴν ἄσκησιν τοῦ λόγου ταλαιπωρίας κἀκεῖνα τεκμήρια. φασὶ γὰρ αὐτὸν ἐν οἰκίσκῳ καταγείῳ διαιτώμενον πονεῖν, δηλονότι φεύγοντα τὰς ἀπὸ τῶν ἡλίκων καὶ φίλων διοχλήσεις. διαξυρῆσαι δὲ λέγουσιν αὐτὸν μέρος τῆς κεφαλῆς, ἵνα κατεχόμενος ὑπὸ τῆς αἰδοῦς ἑαυτῷ βλέπηται μόνῳ. ταχεῖαν 20 μέντοι ἔλαβε τὴν ἐν τῷ λόγῳ σπουδὴν, ὥστε αὐτὸν περὶ ὀκτωκαίδεκα ἔτη γενόμενον τὰς κατὰ τῶν ἐπιτρόπων ἀποθέσθαι δίκας καὶ τὴν τοῦ λέγειν καλῶς λαβεῖν δόξαν, καὶ τῶν ἀδικησάντων κρατῆσαι, μὴ μέντοι γενέσθαι μετὰ τὴν νίκην ἀπάνθρωπον, ἀλλ' ἀντὶ πολλῶν πατρῴων ὀλίγα λαβεῖν, ὅσα δυνατὸν ἦν τοῖς ἀδικήσασιν ἀποδοῦναι. 25 προκόπτων δὲ κατὰ τὴν ἡλικίαν καὶ μᾶλλον ἐπὶ τῷ λέγειν ἐπαινούμενος ἐπὶ σοφιστείαν τρέπεται καὶ καθηγεῖται τῶν νέων τῶν ῥητορεύειν βουλομένων. ἐπ' Ἀριστάρχῳ δὲ τῷ Μόσχου διαβληθεὶς, μειρακίῳ τῶν εὐγενῶν, ὡς ἐραστὴς αὐτοῦ γεγονὼς, παρῃτήσατο αὐτοῦ τὴν παρ' αὐτὸν ἄφιξιν, ἵνα τοῖς αἰτιωμένοις ὑπονοεῖν αὐτὸν 30

6. Num παιδείας εὐλόγου. REISK.

10. παρήδρευσεν] παρίδρευσεν (sic) Paris.

15. κτώμενος] ἰώμενος Jacobsius.

16. Lacuna in lacera membrana suppletur in margine ab antiqua, sed parum legibili manu. Verba supplenda hæc quidem videntur περὶ τὴν ἄσκησιν. SCHWEIGHEUSERUS. Hoc ipsum in cod. Paris. agnoscere licet et clare scriptum exstat aliis in codicibus.

μηκέτι ἐξῇ. λόγους δὲ γράφειν ἀρξάμενος ἐσυκοφαντήθη τότε διαβληθεὶς ὡς δυσὶ πολίταις δέδωκε λόγους ἀπεναντίους, Ἀπολλοδώρῳ καὶ Φορμίωνι. καταγνοὺς δὲ καὶ τοῦ λογογραφεῖν, ἀποκειμένην εὗρε τὴν πολιτείαν καὶ τὴν τῶν κοινῶν πραγμάτων ἐπιμέλειαν καὶ τὴν ἐν ταῖς ἐκκλησίαις δόξαν. παρηκολούθει δ' αὐτῷ τρία τοῦ λέγειν ἁμαρ- 5 τήματα νουθεσίας τινὸς καὶ θεραπείας δεόμενα· τῶν τε γὰρ στοιχείων οὐκ ἐτρανοποίει τὸ ρ, τόν τε ὦμον ἀκαίρως ἀνέσειε καὶ θορυβούμενος ἐξέπιπτε τῆς σκέψεως πολλάκις. ταῦτα δ' ἴσως ἄλλῳ μὲν συμβάντα μεγάλα ἦν, ἐξεδιώχθη δ' ὑπὸ Δημοσθένους ὡς ἀσθενῆ. καὶ τό τε ρ ποικίλως ἐν τῷ στόματι γυμνάσας ἐκομίσατο τόν τ' 10 ὦμον συνευτακτεῖν τοῖς ἄλλοις μέρεσι τοῦ σώματος ἔπεισε τὸν τρόπον τοῦτον· λόγχην ἀπὸ τῆς στέγης καταρτήσας καὶ ἱστάμενος ὑπ' αὐτὴν ἔλεγε καὶ κατεχόμενος ὑπὸ τοῦ φόβου τὸν ὦμον ἐνουθέτησεν· τήν τε κατοχὴν τῶν ἐσκεμμένων οὕτως ἐποίησε μόνιμον ὥστε μηδ' ὑπὸ τῶν μεγίστων ἐκπλήττεσθαι θορύβων. δδεύων γὰρ παρ' αἰγια- 15 λοὺς, καὶ τῶν προσπιπτόντων ταῖς ᾠιόσι κυμάτων τὸν ἦχον δεχόμενος ἀντέτασσε τοὺς ἑαυτοῦ λογισμούς· τοῦτο δὲ ἦν ἄσκησις ἐπὶ τὴν τῶν ὄχλων καταφρόνησιν. ὑποκρίσει δὲ λειπόμενος καὶ διὰ τοῦτο φερόμενος ἐν ταῖς ἐκκλησίαις ἧττον ὑπὸ Ἀνδρονίκου, τοῦ κατ' αὐτὸν ἀρίστου τῶν ὑποκριτῶν, ἐδιδάχθη, καὶ τὰ μυστήρια τῆς ὑποκρίσεως 20 οὕτως παρέλαβεν ὥστε γενέσθαι μιμητὴς προσώπων ἀνδρειότατος καὶ τὸ πλῆθος ταύτῃ μάλιστα πείθειν ἐν ταῖς ἐκκλησίαις. τέλειος οὖν ἐν πᾶσι γενόμενος τὴν τῆς ῥητορικῆς δύναμιν ἐκτήσατο, ὡς ἂν εἴποι τις, ὁλόκληρον ἐφ' οἷς ἐπρώτευσε λόγοις οὐ μόνον ὠφελῶν τὴν πόλιν, ἀλλὰ καὶ ἀπὸ τῆς οὐσίας ἐπιδιδούς· καὶ γὰρ ἐτριηράρχησε 25 τῆς ἰδίας φυλῆς αὐτεπάγγελτος. συνέβη δ' αὐτῷ κατὰ τὴν χορηγίαν δυστύχημα· Μειδίας γὰρ ἐχθρὸς ὢν αὐτῷ παλαιὸς κονδύλῳ αὐτὸν ὕβρισεν ἐστεφανωμένον ἐν τῷ θεάτρῳ. καὶ ὁ δῆμος ὀργισθεὶς κατεχειροτόνησε τοῦ Μειδίου. λαβὼν δὲ παρὰ τοῦ Μειδίου τρισχιλίας δραχμὰς καθυφήκατο τὴν παρ' αὐτοῦ δίκην. ὅμοιον δέ τι 30 τούτῳ ἕτερον πρότερον ἐποίησε. Δημομέλη γὰρ τὸν ἀνεψιὸν γραψάμενος εἰς Ἄρειον πάγον τραύματος ἀργύριον λαβὼν παρῆκεν. ὅθεν καὶ Αἰσχίνης ὀνειδίζων αὐτῷ λέγει "ὁ τὴν κεφαλὴν πρόσοδον

22. πείθειν] πείθων Paris. superscripto a m. sec. ει.

26. φυλῆς pro βουλῆς correxit Reiskius.

32. παρῆκεν] παρέσχεν Paris. a m. pr.

"κεκτημένος," ὅτι ἀπὸ τῆς κεφαλῆς ἐπορίζετο. ἔγημε δὲ τὴν Χαβρίου γυναῖκα, Κτησίππου δὲ μητέρα, μετὰ τὸν θάνατον τοῦ στρατηγοῦ Χαβρίου. τοιούτου γάμου δόξας ἄξιος οὐ τὴν αὐτὴν τάξιν τῆς πόλεως εἵλετο Αἰσχίνῃ καὶ Δημάδῃ καὶ Φιλοκράτει, οὐδὲ μιμητὴς τῶν ἄλλων δημηγόρων ἐγένετο. τοῖς δὲ Φιλίππου πράγμασιν ἀντε- 5 πολιτεύσατο καὶ προὐκαλεῖτο τὴν ἐκείνου τύχην, καὶ τὴν πατρίδα βλέπων ἐν κινδύνοις καὶ δουλείᾳ γιγνομένην τήν τε τῶν προγόνων ἀρετὴν ἐτήρησεν αὐτῇ καὶ τὸ πάτριον φρόνημα. ἄξιον δὲ καὶ περὶ τούτων εἰπεῖν πλείονα, ἵνα καὶ βεβαιότερα τῆς Δημοσθένους ἀρετῆς τεκμήρια λάβωμεν. Φίλιππος Ἀμύντου μὲν ἦν παῖς καὶ Εὐρυδί- 10 κης, βασιλεὺς δὲ Μακεδονίας· ἐν Πέλλῃ δὲ γενόμενος, ἀδόξῳ καὶ ταπεινῷ χωρίῳ, δύναμιν δὲ πρῶτον ὀλίγην ἔχων, ὑπ' ἐκείνης βοηθούμενος Ἰλλυριοὺς κατεστρέψατο καὶ Τριβαλλοὺς καὶ Παιόνων ἐκράτησεν· καὶ μετὰ ταῦτα τετραδαρχίαις τὴν Θετταλίαν κατέλαβεν, Εὐβοίας τε τυράννους ἀπέδειξεν οὓς ἠθέλησε καὶ Φωκεῖς ἀναστάτους 15 ἐποίησε, σφαγάς τε πολλὰς ἐτόλμησεν ἐν Ἤλιδι, αὐτός τε τὸν τῶν Ὀλυμπίων ἀγῶνα διετάσσετο, πολλῶν τε διδάσκαλος προδοτῶν ἐγένετο τοὺς ἐν ἑκάστῃ πόλει πονηροὺς διὰ τοῦ χρυσίου φίλους αὐτῷ κατασκευάζων· ὅτε καὶ λ' δήμους ἀνεῖλεν ἐν Θρᾴκῃ καὶ τὴν Ἀμφίπολιν καὶ τὴν Ἀλόννησον προσεκτήσατο. προέκοψε δὲ πλεονεξίας εἰς 20 τοσοῦτον ὥστε καὶ Ἀττικοὺς προδότας ἔχειν, καὶ τὸ κεφάλαιον δὲ τῶν ὅλων πραγμάτων τοῦτο ἦν αὐτῷ, χειρώσασθαι τὰς Ἀθήνας. ἐδόκει γὰρ ἐξιέναι, ὅταν αὐτοὶ μὴ δύνωνται μάχεσθαι περὶ αὐτῆς Ἀθηναῖοι. καὶ τάχα ἂν τῆς πόλεως ἀπήνεγκε τὴν ἐλευθερίαν, εἰ μὴ Δημοσθένης ἀδωροδόκητος ἔμεινε καὶ μόνος τοῖς Μακεδονικοῖς ὅπλοις 25 τοὺς ἰδίους λόγους ἀντέταξε, διὰ παντὸς ὑπομιμνήσκων Ἀθηναίους τῶν προγόνων καὶ τόν τε Μαραθῶνα καὶ τὴν Σαλαμῖνα καὶ τὰς Πλαταιὰς τοῖς νέοις ἐξηγούμενος. ὅθεν ἥρπαζον τὰς παρ' αὐτοῦ συμβουλίας οἱ πολῖται, καὶ τῶν ἄλλων φιλιππισμὸν καταγνόντες μόνον ἐκεῖνον εὔνουν ἐπίστευον εἶναι. καί ποτε Φιλίππου Θηβαίοις 30 πολεμοῦντος καὶ ταύτην ἀφορμὴν κατὰ τῆς Ἀττικῆς λαμβάνοντος ἔπεισεν ὁ ῥήτωρ συμμαχῆσαι Θηβαίοις. καὶ γενομένης ἐν Χαιρωνείᾳ μάχης καὶ χιλίων μὲν ἀναιρεθέντων Ἀθηναίων, δεθέντων δὲ

2. μητέρα Westermannus. θυγατέρα libri.

23. ἐξεῖναι] Leg. ἐξιέναι. *exire in campum*. REISK. Recepi.

δισχιλίων, οὐκ ἐμισήθη Δημοσθένης, ἀλλὰ καὶ τὸν ἐπιτάφιον εἶπε τῶν ἀναιρεθέντων, καλῶς φρονησάντων Ἀθηναίων. ἔγνωσαν γὰρ ὅτι τὸ μὲν τὰ κάλλιστα συμβουλεῦσαι Δημοσθένους ἔργον ἦν, τὸ δὲ συμβὰν πταῖσμα τῆς τύχης. κἀκεῖνο δ' αὖ τῆς εἰς τὴν πατρίδα εὐνοίας τεκμήριον, ὅτι ἀποθανούσης αὐτοῦ τῆς θυγατρὸς, ἣν εἶχε μόνην, ἑβδόμην ἔχων ἡμέραν τοῦ πένθους, πυθόμενος ἀνῃρῆσθαι Φίλιππον ὑπὸ Παυσανίου μετημφιάσατο καὶ τοῖς θεοῖς ἔθυσε, φανερὸν ποιήσας ὅτι τὴν κοινὴν εὐτυχίαν ἐπίπροσθεν ποιεῖται τῆς ἰδίας συμφορᾶς. ἀντέσχε δ' ὁ ῥήτωρ καὶ μετὰ τὸν Φιλίππου θάνατον καὶ Ἀλεξάνδρῳ πατρῴαν ἔχθραν ὑποκρίσει φιλίας πρὸς Ἀθηναίους κεκληρονομηκότι. κατὰ μέντοι τοῦτον τὸν βασιλέα δυστυχημάτων ἤρξατο. πολλὰ γὰρ νοσφισάμενος Ἅρπαλος τῶν Ἀλεξάνδρου χρημάτων πρὸς Ἀθηναίους κατέφυγεν, ὧν καὶ Δημοσθένης εἰληφέναι τι μέρος ἔδοξε, καὶ κατακριθεὶς ἐδέθη μὲν ἡμέρας ι', μετὰ δὲ ἓξ ἡμέρας ἀπῆλθεν εἰς Τροιζῆνα, κρείττονα τῶν ἐν Ἀθήναις δεσμῶν τὴν ἐξ Ἀθηνῶν φυγὴν δοκιμάσας. Ἀλεξάνδρου δὲ χωρισθέντος ἐξ ἀνθρώπων ἐν Βαβυλῶνι, καταπαύσαντος τὴν ἀκμὴν τῆς τύχης, ἀνεκαλέσαντο διὰ ψηφίσματος οἱ Ἀθηναῖοι τὸν Δημοσθένην, ὁμολογήσαντες ὅτι αὐτοῦ κατέγνωσαν Ἀλεξάνδρου. ὁ δὲ παραγενόμενος πρὸς Ἀντίπατρον συνέστησε τὴν Ἑλλάδα· κληρονόμος γὰρ οὗτος τῆς Μακεδόνων ἡγεμονίας ἐγένετο· καὶ πάντως ἂν ἑάλω πολιορκηθεὶς ἐν τῇ Λαμίᾳ (πόλις δ' ἐστὶν αὕτη μία τῶν Θεσσαλικῶν) εἰ μὴ διέπεσε τὰ τῆς πολιορκίας, πρώτων Αἰτωλῶν ἀποχωρησάντων, ἔπειτα τῶν ἄλλων. κρατήσας δὲ μετὰ ταῦτα Ἑλλήνων Ἀντίπατρος βαρβαρικῶς τοῖς πράγμασιν ἐχρήσατο μᾶλλον ἢ φιλανθρώπως. πέμψας γὰρ εἰς Ἀθήνας ἐξῄτει τοὺς δέκα ῥήτορας, οἳ τοῖς Μακεδόνων ἐδόκουν ἐμπεποδικέναι πράγμασιν. ὑποτασσομένων δὲ τοῖς πράγμασιν Ἀθηναίων Δημοσθένης εὐλαβηθεὶς εἰς Καλαυρίαν ἀπέδρα καὶ τοῦ Ποσειδῶνος ἱκέτης ἐγένετο· τὸ δὲ ἱερὸν ἄσυλον ἐδόκει. πέμψαντος δὲ τὸν πονηρότατον Ἀντιπάτρου τῶν ὑπασπιστῶν Ἀρχίαν, ἵνα αὐτὸν, ἂν μὴ δύνηται τέχνῃ, βίᾳ καταγάγῃ, νοήσας ὁ Δημοσθένης τὸν κίνδυνον ἀνέδραμεν ἐπὶ τὸν βωμὸν καὶ πολλὰ κατειπὼν Ἀντιπάτρου, τελευ-

10. φιλίας] φιλίαν Paris.

19. Aut ante aut post Ἀλεξάνδρου deest voc. φόβῳ aut δέει. REISK.

22. Λαμίᾳ Schweighæuserus pro Σαλαμῖνι.

Θεσσαλικῶν Jacobsius pro θαλασσίων. Θεσσαλῶν Schweighæuserus.

ταίαν τοῖς Ἕλλησιν ἐντολὴν καταλιπὼν, ἐλευθεροῦν τὰς πόλεις, ἐξέφαγε τῆς σφαγῖδος τὸ τοξικὸν φάρμακον γενόμενον αὐτῷ μετὰ προνοίας ἐπὶ τοιαύτην βίου μεταβολὴν, καὶ πρὸ τοῦ πειραθῆναι δουλείας ἀπέθανεν ὡς Ἀθηναῖος. ἐμνημόνευσαν δὲ τῆς τοῦ ῥήτορος ἀρετῆς οἱ πολῖται, καὶ ἀνδριάντι αὐτὸν ἐτίμησαν, στήσαντες ἐν τῇ ἀγορᾷ, καὶ τοιοῦτον ἐπιγράψαντες ἐλεγεῖον, Εἴπερ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, ἔσχες, οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών. καὶ σχεδὸν ὅσα λέγεται περὶ Δημοσθένους ταῦτά ἐστιν. ἐξ ὧν δυνατόν ἐστι τοῖς εὖ φρονοῦσι λογίσασθαι πόσης ὁ λόγος τοῖς ἀνθρώποις αἴτιός ἐστι προκοπῆς. Δημοσθένης οὖν, ὡς εἰρήκαμεν, μαχαιροποιοῦ παῖς γενόμενος τῷ λόγῳ πεπιστευκὼς τὴν Ἀθηναίων πόλιν ἐκόσμησε καὶ πᾶσι τοῖς Μακεδονίας βασιλεῦσιν ἀντέσχε, καὶ τῶν μεγίστων τιμῶν ἐν τοῖς Ἕλλησιν ἠξιώθη, πάσας κατασκευάσας διὰ τοῦ λόγου πατρίδας αὐτῷ. διεβάλλετο δ' ὡς τὰ βασιλέως τῶν Περσῶν φρονῶν καὶ μηδίζων καὶ παρ' ἐκείνου λαμβάνων χρήματα.

I.

ΟΛΥΝΘΙΑΚΟΣ Α.

9, 1. Ἀντι πολλῶν—] Τὸ προοίμιον ἐκ πλαγίου ἔπαινος τῶν ἀκροατῶν χρηστοῦ ὑποκειμένου πράγματος. καὶ ἔστι πρῶτος τόπος τῶν ἐξ ὑπολήψεως. B.R.S.V.

σύντομον τὸ προοίμιον διὰ τὴν τῶν πραγμάτων χρείαν. B.Y.V.

ἠθικὸν καὶ πραγματικὸν τὸ προοίμιον· τὸ μὲν γὰρ ἐν τῇ λέξει 5 μέτριον καὶ ἐπιεικὲς ἦθος ἔχον εὔνουν ποιεῖ τὸν ἀκροατὴν καὶ παθητικὸν ἀπεργάζεται τὸν λόγον, ἡ δὲ λύσις τῶν ἀντιπιπτόντων καὶ ἡ σπερματικὴ τῶν κεφαλαίων ἐπαγωγὴ πραγματικὸν ποιεῖ τὸ προοίμιον· ἴδιον γὰρ μάλιστα Δημοσθένους καὶ Θουκυδίδου μὴ μόνον ἀπὸ τῶν συναγωνιζομένων αὐτοῖς κεφαλαίων ποιεῖσθαι τὰ προοίμια, 10 ἀλλὰ καὶ τὰ δοκοῦντα λυπεῖν αὐτοὺς εὐθὺς ἐν ἀρχῇ θεραπεύειν

1. τὸ προοίμιον addidi ex R.S. In S. hic et alibi compendio scriptum τὸ ἀοι.

τῶν ἀκροατῶν] τοῦ ἀκροατοῦ R.

2. τόπος] τρόπος R.

πρῶτος τόπος τῶν ἐξ ὑπολήψεως] Vide Hermogenem lib. i. cap. 1. περὶ εὑρέσεων. WOLF.

4. σύντομον] σύντομον δὲ V.

5. ἠθικὸν] Hujus scholii pars est etiam in B. ita compendifacta, ἠθικὸν καὶ πραγματικὸν—τὸν ἀκροατήν· ἡ δὲ—ἴδιον γὰρ τοῦ ῥήτορος μὴ μόνον—ἀλλὰ καὶ τὰ ἐφορμοῦντα εὐθὺς ἐν ἀρχῇ θεραπεύειν. Tum sequitur præcedens scholion σύντομον τὸ προοίμιον—χρείαν. post quod sic pergitur σημείωσαι ὅτι τὸ προοίμιον πλέκεται ἀπὸ τοῦ συμφέροντος κεφαλαίου καὶ τοῦ δυνατοῦ· καὶ γὰρ ὁ σύμπας λόγος ἀπὸ τῶν—αὐτὸν τὸ—καταφρονεῖν χρημάτων. μεθ' ὑπερβολῆς δὲ ἐχρήσατο τῷ νοήματι, οὐχ ἁπλῶς χρημάτων εἰπὼν, ἀλλὰ πολλῶν· εἰ γὰρ πολλῶν, πολλῷ μᾶλλον ὀλίγων. νομίζω δὲ εἶπε, καὶ οὐ πέπεισμαι, ὅτι τὸ μὲν ἠθικὸν ὂν—καθίστησιν.

ἠθικὸν—προοίμιον hoc loco om. R, sed habet p. 31, 1., ubi pars hujus scholii (ἠθικὸν—ἐν ἀρχῇ θεραπεύειν) repetitur.

6. εὔνουν] Sic hic R: infra ἄνω, quam scripturam illic etiam ex H. 17. annotabimus.

7. παθητικὸν] Scribendum ἠθικὸν, ut in scholio inferiore p. 31, 3. correxit Wolfius.

καὶ παθητικὸν—τὸν λόγον] Hæc verba om. R. loco altero et B.

9. ἴδιον γὰρ—ποιεῖσθαι τὰ προοίμια] Hæc om. R, loco altero, errore librarii, qui a προοίμιον aberravit ad προοίμια.

10. συναγωνιζομένων] ἀγωνιζομένων R.

11. ἀλλὰ καὶ τὰ δοκοῦντα λυπεῖν αὐτοὺς εὐθὺς] ἀλλὰ καὶ (adde τὰ) ἐφορμοῦντα εὐθὺς R. loco altero.

θεραπεύειν] θεραπεύει R. infra.

τεχνικῶς σφόδρα καὶ δεινῶς· ἀναιρεθέντων γὰρ τῶν ἀντιπιπτόντων καὶ τῶν ὑφορμούντων ἐν τῇ γνώμῃ τῶν ἀκροατῶν ῥᾷον ὑποδέχεται λοιπὸν τὰ μηδεμίαν ἀντίρρησιν ἔχοντα. τὸ μὲν οὖν προοίμιον ἀπὸ τοῦ συμφέροντος καὶ δυνατοῦ κεφαλαίου πέπλεκται· καὶ γὰρ ὁ σύμπας λόγος διὰ τῶν αὐτῶν προῆκται· λυποῦν δὲ ἦν αὐτὸν τὸ κατὰ τὰ θεωρικὰ χρήματα· διὸ καὶ ἐν ἀρχῇ λεληθότως κατασκευάζει τοὺς ἀκροατὰς καταφρονεῖν χρημάτων. καὶ ἔστι τοῦτο παραπλήσιον ᾧ κέχρηται ἐν τῷ πρὸς Λεπτίνην "Λέγονται χρήματα οἱ τριάκοντα "δανείσασθαι παρὰ Λακεδαιμονίων." καὶ γὰρ ἐκεῖ τοῦ Λεπτίνου χορηγῶν καὶ χρημάτων ἀφθονίαν ὑπισχνουμένου παρασχήσειν πείθει τοὺς Ἀθηναίους διὰ τοῦ διηγήματος ἐλάττονα ποιεῖσθαι λόγον τῶν χρημάτων. ἔλθωμεν καὶ ἐπ' αὐτὸ τὸ προοίμιον. "Ἀντὶ πολλῶν" ἄνωθεν μεθ' ὑπερβολῆς ἐχρήσατο τῷ νοήματι, οὐχ ἁπλῶς χρημάτων εἰπών, ἀλλὰ καὶ πολλῶν. ἐπειδὴ γὰρ ἀλλαχοῦ τοῖς περὶ τῶν ἰατρῶν, καὶ πάλιν ἐν τῷ περὶ συντάξεως δύο ὀβολῶν ἀξίους εἶναί φησι τοὺς σπουδάζοντας περὶ τῶν δύο ὀβολῶν, διὰ τοῦτο νῦν μεθ' ὑπερβολῆς εἰσήγαγεν ὅτι εἰ πολλῶν χρημάτων σύνηθες ὑμῖν καταφρονεῖν, πόσῳ μᾶλλον τῶν ὀλίγων τούτων ἄξιον παριδεῖν; καλῶς δὲ καὶ τὸ κατὰ ἐνδοιασμὸν, ὅτι νομίζω, καὶ μὴ παντελῶς εἰπεῖν ὅτι πέπεισμαι· τὸ μὲν γὰρ ἠθικὸν ὂν εἰς συγκατάθεσιν ἄγει τὸν ἀκροατὴν, τὸ δὲ ἀποφασιν ἔχον φιλόνεικον αὐτὸν μᾶλλον καθίστησι. R.

Ἄλλως. ὅτι τὸ νομίζω καὶ τὸ δοκεῖν, ὡς ἤδη καὶ ἐν τοῖς Ἰσοκρατικοῖς εἴρηται, καὶ τὰ τοιαῦτα οὐ πάντως ἐπὶ ἀμφιβόλου τάττουσιν οἱ παλαιοὶ, ἀλλὰ πολλάκις καὶ ἐπὶ τοῦ ἀληθεύειν. οὕτως οὖν καὶ ἐνταῦθα τὸ νομίζω ἀντὶ τοῦ κρίνω καὶ πιστεύω. τὸ δὲ ὑμᾶς πολλὴν ἔμφασιν ἔχει, ὡς ἂν εἰ ἔλεγεν· ὑμᾶς, οὓς οὐχ εἷλε πλοῦτος ὁ Περσικὸς, οὐ Λακεδαιμόνιοι ὑπισχνούμενοι. B.

8. πρὸς Λεπτίνην] p. 460, 11.

12. καὶ] Malim δέ.

13. ἄνωθεν — καθίστησι] Hanc scholii partem habet etiam H. in quo ante hæc verba legitur, ἡ παράθεσις τοῦ συμφέροντος εἰς καταφρόνησιν ἄγει τοῦ δοκοῦντος καθ' ὑποτίμησιν ἐλάττονος.

14. τοῖς περὶ τῶν ἰατρῶν] Verba non integra.

15. ἐν τῷ περὶ συντάξεως] p. 169, 2.

18. καὶ τὸ om. H.

22. Ἰσοκρατικοῖς Dobræus. συγκριτικοῖς ἢ σωκρατικοῖς B. quod librarius posuit de scriptura codicis dubitans. Conf. scholion inferius p. 33.

25. νομίζω ἀντὶ — πιστεύω] Hæc verba etiam in S. in quo præcedit scholion τὸ ὑμᾶς πολλὴν ἔμφασιν — ὑπισχνούμενοι.

ἠθικὸν ὁμοῦ καὶ πραγματικὸν τὸ προοίμιον. τὸ μὲν γὰρ ἐν τῇ λέξει μέτριον καὶ ἐπιεικὲς ἦθος ἔχον εὔνουν ποιεῖ τὸν ἀκροατὴν καὶ ἠθικὸν ἀπεργάζεται τὸν λόγον, ἡ δὲ λύσις τῶν ἀντιπιπτόντων καὶ ἡ σπερματικὴ τῶν κεφαλαίων ἐπαγωγὴ πραγματικὸν ποιεῖ τὸ προοίμιον· ἴδιον γὰρ μάλιστα Δημοσθένους καὶ Θουκυδίδου μὴ μόνον ἀπὸ 5 τῶν συναγωνιζομένων αὐτοῖς κεφαλαίων ποιεῖσθαι τὰ προοίμια, ἀλλὰ καὶ τὰ δοκοῦντα ἀντιπίπτειν αὐτοῖς εὐθὺς ἐν ἀρχῇ θεραπεύειν τεχνικῶς σφόδρα καὶ δεινῶς· ἀναιρεθέντων γὰρ τῶν ἀντιπιπτόντων καὶ τῶν ὑφορμούντων ἐν τῇ γνώμῃ τῶν ἀκροατῶν ῥᾷον ὑποδέχεται λοιπὸν τὰ μηδεμίαν ἀντίρρησιν ἐπιδεχόμενα. τὸ μὲν οὖν προοίμιον πλέκεται ἀπὸ τοῦ συμφέ- 10 ροντος κεφαλαίου καὶ τοῦ δυνατοῦ· καὶ γὰρ ὁ σύμπας λόγος ἀπὸ τῶν αὐτῶν προῆκται. λυποῦν δὲ ἦν αὐτὸν τὸ κατὰ τὰ χρήματα τὰ θεωρικά· διὸ καὶ ἐν ἀρχῇ λεληθότως κατασκευάζει τοὺς ἀκροατὰς καταφρονεῖν χρημάτων. μεθ' ὑπερβολῆς δὲ ἐχρήσατο τῷ νοήματι, οὐχ ἁπλῶς

1. ἠθικὸν] *Moratum, lene,* quod suaves atque amabiles oratoris mores significat. ἦθος καὶ πάθος affectus significant: hoc acriores, illud leniores. WOLF.

πραγματικὸν] Πρακτικὸν, ἐνεργητικὸν, ἐνεργὲς, κινητικὸν, *actuosum, acre, vehemens.* ἡ πραγματικὴ στάσις huic loco aliena videtur, de qua consulito Hermogenem, qui eam generis deliberativi dicit esse propriam: quod scilicet in eo de re gerenda agatur. WOLF. Hujus scholii pars ἠθικὸν ὁμοῦ—ἐν ἀρχῇ θεραπεύειν est etiam in H.

2. εὔνουν] ἄνω H.

3. ἠθικὸν Wolfius: παθητικὸν libri. "Quum hoc loco τὸ πραγματικὸν καὶ ἠθικὸν, et non, ut alias, τὸ παθητικὸν καὶ τὸ ἠθικὸν inter sese opponantur, errore librarii παθητικὸν videtur scriptum ἀντὶ τοῦ ἠθικόν. Sequitur enim postea πραγματικὸν ποιεῖ τὸ προοίμιον." WOLF. καὶ ἠθικὸν ἀ. τὸν λόγον om. E.H.

4. σπερματικὴ ἐπαγωγὴ] Quia hæc capita non ex professo tractantur, sed sparsim et velut in transcursu inseruntur: ut, cum statim in exordio hoc noema latet: utilitatem publicam præferendam esse privatis lucellis: ea est ἡ σπερματικὴ εἰσαγωγὴ τοῦ συμφέροντος κεφαλαίου. WOLF.

5. ἴδιον γὰρ—μὴ] ἴδιον γὰρ τοῦ ῥήτορος μὴ E., ut B. in scholio superiore.

7. δοκοῦντα ἀντιπίπτειν αὐτοῖς Y. ὑφορμοῦντα V. ἐφορμοῦντα H.R. "τὰ "ὑφορμοῦντα] Suidas τὰ ἀπαντῶντα, "ἐναντιούμενα. Proprie dici putant "de navibus piraticis, quæ mercatores ex insidiis invadant. δέος "ὑφορμεῖ, *subest metus.*" WOLF.

9. τῶν ἀκροατῶν ῥᾷον ὑποδέχεται λοιπὸν] τῶν ἀκροατῶν * * τὸ λοιπὸν vulgo. Inter ἀκροατῶν et τὸ λοιπὸν in Y.T. C.D. lacuna est tot fere literarum capax quot sunt vocabulorum ῥᾷον ὑποδέχεται, quæ supplevi ex scholio superiore codicis R., deleto etiam, quod ab eo abest, τὸ ante λοιπόν. "Aristot. accusatori prius confirmatione quam reprehensione "utendum esse docet: reo vero "contra, et prius adversaria refellenda quam sua confirmanda "censet." WOLF.

10. πλέκεται] Rectius πέπλεκται p. 30, 4.

χρημάτων εἰπὼν, ἀλλὰ καὶ πολλῶν· εἰ γὰρ πολλῶν χρημάτων σύνηθες ὑμῖν καταφρονεῖν, πολλῷ μᾶλλον τῶν ὀλίγων. νομίζω δὲ εἶπε, καὶ οὐ πέπεισμαι, ὅτι τὸ μὲν ἠθικὸν ὂν εἰς συγκατάθεσιν ἄγει τὸν ἀκροατὴν, τὸ δὲ ἀπόφασιν ἔχον φιλόνεικον αὐτὸν μᾶλλον καθίστησιν. Y.T.C.V. 5

Ἄλλως. Ἀντὶ πολλῶν ἂν, ὦ ἄνδρες Ἀθηναῖοι] ὁ νοῦς, εἴ τις ὑμῖν προέτεινε χρήματά τε καὶ τὸ συμφέρον, εὐθὺς ἂν ἡρπάσατε ἀντὶ πολλῶν χρημάτων τὸ συμφέρον. ζητεῖται δὲ τί βουλόμενος δεῖξαι τῇ διανοίᾳ ταύτῃ εὐθὺς ἐχρήσατο τῇ συγκρινούσῃ τὰ χρήματα πρὸς τὸ συμφέρον. καὶ λέγομεν, ἐπειδὴ ὑπενοεῖτο ὡς διὰ τὸ λαβεῖν χρή- 10 ματα παρὰ τῶν Ὀλυνθίων λέγειν ἑλόμενος ὑπὲρ αὐτῶν, ἠθέλησε διὰ τούτου λῦσαι τὴν ὑπόνοιαν, διὰ τοῦ εἰπεῖν ὅτι προκριτέον τῶν χρημάτων τὸ συμφέρον. αὕτη δὲ σεσοφισμένη ἐστὶν ἡ ἐξήγησις· οὐ γὰρ εἶπεν ὅτι ἐγὼ προκρίνω τῶν χρημάτων τὸ συμφέρον, ἀλλ' ὑμᾶς τοῦτο πιστεύω ποιεῖν. ἄλλοι δὲ λέγουσιν, ἐπειδὴ ὑποψίαν εἶχεν ὡς δεχό- 15 μενος τὰ χρήματα ἀπὸ τοῦ Περσῶν βασιλέως. ἔστι δὲ καὶ αὕτη ὁμοία ἡ ἐξήγησις. ἄλλοι δέ φασιν, ἐπειδὴ περὶ εἰσφορῶν αὐτοῖς μέλλει μετὰ μικρὸν διαλέγεσθαι, τούτων δὲ τῶν λυπηρῶν, βουλόμενος αὐτοὺς εὐθυμοτέρους ἐν τῇ ἀρχῇ κατεργάσασθαι, τὸ τοιοῦτον εἶπεν. ἡ δὲ ἀληθεστέρα αἰτία ἐστὶν αὕτη· ἐπειδήπερ χρήματα ἔχοντες 20 στρατιωτικὰ οἱ Ἀθηναῖοι ἔναγχος αὐτὰ πεποιήκασι θεωρικὰ, ὥστε λαμβάνειν ἐν τῷ θεωρεῖν ἕκαστον τῶν ἐν τῇ πόλει δύο ὀβολοὺς, ἵνα τὸν μὲν ἕνα κατάσχῃ εἰς ἰδίαν τροφὴν, τὸν δὲ ἄλλον παρέχειν ἔχωσι τῷ ἀρχιτέκτονι τοῦ θεάτρου· οὐδὲ γὰρ εἶχον τότε θέατρον διὰ λίθων κατεσκευασμένον· εἶτα βουλόμενος ὁ Δημοσθένης ταῦτα μεταβαλεῖν 25 εἰς στρατιωτικὰ, ἐπειδήπερ νῦν κατέλαβεν ὁ πόλεμος ὁ πρὸς Φίλιππον, καὶ εὐλαβούμενος εὐθὺς ἐν τῇ ἀρχῇ λυπηρὸς φανῆναι τοῖς Ἀθηναίοις, εἴ γε ἔμελλεν αὐτοὺς ἀποστερεῖν τῶν δύο τούτων ὀβολῶν, τέως μὲν ἐν τῇ ἀρχῇ τοῦτο λέγειν φανερῶς ἀναβάλλεται, τοῦτο δὲ αὐτοῖς ὑπο-

2. πολλῷ μᾶλλον] Quid si πόσῳ; Acriorem certe fecerit orationem interrogatio. WOLF. Hoc ipsum legitur in scholio superiore.

10. λέγομεν] λ^ε Y. λέγουσιν οἱ μὲν P. Quod commendatur verbis sequentibus αὕτη δὲ σ. ἐ. ἡ ἐ.

18. δὲ] τε Wolfius.

20. ἐπειδήπερ Y.P. ἐπειδὴ V.

24. διὰ Y. Legebatur ἐκ. Sic schol. Luciani vol. i. p. 162. ex cod. Vaticano suppletus a Bastio Ep. crit. p. 68. τοῦ θεάτρου διὰ λίθων κατεσκευασμένου.

27. λυπηρὸς Wolfius pro λυπηρά.

νοεῖν παρέχει διὰ τοῦ εἰπεῖν ὅτι προκριτέον ἐστὶ τὸ συμφέρον τῶν χρημάτων. καὶ οὐκ εἶπεν ἁπλῶς χρημάτων, ἀλλὰ καὶ πολλῶν, δηλῶν ὅτι εἰ πολλῶν χρημάτων μέλλουσι καταφρονεῖν διὰ τὸ συμφέρον, πόσῳ γε μᾶλλον οὐκ ἂν ὀκνήσειαν ὑπεριδεῖν δύο ὀβολῶν ἕνεκεν τοῦ λυσιτελοῦντος. ἰστέον δὲ ὅτι τὰ χρήματα ταῦτα τὰ δημόσια θεωρικὰ ἐποίησεν ἐξ ἀρχῆς ὁ Περικλῆς δι' αἰτίαν τοιαύτην· ἐπειδὴ πολλῶν θεωμένων καὶ στασιαζόντων διὰ τὸν τόπον, καὶ ξένων καὶ πολιτῶν, καὶ λοιπὸν τῶν πλουσίων ἀγοραζόντων τοὺς τόπους, βουλόμενος ἀρέσαι τῷ δήμῳ καὶ τοῖς πένησιν, ἵνα ἔχωσι καὶ αὐτοὶ πόθεν ὠνεῖσθαι τόπους, ἔγραψε τὰ προσοδευόμενα χρήματα τῇ πόλει γενέσθαι πᾶσι θεωρικὰ τοῖς πολίταις. εἶτα ἐπιχειρήσαντος Ἀπολλοδώρου τινὸς πάλιν αὐτὰ ποιῆσαι στρατιωτικά, βουλόμενος Εὔβουλος ὁ πολιτευόμενος, δημαγωγὸς ὤν, πλείονα εὔνοιαν ἐπισπάσασθαι τοῦ δήμου πρὸς ἑαυτόν, ἔγραψε νόμον τὸν κελεύοντα θανάτῳ ζημιοῦσθαι εἴ τις ἐπιχειροίη μεταποιεῖν τὰ θεωρικὰ στρατιωτικά. διὸ ὁσάκις ἐν τοῖς Φιλιππικοῖς μέμνηται αὐτῶν ὁ Δημοσθένης, συμβουλεύει μόνον ὥστε αὐτὸν λυθῆναι, οὐ μέντοι καὶ ἐγγράφως λέγει, ὅπερ ἦν ἐπικίνδυνον. ὅμως οὐκ ἔπεισεν αὐτοὺς λῦσαι, εἰ μὴ ὕστερον αὐτοὶ ἀναγκαζόμενοι τῷ πολέμῳ τοῦτο πεποιήκασιν. Y.V.

9, 2. ὑμᾶς ἑλέσθαι νομίζω] ἔμφασιν ἔχει πολλὴν ἡ λέξις τὸ ὑμᾶς, ὡσανεὶ ἔλεγεν, ὑμᾶς οὗς οὐχ εἷλε πλοῦτος ὁ Περσικὸς, οὐ Λακεδαιμόνιοι μεγάλα ὑπισχνούμενοι. τὸ δὲ νομίζω, ὡς ἤδη ἐν τοῖς Ἰσοκρατικοῖς εἴρηται, καὶ τὸ δοκεῖν καὶ τὰ τοιαῦτα οὐ πάντως

2. δηλῶν] Legebatur δῆλον.

4. ὀκνήσειαν Wolfius. ζητήσειεν vulgo. ζητήσοιεν Y. πόσῳ μᾶλλον— ἄξιον παριδεῖν dixit superioris scholii scriptor.

ἕνεκεν] ἕνεκε Y.V.

7. καὶ ξένων καὶ πολιτῶν] Videntur hic inserenda quædam ex Libanio: τοῦτο κωλῦσαι βουληθέντες οἱ προεστῶτες τῶν Ἀθηναίων ὠνητοὺς ἐποιήσαντο τοὺς τόπους. καὶ λοιπὸν, etc. WOLF.

17. αὐτὸν Wolfius. αὐτὰ libri.

21. πλοῦτος ὁ Περσικὸς] Vide Panegyricum Isocratis. WOLF.

22. Λακεδαιμόνιοι] De horum pollicitationibus nihil mihi constat, nisi quod Ulpianus 2. Olynthiaca scribit, Lacedæmonios magnam pecuniam daturos fuisse Atheniensibus, quo ipsis impune in Græcia grassari liceret. WOLF.

23. ἐν τοῖς Ἰσοκρατικοῖς Dobræus in Append. ad Porsoni Miscell. p. 388., i. e. *in scholiis in Isocratem.* Libri ἐν τοῖς σωκρατικοῖς, quod ἐν τοῖς συγκριτικοῖς ἢ σωκρατικοῖς scriptum esse in B. dixi supra ad p. 30, 22. Sic in scholiis in Æschinem ὡς ἔγνωμεν ἐν τοῖς Δημοσθενικοῖς, ἐν τοῖς Φιλιππικοῖς, ἐν τοῖς Θουκυδιδείοις, ἐν τοῖς Πινδαρικοῖς, et quæ sunt alia hujusmodi.

23. εἴρηται] εἴρηκε T.V. et pr. D., male intellecto compendio εἴρ̄, ut est in Y.

ἐπὶ ἀμφιβόλου τάττουσιν οἱ παλαιοὶ, ἀλλὰ πολλάκις καὶ ἐπὶ τοῦ ἀληθεύειν. οὕτως οὖν καὶ ἐνταῦθα τὸ νομίζω ἀντὶ τοῦ κρίνω καὶ πιστεύω. Y.T.C.V.

9, 2. εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν] ἔπεισε διὰ τοῦ μέλλοντος· οὐ γὰρ εἶπεν ὅτι φανερὸν αὐτοῖς, ὥσπερ ὁ Ἰσοκράτης 5 "ἥκω συμβουλεύσων περί τε τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους." τὸ μὲν γὰρ σοφιστῇ πρέπον, τὸ δὲ πολιτικοῦ μᾶλλον ῥήτορος. ἴσως μὲν οὖν κἀκεῖνος οὐκ ἀλόγως· ἐπειδὴ γὰρ ἑώρα τοὺς Ἕλληνας ἠσχολημένους περὶ τὴν πανήγυριν καὶ τῆς ἀνέσεως μᾶλλον γιγνομένους, διὰ τοῦτο ἐπέστρεψεν αὐτοὺς εἰς τὴν ἀκρόασιν τῷ μεγέθει τῆς ὑπο- 10 σχέσεως· ὁ δὲ Δημοσθένης καθ' ὑποτίμησιν αὐτὸ εἰσήγαγεν, εἰ φανερὸν γένοιτο. οὐκ εἶπε δὲ τὸ συμφέρον Ὀλυνθίοις, ἀλλὰ τῇ πόλει. μᾶλλον γὰρ οὕτω καταφρονήσουσι τῶν χρημάτων ὑπὲρ τοῦ λυσιτελοῦντος τῆς πόλεως. Καὶ ἄλλως. βούλεται δοκεῖν ὑπὲρ τῆς πόλεως μᾶλλον ἢ τῶν Ὀλυνθίων ποιεῖσθαι τὸν λόγον. ἡ γὰρ τῆς εὐ- 15 νοίας ἔνδειξις εὐκολώτερον πείθει τοὺς ἀκροατάς. οὐ μὴν οὐδὲ τὸ τῶν Ὀλυνθίων συνέστησε πρόσωπον ὡς διαβεβλημένον· καὶ γὰρ φθάνει φιλίαν ἔχων πρὸς αὐτοὺς καὶ εἰρήνην ὁ δῆμος. Καὶ ἄλλως. καὶ αὐτοῖς Ἀθηναίοις ἐκ πολλοῦ σπουδαζόμενον ἦν εἰς ἔχθραν καταστῆσαι τῷ Φιλίππῳ τοὺς Ὀλυνθίους· ὥστε πῶς οὐκ ἔχαιρον ὑπὲρ τούτων 20 ἀπολογήσασθαι τὸν Δημοσθένην πρὸς οὓς εὐνοϊκῶς ἐκ πολλοῦ τυγχάνουσιν ἔχοντες; R.

9, 3. περὶ ὧν] ἤγουν τῶν χρημάτων καὶ τοῦ συμφέροντος· ἃ γὰρ παρέθετο τοῦ συμφέροντος εἰς καταφρόνησιν ἄγει τὸν ἀκροατὴν τοῦ δοκοῦντος ἐλάττονος. S. 25

ὅτε τοίνυν] τὸ συμπέρασμα εἶπεν ἀφεὶς τὴν τοῦ προοιμίου κατασκευὴν ὡς ὡμολογημένην. B.E.H.S. ἡ κατασκευὴ τοῦ προοιμίου κατὰ ἀποσιώπησιν· οὐ γὰρ ἐρρήθη. T.C.V.

μετῆλθεν ἐφ' ἑτέραν ἔννοιαν, τὴν πρώτην ἀφεὶς ἀκατάσκευον. αἴτιον δὲ τούτου τὸ τῆς προτάσεως ἔνδοξον· ἔχει γὰρ δὴ παρὰ τῆς κοινῆς 30 ἐννοίας ὁμολογούμενον ὅτι προτιμῶσιν ἄνθρωποι τὸ συμφέρον χρημάτων. ἔνδοξοι δέ εἰσι προτάσεις, ὧν οὐ περιμένει τὴν ἀπόδειξιν

2. καὶ ἐνταῦθα τὸν ομίζω Y. τὸ νομίζω καὶ ἐνταῦθα vulgo.
5. Ἰσοκράτης] p. 41 C.
6. τοῦ alterum om. R.
9. τῆς ἀνέσεως—γιγνομένους] De hoc usu verbi γίγνεσθαι dixi in Thesauro vol. ii. p. 626.
30. τῆς om. Y.

ὁ ἀκροατής· καὶ λαμβάνει ταύτην ὁ ῥήτωρ ἢ ἀπὸ τῆς δόξης τῶν Ἑλλήνων, ἢ ἀπὸ τῆς κοινῆς ἐννοίας· ἔστι δὲ ὅτε καὶ ἀπὸ τῶν νόμων.
R.Y.T.C.V. λαβὼν οὖν καὶ νῦν ὡς ὁμολογούμενον τὸ τῶν χρημάτων ἕτερον ἐπάγει νόημα, προσήκει προθύμως ἐθέλειν ἀκούειν. θαρροῦντος δὲ ἑαυτῷ καὶ πεπιστευκότος ἡ πρόκλησις. ἐν ᾧ γὰρ πάντως ἀκούειν 5 αὐτοὺς πείθει τῶν συμβουλευόντων, ἐν τούτῳ δείκνυσιν ὅτι μόνος αὐτὸς εὗρηκε τὸ συμφέρον. εἶτα καὶ τὴν αἰτίαν προσέθηκεν· οὐ γὰρ αὐτάρκης ἦν Δημοσθένης συμβουλεύων· "οὐ γὰρ μόνον—ἥκει τις·" ἔσκεμμαι μὲν τὸ συμφέρον· εἰ δὲ καὶ τοὺς μὴ σκεψαμένους εἰπεῖν τι δέοι, οὐ παραιτήσομαι. καὶ δι' ὧν προκαλεῖσθαι δοκεῖ, διὰ τούτων 10 ἀποτρέπει τοὺς ἄλλους. δῆλον γὰρ ὅτι παραχωρήσουσιν οἱ μὴ σκεψάμενοι τῷ πεφροντικότι. καὶ ἅμα τὰ περὶ τὴν πόλιν δείκνυσιν ὅτι ἐκ πολλοῦ τὸ κοινὸν ἢ τὸ συμφέρον ἐζήτησε. καὶ διὰ τοῦτο καὶ χρήσιμον αὐτὸν εἰπεῖν καὶ ἀκούσαντες λάβοιτε. μονονουχὶ ἅρπαγμα καὶ κέρδος τὸ τῆς ἑαυτοῦ γνώμης ποιεῖται τῷ δήμῳ. καὶ γὰρ τὸ 15 λαβεῖν κέρδη καὶ ὠφελείας ἐστὶν οἰκειότατον. τὴν μὲν οὖν ἑαυτοῦ συμβουλὴν ἕτοιμον λῆμμά φησι, περὶ δὲ τῶν σχεδιαζόντων "ὑπο-" "λαμβάνω πολλὰ τῶν δεόντων." πρῶτον μὲν διὰ τῆς ὑπολήψεως ἀνεῖλε τὸ βέβαιον· νομίζω γάρ, φησί, εἶτα καὶ διὰ τῶν ἑξῆς ἠμαύρωσε τὸ παρὰ τῶν σχεδιαζόντων ὄφελος. πρῶτον μὲν γὰρ ἐνίοις ἂν 20 ἐπελθεῖν ἡγοῦμαι, τύχης μᾶλλον ἢ γνώμης ποιῶν τὴν εὕρεσιν. εἶτα κἂν ἐπέλθῃ τισὶν, οὐ πάντως, ἀλλὰ πολλὰ, καὶ ταῦτα οὐ προδήλως εἶπε συμφέροντα, ἀλλὰ τῶν δεόντων. τὸ δὲ ὄνομα τῶν δεόντων οὐχ ἕν τι σημαίνει· δέοντα γὰρ καλοῦμεν οὐ τὰ συμφέροντα μόνον, ἀλλὰ καὶ τὰ πρέποντα, περὶ ὧν οὐκ ἔστιν ἐν τῷ παρόντι ζήτησις. καὶ οὐδὲ 25 τῶν εὑρεθέντων ἐπαινεῖ τοὺς σχεδιάζοντας, ἀλλὰ τῇ τύχῃ τῆς πόλεως λογίζεται τὴν πρόφασιν. πληρώσας δὲ τὴν παρεκβολὴν ταύτην καὶ τὴν αἰτίαν ἀποδοὺς δι' ἣν ὀφείλουσι καὶ τῶν δι' ὑπογύου λεγόντων

1. ὁ ῥήτωρ ἢ addidi ex R.

2. τῶν νόμων] Hic finitur in Y. folium octavum, post quod quae sequuntur ab nono usque ad vigesimum sextum (p. 81, 12. ed. Reisk.) ab manu scripta sæculi quinti decimi nihil continent præter Moschopuli similiumque magistrorum quisquilias, quarum gratiam facimus lectoribus.

10. τούτων] τούτου R.

22. κἂν] καὶ pr. R.

24. δέοντα—πρέποντα] Hanc scholii partem habent etiam B. (sic scriptam ὅτι δέοντα καλοῦμεν etc.) et V. (δέοντα κ. etc.).

28. δι' a m. sec. R. Poterat etiam ἐξ suppleri.

ἀκούειν, ἐπάγει τὸ συμπέρασμα τῷ προοιμίῳ, συμπληρωτικὸν μὲν ὂν τῆς δευτέρας ἐννοίας, ἀκολούθως δ' ἔχον τῇ ἐξ ἀρχῆς προτάσει. τὸ γὰρ συμφέρον ὡς ζητούμενον εἰσαγαγὼν ἐν τῇ ἀρχῇ τοῦ προοιμίου, νῦν ὡς εὑρημένον λαμβάνει. καὶ φησὶν ὅτι πάντες ἀκούσαντες δοκιμάσατε γενέσθαι τοῦ δοκοῦντος μᾶλλον συμφέρειν· ἔστι γὰρ θεώρημα καθολικόν, ὥστε ἀπὸ τῶν ἰσχυρῶν καὶ τὴν ἀρχὴν ποιεῖσθαι τῶν λόγων καὶ εἰς αὐτὰ καταπαύειν. R.

9, 4. τῶν βουλομένων συμβουλεύειν] πάντας προτρέπει λέγειν, ἵνα διὰ τούτου καὶ τὸν φθόνον φύγῃ, ὡς μὴ βουλόμενος λέγειν μόνος, καὶ ἵνα, εἰ τὴν αὐτοῦ συμβουλὴν προέλοιντο, κρείττων ἁπάντων τῶν συμβούλων ἀποδειχθῇ. B.S.V.

9, 5. οὐ γὰρ μόνον] τὸ σχῆμα ἐξ ἀναιρέσεως συμπλεκτικόν. P.

9, 7. λάβοιτε] ὁριστικῶς δεῖ ἐκλαβεῖν τὸ λάβοιτε, ἵν' ᾖ· ὅτι οὐκ ὀφείλετε λαμβάνειν μόνα τὰ ἀπὸ ἐσκεμμένου συμβουλεύοντος, ἀλλὰ καὶ τὰ ἀπὸ τοῦ αὐτοσχεδιάζοντος· ἐπέρχεται γὰρ καὶ τούτῳ πολλὰ τῶν δεόντων εἰπεῖν παρὰ τὰ τῆς ὑμετέρας εὐτυχίας. B.E.S.P.

ὑμετέρας τύχης ὑπολαμβάνω] ταῦτα διὰ δύο εἴρηκε· δι' ἓν μὲν, ἵνα προερεθίσῃ τοὺς Ἀθηναίους καὶ προκαταπείσῃ ἑαυτοὺς εὐτυχεῖς ὑπολαβεῖν, ὅπερ μάλιστα ἐβούλετο διὰ τὴν ἀπόγνωσιν αὐτῶν· δι' ἕτερον δὲ, ἵνα δόξῃ καὶ ὁ λόγος ἀσκεπτὶ λέγεσθαι καὶ δόξῃ καὶ ὁ ῥήτωρ ἐκ τῶν πραγμάτων ἰσχύειν, καὶ αὐτοὶ πεισθῶσιν εὐτυχεῖς εἶναι, οὐκ ἐκ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ παρ' αὐτοῦ τοῦ λόγου εἰκάζοντες. οὐκ ἂν γὰρ οὗτος καὶ δυνατῶς καὶ εὐπρεπῶς συνετέθη χωρὶς τῆς εὐτυχίας αὐτῶν. H.R.S.

τύχης] ἐπειδὴ μέλλει δυνατὸν καλεῖν τὸν Φίλιππον, διὰ τὸ εἶναι εὐτυχῆ, προσποιεῖται ἐνταῦθα ἀφελῶς εὐτυχίαν Ἀθηναίοις μαρτυρεῖν, ἵνα ἐκεῖσε γενόμενος ἔχῃ αὐτοὺς προειθισμένους ἀκούειν, ὅτι καὶ αὐτοὶ δύνανται πρᾶξαι τὰ δέοντα. Y.T.C.V.

10. εἰ om. B.
συμβουλὴν] βουλὴν S.
14. μόνα om. B.E.S.
τὰ ἀπὸ] τοῦ γε S.
15. τὰ om. B.S.
ἀπὸ om. S.
16. παρὰ] περὶ B.E. Ambigua scriptura in S.
εὐτυχίας] ἀγάπης S.
17. εἴρηκε] εἴρηται H.
18. προερεθίσῃ] προεθίσῃ B. In S. literæ partim detritæ, sed ut προερεθίσῃ potius videatur fuisse quam προεθίσῃ.
19. ὑπολαβεῖν S. ὑπολαμβάνειν H. R.
20. λέγεσθαι] γενέσθαι S. γρ. λέγεσθαι margo S.
22. ἐκ] ἀπὸ H.

9, 9. ἐξ ἁπάντων] καὶ τῶν ἐσκεμμένων καὶ τῶν παραχρῆμα λεχθέντων. P.

9, 10. ὁ μὲν οὖν—] δεύτερον προοίμιον, σύντομον καὶ τοῦτο ὁμοίως τῷ πρώτῳ διὰ τὴν χρείαν τοῦ καιροῦ τοῦ κατεπείγοντος πρὸς βοήθειαν. B.S. ἀκόλουθον τῷ προτέρῳ προοιμίῳ τὸ δεύτερον. ἐκεῖ γὰρ προκαλεσάμενος τοὺς βουλομένους συμβουλεύειν, νῦν ἐκ περιουσίας τὸν καιρὸν σύμβουλον εἰσήγαγεν, ὥσπερ ἐνδεικνύμενος ὅτι τί μὲν ἐροῦσιν οἱ ῥήτορες ἄδηλον, ὁ μέντοι καιρὸς τήνδε τὴν γνώμην ἀποφαίνεται. καὶ ἔστιν ὥσπερ ἐκ προσωποποιίας ὁ λόγος· διενήνοχε δὲ τῆς παρὰ τοῖς ποιηταῖς, ὅτι ἐκεῖνοι μὲν αὐτὸν τὸν καιρὸν ποιοῦσι φθεγγόμενον, ἤ τι ἕτερον, οἷς οὐ μέτεστι φωνῆς, ὁ μέντοι ῥήτωρ τὴν ἐκείνου φωνὴν ὑποκρίνεται, τὸ πιθανὸν τῷ λόγῳ κατασκευάζων. B.R.T.C.V. δύναται δὲ τὸ τῆς ἠθοποιίας ἐμψυχότερον ἅμα καὶ ἐναργέστερον ἀποφαίνειν τὸν λόγον. ἔστι δὲ καὶ τὸ δεύτερον προοίμιον ἠθικὸν ὁμοίως καὶ πραγματικόν· ὁμοῦ γὰρ σημαίνει καὶ τὴν σκέψιν τοῦ ῥήτορος, καὶ τῆς παλαιᾶς αὐτοῦ δόξης ὑπομιμνήσκει, καὶ δι' ἑαυτῶν ἕκαστα πράττειν προτρέπεται. R.

ὁ μὲν οὖν παρὼν καιρὸς] σαφῶς ἐνταῦθα δείκνυσιν ὁ ῥήτωρ ὅτι μεμελέτηκεν· ἐν ᾧ γὰρ λέγει τὸν παρόντα καιρόν, ἐν τούτῳ παρίστησιν ὅτι οὗτος ἐκεῖνος ὁ καιρὸς ὃν ἐκ πολλοῦ περιέμενον. εὔδηλον οὖν ὅτι τὸ συμφέρον ἄνωθεν ἐζήτει· ποῦ γὰρ ἂν ἐπέγνω τὸν καιρὸν ἐν ᾧ δυνατὸν ἦν τοῖς Ἀθηναίοις ἀναλαβεῖν τὰ πράγματα; πότερον δὲ τὰ τῶν Ὀλυνθίων ἢ τὰ τῆς πόλεως. H.R. εἰ μὲν οὖν τὰ τῶν Ὀλυνθίων ἔλεγεν, οὐκ ἂν εἶπε τῶν πραγμάτων ὑμῖν ἐκείνων, ἀλλὰ τούτων· ἥρμοττε γὰρ μᾶλλον τὸ δεικτικὸν, ἐπειδὴ καὶ νῦν ἐνέστηκεν· ἀλλὰ μᾶλλον ἔοικεν αἰνίττεσθαι τὴν παλαιὰν εὐδαιμονίαν καὶ τὴν τῶν πολλῶν ἡγεμονίαν· διὸ καὶ ἐπήγαγεν ὡς ὁμολογούμενον, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε. προδηλον γὰρ ὅτι περὶ πολλοῦ ποιεῖται τὴν παλαιὰν δόξαν ἀνακτήσασθαι. καταστήσας οὖν εἰς ὑπόμνησιν αὐτοὺς ὧν ἐπεθύμουν, καιρὸν ἔσχε καὶ τῇ κατ' αὐτῶν ἐπιτιμήσει χρήσασθαι. καὶ οὔτε φανερῶς ὠνείδισε τὴν ῥᾳθυμίαν·

3. δεύτερον προοίμιον] βον τοῦ προοιμίου S.
7. εἰσήγαγεν] ἤγαγεν B.V.
τί om. B.
10. τῆς] τοῖς B. om. V.
11. οἷς οὐ μέτεστι φωνῆς] φωνῆς οἷς οὐ μέτεστιν B.

ἀνάρμοστον γὰρ προτρέποντι τὸ τοιοῦτον· οὔτε παντελῶς ἀφῆκεν, ἀλλὰ διὰ τῆς ὑποσιωπήσεως ἐδήλωσε. R.

9, 12. ὑμῖν ἐκείνων αὐτοῖς] ἀντὶ τοῦ, ὑμῖν τοῖς Ἀθηναίοις αὐτοῖς ἀντιληπτέον καὶ ἀντιποιητέον ἐστὶ τῶν ἐν Ὀλύνθῳ πραγμάτων. V.

9, 13. εἴπερ ὑπὲρ—] εἰ μέλει τῇ πόλει τοῦ προεστάναι τῆς τῶν Ἑλλήνων ἡγεμονίας. S.

κατασκευὴ τοῦ δευτέρου προοιμίου. margo S.

9, 14. ἡμεῖς δὲ] συμπέρασμα τοῦ προοιμίου τὸ ἡμεῖς δέ. margo S. τὸ σχῆμα ὑποσιώπησις. συμπέρασμα τοῦ προοιμίου. B.

ἡμεῖς δ' οὐκ οἶδ' ὄντινα] τὸ ἐπαχθὲς βουλόμενος φεύγειν καὶ ἑαυτὸν ἐγκατέμιξε τῷ ἐγκλήματι, ἡμεῖς εἰπών, καὶ οὐχ ὑμεῖς. τοῦτο δὲ τὸ σχῆμα λέγεται ὑποσιώπησις, ὅταν μέλλῃ τις ἐπιφέρειν τραχύ τι καὶ λοιδορίας ἐχόμενον, μὴ βούληται δὲ διὰ τὸ ἐπαχθὲς αὐτὸ λέγειν, ἀλλὰ δι' αἰνιγμάτων σημαίνῃ. καὶ γὰρ ἐνταῦθα βουλόμενος λέγειν ὅτι ὁ μὲν παρὼν καιρὸς πάντα ποιεῖ παροξύνων ἡμᾶς ἐπὶ τὴν σωτηρίαν τῶν πραγμάτων, ἡμεῖς δὲ ῥᾳθυμοῦμεν καὶ οὐ προσέχομεν αὐτοῖς, ἀλλὰ θέαις τε καὶ τρυφαῖς σχολάζομεν, ὑπεσιώπησε μὲν τοῦτο διὰ τὸ δυσχερές, ἐπήγαγε δὲ "οὐκ οἶδ' ὄντινά μοι "δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά." διαφέρει δὲ τῆς ἀποσιωπήσεως, ὅτι ἐκείνη μὲν παντελῶς ἀποσιωπᾷ τὸ πρᾶγμα, ὡς τὸ "οὐ βού-"λομαι δὲ δυσχερὲς οὐδὲν εἰπεῖν," ἡ δὲ ὑποσιώπησις αἰνίττεταί τι, ὡς ἐνταῦθα. εἴη ἂν οὖν τοῦτο τὸ κῶλον συμπέρασμα τοῦ προοιμίου, κατασκευῆς οὔσης τῆς "εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντί-"ζετε." B.R.V.

2. διὰ τῆς ὑ. ἐδήλωσε] Hæc verba a m. rec. habet R.

11. τὸ ἐπαχθὲς—καὶ οὐχ ἡμεῖς] Hæc verba in fine scholii habet B., addita particula τὸ ἐπαχθὲς δὲ β. etc., om. R.

φεύγειν] εἰπεῖν B.

12. ἐγκατέμιξε B. κατέμιξε C.V. ἔμιξε T.D.

13. δὲ om. R.

15. ἐπαχθὲς] ἐπαχθῶς R.

σημαίνῃ] σημαίνει R.V. σημήνῃ B.

16. παρὼν additum ex R.

20. ἔχειν τρόπον R.V. τρόπον ἔχειν B.

21. ὡς] ὥσπερ V.

τὸ] In exordio orationis de corona.

οὐ βούλομαι δὲ] οὐ et δὲ om. R.

22. οὐδὲν om. V.

ὑποσιώπησις om. R.

23. ἐνταῦθα] ὧδε R.

οὖν om. B.

24. τῆς] τοῦ V.

αὐτῶν om. B., habet R.

φροντίζετε om. B.R.

9, 15. ἔστι δὴ—] ἐνταῦθα τὸ συμφέρον. B. ἀρχὴ τῶν κεφαλαίων. B.S. γνώμης ἀπόφασις· ἐστὶ δὲ ἐντεῦθεν ἀρχὴ καὶ εἰσβολὴ τοῦ συμφέροντος. B.V.

9, 17. τὴν ταχίστην] ἀντὶ τοῦ ταχέως. τὸ δ' ἐνθένδε ἀντὶ τοῦ πολιτικῇ δυνάμει καὶ μὴ ξένῃ. B.E.S. 5

ἐνθένδε] εἰς Ὄλυνθον. P.

9, 18. ὅπερ καὶ πρότερον] καιροῦ γὰρ ὁμοίου περί τινων ἄλλων παραπεσόντος ἠμελήκατε. P.

10, 1. ἥτις ταῦτ' ἐρεῖ] ὅτι μέλλουσιν ἐλθεῖν οἱ Ἀθηναῖοι καὶ βοηθῆσαι ὑμῖν, καὶ διὰ τῆς παρουσίας παραμυθήσεται αὐτούς· καὶ 10 μὴ χώραν σχῇ ὁ Φίλιππος ἀπατῆσαι αὐτούς, ἀντὶ ἐνεχύρου τῆς βοηθείας ὑπαρχούσης αὐτοῖς ἐκεῖσε τῆς πρεσβείας. S.V.

καὶ παρέσται] ἤγουν, ἡ αὐτὴ ἄγγελος εἴη τῆς βοηθείας καὶ βοηθός. P.

10, 2. ὡς] τὸ ὡς ἀντὶ τοῦ καὶ γάρ. E.S. 15

δέος, μὴ πανοῦργος—] τὰ μὲν ὄντως φοβερὰ τοῦ Φιλίππου σεσιώπηκε, τουτέστι τὴν δύναμιν, τοὺς στρατιώτας· τὸν δὲ τρόπον εἶναί φησι φοβερόν, οὗ καὶ ῥᾳδίως περιγενέσθαι δύναται. καὶ διὰ τῶν αὐτῶν καὶ τὴν Φιλίππου δύναμιν καθαιρεῖ καὶ τὴν αἰτίαν ἀποδίδωσι τὴν τῆς χειροτονίας τῶν πρέσβεων, μὴ πανοῦργος ὤν. ἐκ τῆς 20 παρακειμένης δὲ τῇ σοφίᾳ κακίας ὠνόμασε τὸν Φίλιππον· καὶ γὰρ τὸν Ὀδυσσέα διὰ τοῦτο σοφὸν καλοῦμεν, ὅτι δόλοις καὶ πανουργίαις κέχρηται. σιωπήσας οὖν τὴν σοφίαν, ὅπερ ἦν ἔνδοξον, τὴν πανουργίαν εἶπεν, ὅπερ ἐστὶν ἄδοξον. H.R.

πανοῦργος ὢν καὶ δεινὸς—] τοῦτο μὲν ἄντικρυς καὶ ἐγκώμιον 25 εἶναι δοκεῖ, καὶ εἴ τις αὐτὸ περὶ Ἀθηναίων εἶπεν, οὐκ ἂν ἠγανάκτησαν. οὐ μὴν ἀλλὰ καὶ τοῦτο εἰς ὕβριν παρέστησεν ἡ προκειμένη λέξις. ἡ γὰρ τοῦ πανούργου μνήμη καὶ τὴν δεινότητα διέβαλε. καὶ ἔστιν ὅλον τοῦτο ἐκ τῆς Κορινθίων δημηγορίας εἰλημμένον τῆς πρὸς Λακεδαιμονίους. καὶ γὰρ ἐκεῖ φοβῆσαι βουλόμενοι τοὺς Λακεδαι- 30

1. κεφαλαίων] κεφαλαίων ἐντεῦθεν. προτάττει δὲ τὸ συμφέρον τοῦ δυνατοῦ P.

2. ἀπόφασις] ἀπόφανσις Wolfius.

4. ἀντὶ τοῦ ταχέως] Hæc etiam in P.

5. καὶ μὴ ξένῃ om. B.E.

9. ἐλθεῖν οἱ Ἀθηναῖοι] οἱ Ἀθηναῖοι ἐλθεῖν V.

10. καὶ μὴ χώραν—αὐτούς om. S.

15. τὸ ὡς] τὸ δὲ ὡς ἔστιν E.

16. ὄντως] ὄντα R.

μονίους οἱ Κορίνθιοι, τὸ μὲν ναυτικὸν τῶν Ἀθηναίων καὶ τὰ μυρία τάλαντα ἐσιώπησαν, τὸ δὲ νεωτεροποιὸν αὐτῶν καὶ τὸ ὀξὺ προβάλλονται καὶ τούτῳ φοβοῦσι. H.R.

10, 3. πράγμασι χρῆσθαι, τὰ μὲν εἴκων—] πράξεις τῷ Φιλίππῳ περιέθηκε. τὸ γὰρ εἴκειν καὶ ἀπειλεῖν αὐτοῖς οὐ βεβαίου τινός. καὶ ἔστι, φησίν, ἀξιόπιστος ἀπειλῶν· εἰκότως· δι' ὧν γὰρ εἴκει διὰ τούτων καὶ ἀπειλῶν ἀξιόπιστος· δεῖ γὰρ ἐξ ὧν αὐτῷ σύνοιδεν, ἐκ τούτων ἑκάτερα πράττειν. καὶ ἡμῖν μὲν ἐν οἷς ἐλαττούμενος αἰσθάνεται ἀπειλεῖ, εἴκει δ' ἐν οἷς ἑαυτὸν πλεονεκτοῦντα γινώσκει. R.

10, 5. τὰ δ' ἡμᾶς διαβάλλων] ἔστι μὲν καὶ τοῦτο πανούργου τὸ διαβάλλειν, οὐ μὴν ἕξει Φίλιππος ᾧ διαβάλλει τὴν πόλιν. οὐδὲν γὰρ διαβολῆς ἄξιον πράττομεν. ὁ δὲ ῥήτωρ ὅπερ αὐτῷ βούλεται γενέσθαι παρὰ τῆς πόλεως, τοῦτο εἰς διαβολὴν εἴληφε· τὴν γὰρ ἀπουσίαν τὴν ἡμετέραν προσοίσει τοῖς Ὀλυνθίοις. οὐκοῦν εἰ βούλεσθε μὴ δοῦναι καιρὸν διαβολῆς, ἐπίστητε τοῖς πράγμασι. R.

εἴκων] αὐτοῖς. P.

10, 6. τρέψηται καὶ παρασπάσηται] τὸ βέβαιον τῶν Ὀλυνθίων ἐδήλωσεν, ὅτι καὶ μὴ βουλομένους αὐτοὺς τρέψεται καὶ παρασπάσεται. εἴληπται δὲ ἡ λέξις ἀπὸ τῶν καταφευγόντων εἰς τοὺς βωμοὺς καὶ βίᾳ ἀποσπωμένων. B.R.V. ἢ ὡς ἐπὶ μέλους τινὸς σώματος, ἵνα δείξῃ τὴν ἑνότητα τῶν Ὀλυνθίων. B.S.V. τὸ δὲ τί ἐνταῦθα ἀντὶ τοῦ μέγα κεῖται· ὥσπερ τὸ "δύναμίν τινα κεκτημένους·" τὸ τινά γὰρ ἀντὶ τοῦ μεγάλην. R.S.V. εἶτ' ἐπειδὴ διὰ τῆς πανουργίας καὶ τῆς δεινότητος ἐφόβησε τοὺς Ἀθηναίους, ἀντέπιπτε δὲ αὐτῷ, μάτην οὖν οἱ πρέσβεις ἀπελεύσονται, εἰ κοατήσει καὶ τούτων τῇ δεινότητι Φίλιππος, ὁ δὲ καὶ τὸν φόβον καθεῖλεν, εἰπὼν ὅτι μέρος παρασπάσεται τῶν πραγμάτων καὶ ὅτι τοῦτο ποιήσει μὴ πορευθέντων τῶν πρέσβεων. τὸ δὲ τῶν ὅλων πραγμάτων διπλοῦν ἐστι, καὶ μέσον ἐσιώπησεν, ὅπερ ἦν τὸ τοῦ πολέμου καὶ τῶν κινδύνων· ἴσως δὲ καὶ

18. ὅτι καὶ] καὶ ὅτι R.
τρέψεται καὶ παρασπάσεται P. τρέψηται καὶ παρασπάσηται B.R.V.
19. εἰς τοὺς βωμοὺς R.V. εἰς διαλόγους B.
20. ἢ ὡς ἐπὶ] παρασπάσεται ὡς ἐπὶ S.
21. τὸ δὲ τί—μεγάλην] τὸ τι ἀντὶ τοῦ μέγα κεῖται, ὡς (ὡς pro ὥσπερ etiam E.) τὸ δύναμίν τινα κεκτημένους ἀντὶ τοῦ μεγάλην R.S. Pro κεκτημένους in T.V. scriptum κεκτήμεθα.
27. παρασπάσεται] παρασπάσηται pr. R.

πρὸς τὸ παρὸν αἰνίττεται τοῖς Ἀθηναίοις, ὅτι μόνης ὑμῖν ἐξόδου χρεία καὶ τοῦ πλεῦσαι. πρόχειρον γὰρ εὐθὺς τὸ κρατεῖν τῶν πολεμίων μηδενὸς ὑμῖν ἀντιτάττεσθαι τολμῶντος· εἰ γὰρ περὶ τῶν Ὀλυνθιακῶν πραγμάτων ἔλεγεν, εἶπεν ἂν φρούριον ἢ πόλισμα μικρόν· νῦν δὲ τῶν ὅλων πραγμάτων λέγει τῶν κατὰ τὴν ἡγεμονίαν τῶν 5 Ἑλλήνων, ἣν αὐτοὺς διαλαβεῖν βούλεται διὰ τῆς παρούσης στρατείας· ἧς οὐ μᾶλλον τοῦτο δέχεσθαι προσήκει, ἀκόλουθόν ἐστι τὸ εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε. R.

10, 7. οὐ μὴν ἀλλ' ἐπιεικῶς] τοῦτο τὸ σχῆμα λέγεται τροπὴ ἤγουν παρὰ προσδοκίαν, ὅτε τὸ αὐτὸ πρᾶγμα καὶ φοβερὸν καὶ συμ- 10 φέρον εἴη. H.R.V. τὸ σχῆμα τροπὴ ἡ παρὰ προσδοκίαν· τὸ δὲ ἐπιεικῶς ἀντὶ τοῦ πάνυ. B.S.

φοβήσας τοὺς Ἀθηναίους διὰ τῆς Φιλίππου πανουργίας καὶ δυσκαταγώνιστον αὐτὸν καταστήσας παραμυθεῖται πάλιν αὐτοὺς δι' αὐτῶν ὧν ἐφόβησε. καὶ φησὶν ὅτι τὸ δοκοῦν αὐτοῦ δύσμαχον, τοῦθ' 15 ὑπὲρ ὑμῶν ἐστι. παράδοξον δὲ τὸ νόημα καὶ τοῦ δοκεῖν ἀπίθανον εἶναι πλησίον, ὃ κατασκευῆς ἐδεήθη πλείονος. δύο δὲ ὄντων, τοῦ τε δύσμαχον εἶναι τὸν Φίλιππον διὰ τὴν πανουργίαν καὶ τοῦ λυσιτελεῖν τοῦτο τῇ πόλει, πρὸς ἑκάτερον ἀπήντησεν. ἐπειδὴ δὲ ὑπτίους αὐτοὺς ἐποίησεν εἰπὼν τὸ δύσμαχον τοῦ Μακεδόνος ὑπὲρ Ἀθηναίων εἶναι, 20 διὰ τοῦτο πρῶτον ἐξετάζει τὸ δύσμαχον, ἵνα φοβήσῃ· οὐ μὴν οὐδὲ ἐν τῷ φοβεῖν ἀπέχεται τῆς προτροπῆς, ἀλλὰ δι' ὧν ἐπαινεῖ τὸν Φίλιππον, διὰ τούτων εἰς ζῆλον αὐτοὺς καθίστησι. τὸ μὲν γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὄντα κύριον, ἂν θελήσητε πράττειν τὰ δέοντα, καὶ ὑμεῖς δύνασθε γενέσθαι πάντων κύριοι. καὶ διὰ τῶν ἑξῆς αὐτοὺς 25 πάντα πράττειν καὶ μὴ τοῖς ξένοις ἐπιτρέπειν παραινεῖ· κύριον γὰρ ῥητῶν καὶ ἀπορρήτων φησὶν εἶναι τὸν Φίλιππον· ὑμεῖς δὲ τοῖς ξένοις πιστεύετε τὰ τῆς πόλεως ἀπόρρητα. R.

9. λέγεται] λέγει τὸ T. et pr. D.: illud C et a m. sec. D.

τροπὴ correxi ex scholio proximo. παρατροπὴ R. παρατρόπον H.

τροπὴ ἤγουν om. C.D.T.V.

10. παρὰ προσδοκίαν] παραπροσδοκία H.R.

ὅτε H. ὅταν R.V.

11. εἴη] ᾖ C, quod librarius posuit propter ὅταν vitiose lectum pro ὅτε.

τροπὴ ἡ om. B.E.

12. πάνυ] καὶ λίαν add. P. ubi est τὸ ἐπιεικῶς—λίαν.

15. Simile, sed brevius scholion in C, δι' ὧν φοβεῖ, διὰ τούτων καὶ παραμυθεῖται ἀντιστρεφῆ.

25. δύνασθε] Hoc verbum R. in margine habet a m. rec. δύνασθαι scriptum, quod correxi.

10, 8. δυσμαχώτατον] διὰ τὴν πανουργίαν. P.

10, 11. καὶ ἅμα στρατηγὸν] οὐκοῦν κακοδαίμονα τινὰ λέγεις τὸν Φίλιππον ἐν τοσούτοις ὄντα κακοῖς καὶ πόνοις· ὁ δὲ, τὸ κέρδος τὸ ἐκ τούτων προσθεὶς, ζηλωτὸν κατέστησε τὸν Φίλιππον· δεσπότην δὲ αὐτὸν ὠνόμασε, τούτου γὰρ μάλιστα τυχεῖν ζητεῖ ὁ δῆμος. ἀλλὰ καὶ ταμίας ὁ Φίλιππος· τοῦτο περὶ τῶν χρημάτων τῶν θεωρικῶν. αὐτοὶ γὰρ ὑμεῖς ταμίαι γενήσεσθε τῶν χρημάτων καὶ οὐδεὶς αὐτὰ διαρπάσει. R.

πανταχοῦ] ὅπου ἂν βουληθείη. P.

10, 12. πρὸς μὲν—κατὰ καιρὸν πράττεσθαι] πάλιν αὐτοὺς φοβήσας δι' ὧν πράττει Φίλιππος παραμυθεῖται διὰ τῶν ἀποβαινόντων· πλεονεκτεῖ γὰρ, φησὶν, ὁ Φίλιππος τῷ κατὰ καιρὸν πράττειν τὰ τῶν πολεμίων. οὐκ εἶπε κατορθοῦν καὶ νικᾶν, ἀλλὰ πράττειν· τοῦτο δὲ οὐ πάντως νίκην, ἀλλὰ τὴν παρασκευὴν καὶ τὸ ὀξὺ τῶν ἔργων δεικνύει· ὅπερ ἧττον λυπεῖ τοὺς Ἀθηναίους. τὸ μὲν οὖν τοῦ Φιλίππου δύσμαχον διὰ τούτων ἀπέδειξεν· ἐν ᾧ καὶ προτροπὴν πεποίηται· τὸ δὲ λυσιτελοῦν ἐξ αὐτοῦ μετὰ ταῦτα δείκνυσιν. οὐ γὰρ πεισθήσονται τῷ Φιλίππῳ διαλλαγὰς προτείνοντι· πάλαι γὰρ αὐτοῦ τὸ πανοῦργον ἴσασιν. R.S. διὰ τούτου πάλιν αὐτοὺς ἐξιέναι δυσωπεῖ· δῆλον γὰρ ὅτι ζηλοῦσιν αὐτὸν Ἀθηναῖοι. πεφύκαμεν γὰρ πάντες ἀντιφιλοτιμεῖσθαι πρὸς τοὺς ἐχθρούς. H.R.S. καθῄρηκε τὴν δύναμιν τοῦ Μακεδόνος καὶ τὰς ἐλπίδας αὐτῷ τῶν πραγμάτων ἐν μόνῃ τῇ πανουργίᾳ δέδωκεν, ὡς πεπλέχθαι τὸ νόημα τῷ τε συμφέροντι καὶ τῷ δυνατῷ, προηγουμένου τοῦ συμφέροντος, ὅτι οὐδέποτε διαλλαγήσονται πρὸς αὐτὸν Ὀλύνθιοι· ᾧ δὴ συναποδείκνυται τίνι ταπεινὸς ὁ Φίλιππος. H.R.S.

πρὸς μὲν τὸ τὰ] ἐν μὲν γὰρ ταῖς δημοκρατίαις τῷ μὲν ἀρέσει ὁ πόλεμος, τῷ δὲ οὔκ· ὁ δὲ βασιλεὺς, εἷς ὤν, ἡνίκα ἂν βουληθῇ πολεμεῖν, οὐδένα τὸν ἐναντιούμενον ἔχει. P.

10, 15. ἐναντίως ἔχει] αὐτὸ, φησὶ, τὸ δύσμαχον αὐτοῦ καὶ δυσκαταγώνιστον ἐναντιοῦται πρὸς τὸ γενέσθαι αὐτῷ τοὺς Ὀλυνθίους φίλους. εἶτα ἐπάγει τὴν αἰτίαν. T.C.V.

10, 16. δῆλον γάρ ἐστιν] ἀντιστροφή· εἶτα ἐπάγει τὴν αἰτίαν. B. ἀντιπίπτοντος λύσις· ἀλλὰ πανοῦργος ὁ Φίλιππος καὶ ῥᾳδίως

26. τίνι H. ὅτι καὶ R.S. 31. πρὸς τὸ γ. αὐτῷ] αὐτῷ πρὸς τὸ γ. E.

πείθει τοὺς Ὀλυνθίους· ὁ δὲ μὴ δυνάμενος ἀντιτάξαι τὸν λογισμὸν τῶν Ὀλυνθίων τῇ τοῦ Φιλίππου δεινότητι, τὸν κίνδυνον προβάλλεται καὶ τὴν ἀνάγκην, ἥτις καὶ τοὺς ἄγαν ἀνοήτους οὐκ ἐᾷ παρακρούσασθαι. τοῦτο δὲ Ζήνων ἑτέρως ἐκλαβὼν ἀντιθέσεως λύσιν ἐνόμισε τῆς ὅτι ἄπιστοι Ὀλύνθιοι. ἀλλὰ περὶ τοῦ τρόπου τοῦ Φιλίππου καὶ τῆς πανουργίας ὁ λόγος ἦν τῷ ῥήτορι. τίς οὖν ὁ κίνδυνος τοῦ πολέμου * * * τὴν ἀληθῆ πρόφασιν· ὅτι διὰ τὸν ἀδελφὸν τοῦ Φιλίππου, ὃν ἐξαιτοῦντος τοῦ Μακεδόνος κατέχουσι, τὴν κεκρυμμένην ἐπιθυμίαν τοῦ Φιλίππου λέγει τὸ καταστρέψασθαι τοὺς Ὀλυνθίους μετ' εὐπροσώπου προφάσεως. εἰκότως δὲ ἐκείνην ἐσιώπησεν ἀντιπῖπτον ὑποτεμνόμενος, ἀλλ' ἔξεστι τοῖς Ὀλυνθίοις ἀποδοῦναι τὸν ἀδελφὸν καὶ ἀπηλλάχθαι τοῦ πολέμου. R. δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις ὅτι νῦν οὐ περὶ δόξης] δοκεῖ μὲν ἀναμιμνήσκειν τοὺς Ἀθηναίους τοῦ πολέμου καὶ τῆς ἀποστάσεως ἣν ἀπέστησαν Ὀλύνθιοι κατὰ τὸν πόλεμον τὸν συμμαχικόν· οὐδὲν δὲ ἧττον συγγνώμην αὐτοῦ ἀπένειμεν, ὑπὲρ δόξης εἰπὼν ἀνῃρῆσθαι τὸν πόλεμον· ἐλευθερίας γὰρ ἐπεθύμουν καὶ μὴ * * * σιωπήσας δὲ τὴν ἀπόστασιν τῷ τῆς ἐλευθερίας ἐνδόξῳ παραμυθεῖται τὸ πταῖσμα, δεικνὺς οὐδὲν ἧττον καὶ νῦν ὡς οὐκ ἂν ἠθέλησαν ὑπὸ Φιλίππῳ γενέσθαι. τῆς γὰρ ἐλευθερίας ἀντιποιοῦνται προϊόντως· ἀλλὰ καὶ ὑπὲρ Ἀμφιπόλεως ἐπολέμησαν πρὸς Ἀθηναίους. ὁ δὲ καὶ τοῦτο συνέστειλε καὶ εἰς βραχὺ κατήνεγκεν ὑπὲρ μέρους χώρας εἰπών, ὡς μηδένα λόγον ἔχειν τοὺς Ἀθηναίους ἐπὶ τοιούτοις ἐγκλήμασι μνησικακεῖν. R.

10, 17. ἀλλ' ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος] ἐξήρκει μὲν καὶ τὴν ἀνάστασιν εἰπεῖν μόνην· ὁ δὲ ηὔξησε τὸ πάθος, καὶ τὸν ἀνδραποδισμὸν ἐξενεγκὼν καὶ τὸ ἑξῆς φρικωδέστερον προσθήκῃ τῆς πατρίδος, ἧς ποιοῦνται τὸν λόγον ἄνθρωποι μᾶλλον ἢ τῶν γονέων, ὡς καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου "οὐ τοῖς "γονεῦσι μᾶλλον, ἀλλὰ καὶ τῇ πατρίδι." καὶ πόθεν τοῦτο; δῆλον τοῖς Ὀλυνθίοις ὅτι περὶ τούτων κινδυνεύουσιν, ἀπὸ παραδειγμάτων

7. Trium quattuorve literarum lacunam manus recentior explevit addito φημί.

17. Post μὴ, quod manus recentior in μὴν mutavit, indicavi lacuὰ] δὴ manus rec.

20. προϊόντως] Sic, corrupte.

23. ἐγκλήμασι] Sequitur in codice μὴ, sed deletum.

26. προσθήκῃ] ποσθήκην R., sed deleta litera ultima.

28. περὶ τοῦ στεφάνου] p. 296, 16.

29. καὶ πόθεν τοῦτο] Hæc non integra.

ἐπάγει τὴν πίστιν. ἱκανὰ δὲ ταῦτα καὶ τοῖς ἀνοήτοις λογισμὸν ἐμποιῆσαι περὶ τῶν μελλόντων. Ἀμφιπολῖται καὶ Πυδναῖοι διδάσκουσιν αὐτοὺς ὅπως χρῆται Φίλιππος τοῖς πιστεύουσιν. εἶτα καὶ ἀπὸ καθολικῆς γνώμης πιστοῦται τὸ λεγόμενον. διαβεβαιωτικὰ γὰρ τὰ καθόλου τῶν μερικῶν νοημάτων. καὶ δημοκρατία γὰρ καὶ τυραννὶς 5 ἀεὶ διάφοροι. καὶ ἡ προσοχὴ τῆς γειτνιάσεως αὔξει τὸ μῖσος· τά τε γὰρ ἐναντία μᾶλλον δείκνυται καὶ πολέμια πλησίον ἀλλήλων γενόμενα, καθάπερ ψυχρῷ τὸ θερμὸν καὶ λευκῷ τὸ μέλαν. R.

10, 16. ὅτι νῦν οὐ περὶ δόξης] καθὼς πρὸς Ἀθηναίους Ὀλύνθιοι. C.

ὅτι νῦν οὐ περὶ δόξης] οἷον οὐ περὶ τοῦ ἡττηθῆναι μόνον αὐτοὺς παρὰ 10 Φιλίππου, ἀλλ' ὑπὲρ τοῦ μὴ ἐκβαλεῖν ἐκεῖθεν καὶ ἀνδραποδίσασθαι, ὅ ἐστι δούλους ποιῆσαι. T.C.V.

10, 17. πολεμοῦσιν] οἱ Ὀλύνθιοι. P.

ἀλλ' ἀναστάσεως] ἤγουν ὑπὲρ τοῦ μὴ ἀνάστατον ὑπὸ τούτου γενέσθαι τὴν σφῶν πόλιν καὶ δούλους αὐτούς· τὸ γὰρ οἰκεῖον συμ- 15 φέρον οὗτος ζητῶν ταῦτα σπουδάσει ποιῆσαι. P.

10, 18. καὶ ἴσασιν] ἀντιπῖπτον λύει, ἵνα μή τις εἴπῃ εἰκὸς μὲν τοὺς Ὀλυνθίους μὴ πιστεύειν αὐτῷ μηδὲ βούλεσθαι προέσθαι ἑαυτοὺς αὐτῷ. τί οὖν; ὅτι εἰσί τινες προδόται παρὰ τοῖς Ὀλυνθίοις, οἵτινες βουλήσονται προδοῦναι τὴν πόλιν, ἐπάγει ὡς οὐδὲ τούτους ἐνδέχεται 20 τοῦτο ποιῆσαι· ἴσασι γὰρ οἷα ἐποίησεν εἰς τοὺς προδότας τῶν Ἀμφιπολιτῶν, τοὺς ἀνοίξαντας αὐτῷ τὰς πύλας. εἰσελθὼν γὰρ αὐτοὺς πρώτους ἐφόνευσε, λέγων· εἰ τῶν ἰδίων πολιτῶν οὐκ ἐφείσασθε, πόσῳ γε πλέον οὐ μέλλετε περὶ ἐμὲ ὕστερον τοιοῦτοι γενήσεσθαι; B.H.R.S. 25

10, 20. Πυδναίων] Πύδνα τὸ νῦν Κίτρος. P. Πύδνα πόλις Μακεδονίας. αὕτη ἀπέστη τοῦ ὑπακούειν Φιλίππῳ, καὶ ἐστράτευσε κατ' αὐτῶν, καὶ περὶ ταύτην τοιοῦτόν τι συνέβη· καὶ γὰρ κἀκεῖ τινες

17. Hoc scholion primum editum in P., sed omisso initio ἀντιπῖπτον—εἰκὸς μέν.

18. βούλεσθαι H.P. βουλήσεσθαι B.R.S.

20. βουλήσονται] ἔσονται P. unde ἕτοιμοι ἔσονται Wolfius.

ἐπάγει om. P. καὶ ἐπάγει H.

ἐνδέχεται] ἀντέχεται P., omisso proximo τοῦτο.

21. οἷα S. ὅσα ceteri.

22. αὐτῷ om. P.

24. περὶ] καὶ περὶ H.

τοιοῦτοι om. P.

26. Κίτρος] κύτρος P.

28. αὐτῶν H.R. αὐτῆς B. In S. magna hujus scholii pars obliterata.

προδεδώκασιν, εἶθ' ὕστερον γνόντες ὅτι οὐκ ἂν αὐτῶν φείσαιτο, ἔφυγον ἐπὶ τὸ Ἀμύντιον ἱερὸν τοῦ πατρὸς αὐτοῦ· κολακεύοντες γὰρ αὐτοῦ τὸν πατέρα πρώην οἱ Πυδναῖοι ἱερὸν αὐτοῦ ἐποίησαν· ὅμως δ' οὐδ' ἐκεῖσε καταφυγόντων ἐφείσατο, ἀλλ' ἀναστήσας αὐτοὺς ὅρκοις ἐπὶ τῷ μηδὲν ποιῆσαι ἐξελθόντας ἀνεῖλεν. B.H.R.S. 5

10, 20. καὶ ὅλως ἄπιστον] εἰπὼν τὰ μερικὰ παραδείγματα τῷ καθολικῷ τῆς γνώμης ταῦτα ἐπισφραγίζεται. B.E.V.

ἄπιστον] ἐναντία γάρ ἐστιν· αἱ μὲν γὰρ οὐκ ἄρχοντα ἔχουσιν, ἀλλ' ἐστὶ δημοκρατία· ἡ δὲ μοναρχίαν ἐπαγγέλλεται. P.

10, 21. κἂν ὅμορον χώραν ἔχωσιν] αὐτὸ γὰρ τὸ πλησιάζον τοῦ τόπου ὥσπερ εἴωθεν τὰ ἐγκλήματα τίκτειν. T.C.V. ἐκ τῶν τριῶν περιστατικῶν, προσώπου, τρόπου καὶ τόπου· τρόπου διὰ τὴν τυραννίδα, προσώπου διὰ τὸν Φίλιππον, τόπου διὰ τὸ ὅμορον. C. 10

10, 22. ταῦτ' οὖν] κατασκευὴ τοῦ δευτέρου προοιμίου. B.P.

ταῦτ' οὖν ἐγνωκότες] δείξας ἐκ πολλοῦ τὸ δοκοῦν λυσιτελεῖν τοῖς Ἀθηναίοις καὶ καταστήσας αὐτοὺς πρὸς τὸ εὐθυμότερον καιρὸν ἔσχε τοῦ παροξῦναι καὶ ἐγεῖραι πρὸς τὰς πράξεις. καὶ οὐδὲ ἐνταῦθα μεγάλα τινὰ ἢ μέσα παρ' αὐτῶν ᾔτησεν, ἀλλὰ τὸ βούλεσθαι μόνον καὶ προσέχειν. διὸ καὶ χαυνώσας αὐτοὺς καὶ εἰς χρηστὰς ἐλπίδας ἐπαγαγών, συμβουλεύειν καὶ χρήματα εἰσφέρειν. ἐν οἷς γὰρ ἡδίους γεγόνασιν, ἐν τούτοις καιρὸν ἔσχεν ὑποβάλλειν τὸ δοκοῦν ἐπαχθές, ἵνα λάθῃ διὰ τῶν χρηστοτέρων καταναγκάσας αὐτοὺς δέξασθαι καὶ τὸ δοκοῦν φορτικώτερον. διὸ καὶ τὸ προθύμως προσέθηκεν, εἰδὼς ὅτι καὶ τὸ προέσθαι χρήματα τοῖς ἀνθρώποις ὀκνηρόν. βούλεται δὲ διὰ τούτων πεῖσαι τὸν δῆμον ἐκστῆναι τῶν θεωρικῶν· δῆλον γὰρ ὅτι μᾶλλον ἀγαπήσουσιν ἀποστῆναι τῶν ἔξωθεν λημμάτων ἢ παρ' ἑαυτῶν καὶ οἴκοθεν εἰσενεγκεῖν. διὰ τοῦτο δὲ τὸ φορτικώτερον αἰτεῖ παρ' αὐτῶν, ἵν' εὐκόλως δυνηθῇ τυχεῖν οὗπερ αὐτὸς βούλεται. H.R.S. 15 20 25

καὶ γὰρ κἀκεῖ H.R. (in R. σε post κἀκεῖ deletum.) κἀκεῖσε γὰρ P. et, omisso γὰρ, B.

1. ὅτι] ὡς P.

αὐτῶν om. P.

3. αὐτοῦ τὸν πατέρα πρώην S. αὐτοῦ τὸν πατέρα B.E.H.R. αὐτὸν πρώην P.

ὅμως] ἂν R., non S. Verba ὅμως—ἐφείσατο om. H.P.

6. παραδείγματα] παραδείκνυσι B.

7. γνώμης] γνώσεως B.E.

11. τίκτειν] τίκτει P.

15. δείξας ἐκ πολλοῦ τὸ om. H.

19. χαυνώσας] Sequentia usque ad ἐκστῆναι τῶν θεωρικῶν obliterata sunt in S.

10, 23. καὶ τἄλλ' ἃ προσήκει] ὥσπερ ἂν εἰ ἔλεγε τὰ τῶν προγόνων διηγήματα, ὅτι ἔθος εἶχον ἐκεῖνοι σώζειν τοὺς κινδυνεύοντας. B.E.T.C.V.

10, 26. αὐτοὺς ἐξιόντας] τοὺς Ἀθηναίους, καὶ μὴ ξενικῇ δυνάμει πιστεύειν. T.C.V.

μηδὲν ἐλλείποντας] σφόδρα τεχνικῶς, ἵνα, εἰ συμβῇ ἡττηθῆναι αὐτοὺς, ἔχῃ ἀπολογίαν τὸ ἐλλεῖψαί τινα ὧν συνεβούλευσεν. B.T.C.V.

οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις] λόγος ἡ ἀπολογία, σκῆψις δὲ ἡ πρόφασις ἢ ἀφορμή. B.P.

10, 28. ὃ πάντες ἐθρύλουν] πόρρωθεν ἀποκλείει τὰς προφάσεις τῶν βουλομένων ἀντιλέγειν· τοῦτο γὰρ, φησὶ, γέγονεν ὃ πάντες ἐθρύλουν· πρῶτον μὲν τῷ περιληπτικῷ πάντας εἰς συγκατάθεσιν ἤγαγεν ὧν αὐτὸς βούλεται. δεύτερον δὲ ἐθρύλουν εἰπὼν τὴν τῆς μετανοίας πρόφασιν ἀνῄρηκεν· οὐ γὰρ κρύφα οὐδὲ ἐν ἀπορρήτῳ περὶ τούτων ἐλέγομεν, ἀλλὰ πάντες βοῇ καὶ θορύβῳ χρώμενοι τοὺς Ὀλυνθίους ἐσπουδάζομεν ἐχθροὺς καταστῆσαι τῷ Φιλίππῳ. ὅτι γὰρ τὸ ἐθρύλουν τοῦτο πάντως δύναται διδάσκει καὶ Ὅμηρος·

"Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος,"

τὴν αἰτίαν λέγων τοῦ θορυβεῖν τοὺς Τρῶας. οὐκοῦν ἅπαντες Ἕλληνες ἔγνωσαν τὴν ἡμετέραν σπουδὴν καὶ μεταγινώσκειν ἀπρεπές. ἀλλ' ἐβουλόμεθα μὲν ἐχθροὺς καταστῆσαι τοὺς Ὀλυνθίους, οὐ μὴν νῦν οὐδὲ τοῦτον τὸν τρόπον· ὁ δὲ καὶ τοῦτο ἔλυσεν εἰπὼν, καὶ ταῦτα ὡς ἂν ὑμῖν μάλιστα συμφέροι. καὶ ἡ ἀπόδειξις εὐθὺς ἀπὸ τοῦ τρόπου, ὅτι παρ' ἡμῶν μὲν πεισθέντες τυχὸν ἂν καὶ μετέγνωσαν. οὐκοῦν

1. ἔλεγε] ἔλαβε E.P.
τὰ] τὰ περὶ V.P.
6. σφόδρα] τοῦτο δέ φησι (σφόδρα add. E.) τεχνικῶς, ἵνα etc. V.
7. αὐτοὺς Sauppius. αὐτὸν B., om. V.
9. ἡ ἀφορμὴ om. B.
11. ἐθρύλουν] ἐθρύλλουν R. hic et infra etiam B.V.
12. πρῶτον μὲν—δύναται] Hæc leguntur etiam in B.C.E.T.V.
τῷ περιληπτικῷ] περὶ τοῦ παραληπτικοῦ B.
13. τὴν om. R.
πρόφασιν ἀνῄρηκεν] ἀνῄρηκε πρόφασιν B.
14. περὶ om. V.
15. ἀλλὰ πάντες—τῷ Φιλίππῳ] ἀλλὰ σὺν βοῇ καὶ θορύβῳ τὸ ἐκπολεμῶσαι τοὺς Ὀλυνθίους τῷ Φιλίππῳ. B.E.
16. καταστῆσαι] καταστῆναι V.
ὅτι—δύναται] τοῦτο γὰρ τὸ ἐθρύλλουν δύναται B.C.E.T.V. Post δύναται duo vel tres literæ deletæ in R.
17. Ὅμηρος] Il. Δ, 437.
23. συμφέροι] συμφέρῃ R: sed in textu συμφέρῃ.

λέγεις ἡμῖν οὐ χρηστούς τινας οὐδὲ βεβαίους ἀνθρώπους. διὰ τοῦτο προσέθηκε τὸ ἴσως, διαλεκτικῶς σφόδρα καὶ ἀκριβῶς. καὶ πιθανὸν τὸν λόγον ἐποίησε καὶ τοὺς Ὀλυνθίους συνέστησε μὴ ἀποφηνάμενος, ἀλλὰ κατ' ἐνδοιασμὸν τὴν γνώμην αὐτῶν ἐκθέμενος. ἐπειδὴ δὲ ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων μισοῦσι, καὶ τοῦτο σύστασιν ἔχει τῶν 5 Ὀλυνθίων. εἰ γὰρ μισοῦσι τὸν Φίλιππον δι' ἅπερ αὐτοῖς ἐγκαλεῖ, πρόδηλον ὡς οὐκ ἀδικοῦσιν, ἀλλὰ μάτην πολεμοῦνται καὶ διὰ τοῦτο βεβαίαν ἔχουσι τὴν ἔχθραν. R. ἀναίρεσις τῆς ἀντιθέσεως τῆς ὅτι οὐκ οἰκεῖος ὁ πόλεμος. τίς γὰρ ἂν ἔτι τολμήσειεν ἀλλότριον λέγειν αὐτὸν, ἐπεὶ τοῦτον πάντες ἐπόθουν; C. 10

11, 3. ἀνείλοντο] ἀντὶ τοῦ ἀνέλαβον. P.

11, 5. ἐπειδὴ δ' ἐκ τῶν] ἤγουν Ἀττικόν. C.

11, 7. οὐ δεῖ δὴ] συστήσας τὴν γνώμην τῶν Ὀλυνθίων καὶ βεβαίους συμμάχους ἀποδείξας ἕρμαιον ποιεῖται τῶν Ἀθηναίων τὸ πρᾶγμα καὶ καιροῦ τινος εὐτυχίαν καλεῖ. τὸ γὰρ παραπεπτωκότα 15 τῶν τυχαίων ἐστὶ καὶ τῶν ἐξ ἀπροσδοκήτου συμβαινόντων. καὶ τὸ ἀφεῖναι σημαντικόν ἐστι τῶν ἐχόντων καὶ ὥσπερ ἐν τῷ κρατεῖν ἤδη ὄντων. καὶ παροξῦναι βουλόμενος ἀναμιμνήσκει τῶν προτέρων ἐν οἷς ἐζημιώθησαν οἱ μὴ χρησάμενοι τοῖς καιροῖς. B.E.H.R.S.V. ἴδιον Δημοσθένους μετὰ τὴν ἀπόδειξιν προτρέπειν. C. 20

11, 10. εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοεῦσι] σχῆμα κατὰ συστροφὴν τὸ καὶ ἐμπερίβολον. βεβαιοῖ τὴν λύσιν τοῦ ὅτι οὐκ οἰκεῖοι οἱ Εὐβοιεῖς, ὅτι καὶ αὐτοὶ ἀπέστησαν. τὸ κατὰ ἀσύνδετον σχῆμα. C.

Εὐβοεῦσι βεβοηθηκότες] Θηβαῖοι πολεμοῦντες Λακεδαιμονίοις ἐν Λεύκτροις τῆς Βοιωτίας ἐνίκησαν αὐτοὺς κατὰ κράτος· ὅθεν εὐθὺς 25 διέβησαν ἐπὶ τὴν Εὔβοιαν, ὡς δῆθεν βουλόμενοι ταύτην χειρώσασθαι, τὸ δὲ ἀληθὲς, ἵνα ταύτην λαβόντες καὶ κατὰ τῶν Ἀθηναίων χωρήσωσιν. οἱ δ' Ἀθηναῖοι ἐξῆλθον Εὐβοεῦσι συμμαχήσοντες· καὶ συμ-

15. παραπεπτωκότα] περιπεπτωκότα V.

16. τυχαίων] ταχέων R., litera ε' a m. sec.: ταχαιων (sine accentu), ut videtur, pr. R. ταχέων etiam H.

καὶ τῶν—συμβαινόντων] καὶ ἀπ' ἀπροσδοκήτων γινομένων B.

καὶ τὸ ἀφεῖναι—ἤδη ὄντων καὶ om. B.E.V.

18. ἐν οἷς] ὧν B.E.

19. οἱ om. S.V.

ἐζημιώθησαν—τοῖς καιροῖς] ἐζημιώθη δι' ἀργίαν B.E.

22. τοῦ] ἐπὶ C. Sensus postulat τοῦ vel τῆς ἀντιθέσεως τῆς—.

26. τὴν Εὔβοιαν R. Ceteri τῆς Εὐβοίας.

27. χωρήσωσιν] χωρήσουσιν B.

βαλόντες ἐνίκησαν οὕτως ὥστε καὶ σπονδῶν αὐτοὺς δεηθῆναι ὑπὲρ τῶν πεπτωκότων, ἵνα λαβόντες τούτους ἀναχωρήσωσιν. ἐπανελθόντες δ' ἐκ τῆς μάχης εὗρον ἐν ταῖς Ἀθήναις δύο πρέσβεις τῶν Ἀμφιπολιτῶν, Ἱέρακα καὶ Στρατοκλέα, παρακαλοῦντας ὥστε ἐξελθεῖν καὶ καταλαβεῖν τὴν Ἀμφίπολιν, πολεμουμένην ὑπὸ Φιλίππου. B.E.R. S.P. 5

πολλὰ διὰ τοῦ παραδείγματος ἤνυσε. τοῦτο γὰρ ἴδιον Δημοσθένους καὶ Θουκυδίδου, τὸ δι' ὀλίγων ῥημάτων πολλὰ νοήματα συνάγειν. πρῶτον μὲν οὖν οἰκειότατον τὸ παράδειγμα. πρῶτον γὰρ ἔλαβε τὸ τῶν Εὐβοέων διαβεβλημένον ὡς ἔχει ἐν τῷ περὶ στεφάνου 10 "οὐδ' ὧν ὑπὸ Θεμίσωνος καὶ Θεοδώρου περὶ Ὠρωπὸν ἠδίκησθε "ἀνεμνήσθητε." οὐκοῦν μηδὲ Ὀλυνθίοις μνησικακήσητε γοῦν εἴ τι περὶ ἡμᾶς ἐξήμαρτον. δεύτερον βούλεται πεῖσαι τοὺς Ἀθηναίους ἐξελθεῖν εἰς τὸν πόλεμον. ἀνέμνησεν οὖν αὐτοὺς ἐξόδου τῆς αὐτῆς, ἐν ᾗ στρατεύσας ὁ δῆμος κατώρθωσε. διὸ καὶ εἶπεν "εἰ γὰρ ὅθ' 15 "ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες," αὐτοὺς ἐμφαίνων εἶναι τοὺς στρατεύσαντας. τρίτον τοιαύτης ἐμνημόνευσε μάχης ἐν ᾗ κατώρθωσαν ὀφθέντες μόνον. δείσαντες γὰρ αὐτῶν τὴν ἔφοδον Θηβαῖοι τῆς χώρας ἀπηλλάγησαν. οὐκοῦν κἂν νῦν ἐξέλθωμεν μόνον, οὐχ ὑποστήσεται Φίλιππος. τέταρτον πρὸς τούτοις συνηρίθμησεν αὐτὸν τοῖς 20 τότε στρατεύσασι, τεχνικῶς σφόδρα τὸ ἀξιόπιστον ἑαυτῷ προσκτώμενος. ὁ γὰρ Ἀριστοτέλης φησὶ δεῖν τὸν σύμβουλον οὕτω συμβουλεύειν ὡς ἑαυτὸν μέλλοντα κοινωνεῖν τούτοις ἐφ' οἷς ποιεῖται τὴν συμβουλήν. τούτοις γὰρ πείθονται μᾶλλον οὓς ἂν ὁρῶσιν ἑτοίμους ὄντας συμμετέχειν ὧν συμβουλεύειν ἐγνώκασι. R. 25

11, 11. παρῆσαν Ἀμφιπολιτῶν] ἀλλ' ἐπαχθὲς ἦν, ὦ Δημόσθενες, ὑπόγυον ἐκ στρατηγίας ἥκοντας εἰς ἕτερον πάλιν ἐξιέναι πόλεμον. ὁ δὲ θεώρησον ὅπως ἔλυσε τὸ δοκοῦν ἐπαχθές. μὴ γὰρ κιν-

1. οὕτως R.S. Ceteri τούτους.
σπονδῶν αὐτοὺς δεηθῆναι R.S. Ceteri σπονδαῖς αὐτοὺς διατεθῆναι.
2. ἀναχωρήσωσιν] ἀναχωρήσουσιν B.
4. Ἱέρακα καὶ Στρατοκλέα (πρωτοκλέα E.) om. P., sed habet στρατοκλέα post τὴν Ἀμφίπολιν loco alieno.
ἐξελθεῖν καὶ καταλαβεῖν] ἐξελθεῖν λαβεῖν P.
5. Φιλίππου] Φιλίππῳ P.
10. περὶ στεφάνου] p. 259, 10.
11. Ὠρωπὸν rec. R. Ὠρωποῦ pr. R.
ἠδίκησθε] ἠδικῆσθαι pr. R.
19. κἂν rec. R. καὶ pr. R.
20. αὐτὸν] αὐτὸν pr. R.
28. ἔλυσε post τὸ δοκοῦν ἐπαχθὲς habet H.

δυνεύειν ὑμᾶς ἐκέλευον ἢ πολεμεῖν, ἀλλὰ πλεῦσαι καὶ παραλαβεῖν τὴν πόλιν, ὥσπερ ἐφ' ἕτοιμον καιρὸν καὶ ἀκίνδυνον αὐτοὺς ἐκκαλούμενος, ὅ γε πλεῦσαι λέγων καὶ παραλαβεῖν. H.R.S.

Ἀμφιπολιτῶν] κτῆμα γὰρ Ἀθηναίων ἡ Ἀμφίπολις. H.R.S.

11, 12. κελεύοντες] προτρεπόμενοι. B.P.

11, 14. ὑμῶν αὐτῶν προθυμίαν] οὐκ εἶπε στρατείαν ἢ πόλεμον, ἀλλὰ προθυμίαν, ὡς μέχρι τοῦ τολμῆσαι μόνον ὄντος τοῦ κατορθῶσαι. καὶ τί πλέον ἂν ἡμῖν ἐγένετο στρατεύσασι; H.R.S.

11, 15. εἶχετ' ἂν Ἀμφίπολιν] σχετλιάζοντος ὥσπερ καὶ ὀδυρομένου τὸ ῥῆμα ὅτι διὰ ῥαθυμίαν μόνην τὴν Ἀμφίπολιν ἀπώλεσαν. B.E.V.

11, 16. τῶν μετὰ ταῦτα πραγμάτων] οὐκοῦν τὴν ἀσθένειαν τοῦ Φιλίππου δείκνυσιν· ἅπαξ γὰρ ἡττηθεὶς οὐκ ἂν ἔτι πράγματα παρέσχεν ὑμῖν. καὶ διὰ τοῦτο δηλοῖ τοῖς Ἀθηναίοις ὅτι καὶ νῦν ἐξελθόντες ἐπισχήσετε τὸν Φίλιππον τούτοις λοιπὸν ἐπιχειρεῖν. H.R.S.

πραγμάτων] ὧν ὑπὸ Φιλίππου πεπόνθατε. P.

11, 17. καὶ πάλιν ἡνίκα Πύδνα, Ποτίδαια—] πρῶτον μὲν ἐν τάχει καὶ ἄνευ συνδέσμων κατέλεξε τὰ χωρία δεδοικὼς μὴ μέγαν καταστήσῃ Φίλιππον· εἶτα τὰ λοιπὰ λέγειν παρῃτήσατο, οὐ τὸ μῆκος τοῦ λόγου δεδοικώς, ἀλλὰ τὸ φοβῆσαι τὸν δῆμον. οὐ μὴν ἀλλὰ καὶ ἐν τούτοις αὔξει τὸ δυνατὸν τῶν Ἀθηναίων. ἡ γὰρ τύχη, φησί, τούτους ἡμῖν πάντας τοὺς καιροὺς παρεσκεύασεν· οὐκοῦν μεθ' ἡμῶν εἰσιν οἱ κρείττους. ἆρ' οὖν, ὦ Δημόσθενες, καθ' ἕκαστον τούτων τῶν χωρίων ἔδει πολεμεῖν καὶ οὕτως εἶ φιλοπόλεμος; ὁ δὲ τί φησιν; ἑνὶ τῶν πρώτων μιᾶς ἡμῖν ἐξόδου μόνης ἔδει, καὶ δεύτερον χωρίον οὐκ ἂν ἠνώχλησε Φίλιππος· εἰ γὰρ τοῦτο συνέβη, ῥᾴονι καὶ πολὺ ταπεινοτέρῳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. λέγεις οὖν ἡμῖν

7. κατορθῶσαι] κατορθώματος S.
8. ἡμῖν] ὑμῖν S.
10. τὸ ῥῆμα] τῷ ῥήματι V.
τὴν] τότε V.
15. ἐπισχήσετε] ἐπισχήσητε H.R.
17. ἐν—φοβῆσαι τὸν δῆμον habent etiam E.V.
18. συνδέσμων] συνδέσμου E.H.V.
τὰ χωρία] τῶν χωρίων E.
δεδοικὼς] δεδιὼς E.V.
19. εἶτα τὰ] τὰ δὲ E.V.
λέγειν om. E.
οὐ—φοβῆσαι] διὰ τὸ μὴ φοβῆσαι E.V.
20. δεδοικὼς] δεδιὼς H.
22. ἡμῖν] ὑμῖν R.S.
23. ἡμῶν] ὑμῶν R.S.
25. τῶν πρώτων] Imo τῷ πρώτῳ.
ἡμῖν] ὑμῖν R.S.

ἰσχυρὸν τὸν Φίλιππον τοσαῦτα προειληφότα. ὁ δὲ κατὰ σύγκρισιν τὸ ἀντιπῖπτον παρέτεμε διὰ τοῦ, πολὺ γὰρ αὐτὸν ταπεινότερον ἔσχομεν, ὡς καὶ νῦν ἔτι ὄντος ταπεινοῦ καὶ καταδεεστέρου τῆς πόλεως, τότε δὲ ἢ νῦν μᾶλλον ἂν ταπεινοτέρου καταστάντος. σημαντικώτατον δὲ τῆς Φιλίππου ταπεινότητος καὶ τὸ ἐχρώμεθα. καθ' ὧν γὰρ ἐξουσίαν ἔχομεν ὅ τι βουλόμεθα πράττειν, κατὰ τούτων τὸ χρῆσθαι λέγομεν· διὸ καὶ τοῖς φίλοις χρῆσθαι λέγομεν ὅτι τὰ δοκοῦντα ἡμῖν ὑπουργοῦσιν. ἕκαστον δὲ τούτων δείκνυσιν ὅτι σχεδὸν ἐπιτάττειν εἴχομεν τῷ Φιλίππῳ καὶ φόρους παρ' αὐτοῦ λαβεῖν. καὶ γὰρ παρὰ τῶν πρότερον ἀρξάντων Μακεδονίας ἐπράττομεν φόρους. τί ποτε οὖν αἴτιον τοῦ μὴ πάντα συμβῆναι; ἡ ῥᾳθυμία τῆς πόλεως, δι' ἣν ηὐξήθη Φίλιππος· καὶ δίδωσιν οὐ τὴν τύχην αἰτίαν εἶναι τῆς Φιλίππου δυνάμεως, ἀλλὰ τοὺς Ἀθηναίους· εἰ γὰρ ηὐξήθη διὰ τούτους, ἐπὶ τούτοις ἐστὶ καὶ τὸ καταλῦσαι τὴν ῥώμην τῆς Μακεδονίας. H.R.S.

11, 17. Πύδνα] τὸ νῦν Κίτρος. B.P.

Ποτίδαια] ἡ νῦν Βέρροια. B.P.

11, 19. πολιορκούμενα] ὑπὸ Φιλίππου. P.

11, 20. ἑνὶ τῷ πρώτῳ] ὥσπερ ἀντιπῖπτον λύει, ἵνα μὴ εἴπῃ ὁ Ἀθηναῖος· καὶ πῶς ἠδυνάμην τοσούτοις ἐν τῷ αὐτῷ βοηθῆσαι; ἐπάγει ὡς ὅτι, εἰ ἑνὶ μόνῳ τῷ πρώτῳ προθύμως ἐβοηθήσατε, οὐκ ἂν τοῦ δευτέρου ἥψατο. B.E.T.C.V.

11, 23. τὰ δὲ μέλλοντα] ὥσπερ ὑπογράφει καὶ χαρακτηρίζει ἡμῖν ἐνταῦθα τῶν ἀργῶν τε καὶ ῥαθύμων τὴν φύσιν. B.E.R.S.V. τὸ δὲ σχῆμα ὑποσιώπησις. B.E. αὐτόματα δὲ ἀντὶ τοῦ ἀπὸ τύχης τινός. T.E.V.

ηὐξήσαμεν] βούλεται διὰ τούτου δεῖξαι ὅτι ἐν αὐτοῖς ἐστὶ καὶ

3. νῦν] νῦν μὲν R.S.
4. σημαντικώτατον] σημαντικώτερον R. τοῦτο σημαντικόν ἐστι τῆς—ὑπουργοῦσιν habent E.T.V.
5. καὶ τὸ ἐχρώμεθα om. E.T.V.
6. τούτων] τούτου T.V. τοῦτο pr. T.
7. διὸ—λέγομεν om. T.V.
14. τῆς Μακεδονίας] τοῦ μακεδόνος. S.
16. Κίτρος] κύτρος P. ut p. 44, 26.
21. ὡς ὅτι] ὥστε B.E. ὡς P., deleto ὅτι. Conf. schol. ad p. 12, 19. 13, 6. 23, 22. 30, 8. 42, 1. 95, 13. 225, 2. 229, 3. 26. 234, 21. 243, 1. et al.
ἐβοηθήσατε] ἐβοηθήσαμεν V.
23. ὥσπερ om. B.E.R.
ὑπογράφει] ἀπογράφει R.S.
25. δὲ om. E.

νῦν αὐτὸν καθελεῖν διὰ τῆς σπουδῆς, ὥσπερ καὶ ἐν αὐτοῖς ἐγένετο τὸ ποιῆσαι αὐτὸν μέγαν διὰ τῆς ῥᾳθυμίας. B.E.T.C.V.

11, 25. ἡλίκος οὐδεὶς] ὑπερβολικὸν μὲν τὸ λεγόμενον, οὐ μὴν παντάπασι φοβερόν· τῶν μὲν γὰρ πρὸ αὐτοῦ μείζων γέγονεν, ὡς μὴ δύνασθαι νῦν φόρους ἀπαιτηθῆναι παρ' ἡμῶν, οὐ μὴν τηλικοῦτος ὡς παντάπασι μείζων εἶναι τῆς πόλεως. νῦν δὲ καιρὸς ἥκει. τίς οὗτος; ὁ τῶν Ὀλυνθίων. πάλιν αὐξήσας τὸν Φίλιππον εὐθὺς εἰς παραμυθίαν ἐμνημόνευσε τοῦ παρόντος καιροῦ τὸ δυνατὸν ὥσπερ αὔξων τῶν Ἀθηναίων. αὐτόματον γὰρ λέγων τύχης εἶναι δῶρον φησὶ καὶ τῆς τῶν κρειττόνων εὐνοίας τεκμήριον. καὶ τί δύναται τοσοῦτον, ὦ Δημοσθένες; ὁ παρὼν καιρὸς πρὸς ἐκείνους τοὺς ἀπολομένους οὐδενός ἐστιν ἐλάττων τῶν προτέρων ἐκείνων· εἰ δὲ καὶ ἐπ' ἐκείνων ἤρκεσεν ἂν ἑνὶ τῷ πρώτῳ βοηθήσαντας ἀπηλλάχθαι πραγμάτων, εὔδηλον ὅτι καὶ τούτῳ χρησάμενοι παύσομεν Φίλιππον τὰ τῶν Ἑλλήνων περιεργαζόμενον. R.S.

11, 27. τις οὗτος ὁ τῶν Ὀλυνθίων] τινὲς τὸ τίς κατ' ἐρώτησιν, τὸ δὲ οὗτος κατὰ ἀπόκρισιν, ἄλλοι δὲ τὸ τίς ἐγκλιτικῶς λαμβάνουσιν. B.V. τινὲς τοῦτο τριχῶς ἐξηγοῦνται. οἱ μὲν ὅλον ὁμοῦ τὸ κῶλον ὡς ἀπὸ τοῦ Δημοσθένους λεγόμενον, οἱ δὲ κατὰ πεῦσιν καὶ ἀπόκρισιν, καὶ τοῦτο διχῶς λέγουσιν. οἱ μὲν γὰρ τὴν πεῦσιν λέγουσιν ὡς ἀπὸ τῶν Ἀθηναίων πρὸς Δημοσθένην, νυνὶ δὲ καιρὸς ἥκει τίς; κατὰ πεῦσιν, ἀνταποκρινομένων οὗτος ὁ τῶν Ὀλυνθίων. A.

11, 28. οὐδενὸς ἐλάττων] τῶν ἤδη ἀπολωλότων. ὅρα δὲ πῶς ἀθυμίας αὐτοὺς πληρώσας διὰ τοῦ καταλόγου τῶν ἀπολωλότων χωρίων πάλιν παρεμυθήσατο τῷ εἰπεῖν ὅτι πάλιν ἥκει καιρὸς οὐ χείρων ἐκείνου. B.E.R.S.P.

3. ὑπερβολικὸν] ὑπερβολὴ S.

11. ἀπολομένους] οὓς addit S., sed punctis supra et infra lineam notatum.

12. προτέρων] πρότερον S.

16. τινὲς — λαμβάνουσιν] τό τις κατ' ἀπόκρισιν λαμβάνουσι τινές R.

17. ἀπόκρισιν] ἀπόφασιν C.

ἐγκλιτικῶς P. ἐγκλητικῶς V. ἐγκληματικῶς B.E.

22. Scholion hoc A. habet in folio antiquo in fine voluminis. Nam codex ipso pluribus ab initio foliis defectus est; de quo dixi vol. I. p. 10.

23. τῶν ἤδη ἀπολωλότων om. R.P. sed habet R. gl. ἀπολωλότων.

δὲ om. R.P.

25. τῷ R. διὰ τοῦ B. διὰ τὸ ceteri.

ὅτι om. P.

26. ἐκείνου om. R.

ἐκείνων] ὧν ἄνω ἔφη. P.

καὶ ἔμοιγε δοκεῖ] παράδοξον τὸ νόημα καὶ πολλῆς ἀποδείξεως δεόμενον. πολλὰ γάρ φησι παρὰ τῶν κρειττόνων ἀγαθὰ πεπόνθαμεν, καίτοι μηδεμίαν αὐτῶν αἴσθησιν εἰληφότος τοῦ δήμου· διὸ καὶ λογιστοῦ δικαίου πρὸς ἐξέτασιν ἐδεήθη· καὶ τὸ ἀπίθανον φεύγων οὐ περιῆψεν αὐτῷ τὸν λόγον, ἀλλ' ἕτερον δοκιμαστὴν ἐζήτησεν. εἰπὼν δὲ τῶν παρὰ τῶν θεῶν ὑπηργμένων ἡμῖν μεγάλην ἔχειν αὐτοῖς χάριν, τὸ μὲν εὐθὺς κατασκευάζειν πρόσαντες καὶ βίαιον ἐνόμισε, προσθεὶς δὲ ὅτι πολλὰ πεπόνθαμεν ἀγαθὰ, πρὸ τῆς ἀποδείξεως τὸ ἀντιπῖπτον ἔθηκεν, ὅτι καίτοι πολλῶν ἀφῃρέθημεν. καὶ τοῦτο λύει πρότερον εἰκότως. ἐπειδὴ γὰρ ἀνῃρέθη τὸ ἀντιπῖπτον, εὐκολώτερον παραδέξονται καὶ τὴν ἐξ αὐτοῦ τεθεῖσαν πρόφασιν, κακῶς μὲν ἔχει πολλὰ τῶν πραγμάτων, ἡμεῖς δὲ τούτων αἴτιοι ῥαθυμήσαντες. καὶ τὸ ἔγκλημα δίκην προσέθηκε, διόπερ ἐξ ἀρχῆς ἐζήτει τὸν δίκαιον λογιστήν. τίς δὲ ὁ δίκαιος λογιστής; αὐτὸς ὁ ῥήτωρ τὸν λογισμὸν ἀποδοὺς, οὗτος ἂν εἴη καὶ τῶν συμβάντων δοκιμαστὴς ἄριστος. καὶ αὐτοῖς τούτοις οὐδὲν ἧττον τὴν ῥώμην τοῦ Μακεδόνος ἠλάττωσεν· ἐκράτησε γὰρ τῶν πραγμάτων διὰ τὴν τῶν κωλυόντων ἐρημίαν, οὐ διὰ τὴν ἰσχὺν τῶν ὅπλων. λύσας δὲ τὸ ἀντιπῖπτον ἐπὶ τὴν πρότασιν πάλιν ἀνέδραμεν, ὅτι εὔνους ἡμῖν ὁ θεός. καὶ ἔστι ταῦτα προηγούμενα μὲν τοῦ συμφέροντος, ὅτι ἀσυμφόρως ἡμῖν αὐτοῖς ἐπράξαμεν τῶν καιρῶν ἀμελήσαντες, ἀποδείκνυται δὲ καὶ τὸ δυνατὸν, ὅτι διὰ παντὸς παρ' ἡμῖν ἔστιν ἡ ῥοπὴ τῆς τύχης. R.

11, 29. λογιστής] λογιστὴν λέγει, οἱονεὶ κριτὴν, ἵνα κρίνῃ τὰ παρὰ τῶν θεῶν αὐτοῖς ὑπηργμένα, προδεδομένα δὲ παρὰ τῆς αὐτῶν ἀμελείας. R.V. κριτὴς, ἐξεταστής. gl. R.

12, 2. οὐκ ἐχόντων] διὰ τὴν ἡμῶν ῥαθυμίαν. P.

12, 3. τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι] τὸ σχῆμα παρίσωσις κατὰ κῶλον. P. παρίσωσις κατ' ἐπεμβολήν. B.

12, 5. μήτε πάλαι] ἤγουν ἐν τοῖς προτέροις χρόνοις, ἀλλ' ὕστερον ἡνίκα ἠμελήσαμεν. P.

20. προηγούμενα] προηγούμενον R.
23. In H.R. sequitur scholion σύνηθες τῷ ῥήτορι—κατασκευάζειν, quod in aliis legitur infra ad p. 13, 25.
24. λέγει om. R.
31. ἡνίκα] ἡνίκα ἂν P.

12, 6. *συμμαχίαν*] *τῶν θεῶν*. P.

τούτων] *ὧν ἀπωλέσαμεν ἀντάξιον. τὸ δὲ ἀντίρροπον πρὸς γενικήν· τὸ δὲ ἰσόρροπον πρὸς δοτικήν*. P.

12, 8. *ἀλλ' οἶμαι*] *παραβολή*. B.P.

βούλεται ἐκ παραδείγματος πιστώσασθαι τὴν πρόφασιν ὅτι εὔνους ἡμῖν οἱ κρείττους· ὡς εἶναι τὸ μὲν πρότερον ἐνθύμημα ἴδιον τοῦ ῥήτορος, ὅπερ βίαιον εἶναι δοκοῦν οὐκ εὐθὺς χειροῦται τὸν ἀκροατήν. τὸ δὲ παράδειγμα μερικὸν ὂν καὶ γνώριμον εὐκολώτερον δύναται πείθειν. οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῷ βιάζεται τὴν ἀθεΐαν. φησὶ γὰρ ἐοικέναι τοὺς μὲν χρησαμένους τοῖς καιροῖς, οὐ μὴν εἰς τέλος καλῶς, τοῖς ἔχουσι χρήματα καὶ κτησαμένοις πρῶτον καὶ ἐν τῷ ἔχειν γινομένοις, οὕτως ἀπολλύντας. ὁ δὲ καιρῷ μὴ χρησάμενος οὐκ ἀγαθὸν ἔχων ἀπώλεσεν, ἀλλὰ κτήσασθαι δυνάμενος ἠμέλησεν. ἔστι δὲ τὸ μὲν ἔχοντα ἀπολέσαι κατηγορίας ἀληθῶς ἄξιον, τὸ δὲ μὴ δυνηθῆναι λαβεῖν καιρὸν ἄν τις καὶ τὴν τύχην λογίσαιτο. ὁ δὲ τῷ ὁμολογουμένῳ τὸ ἀμφισβητήσιμον πιστοῦται. διὸ καὶ ἀνωτέρω τοὺς παρὰ τῶν θεῶν καιροὺς ἐν ὑπάρξει τινὶ καὶ οὐσίᾳ γεγενῆσθαι ἔφασκεν, ὡς τοῦτον ὄντα καιρὸν τοῦ χρήματα κτήσασθαι. H.R.

12, 11. *ἂν δ' ἀναλώσας*] *ἀντιστροφή*. B.P. *τὸ σχῆμα κάλλους ποιητικόν*. P.

12, 13. *οἱ μὴ χρησάμενοι*] *ὥσπερ ἡμεῖς*. P.

12, 16. *ἐκβὰν*] *εἴτε χρηστὸν εἴτε φαῦλον*. P.

12, 18. *ἐπανορθωσάμενοι*] *εἰς ἐπανόρθωσιν ἀγαγόντες, λέγω δὴ τὸ σπουδὴν καὶ φροντίδα τούτων ποιεῖσθαι, ὅπερ ἐξαρχῆς εἰς ἄκρον τῇ πόλει πεφυκὸς νῦν ἠμελήθη· διὸ καὶ δεῖται ἐπανορθώσεως*. P.

12, 19. *ἀδοξίαν ἀποτριψώμεθα*] *ἐκ μεταφορᾶς ἡ λέξις ἀπὸ τῶν ῥυπώντων σωμάτων. ὥσπερ γὰρ ὁ ῥύπος κρύπτει τὴν τῶν σωμάτων εὐπρέπειαν, οὕτως ἀδοξία τὴν τῶν ἀνδρῶν ἀρετὴν λυμαίνεται. καὶ διὰ τούτου λοιπὸν κατεσκεύασεν ὡς ὁμολογούμενον ὡς ὅτι γε ἑκόντες προήκαντο τοὺς καιρούς· οὐ γὰρ ἂν ἠδόξησαν. ἐπὶ γὰρ τοῖς ἑκου-*

2. *τὸ ἀντίρροπον—δοτικήν* habent etiam B.C. Conf. ad schol. ad p. 12, 27.
12. *μὴ*] *μὲν* rec. R.
26. *ἀπὸ* om. H.
27. *ῥυπώντων*] *ῥυπούντων* H.
29. *τούτου*] *τοῦτο* H.
ὡς ὅτι γε R.S. *ὅτι τὲ*, sine *ὡς*, H. *ὡς ὅτι* est in scholio ad p. 11, 20.
30. *προήκαντο*] *προήκαντο* H.R.S.
γὰρ] *δὲ* H.

σίοις ἁμαρτήμασιν ἡ ἀδοξία προσγίγνεται. καὶ ἔστιν οὐδὲν ἧττον καὶ τοῦτο νουθετητικόν. H.R.S.

ἀποτριψώμεθα] ἐξαλείψωμεν, οἱονεὶ ἐκκαθάρωμεν καὶ ἀποπλύνωμεν. A.B.C.V. ὡς ἀπὸ μεταφορᾶς τῆς κηλίδος τῆς γενομένης ἀκαθαρσίας περὶ τὴν ἐσθῆτα. C.V. 5

12, 20. εἰ δὲ προησόμεθα] ἐντεῦθεν τὸ ἀναγκαῖον· ἡ δὲ κατασκευὴ ἐκ τοῦ συμφέροντος. C.

12, 22. φρασάτω τις ἐμοὶ τί τὸ κωλῦον] παρ' ἑτέρου ζητεῖ τὸ βλάσφημον, καὶ ἔστιν ἀγωνιῶντος τὰ ῥήματα καὶ δεδοικότος τὸ μέλλον. εἶτα θελήσας εἰπεῖν, ἥξει Φίλιππος ἐπὶ τὴν πόλιν, οὐ 10 φανερῶς αὐτὸ εἶπεν, ἵνα μὴ δόξῃ τὰ φαῦλα οἰωνίζεσθαι τῇ πόλει. κατ' ἐρώτησιν δὲ προήγαγεν ὥσπερ αὐτὸν βουλόμενος ὁμολογῆσαι τὸν ἀκροατὴν, ὅπερ εἰπεῖν ὁ ῥήτωρ φυλάττεται, τί τὸ κωλῦον ἔτ' αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται; καὶ εἴληφεν ὁμολογουμένην πρότασιν, ὅτι καταστραφέντων Ὀλυνθίων οὐδεὶς κωλύσει τὸν Φίλιππον πορεύ- 15 εσθαι. καὶ τὸ κατὰ τίνων ἐσιώπησεν, ὁμοῦ μὲν τὸ ἀντιπῖπτον ὑποτεμνόμενος ὅτι ἄδηλον εἰ ἐφ' ἡμᾶς ὁρμήσει, ὁμοῦ δὲ εἰς ὑπόνοιαν καταλιπὼν ἐκεῖνο ὅτι πάντως ἐπὶ τὴν Ἀττικὴν πορεύσεται. H.R.S.

φρασάτω τις ἐμοὶ] πάλιν τὸ ἀξιόπιστον φρόνημα τηρῶν εἶπεν ἐμοὶ, οἷον, τῷ φιλοπόλιδι ἐμοὶ, ἐμφαντικῶς. A.B.C.R.S.V. 20

12, 23. ὅποι βούλεται] εὐφήμως εἶπε τὰς Ἀθήνας, πάλιν τῇ ὑποσιωπήσει χρησάμενος. A.B.C.R.V. τὸ σχῆμα ἀποσιώπησις. S.

12, 26. τὸ πρῶτον Ἀμφίπολιν λαβὼν, μετὰ ταῦτα] τὸ, μετὰ ταῦτα, καὶ εἶτα, καὶ αὖθις, καὶ πάλιν, τὰ τοιαῦτα μόρια, βραδυτῆτα 25 δείκνυσι· μιμεῖται γὰρ ἀεὶ τὴν τῶν πραγμάτων φύσιν καὶ διὰ τῆς λέξεως ὁ ῥήτωρ. καὶ βουληθεὶς ὑπτιότητα δεῖξαι καὶ ἀσθένειαν οὖσαν ἐν τοῖς Φιλίππου πράγμασιν, ὕπτιον καὶ τὸν λόγον ἐποίησε τῇ τῶν μορίων προσθήκῃ. τοῦ μὲν γὰρ αὔξοντος τὴν Φιλίππου δύναμιν

1. προσγίγνεται] προσγίνεται H.
2. νουθετητικόν] νουθετικόν H.
3. ἐξαλείψωμεν om. B.C.V.
4. γενομένης] γινομένης C.
9. δεδοικότος] δεδιότος H.
20. ἐμοὶ ἐμφαντικῶς om. A.B.S.V.
21. ὅποι—εὐφήμως] τὸ δὲ ὅποι—εὐφήμως A.B.
πάλιν hoc loco R., post ὑποσιωπήσει ceteri, quorum A.B. καὶ πάλιν.
25. τὰ] καὶ τὰ P.
26. τῶν πρ. τὴν φύσιν] τὴν τῶν πρ. φύσιν R.
28. ἐν om. B.

ἦν οὕτω προάγειν, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Μεθώνην, Ἰλλυριοὺς, Θρᾴκην. ἡ γὰρ συνέχεια τῶν ὀνομάτων ἀκμὴν ἔχουσα τὴν ὑπερβολὴν τῆς δυνάμεως δείκνυσιν, ωσπερ οὐκ ἀρκοῦντος τοῦ χρόνου πρὸς τὰς τῶν πόλεων ἁλώσεις. τοῦ δὲ ὑπτιάζοντος τὸ προαγαγεῖν ὡς ἐν ἱστορίᾳ τὸν λόγον, ὥστε καὶ ἡ δοκοῦσα τοῦ λόγου κακία, χρείαν τινὰ κατορθοῦται καὶ θαυμαστὸν δείκνυσι τὸν ῥήτορα. τέχνης γάρ ἐστιν ἀκρίβεια τὸ ἐπιγνῶναι τὸν καιρὸν ἐν ᾧ τοῦτο προσήκει ποιεῖν. A.B.H.R.T.V.

12, 27. Θετταλίας ἐπέβη] τὸ [ἐπέβη καὶ] ἐπιβαίνω πρὸς γενικήν· τὸ δὲ ἐπεμβαίνω καὶ ἐμβατεύω πρὸς δοτικήν. B.T.V.

12, 29. ᾤχετ' ἐς Θρᾴκην] ἐπέστρεφε. B.S.P.

13, 2. ῥαΐσας] οὐ τὸ ὑγιάνας σημαίνει, ἀλλ' ὥσπερ κουφότερον ἔχων τοῦ νοσήματος, ἵνα τὴν φιλοπονίαν δείξῃ τοῦ Μακεδόνος καὶ τὸ μηδένα καιρὸν ἐθέλειν ἡσυχάζειν. B.C.E.V.

13, 4. Ἰλλυριοὺς καὶ Παίονας] ἔθνη βάρβαρα περὶ Μακεδονίαν· ἵνα δείξῃ ὅτι οὐδὲ βαρβάρων φείδεται βάρβαρος ὤν. B.E.V.

13, 5. Ἀρύμβαν] οὗτος βασιλεὺς ἦν Μολοσσῶν, Ὀλυμπιάδος δὲ τῆς τοῦ Φιλίππου γυναικὸς θεῖος. φησὶ δὲ ὅτι οὐδὲ συγγενῶν φείδεται Φίλιππος διὰ τὸ βούλεσθαι πάντων κρατεῖν. B.E.V.

παραλείπω] τὸ σχῆμα κατὰ παράλειψιν. B.S.

1. οὕτω] τὸ B. et corr. H.
Μεθώνην, Ἰλλυριοὺς om. R.
4. τοῦ δὲ ὑπτιάζοντος] Supra βραδυτῆτα καὶ ἀσθένειαν καὶ ὑπτιότητα conjunxit, quibus opponit τὸ αὔξειν καὶ ὑπερβολὴν τῆς δυνάμεως. Sed vide quomodo consentiat hic locus cum illo superiore, Πύδναν, Ποτίδαιαν, &c. δοκοῦσι γὰρ οἱ λόγοι καταπαλαίειν τοὺς λόγους. Nec fortassis ejusdem auctoris verba sunt. WOLF.
ὡς om. H.R.
5. τοῦ om. B.
τοῦ λόγου] τῶν λόγων C solus: "ἡ "δοκοῦσα τοῦ λόγου κακία] ἡ ὑπτιότης, "supiniras, ut ita dicam, id est, "tarditas, qua ostendit, lente pro-"cedere res Philippi, et infirmas "ejus esse opes. Dionysius τὸ "ὕπτιον καὶ ἀναβεβλημένον τῆς ἀγωγῆς "in Isocrate reprehendit." WOLF.
6. κατορθοῦται καὶ θ.] κατορθοῦσα θ. T.V.
7. ἐστιν om. R.
9. ἐπιβαίνω] τὸ ἀντίρροπον πρὸς γενικὴν addit V., quæ verba illata sunt ex scholio ad p. 12, 6. quo illic caret V.
10. ἐμβατεύω] ἐπιβατεύω V.
12. σημαίνει om. B.
13. τοῦ] ἐκ τοῦ V.
φιλοπονίαν] πολιτείαν C.V.
15. βάρβαρα] Ἰλλυριοὶ addit B.
16. φείδεται] ἐφείσατο V.
17. Ἀρύμβαν—βασιλεὺς] ὁ δὲ ἀρύμβας βασιλεὺς B.
ἦν] ὤν B.
18. φείδεται Φίλιππος—κρατεῖν] φείδεται—κρατεῖν ὁ Φίλιππος V.

13, 6. τί οὖν ἄν τις εἴποι] τινὲς στίζοντες εἰς τὸ "τί οὖν ἄν τις "εἴποι" ἐπιφέρουσι "ταῦτα λέγεις ἡμῖν." H.T.V.

τὸ σχῆμα ἀνθυποφορά. διαφέρει δὲ ἀνθυποφορὰ καὶ ἀντίθεσις καὶ ἀντιπεῖπτον ἀντιπεῖπτον μὲν γάρ ἐστιν ὅταν οἶδεν ὡς ὅτι μέλλει αὐτῷ τι ἀντιπεσεῖν ὡς ἄτοπόν τι λέγοντι καὶ ἐπανορθώσηται αὐτὸ ἀπροσ- 5 ποιήτως καὶ ὥσπερ λεληθότως. ἀνθυποφορὰ δὲ, ὅταν μέρος μὲν ὥσπερ καταδέχηται τοῦ λεγομένου ὁ ἀκροατὴς, ἀμφιβάλλῃ δὲ περὶ τὸ λοιπὸν, ὡς ἐνταῦθα. ὥσπερ τινὸς λέγοντος ὅτι "καλῶς μὲν ταῦτα "λέγεις περὶ Φιλίππου, ἀκαίρως δέ· οὐ γὰρ εἰσῆλθες καταλέγειν "ἡμῖν τὰ Φιλίππου, ἀλλὰ τί δεῖ περὶ Ὀλυνθίους ποιῆσαι," ἐπάγει, 10 καὶ ταῦτα χρήσιμα πρὸς τὴν παροῦσαν ὑπόθεσιν. ἀντίθεσις δὲ, ὅταν ἀπό τινος κεφαλαίου ὁρμᾶται, οἷον ἀπὸ δικαίου, ἢ συμφέροντος,

1. τινὲς om. T.V. In B.R.S. hæc leguntur in fine scholii proximi, τινὲς δὲ εἰς τὸ τί οὖν ἄν τις εἴπῃ (εἴποι R.S.) στίζοντες ἐπιφέρουσι ταῦτα λέγεις ἡμῖν.

στίζοντες] στίζοντος T.

3. καὶ om. R.

καὶ ἀντίθεσις καὶ ἀντιπεῖπτον] ἀντιθέσεως καὶ ἀντιπίπτοντος V.

4. μὲν om. R.

ὅταν οἶδεν] Correctior horum scholiastarum lingua est quam ut solœcum ὅταν οἶδεν ferri possit. Sensit vitium qui in P. posuit ὅταν εἴδῃ, quod ὅταν εἴδῃ scribendum.

ὡς ὅτι μέλλει] Sic in argumento Busiridis Isocratici ὡς ὅτι, semel atque iterum conjunguntur, sive idiotismo aliquo scriptoris sive incuria librarii. WOLF. V. annot. ad p. 50, 21.

μέλλει] μέλλοι C.

5. αὐτὸ] ἑαυτὸν V.

6. καὶ om. H.

ἀνθυποφορὰ] Ad vocabula quod attinet ἀνθυποφορὰ, ἀντακόκρισις, ἀνθυφαίρεσις, *exceptio, dilutio, responsio ad objectionem*, opponitur τῇ ὑποφορᾷ, τῷ τοῦ ἐχθροῦ λόγῳ, Hermogene auctore: τὸ καθ' ὑποφορὰν σχῆμα, *subjectio*, ἀντιπεῖπτον, *id quod obstat nobis, et velut viam intercludit*, ἀντίθεσις, *quod nobis opponitur, in quo nobis occurritur ab adversariis*. Videntur curiosius hæc distingui quam utilius, ἐκ περιουσίας τῆς Ἑλληνικῆς τῶν λόγων εὐπορίας. Vulgo utimur objectionis uno fere nomine. Græca verba si interpreteris, erit ἀνθυποφορὰ, *contraria illatio*: ἀντίθεσις, *contrapositio*, vel *oppositio*: ἀντιπεῖπτον, *contra cadens*: προκατάληψις, quæ interdum etiam πρόληψις, Ciceroni est *anteoccupatio*: προκαταλαμβάνειν, *ante occupare quod putes oppositum iri*. WOLF.

7. καταδέχηται] καταδέχεται V.

λεγομένου] λόγου H.

ἀμφιβάλλῃ] ἀμφιβάλλει B.V.

8. ὅτι om. R.

9. λέγεις ταῦτα περὶ Φιλίππου S. ταῦτα λέγεις περὶ Φιλίππου B.R. λέγεις. ταῦτα γὰρ ἔχει τὸν Φίλιππον T.C.D.V. Sequentia ἀκαίρως—τὰ Φιλίππου om. R.

οὐ] οὐδὲ V.

10. τὰ] τὰ τοῦ V.

Φιλίππου] πράγματα addit P.

περὶ Ὀλυνθίους ποιῆσαι R. ποιῆσαι περὶ ὀλυνθίους H. περὶ ὀλυνθίων ποιῆσαι B.S. ποιῆσαι περὶ ὄλυνθον V.

11. καὶ H.R.S. ὅτι καὶ B.V.

χρήσιμα] ἐστιν add. V.

12. οἷον—τοιούτων om. B.H.R.S.

ἢ τινος τῶν τοιούτων, ἵνα δὲ μὴ προσκορῆ τὸν λόγον ἐργάζηται ἀποτάδην λέγων, ἐπάγει τινὰ ἡδονὴν διὰ τῆς πλάσεως τοῦ προσώπου τοῦ ἀντιλέγοντος, ἵν' ὥσπερ ἀπαιτούμενος παρ' ἄλλου καὶ ἀναγκαζόμενος, οὐκ ἀφ' ἑαυτοῦ ἐπιφέρειν δοκῇ τὴν ἐπιτίμησιν. B.H.R.S.V.

13, 9. φιλοπραγμοσύνην] σπουδὴν καὶ πλεονεξίαν. A. 5

13, 11. ἀγαπήσας] ἀρκεσθείς. P.

13, 13. ἐγνωκὼς] τὸ ἐγνωκὼς ἀπὸ κοινοῦ, ἵν' ᾖ πάντα ἐγνωκότες ἐνταῦθα. R.S.

13, 17. ἐκεῖθεν] ἐκ τῆς Ὀλύνθου. P.

πόλεμον] ἀντὶ προσώπου πρᾶγμα ἔλαβεν. οὐ γὰρ εἶπεν, ἐλεύ- 10 σονται οἱ πολέμιοι καθ' ἡμῶν, ἀλλ' ὁ πόλεμος. σύνηθες δὲ τοῦτο καὶ Θουκυδίδῃ ποιεῖν καὶ μεταλαμβάνειν ἀντὶ προσώπων πράγματα, ἢ πρόσωπα πάλιν ἀντὶ πραγμάτων. αἱ γὰρ τοιαῦται τῶν λέξεων ἐναλλαγαὶ καινοπρέπειαν τῷ λόγῳ παρέχουσιν. τεχνικῶς δὲ τοῦτο ἠρώτησεν, ἵνα ἕκαστος φεύγων τὸ καταψηφίσασθαι αὐτοῦ ἄνοιαν συνο- 15 μολογήσῃ τῷ ῥήτορι ὡς ἀληθῆ λέγοντι. B.E.V.

13, 18. ἀλλὰ μὴν] λύσις τοῦ ἀντιπίπτοντος ὅτι, κἂν ἔλθῃ ἐφ' ἡμᾶς Φίλιππος, σεμνυνούμεθα τότε. R.S.

13, 21. τῶν ἀρχαίων] ἤτοι τῶν ἐνεχύρων· ἀρχαῖα γὰρ τὰ ἐνέχυρα καὶ τὰς ὑποθήκας ἐν πολλοῖς ὁ Δημοσθένης φησίν. τινὲς δὲ ἐξ- 20 ηγοῦνται αὐτὸ οὐκ ἐπὶ τῶν δανειζομένων, ἀλλ' ἐπὶ τῶν δανειζόντων, λέγοντες πολλάκις τὰ παθητικὰ ἀντὶ ἐνεργητικῶν χρῆσθαι τοὺς Ἀθηναίους. καὶ λέγουσιν ἀρχαῖα αὐτὰ τὰ κεφάλαια. μὴ δυνάμενοι γὰρ, φησὶν, ἀποδοῦναι πολλοὺς τόκους ὕστερον οἱ χρεωστοῦντες

1. ἀποτάδην] ὑποτάδην B.
2. διὰ] καὶ διὰ B.
3. ἵν'] Legebatur καὶ ἵν'. Delevi καὶ punctis notatum in S.
παρ' ἄλλου καὶ ἀναγκαζόμενος] καὶ ἀναγκαζόμενος παρ' ἄλλου καὶ V. παρ' ἄλλου καὶ om. H. καὶ ἀναγκαζόμενος παρ' ἄλλων καὶ E.
4. οὐκ ἀφ'] οὐκέθ' E.
7. τὸ om. R.
πάντα] αν (sine accentu) super ἐγνωκότες S.
12. ἀντὶ] ἢ ἀντὶ V.
προσώπων] προσώπου V.
ἢ πρόσωπα—πραγμάτων] ἢ πάλιν ἀντὶ πραγμάτων πρόσωπα C.
19. ἤτοι om. B.R.S.
20. ἐν πολλοῖς] πολλάκις B.E.
φησίν] εἶπε T.C.V.
τινὲς—ἀπολλύουσιν] τινὲς δέ φασι τὸ δανειζόμενοι ἐπὶ τῶν δανειζόντων, κένεται ἀντὶ τοῦ ἐνεργεῖται, ὡς νοεῖσθαι ἀρχαῖα τὰ κεφάλαια. προσαπολλύουσι γὰρ οὗτοι διὰ τοὺς τόκους καὶ τὰ κεφάλαια πολλάκις. B.E.
22. τὰ παθητικὰ] τοῖς παθητικοῖς P.
χρῆσθαι] χρῶνται T. et pr. D.
γ
23. λέγουσιν] λέ S.

φεύγουσι, καὶ οὕτως οἱ δανεισταὶ μετὰ τῶν τόκων καὶ τὰ κεφάλαια ἀπολλύουσιν. B.R.S.V.

13, 22. ἐρραθυμηκότες] οὐχ ἁπλῶς ἠμεληκότες· οὐ γὰρ τοῦτο σημαίνει ἡ λέξις, ἀλλὰ μᾶλλον τὴν ἄνεσιν καὶ τὴν ἐν ἡδονῇ διαγωγήν. ἐπὶ πολλῷ δὲ ἀντὶ τοῦ ἐπὶ πολλῷ τόκῳ. A.B.H.T.V. ἵνα τόκον λάβωμεν τὴν ἀργίαν καὶ ῥαθυμίαν, κεφάλαιον δὲ αὐτὴν τὴν πόλιν. V.

13, 25. εἰς ἀνάγκην ἔλθωμεν] σύνηθες τῷ ῥήτορι τῶν μὲν λυπηρῶν καὶ αὐτὸν μετέχοντα δεικνύναι, τῶν δὲ ἀγαθῶν τὴν πεῖραν ὁλόκληρον ἀπονέμειν τῷ δήμῳ. καὶ δύναται τοῦτο πολλὴν αὐτῷ παρὰ τῶν ἀκροατῶν τὴν εὔνοιαν κατασκευάζειν. A.B.H.R.T.V.

13, 26. τὸ μὲν οὖν ἐπιτιμᾶν] ὀνειδίζειν μεταληπτικῶς T. σημείωσαι· ἀντίθεσις ἀπὸ τοῦ δικαίου. A.B. μικτὸν τὸ προοίμιον ἔκ τε τοῦ δυνατοῦ καὶ τοῦ συμφέροντος. μετιὼν γὰρ ἐφ' ἕτερον κεφάλαιον οὐ παντελῶς ἰδιάζον τὸ προοίμιον ἔλαβεν, ἵνα μὴ καθάπερ ἐσχισμένος ὁ λόγος φαίνηται, τὴν μὲν ἀρχὴν ποιησάμενος ἐξ οὗ λέγων ἐπαύσατο, λέγω δὴ τοῦ συμφέροντος, τὸ δὲ ἐνθύμημα καὶ τὴν ἐπαγωγὴν ἐκ τοῦ δυνατοῦ. διὸ καὶ τὸ προοίμιον ἔλαβε· διαφέρει δὲ τὰ τῶν κεφαλαίων προοίμια τῶν ἐν αὐταῖς ταῖς ἀρχαῖς, ὅτι ἐκεῖνα μὲν τῷ παντὶ λόγῳ χώραν δίδωσι καὶ σπερματικὴν ἔχει τὴν δύναμιν τῶν διόλου λέγεσθαι μελλόντων, τὰ δὲ τῶν κεφαλαίων αὐτὰ μόνα θεραπεύει τὰ λυποῦντα τὸ κεφάλαιον. τὸ δὲ ὥσπερ ἐξ ἀντιθέσεως εἰλῆφθαι τὸ προοίμιον οὐ παράδοξον· τὸ γὰρ ἐν μέσῳ λόγῳ κεῖσθαι πεποίηκέ τι καὶ ἐναγώνιον ἔχειν. ἰστέον δὲ ὅτι ἡ ἐπιτίμησις τῷ συμφέροντι προσήκει. ἐπιτίμησιν δὲ αὐτὸ εἶπεν, ἀλλ' οὐ λοιδορίαν· τὸ μὲν γὰρ ὑβρίζειν παντὶ ῥᾴδιον, τὸ δὲ ἐπιτιμᾶν, ὅπερ ἐστὶ νουθε-

2. ἀπολλύουσιν] ἀπόλλουσιν vel ἀπολλοῦσιν (sic) S.T. et pr. D. ἀπολοῦσιν margo P.

3. οὐ γὰρ—λέξις om. H.

5. ἐπὶ—πολλῷ τόκῳ om. A.

8. σύνηθες] In H.R. hoc scholion legitur supra ad p. 11, 28. ad verba καὶ ἔμοιγε δοκεῖ—.

9. πεῖραν] μοῖραν Wolfius.

ὁλόκληρον] ὁλόκληρα T.V.

10. τῷ δήμῳ] τῇ πόλει V.

11. κατασκευάζειν om. A.B.: post ἀκροατῶν habent T.V.

14. τοῦ] Utrumque τοῦ om. V.

15. οὐ παντελῶς ἰδιάζον] Utrum κεφάλαιον ἰδιάζον, ἢ προοίμιον; Mihi utrumque obscurum videtur, et neutrum satis placet. Malo tamen ad κεφάλαιον referre. Hoc enim velle puto, eum a capite alio transire ad aliud, ab illo non omnino abhorrens, sed affine potius. WOLF.

τὸ om. T.

24. ἔχειν] τὸν λόγον add. P.

τοῦντος καὶ ἐπὶ λυσιτελοῦντι καὶ τιμῇ τῶν ἀκουόντων λέγοντος, οὐ παντός ἐστιν, ἀλλὰ μόνου τοῦ σκοποῦντος τὸ λυσιτελὲς τῶν ἀκουόντων. Ἄλλως. ἀντίθεσις ἀπὸ τοῦ δικαίου, οἷον· ἀλλ' οὐ δίκαια ποιεῖς, ὦ Δημόσθενες, μόνον ἐπιτιμῶν ἡμῖν, ὅπερ παντὸς ἀνθρώπου ἐστίν, οὐ μέντοι συμβουλεύων, ὅπερ ἐστὶ ῥήτορος. ἰστέον δὲ ὅτι οὐκ εὐθὺς ἐπήγαγε τὴν λύσιν, ἀλλ' ὕστερον, ἐν μέσῳ θεὶς καὶ εἰπὼν ὅπερ ἐφοβεῖτο, ἵνα διὰ τούτου ὥσπερ προδιορθώσηται τὴν μέλλουσαν συμβουλήν. B.T.V.

ἐπιτιμᾶν] ἐντεῦθεν προοίμια εἰς τὸ τοῦ δυνατοῦ κεφάλαιον, ὅπερ τέτμηται εἰς δύο, εἴς τε τὴν παρασκευὴν τοῦ στρατεύματος καὶ εἰς χρημάτων πόρον. φασὶν οἱ ἐξηγηταὶ ὡς κείμενον ἐν μέσῳ τοῦτο τὸ προοίμιον διὰ τοῦτο εἰσῆκται καὶ ἐναγώνιον, ἵν' ἔχῃ τι καὶ ἀγῶνος. ὁ δὲ Ἰσοκράτης ἐν τῷ Ἀρχιδάμῳ κατ' ἀρχάς φησιν "ἴσως τινὲς ὑμῶν "θαυμάζουσιν ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως "νόμοις τοσαύτην πεποίημαι μεταβολήν." τοῦτο δὲ γίνεται ὅταν ὁ ῥήτωρ θαρρῇ ἀξίας τὰς λύσεις δοῦναι. T.

14, 4. ὑποστείλασθαι] ὑποκρύψασθαι. P.

14, 5. φημὶ δὴ διχῇ] τὸν τρόπον τῆς βοηθείας εἰσηγεῖται. ἐστὶ δὲ οὗτος τοῦ δυνατοῦ κεφαλαίου. πᾶσα γὰρ καιρῶν καὶ τρόπων ἐξέτασις ἐπὶ τὸ δυνατὸν ἔχει τὴν ἀναφοράν· ἐν τούτῳ γὰρ δείκνυται πῶς ἔνεστι κρατῆσαι τῶν ἀντιπάλων. A.B.H.E.R.T.V. ἐπεὶ δὲ οἷδε τοὺς Ἀθηναίους πολλῇ δεδουλωμένους ῥᾳθυμίᾳ, προτείνει δύο βοηθείας, ἵνα κἂν τὴν μίαν ποιήσωσιν. B.E.T.V.

14, 10. ὀκνῶ] φοβοῦμαι. B.P.

μάταιος] Ἀττικὸν τὸ μάταιος ἡ στρατεία. B.P.

14, 11. ὑπομείνας] οἰκεία ἡ λέξις. ὑπομεῖναι γὰρ λέγομεν ἐπὶ

1. λυσιτελοῦντι Sauppius. λυσιτελοῦντος libri.
καὶ] ἐπὶ V.
5. οὐ] μὴ V.
συμβουλεύων] συμβουλεύοντος V.
6. ὅτι om. B.
19. καιρῶν καὶ om. H.R.: solum καὶ habent T.C.D.V.
20. ἀναφοράν·—κρατῆσαι] ἀναφορὰν στῆσαι B. mediis omissis.
21. ἀντιπάλων] ἐναντίων A.B.H.
ἐπεὶ] ἐπειδὴ E.V.
22. προτείνει] αὐτοῖς add. V.
δύο βοηθείας] δύο ῥᾳθυμίας μᾶλλον δὲ βοηθείας B.E. Est corrigentis scripturæ vitium ῥᾳθυμίας pro βοηθείας.
25. τὸ om. B.
26. ὑπομείνας—λέξις] τὸ δὲ ὑπομείνας οἰκείως εἶπεν B.
λέγομεν ἐπὶ τοῦ] λέγει ἐπὶ τὸ B. λέγεται ἐπὶ τοῦ E. λέγειν ἀντὶ τοῦ V. ἀντὶ habet a pr. m. T., sed ἐπὶ a sec.

τοῦ καρτερεῖν, ὅταν ἴδωμεν τὰ οἰκεῖα πάσχοντα. B.E.H.R.S.T.V. τὸ δὲ παραστήσεται, χειρώσεται. B.V. στικτέον δὲ ἐνταῦθα, ἵν' ᾖ, ὑπομείνας καὶ ἐάσας τὴν πατρίδα αὐτοῦ κακῶς πάσχουσαν παραστήσεται ἐν τοσούτῳ Ὄλυνθον· καὶ εὐχερῶς ἐλθὼν εἰς τὴν Μακεδονίαν, ὡς λαβὼν τοὺς Ὀλυνθίους πρὸς συμμαχίαν, ἀμυνεῖται ἡμᾶς ἐκεῖσε. 5 T.V. ὑπόθεσις καὶ ἀναπλήρωσις τὸ σχῆμα. ἔστι δὲ τῆς εὐκρινείας. C.

14, 15. περιέσται τῷ χρόνῳ] τὸ δυνατὸν ἐντεῦθεν τοῖς Ὀλυνθίοις πραγματεύεται, μὴ ποιούμενος εὐχερῆ τὴν τούτων ἅλωσιν ὡς ἐπὶ τῶν ἄνω πόλεων. H.R.S. ὅρα πῶς ἐπὶ τῶν ἄνω πόλεων εἰπὼν ὅτι εὐ- 10 χερῶς αὐτὰς ἐλάμβανεν ἐπὶ τῆς Ὀλύνθου εἶπε τὸ δυσχερὲς, διὰ τοῦ εἰπεῖν, "τῷ χρόνῳ περιέσται," τὸ δυνατὸν Ὀλυνθίοις πραγματευόμενος. B.V.

14, 18. περὶ δὲ χρημάτων πόρου] μετέρχεται ἐπὶ τὸ δυνατὸν κεφάλαιον. μερίζει δὲ τοῦτο εἰς δύο, εἴς τε χρημάτων εὐπορίαν καὶ 15 ἀνδρῶν δύναμιν. B.R.S.T.V.

14, 20. ὡς βούλεσθε λαμβάνετε] πάλιν ὑποσιωπήσει ἐχρήσατο, ἀντὶ τοῦ εἰπεῖν, εἰς τὰς θέας αὐτὰ λαμβάνετε. C.V. τὸ σχῆμα ὑποσιώπησις. B.R.S. πολὺ τὸ ἐνδιάθετον ἐνταῦθα διὰ τὴν ὑποσιώπησιν καὶ ἐπιδιόρθωσιν. C. 20

14, 22. ἀποδώσετε] καλῶς εἶπε τὸ ἀποδώσετε, καὶ οὐχὶ δώσετε. ἀποδίδωσι γάρ τις τὸ ἀλλότριον ἐκείνῳ, οὗ οἶδεν ὂν τὸ πρᾶγμα· ὥστε ταῦτα, φησὶν, οὐκ ἔστιν ὑμέτερα, ἀλλὰ τῶν στρατιωτῶν οἰκεῖα. E.T.V.

14, 23. ἐνδεῖ] ἐνδεῖσθαι μέν ἐστι τὸ παντελῶς μὴ ἔχειν, προσ- 25

1. οἰκεῖα] οἰξ compendio scriptum in S.
πάσχοντα] πάσχοντας B.
2. τὸ δὲ om. B.
8. ἐντεῦθεν] ἐνταῦθα S.
9. ἐπὶ τῶν ἄνω πόλεων] ἐπὶ τῷ ἄνω πόλεως pr. T. ἐπὶ τῷ ἄνω πόλεις sec. T. ἐν τῷ ἄνω πόλεις V.
11. αὐτὰς ἔλαβεν] αὐτὰ ἐλάμβανεν V.
ἐπὶ τῆς—δυσχερὲς] ἐνταῦθα τὸ δυσχερές φησι B.
διὰ—περιέσται] διὰ τὸν χρόνον περιέσται B. mediis omissis. Sic etiam E., nisi quod διὰ τοῦ χρόνου.
18. αὐτὰ om. C. Habet A., in quo exstant verba ἀντὶ τοῦ εἰς τὰς θέας αὐτὰ λαμβάνετε. ὑποσιωπήσει ἐχρήσατο.
19. ὑποσιώπησις] ἀποσιώπησις R.S.
21. καλῶς—οἰκεῖα] Scholion paullo aliter conformatum in B. τὸ δὲ ἀποδώσετε καλῶς εἶπε καὶ οὐχὶ δώσετε. δείκνυσι καὶ διὰ τούτου ὅτι οὐκ ἔστιν αὐτῶν, ἀλλὰ τῶν στρατιωτῶν.
καὶ om. V.

δεῖσθαι δὲ τὸ ἔχειν μὲν μέρος, ἔτι δὲ δεῖσθαι πρὸς τὸ τέλειον. φησὶν οὖν ὅτι, εἰ μὲν ἀποδώσετε τὰ χρήματα, οὐ μέλλετε προσδεῖσθαι διὰ τὸ ἀρκούντως ἔχειν, εἰ δὲ μὴ, προσδεῖσθε. εἶτα ἐπειδὴ ἔμφασιν παρεῖχεν, ὡς ἐστὶ καὶ ἄλλα ἐκτὸς τῶν θεωρικῶν, ἃ λαμβάνοντες ὀλίγων προσδέονται, ἐπήγαγε τὸ μᾶλλον δὲ παντὸς ἐνδεῖ τοῦ πόρου· ὡς εἰ μὴ ἀποδώσετε τὰ θεωρικὰ, παντελῶς ἀπορήσομεν. B.T.C.V.

14, 24. τί οὖν ἄν τις εἴποι] ἡ γνώμη ἀποφαντική. C. ἀνθυποφορὰ πάλιν. σὺ, φησὶ, γράφεις τὰ θεωρικὰ εἶναι στρατιωτικά; εἶτα λύει, ὅτι συμβουλεύω μὲν, οὐ γράφω δὲ, τὸν κίνδυνον εἰδὼς καὶ τὸν Εὐβούλου νόμον μὴ ἀγνοῶν. V.

14, 25. ἐγὼ μὲν] λύσις ἀπὸ τῆς λέξεως· οὐδὲ γὰρ γράφω, φησὶν, ἀλλὰ συμβουλεύω. R.S.

ἐγὼ μὲν γὰρ ἡγοῦμαι] ἐγὼ μὲν, φησὶν, εἰς τοὺς στρατιώτας δεῖν ἀναλωθῆναί φημι· ὑμεῖς δὲ εἰς τὰς ἑορτὰς λαμβάνετε. T.C.V.

14, 26. κατασκευασθῆναι· εἶπεν ὡς παντελῶς ἀπαλλοτριωθέντος τοῦ στρατιωτικοῦ παρὰ τοῖς Ἀθηναίοις, ἢ ὡς ἐπὶ κτημάτων παντελῶς διαφθαρέντων. ἀπὸ τοῦ ποιουμένου δὲ εἶπε τὸ ποιοῦν. H.R.S.T.V.

στρατιωτικὰ] οὐ γὰρ ἔχετε ὅθεν ἄλλοθεν αὐτοὺς μισθώσετε. P.

14, 27. σύνταξιν] σύνταξίς ἐστι δύο πραγμάτων ὥσπερ ἕνωσις· εἰώθασι δ' οἱ παλαιοὶ, ἐπειδάν τι ἀσαφὲς νομίζωσι λέγειν, διὰ τῆς ἐπαγωγῆς αὐτὸ λύειν, ὥσπερ καὶ ὁ ποιητής· εἰπὼν γὰρ "κύμβαχος" ἐπήγαγεν "ἐπὶ βρεχμόν τε καὶ ὤμους·" καὶ πάλιν εἰπὼν "ἐντρο-" "παλιζόμενος" ἔφη "γόνυ γουνὸς ἀμείβων." οὕτω καὶ ὁ ῥήτωρ εἰπὼν "σύνταξις" ἐπήγαγε τὸ "λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα." B.H.R.S.P.

1. πρὸς τὸ τέλειον om. B.
2. ἀποδώσετε] ἀποδῶτε B.
διὰ τὸ ἀρκούντως ἔχειν om. B.
3. ἔμφασιν παρεῖχεν B.D.T. ἔμφασιν ἔχει C. ἔμφασίν τινα ἔχει V.
4. ὡς] ὅτι B.
λαμβάνοντες] λαβόντες B.
5. ἐπήγαγε τὸ] φησὶ B.
6. ἀποδώσετε C. ἀποδῶμεν B. ἀποδῶτε libri ceteri.
9. μὲν—μὴ] μόνον—οὐκ codex quidem Parisinus Morelii.
13. δεῖν addidit Wolfius.
15. κατασκευασθῆναι εἶπεν ὡς—ἀθηναίοις R.S. κατασκευασθῆναι] ὡς—ἀθηναίοις κατασκευασθῆναι εἶπεν ceteri.
ἀπαλλοτριωθέντος] ὑπαλλοτριωθέντος H.R.
16. παρὰ om. C.: habent ceteri.
ἢ addidi ex R.S.
20. ἐπειδάν] ἐπάν R.
νομίζωσι] οἰόμεθα P.
21. κύμβαχος] κύμβαλος P.
22. βρεχμόν] βρεγμόν P. Loci Homerici sunt Il. E, 586. Λ, 547.

14, 28. τὰ δέοντα] νῦν γὰρ εἰς θέας λαμβάνοντες οὐ δεόντως λαμβάνετε· εἰς δὲ τὸ στρατεύειν δοθέντα δεόντως δοθήσεται. P.

ὑμεῖς δ' οὕτω πως] πραγμάτων παρένθεσις. C.

14, 29. εἰς τὰς ἑορτὰς] λειπόμενον, εἰ μὴ βούλεσθε ἀποδοῦναι τὰ χρήματα τοῖς στρατιώταις. R.

ἔστι δὴ λοιπὸν] οὐδὲν ἔτι, φησίν, ὑπολείπεται, εἰ μὴ βούλεσθε τὰ χρήματα τοῖς στρατιώταις ἀποδοῦναι, ἢ εἰσφέρειν ὑμᾶς ἀπὸ τῶν ἰδίων οὐσιῶν. οὐχ ὁρίζει δὲ τὴν ποσότητα, ἵνα μὴ λυπηρὸς δόξῃ, ἀλλὰ τὸν καιρὸν καὶ τὴν ἀνάγκην ἐποίησεν ὁρίζουσαν. H.T.C.V.

15, 1. εἰσφέρειν] εἰ μὴ τὰ θεωρικὰ στρατιωτικὰ ποιήσετε. P.

15, 2. δεῖ δὲ χρημάτων] ὡς εἰ ἔλεγεν, εἴτε πολλῶν εἴτε ὀλίγων δεῖσθε, οὐκ ἐμὸν εἰπεῖν, ἀλλὰ τῆς χρείας· τοῦτο δὲ οἶδα, ὅτι πάντως χρῄζετε. H.R.S.T.V. τοῦτο πρὸς τὸ προκείμενον εἶπεν· ἀεὶ γὰρ χρημάτων δεῖται ὁ πόλεμος. B.S.

15, 3. οὐδέν ἐστι γενέσθαι] εἴποι ἄν τις, τί οὖν καὶ ἐν τῷ εὐχεσθαι δεόμεθα χρημάτων, ἢ ἐν τῷ σωφρονεῖν; λέγομεν δὲ ὅτι πρὸς τὸ προκείμενον εἶπεν, ἤτοι τὸν πόλεμον· ἀεὶ γὰρ ὁ πόλεμος χρημάτων δεῖται. T.V.

15, 5. ἀντιλάβεσθε] ἅψασθε. P.

15, 6. ἄξιον δὲ ἐνθυμηθῆναι] πληρώσας τὸ ἓν μέρος τοῦ δυνατοῦ, τουτέστι τὸ τῆς πόλεως, ἐντεῦθεν ἐπὶ τὸ ἕτερον μέρος ἐλήλυθε, τὸ τοῦ Μακεδόνος. μὴ ἔχων γὰρ δεῖξαι τοὺς Ἀθηναίους δυνατοὺς, καθὸ πολλὰ ἀπώλεσαν, τεχνικῶς ἐκ τοῦ ἐναντίου πειρᾶται κατασκευάσαι ὅτι δύνανται τὴν Φιλίππου δύναμιν καθαιρεῖν. B.S.T.C.V.

ἄξιον δ' ἐνθυμηθῆναι] πληρώσας τὸ ἓν μέρος τοῦ δυνατοῦ, τουτέστι τὸ τῆς πόλεως, καὶ διαλεχθεὶς περὶ τῶν χρημάτων καὶ τοῦ καιροῦ μνησθεὶς, ἐντεῦθεν ἐπὶ τὸ ἕτερον μέρος ἐλήλυθε, τὸ τοῦ Μακεδόνος·

6. ὑπολείπεται T.C. ἀπολείπεται V. λείπεται H.
εἰ H. ἐὰν ceteri.
8. οὐχ–ὁρίζουσαν] Hoc scholion habet etiam B., omisso δέ.
9. ὁρίζουσαν] ὁρίζοντας B.C.
12. δεῖσθε] δέεσθε R.S.
πάντως R.S. et correctus T. πάντες T.V. πάντα H.
13. προκείμενον S. παρακείμενον B.
γὰρ S. δὲ B.
21. ἐντεῦθεν om. B.
ἐλήλυθε] τοῦ δυνατοῦ add. C.V., om. ceteri omnes.
τὸ τοῦ om. V., solum τοῦ habent C.R.S.
23. πολλὰ] πολλοὺς C.V.
24. τὴν] τοῦ B.
καθαιρεῖν] καθαιρήσειν C. solus. καθαιρῆσαι S.
27. μνησθεὶς] μνήσας H.

ὅπερ ἐκ παντὸς μέρους ἐξήτασεν εἰκότως, ἐπειδὴ πολλὴν ἔχει παρὰ τοῖς Ἀθηναίοις ὑπόνοιαν ὡς ἰσχυρὸς ὁ Φίλιππος. ἤρξατο δὲ τοῦ κεφαλαίου λαβὼν ὥσπερ ἀντίθεσιν· ἀλλὰ χαλεπὸν πολεμεῖν Φιλίππῳ καλῶς αὐτῷ κατεσκευασμένων τῶν πραγμάτων. διέσυρε μὲν καὶ ἐν αὐτῇ τῇ θέσει τὴν ἀντίθεσιν, εἰπὼν ὡς οὐκ εὐτρεπῶς ἔχει τὰ πρά- 5 γματα Φιλίππῳ, ὡς φήσειεν ἄν τις μὴ σκοπῶν ἀκριβῶς, διδοὺς μὲν ἐκ τῶν ἔξωθεν φαντασίαν ἰσχυρὸν εἶναι τὸν Φίλιππον, ἵνα μὴ παντελῶς ἀναισχυντεῖν δοκῇ λέγων εὐθὺς ἀσθενῆ καὶ ταπεινόν, ἄγων δὲ αὐτοὺς κατ' ὀλίγον εἰς ἐπίσκεψιν τῆς δυνάμεως, ἵνα λάβῃ καιρὸν τοῦ σαθρὰν ἀποδεῖξαι τὴν ῥώμην τοῦ Μακεδόνος, κέχρηται πολλῇ βίᾳ 10 κατὰ τὴν λύσιν τῆς ἀντιθέσεως. λεγόντων γὰρ τῶν Ἀθηναίων ὅτι πόλεμον οὐκ ἂν ἐξήνεγκε τὸν πρὸς τοὺς Ὀλυνθίους, εἰ μὴ καλῶς εἶχεν αὐτῷ τὰ πράγματα κατὰ τὴν ἀρχήν, αὐτὸς βιαίως ἀντιστρέψας ἔλυσεν, ὅτι οὐκ ἂν ἐξήνεγκε τὸν πόλεμον, εἰ προσεδόκησεν αὐτῷ μάχης καὶ ἀγῶνος δεήσειν· οὐκ ἄρα καλῶς αὐτῷ κατεσκεύασται τὰ 15 πράγματα. παραδόξου δὲ οὔσης τῆς λύσεως ὅτι ἐπὶ πόλεμον τοσοῦτον ἐξιὼν οὐ προσεδόκα μαχήσεσθαι, τὴν θεραπείαν αὐτῆς ἐξ ἔθους ἐποιήσατο. προσεδόκα γὰρ ἐφόδου μόνης αὐτῷ δεήσειν ὥσπερ ἐπὶ τῶν ἄλλων. H.R.S.

15, 8. οὔτε γὰρ ὡς δοκεῖ] οὐχ οὕτως αὐτῷ ἔχει τὰ πράγματα 20 εὐτρεπῶς, οὐδὲ ὥς τις νομίζει κάλλιστα. T.C.V.

15, 10. τὰ παρόντα] ἤγουν τὰ ἐν τῇ Ὀλύνθῳ. P.

τὸν πόλεμον] πρὸς τοὺς Ὀλυνθίους. P.

15, 11. αὐτὸν] τὸν πόλεμον. P.

4. καὶ om. H.

5. εὐτρεπῶς] εὐπρεπῶς H.R.S. V. ad scholion proximum.

6. διδοὺς] καὶ διδοὺς H.

8. λέγων] λέγων δὲ H.

13. ἀντιστρέψας S. ἀντιστατεύσας R. ἀντιστρατεύσας H.

17. μαχήσεσθαι] μαχήσασθαι H. R. et pr. S. μαχέσασθαι S. a m. sec. Correxi μαχήσεσθαι ex scholio breviore, quod est in T.C. sic scriptum, λύσις τῆς Ἀθηναίων ὑπονοίας ὡς οὐκ ἐξήνεγκε τὸν πρὸς Ὀλυνθίους πόλεμον, εἰ μὴ καλῶς εἶχεν αὐτῷ τὰ πράγματα, αὐτὸς βιαίως ἀνιστὰς (corrige ἀντιστὰς) ἔλυσεν ὡς οὐκ ἂν ἐξήνεγκε τὸν πόλεμον, εἰ προσεδόκησε μαχήσεσθαι ὡς ἡμᾶς (ὑμᾶς T.). τὴν δὲ θεραπείαν τῆς παραδόξου λύσεως ἐξ ἔθους ἐποιήσατο.

αὐτῆς] αὐτοῖς H.

20. τὰ π. εὐτρεπῶς] εὐπρεπῶς τὰ π. C. Pro εὐτρεπῶς in duobus codicibus Paris. Morelii est εὐτρεπῶς, quod ego ex T. enotatum habeo, in quo litera π superscripta est. εὐπρεπῶς est in scholio superiore codicum H.R.S. ad p. 15, 6. Eadem scripturæ diversitas in verbis oratoris est p. 15, 9. Verum est εὐτρεπῶς. Hoc igitur restitui.

15, 12. τὰ πράγματα] τὰ τῶν Ὀλυνθίων ἐκ μόνης τῆς θέας ἀναιρήσεσθαι. P.

15, 13. κᾆτα διέψευσται] καὶ εἶτα διέψευσται τῆς ἐλπίδος καὶ τῆς προσδοκίας· ἰδοὺ γὰρ πολεμοῦσιν αὐτῷ παρὰ τὴν αὐτοῦ προσδοκίαν. V.

15, 15. εἶτα τὰ τῶν Θετταλῶν] οὐκ εἶπεν οἱ Θετταλοὶ, ἀλλὰ τὰ τῶν Θετταλῶν πράγματα, ἵνα λέγῃ τὴν ἀπιστίαν καὶ δηλώσῃ ὅτι ἀεὶ συζῶσιν αὐτῇ. C.V.

τὰ τῶν Θετταλῶν] ταράττει αὐτόν. P.

πράγματι ἀντὶ προσώπου ἐχρήσατο. B.C.

15, 17. κομιδῇ] διὰ τούτου πλέον ηὔξησε τὴν ἀπιστίαν. S. τὸ κομιδῇ αὔξησίς ἐστιν ἐπὶ Φιλίππου. B.

15, 18. καὶ γὰρ Παγασὰς] ἡ ἱστορία οὕτως· Ἀλεύας, ἀπόγονός τις τοῦ Ἡρακλέους, Θετταλὸς, ἐτυράννησε Θετταλῶν· εἶτα καὶ οἱ τούτου παῖδες. μὴ φέροντες οὖν τὴν τυραννίδα οἱ Θετταλοὶ καὶ ἀποροῦντες τί δεῖ ποιεῖν, μετεπέμψαντο πρὸς συμμαχίαν τὸν Φίλιππον. εἶτα ἐλθὼν ἐκεῖνος ἐξέβαλε τοὺς Ἀλευάδας ἐκ τῆς τυραννίδος· καὶ ὑπὲρ τούτου χάριν αὐτῷ ὁμολογοῦντες οἱ Θετταλοὶ δεδώκασιν αὐτῷ νέμεσθαι Παγασὰς καὶ τὰ χρήματα τὰ ἐκ τῶν λιμένων καὶ τῆς ἀγορᾶς. ἄπιστοι δὲ Θετταλοὶ ἐνομίσθησαν, ἢ διὰ τὸ τὸν Ἰάσονα, Θετταλὸν ὄντα, ἄπιστον ὀφθῆναι περὶ τὴν Μήδειαν, ἢ ὅτι ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ἐν αὐτῇ τῇ παρατάξει ἀπὸ Ἀθηναίων πρὸς Λακεδαιμονίους μετετάξαντο, ὥς φησιν ὁ Θουκυδίδης. ἡ δὲ Μαγνησία χώρα τις ἦν πλησίον Θετταλίας, ὑπείκουσα αὐτοῖς· ἔστι δὲ καὶ πόλις ὁμώνυμος αὐτῇ. χαριζόμενος οὖν τοῖς Θετταλοῖς ὁ Φίλιππος ταύτην αὐτοῖς κατεδουλώσατο ἀποστᾶσαν αὐτῶν· μετὰ δὲ ταῦτα φρούριον ᾠκοδόμησεν ἐν αὐτῇ τῇ πόλει τῶν Μαγνήτων, ἵνα μὴ

7. τῶν om. V.

10. πράγματι ἀντὶ π. ἐχρήσατο] Hæc verba habet etiam P., sed adjuncta præcedenti scholio, πράγματι δὲ—.

14. Ἡρακλέους] ἡρακλέος R.

Θετταλὸς om. B.

15. οἱ Θετταλοὶ καὶ om. B.

16. δεῖ] χρὴ C.

πρὸς] εἰς C.V.

17. ἐκ om. B.

20. τῆς ἀγορᾶς] τὰς ἀγοράς B.

23. ὥς φησιν ὁ (φησι, omisso ὁ, B.) Θουκυδίδης] I, 107.

24. ὑπείκουσα] ὑπήκοος V.

25. χαριζόμενος οὖν—κατεδουλεύσατο] χαριζόμενος ὁ Φίλιππος τοῖς θετταλοῖς κατεδουλώσατο B.

26. δὲ om. B.

27. Μαγνήτων] μαγνητῶν libri, nisi quod H. μαγνησιωτῶν.

καὶ δεύτερον ἀποστῶσι· τὸ δὲ ἀληθὲς κατ' αὐτῶν Θετταλῶν. οἱ δὲ γνόντες τοῦτο αὐτὸ ἐκώλυσαν αὐτὸν τειχίζειν. B.H.R.S.T.C.V.

15, 20. τινων] οὐκ εἶπε τινος, ἀλλὰ τινων, τῷ πλήθει τῶν μαρτύρων τὸν λόγον πιστούμενος. B.

15, 22. ἀπὸ τούτων] ἤγουν ἀπὸ τῶν ἐξ αὐτῶν προσόδων. P. 5

15, 24. τοῖς ξένοις] καὶ γὰρ οὐ μόνον Μακεδόσιν, ἀλλὰ καὶ ξένοις ἐχρῆτο πρὸς τὴν στρατείαν. P.

15, 25. ἀλλὰ μὴν τόν γε Παίονα] δείξας αὐτοῦ τὸ ἀσθενὲς ἀπὸ τῶν Ἑλλήνων, βούλεται καὶ ἀπὸ τῶν βαρβάρων τὸ ὅμοιον ἐργάσασθαι. καὶ δι' αὐτῆς δὲ τῆς λέξεως ηὐτέλισε τὴν δύναμιν· οὐ γὰρ 10 εἶπε πληθυντικῶς, ἀλλ' ἑνικῶς Παίονα καὶ Ἰλλυριόν. B.T.C.V.

15, 26. αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους] τὴν ἐπιθυμίαν αὐτῶν ἀποδειξιν αὐτάρκη νομίζει τοῦ πρὸς αὐτὸν ὑπόπτως ἔχειν. ἰδὼν δὲ πρὸς ταῦτα φερόμενον ἀντιπῖπτον ὅτι πολλοὶ καὶ παρὰ συνήθειαν δουλωθέντες ἔστερξαν καὶ βέβαιοι τοῖς κρατοῦσιν ἔμειναν, ἐκ τοῦ 15 Φιλίππου τρόπου τὸ ὑφορμοῦν ἔλυσεν. ὑβριστὴς γάρ, φησίν, ὁ ἀνήρ. τίς δ' ἂν τῶν ὑπηκόων τοιοῦτον ἄρχοντα στέρξειεν; εἶτ', ἐπειδὴ καὶ τοῦτο ἄδηλον, εἰ τοιοῦτος ὁ Φίλιππος, ὅρκῳ τὸ ἀμφισβητούμενον ἐπιστώσατο, "καὶ μὰ Δί' οὐδὲν ἄπιστον ἴσως." καὶ ἡ τελευταία τοῦ ἐνδοιασμοῦ προσθήκη καὶ τῷ ῥήτορι τὴν ἐπιορκίαν διορθοῦται καὶ 20 τοὺς ἀκούοντας παράγει μὴ ταχέως συνορᾶν δυναμένους τί τὸ ἴσως βούλεται τῷ ῥήτορι. διὸ καὶ δεδοικὼς καθολικῶς τῇ γνώμῃ τὴν πρότασιν ἐβεβαίωσε. R.S.

15, 27. ἐλευθέρους ἢ δούλους] ἐπεὶ καὶ πρότερον ἐβασιλεύοντο. C. Παίονες καὶ Ἰλλυριοὶ Φιλίππῳ κατ' ἀνάγκην ὑπήκουον καὶ ἄλλ' ἄττα 25 τῶν ἐθνῶν. P.

1. καὶ om. C.
ἀποστῶσι] ἀπιστῶσι T. a pr. m., C.D.
2. τοῦτο αὐτὸ] αὐτὸ τοῦτο P. αὐτὸ om. B.
αὐτὸν] αὐτοὺς B.
4. Addidi τόν.
8. αὐτοῦ] αὐτοῖς R., in quo hoc scholion adscriptum est verbis προσδεῖ τόρου p. 14, 22. sic in brevius contractum, δείξας αὐτοῖς τὸ ἀσθενὲς ἀπὸ τῶν ἑλλήνων, δείκνυσι καὶ ἀπὸ τῶν βαρβάρων.
9. τὸ ὅμοιον] τοῦτο B.
10. ηὐτέλισε] εὐτέλισε B.T., non C.
11. καὶ B. καὶ τὸν ceteri.
17. εἶτ' ἐπειδὴ] δὲ εἰτ . . . (aliquot literis obliteratis) S.
23. ἐβεβαίωσε] Pergunt R.S. καὶ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν. ἰστέον δὲ ὅτι διεήνοχε etc. Vid. schol. ad p. 16, 4.
25. Φιλίππῳ addidi ex cod. Paris. in marg. P.
ἄλλ' ἄττα alius cod. Paris. in marg. P. ἄλλα τινὰ P.

15, 28. τοῦ κατακούειν] δεῖ προσέχειν τῇ λέξει· οὐ γὰρ εἶπεν ἀκούειν μόνον, ἀλλὰ κατακούειν, ὅ ἐστι πάνυ ἀκούειν, ὥστε καὶ δούλους νομίζεσθαι. B.T.C.V. ὁ δὲ Φίλιππος, φησίν, ὑβριστὴς καὶ ἐπαχθής. T.C.V.

15, 29. ἄπιστον] αὐτὸν εἶναι τοιοῦτον. P.

16, 1. τὸ γὰρ εὖ πράττειν] γνωμικὴ περίοδος ἡ καὶ δίκωλος. C.P. ἐπειδή, φησίν, οἱ παρ' ἀξίαν εὐτυχοῦντες οὐ δύνανται φυλάξαι τὴν εὐτυχίαν διὰ τὸ πονηρὸν τῆς γνώμης, δεδώκασιν ἀφορμὴν τοῦ λέγειν ἄλλοις ὅτι δυσχερέστερόν ἐστι τὸ φυλάξαι ἤπερ κτήσασθαι· ὅπερ οὐκ ἔστιν ἀληθές. B.T.C.V.

16, 3. τὸ φυλάξαι] ἤγουν τηρῆσαι ὡσαύτως ἔχειν καὶ μὴ μεταβαλεῖν εἰς κακίαν. P.

τἀγαθὰ] τὰ ἐπελθόντα τινί. P.

16, 4. δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι] παραβολὴ ἀπὸ τοῦ ἴσου. C.P. πληρώσας τὴν ἐξέτασιν τοῦ δυνατοῦ καὶ σαθρὸν πανταχόθεν ἀποδείξας τὸν Φίλιππον εἰς προτροπὴν μετῆλθε. ἰστέον δὲ ὅτι διενήνοχε προτροπὴ συμβουλῆς ἐν τούτῳ ὅτι ἐν μὲν τῇ συμβουλῇ καὶ τὸ ἀγαθὸν, ὑπὲρ οὗ συμβουλεύομεν, ἀμφισβήτησιν ἔχει καὶ ὁ τρόπος, δι' οὗ ἂν περιγενοίμεθα τῶν χρησίμων, ἀντίρρησιν ἐπιδέχεται· ἐν δὲ τῇ προτροπῇ καὶ τὸ ἀγαθὸν πρόδηλον καὶ ὁ τρόπος. οὐδεὶς γὰρ προτρέπων ἐπιτίθεται καὶ τὸν τρόπον, δι' οὗ κρατῆσαι δυνατόν. ἐπικοινωνεῖ δὲ τοῖς εἴδεσι τούτοις καὶ ἡ παραίνεσις. συμβουλὴ γάρ τις εἶναι δοκεῖ, παρόσον ἐκείνῳ διαφέρει τῆς προτροπῆς, ὅτι ἐν παραινέσει

1. τῇ λέξει] τῷ κατακούειν B. In S. scholion brevius κατακούειν] ἤγουν πάνυ ἀκούειν ὥστε καὶ δούλους νομίζεσθαι.
οὐ—μόνον] οὐ γάρ τοι ἁπλῶς ἀκούειν εἶπεν B.
2. ὅ] ὅπερ P.
ἀκούειν B. ὑπακούειν V.
ὥστε] ὡς B.
9. ἄλλοις om. T.C.V.
δυσχερέστερον] Legebatur δυσχερές.
φυλάξαι] φυλάξαι μᾶλλον V.
10. ἀληθές om. B.
14. παραβολὴ] περιβολὴ C.
15. πληρώσας — μετῆλθεν] Hæc om. R.S. qui habent lemma καὶ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν.
πανταχόθεν post τὸν Φ. V.
16. ἰστέον δὲ ὅτι om. B.H.V.
διενήνοχε] δὲ add. V.
17. ἐν τούτῳ om. B.H.V.
τῇ συμβουλῇ] R.S. ταῖς συμβουλαῖς ceteri.
19. περιγενοίμεθα H. a m. sec. et P. περιγενώμεθα C.R.S. et pr. H. παραγενώμεθα B. περιγενόμεθα T. D.V.
20. τῇ προτροπῇ R.S. ταῖς προτροπαῖς ceteri.
οὐδεὶς γὰρ προτρέπων—προκείμενον] Hæc addidi ex H.R.S.
21. ἐπιτίθεται] Scribendum videtur ἐκτίθεται, ut paullo post καὶ τὸν τρόπον ἐκτιθέμεθα.

ὥσπερ ἐν τῇ συμβουλῇ καὶ τὸν τρόπον ἐκτιθέμεθα δι' οὗ κατορθώσομεν τὸ προκείμενον. πλὴν ἐκεῖνο προσήκει γινώσκειν, ὅτι ἐπιπλέκεται τοῖς εἴδεσι τούτοις τὰ ἀλλήλων, καὶ συμβουλευτικὰ ἐν προτροπῇ καὶ τοὐναντίον ἐν συμβουλῇ προτρεπτικά. τὸ δ' αὐτὸ καὶ ἐν ταῖς παραινέσεσιν. ἐκ δὲ τοῦ πλεονάζοντος ἐν τῇ ὑποθέσει χρὴ τὸ εἶδος τοῦ λόγου γνωρίζειν. B.H.R.S.T.C.V.

16, 5. συνάρασθαι] ἔδει μὲν εἰπεῖν συνάρασθαι τοῖς πράγμασιν, ἀλλ' Ἀττικῶς εἶπεν. ἡ δὲ σύν πρόθεσις, ὡς εἰ ἔλεγε σὺν τῇ τύχῃ ἀγωνίζεσθαι ἐφ' ἃ δεῖ. B.S.T.C.V. μονόκωλος σχοινοτενὴς περίοδος ἐν ὑπερβατῷ σχηματισθεῖσα. τὸ σχῆμα δὲ ἐπιτίμησις. T.C.V. τὸ δὲ συνάρασθαι, συλλαβεῖν καὶ ἁρπάσαι, συνάψασθαι. P.

16, 6. πρεσβευομένους] πρεσβεύεσθαί φησιν ἐπὶ τῶν ἀγνοούντων τὸν Φίλιππον, ἵνα διδάξῃ αὐτοὺς μὴ πιστεύειν αὐτῷ· ἐπὶ δὲ τῶν εἰδότων μέν, φοβουμένων δέ, τὸ ἀγγέλλεσθαι ὑμᾶς ὅτι στρατεύεσθε, ἵνα παροξυνθῶσιν ὑπὲρ τοῦ μηκέτι δεδιέναι αὐτόν. A.C.H.R.T.C.V.

16, 8. λάβοι καθ' ἡμῶν τοιοῦτον καιρὸν] οἷος νῦν ἡμῖν ἐστὶ κατ' ἐκείνου· καὶ πόλεμος γένοιτο πρὸς τῇ χώρᾳ τῇ ἡμετέρᾳ, καθάπερ νῦν τῇ ἐκείνου· ἡ γὰρ Ὄλυνθος γείτων αὐτῷ. P. ἐὰν τοιαῦται, φησίν, αὐτῷ προσγένοιντο πολλαὶ εὐπορίαι, οἷαι νῦν ἡμῖν· καὶ πάλιν, εἰ

2. πλὴν—ὅτι H.R.S. Legebatur δεῖ δὲ γινώσκειν ὅτι.

3. προτροπῇ R.S. προτροπαῖς ceteri.

4. συμβουλῇ H.R.S. συμβουλαῖς B.V. συμβουλευτικοῖς C.

τὸ δ' αὐτὸ—παραινέσεσιν addidi ex H.R.S.

6. γνωρίζειν] χαρακτηρίζειν B. solus.

7. μὲν om. B.

συνάρασθαι] συνάρεσθαι C.V. et superscripto α T.

8. ἀλλ'] ὁ δὲ B. In R. ad τὰ πράγματα est gl. ἀντὶ τοῦ τοῖς πράγμασιν et scholion brevius ἀττικῶς μετὰ αἰτιατικῆς, ὡσεὶ ἔλεγε σὺν—δεῖ. Et in A. συνάρασθαι τὰ πράγματα ἀττικὸν ἀντὶ τοῦ τοῖς πράγμασιν.

σύν πρόθεσις] σύνταξις P. sed annotata in marg. scriptura vulgata ex cod. Parisino uno.

9. δεῖ] χωρίς add. T.C.D.V.

μονόκωλος] ἔστι δὲ μονόκωλος P.

10. τὸ σχῆμα ἐπιτίμησις habet etiam B. Referendum autem hoc ad εἶτ' οὐκ αἰσχύνεσθε—versu 11., ut monuit Wolfius "Increpatio incipit "εἶτ' οὐκ αἰσχύνεσθε, et hyperbaton "est in his verbis λογιζομένους πῶς "ἂν οἴεσθε, de quo in annotationi-"bus dixi: et fortassis etiam in "transpositione relativi et antece-"dentis ἃ, ταῦτα. Quæ quidem "sic ordino: εἰ ἔχοντες καιρὸν, οὐ "τολμήσαιτε ποιῆσαι ταῦτα, ἃ πάθοιτ' "ἄν, εἰ δύναιτ' ἐκεῖνος." In B. scholion μονόκωλος—σχηματισθεῖσα adscriptum est ad verba εἰ μηδ' ἃ πάθοιτ' ἄν.

12. τῶν ἀγνοούντων] τοὺς ἀγνοοῦντας V.

13. διδάξῃ H.R. διδάξωσιν C.V. δείξωσιν A.

15. ὑπὲρ τοῦ H.R. ἐπὶ τὸ C. εἰς τὸ ceteri.

18. ἐὰν] Imo εἰ.

πόλεμόν τινα σχοίημεν ὅμορον, ὡς αὐτὸς νῦν ἔσχε τὸν τῇ Ὀλύνθῳ γειτνιάζοντα. T.C.V.

16, 10. πρὸς τῇ χώρᾳ] ἤγουν ὁμορῶν τῇ χώρᾳ, ὡς ὁ Φίλιππος νῦν ἔχει τὸν τῶν Ὀλυνθίων γειτνιάζοντα. H.R.S.

16, 11. εἶτ' οὐκ αἰσχύνεσθε] ἡ περίοδος ἐπιτιμητικὴ, ἥ ἐστι μονόκωλος, φησὶν Ἑρμογένης. C.P. ἀσαφὲς εἶναι δοκεῖ τὸ χωρίον· ἄδηλον γὰρ τίνι χρὴ προσνεῖμαι τὸ "ταῦτα ποιῆσαι," πότερον τοῖς Ἀθηναίοις ἢ τῷ Φιλίππῳ· δοκεῖ γὰρ ἐφ' ἑκατέρων ἁρμόζειν. χρὴ οὖν ἐπὶ τῶν τοιούτων ἀσαφῶν καὶ ἐπαμφοτερίζειν δοκούντων ἐκ τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν ἀνιέναι· λυθήσεται γὰρ οὕτως ἡ ἀσάφεια. οἷον ἐπὶ τοῦ παρόντος εὐθὺς κάτωθεν ἀρξάμενος λέγε· "οὐ τολμήσετε καιρὸν "ἔχοντες ταῦτα ποιῆσαι ἃ πάθοιτ' ἂν εἰ δύναιτο ἐκεῖνος;" τὸ γὰρ πρότερον ἐπ' ἀμφοτέρων λέγεσθαι δοκοῦν νῦν ἐφάνη περὶ μόνων τῶν Ἀθηναίων εἰρημένον. B.T.C.V.

εἰ μηδ' ἃ πάθοιτ' ἂν] τὸ μή περισσόν· ἢ τὸ εἰ μή εἰς τὸ οὐ τολμήσετε. P.

16, 12. ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] μετάβασις ἐπὶ τὸ ἀναγκαῖον. B.T.C.P. ὥσπερ τὸ συμφέρον εἰς δύο τέμνεσθαι φαμὲν, εἴς τε αὐτὸ τὸ συμφέρον καὶ τὸ ἀναγκαῖον, οὕτω καὶ τὸ δυνατὸν εἴς τε αὐτὸ τὸ δυνατὸν ἁπλῶς καὶ τὸ ῥᾴδιον καὶ εἰς τὸ ἀναγκαῖον· ὅπερ ἐν τούτῳ τῷ χωρίῳ νῦν ἐξετάζεσθαί φαμεν. δίδωσι γὰρ τοῖς Ἀθηναίοις αἵρεσιν ποῦ χρὴ πολεμεῖν, καὶ τὸν μὲν ἐν Μακεδονίᾳ πόλεμον εὔκολον δείκνυσι, τὸν δὲ ἐπὶ τῆς Ἀττικῆς χαλεπὸν καὶ φοβερόν. B.T.C.V.

16, 17. τὴν ὑπάρχουσαν] ἤγουν ἡμετέραν. P.

16, 20. Θηβαῖοι] πολὺ τὸ τῆς γοργότητος διὰ τὸ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ βραχείαις. B.H.S.

μὴ λίαν] φοβοῦμαι, ἔξωθεν. P.

16, 21. συνεισβαλοῦσιν] ὡς πολέμιοι εἰσελεύσονται εἰς τὴν πόλιν. P.

1. τῇ] ἐν τῇ C. 3. ἤγουν om. R.
5. ἥ ἐστι] ἢ καὶ C.
10. ἀνιέναι] ἰέναι B.
11. εὐθὺς κ.] κ. εὐθὺς B. λέγε B.T.P. λέγει V.
12. ταῦτα] πάντα V.
13. μόνων om. T.V.
18. ὥσπερ τὸ συμφέρον—ὅπερ] Horum verborum loco hæc tantum habet B., αὐτὸ τὸ δυνατὸν ἁπλῶς καὶ τὸ ῥᾴδιον εἴληφεν· ὅπερ—.
26. τὸ om. B.
29. ὡς Wolfius. οἱ P.
30. πόλιν] χώραν Wolfius.

16, 23. ἀλλ' ὦ τᾶν] ἀνθυποφορὰ στοχαστικὴ, ἣν λύει ἐκ τεκμηρίων. A.B.H.T.C.V. τὸ δὲ ὦ τᾶν δύο μέρη λόγου εἰσὶν, ὦ καὶ ἑτᾶν, ὅ ἐστιν ὦ ἑταῖρε. B.T.C.V.

οὐχὶ βουλήσεται] ὁ Φίλιππος δηλονότι. P.

16, 24. εἰ ἃ νῦν] τὸ ἐφ' ἡμᾶς ἐλθεῖν. P.

ἤτοι ὅτι ἔρχομαι ἐπὶ τὴν Ἀττικήν. ἆρα ἐὰν δυνηθῇ ταῦτα ποιῆσαι οὐ πράξει; B.T.C.V. ζητητέον πῶς ἐν τοῖς ἄνω δεινὸν αὐτὸν εἰπὼν καὶ εἰδότα χρήσασθαι πράγμασιν ἐνταῦθα μωρὸν ἀποκαλεῖ. λέγομεν ὅτι ἀπὸ πολλῆς ἐπιθυμίας τοῦ βούλεσθαι αὐτὸν ἐπὶ τὴν Ἀττικὴν ἐλθεῖν ποιεῖ αὐτὸν μὴ δυνάμενον ἑαυτοῦ κατασχεῖν, ἀλλὰ τὴν ἐπιθυμίαν ἐκλέγοντα τελειοῦν. B.H.R.S.T.C.V.

16, 25. ἐγκαλεῖ] ἀντὶ τοῦ ἀπειλεῖ. B.

16, 26. οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι] οὐ γὰρ δεῖ τὰ ὁμολογούμενα κατασκευάζειν· καὶ δύο κακῶν προκειμένων—κακὸν γὰρ ὁ πόλεμος—, αἱρεῖται τὸ ἧττον. H.R.S.T.C.V.

16, 27. εἰ γὰρ ὑμᾶς] ἐπίλογος. B.

16, 28. ἔξω γενέσθαι] οὐχ ἁπλῶς λέγει ἔξω τῆς πόλεως, ἀλλ' ἔξω τῆς χώρας ἐν Μακεδονίᾳ. B.S.T.C.V.

17, 2. τοὺς γεωργοῦντας] οὐχ ἁπλῶς τοὺς σκάπτοντας τὴν γῆν, ἀλλὰ καὶ τοὺς κεκτημένους τοὺς ἀγρούς. B.H.T.C.V.

17, 3. τὸν πρὸ τοῦ πόλεμον] τὸν δι' Ἀμφίπολιν λέγει, εἰς ὃν χίλια διακόσια τάλαντα ἀναλώθη. B.S.T.C.V.

1. τεκμηρίων] τεκμηρίου H.
2. ἑτᾶν] τᾶν V.
6. ἤτοι om. V.
7. ζητητέον] δὲ add. V. ζητεῖται B. "Quid si fingit hæc Demo-" sthenes, Philippo nihil tale lo-" cuto?" WOLF.
8. εἰπὼν] καλέσας B.V.
εἰδότα—ἐνταῦθα] εἰδότα πράγματα ἐνταῦθα B.
9. λέγομεν] λέγομεν δὲ S.
10. ἑαυτοῦ R.S.V. ἑαυτὸν B. Rarior constructio cum genitivo. Herodian. 1, 25, 1. ὁ Κόμμοδος μηκέτι κατέχων ἑαυτοῦ. Joseph. Antiq. Jud. 6, 11, 9. οὐ κατέσχε τῆς ὀργῆς Σάουλος. Sed ibid. 7, 7, 1. ubi vulgo κατασχεῖν τῆς ἐπιθυμίας, tres codices meliores τὴν ἐπιθυμίαν præbent.
11. τελειοῦν om. V.
12. ἐγκαλεῖ] Nam sic in B. legitur pro ἐκλαλεῖ.
13. οὐ—τὰ] οὐ δεῖ γάρ φησι τὰ V. In B. postrema tantum scholii verba exstant δύο κακῶν—ἧττον.
15. αἱρεῖται] ὁρᾷ H.
16. ἐπίλογος] Nullus hic epilogus, sed infra p. 17, 7. πάντα δὴ—.
17. λέγει om. V.
18. ἐν (τῇ add. V.) Μακεδονίᾳ om. B.
19. τὴν γῆν om. B.
20. καὶ τοὺς κ. τ. ἀ.] τοὺς ἀ. κ. B. Alterum τοὺς addidi ex H.
21. λέγει] φησιν T.C.V.
22. ἀναλώθη S. ἀνηλώθη B.V.

17, 5. πρόσεσθ'] τῇ ζημίᾳ περιφρόνησις. P.

17, 7. σώφροσι] τοῖς συνετοῖς καὶ σώζουσι τὰς φρένας. B.T. C.P.

πάντα δὴ ταῦτα] ἐντεῦθεν ὁ ἐπίλογος. B.P. ἐκ τοῦ συμφέροντος κεφαλαίου τοὺς ἐπιλόγους εἴληφε· δεῖ γὰρ ἐκ τῶν ἰσχυρῶν ἀεὶ καὶ τῶν συνεκτικῶν τὰς ἀνακεφαλαιώσεις καὶ τοὺς ἐπιλόγους λαμβάνειν. A.B.T.C.V.

17, 8. ἐκεῖσε] εἰς τὴν Μακεδονίαν. P.

17, 11. τοὺς δ' ἐν ἡλικίᾳ] τοὺς δυναμένους ὅπλα φέρειν καὶ μάχεσθαι. P. τοὺς νεωτέρους· ἡλικία γὰρ ἐξαιρέτως ἐπὶ τῶν νεωτέρων· ἐν αὐτῇ γὰρ πάντα πράττειν δυνάμεθα. C.V. τοὺς δὲ ἔξω τῆς ἡλικίας, ἤτοι γέροντας. P.

17, 13. τοὺς δὲ λέγοντας] ἤγουν τοὺς ῥήτορας. H.R.S.P. ἀπὸ κοινοῦ ἐκληπτέον τὸ δεῖν βοηθεῖν καὶ ἀπωθεῖν ἐκεῖ τὸν πόλεμον. H.R.S.

17, 14. εὔθυναι] ἀπολογίαι καὶ κρίσεις φανεραὶ καὶ κάλλισται γένωνται. P. αἱ βάσανοι. S.

17, 17. αὐτοῖς] τοῖς λέγουσι. P.

χρηστὰ δὲ εἴη, παντὸς ἕνεκα] εὐχὴν προστίθησι τῇ συμβουλῇ, οἷον, εἴθε γένοιτο, φησὶ, χρηστὰ, καὶ προβαίη καλῶς διὰ πάντας, οἷον, διὰ τοὺς πλουσίους, τοὺς νεωτέρους, τοὺς ῥήτορας. T.C.V.

εἵνεκα] οὐ κυρίως τὸ εἵνεκα σὺν τῷ ι. ποιητικὸν γάρ. B.

2. καὶ] τοῖς T.C.P.

4. συμφέροντος] συμβεβηκότος B.

6. τῶν συνεκτικῶν] Quæ causam continent: ea in quibus causa nititur, περὶ τοῦ συνεκτικοῦ τῶν νοσημάτων αἰτίου, acres sunt philosophorum et medicorum disputationes. WOLF.

10. ἐπὶ om. C.

11. Excerptum ex hoc scholio est in B. ἐν ἡλικίᾳ] τοὺς νεωτέρους φησίν· ἐν ταύτῃ γὰρ τῇ ἡλικίᾳ πάντα π. δ.

13. ἤγουν S. ἤτοι P. om. H.R. Gl. τοὺς ῥήτορος habet etiam B.

14. ἐκληπτέον] ἐκλειπτέον R.

21. νεωτέρους T.C. νέους V.

II.

ΟΛΥΝΘΙΑΚΟΣ Β.

18, 5. Ἐπὶ πολλῶν μὲν ἄν τις] τοῦτο Διονύσιος προτάττει τῶν Ὀλυνθιακῶν, ἄρχοντάς τέ τινας καταλέγων καὶ ἐκ τοῦ προοιμίου πιστούμενος ἐκ περιχαρείας ληφθέντος. Καικίλιος δὲ ἀντιλέγει πρῶτον ἀξιῶν τὸν πρῶτον νομιζόμενον. τὸ μὲν οὖν κατὰ τοὺς ἄρχοντας ἐν ἱστορίᾳ κεῖται καὶ ἴσως οὐκ ἀκριβῆ τὸν ἔλεγχον ἔχει· τὸ δὲ κατὰ 5 τὸ προοίμιον οὐκ αὔταρκες εἰς ἀπόδειξιν. ἑτέραν γὰρ ἔχει πρόφασιν τὸ νόημα. ἐξ αὐτῶν δὲ τῶν Δημοσθένους εὑρίσκεται πρῶτος ὁ "Ἀντὶ "πολλῶν" ἐκεῖ γὰρ τὸ συμφέρον μάλιστα τὴν πλείστην ἐξέτασιν εἴληφεν, ἐνταῦθα δὲ τὸ δυνατὸν, οὐδεὶς δὲ περὶ τοῦ δυνατοῦ βουλεύεται μὴ πρότερον εἰ συμφέρει σκοπήσας. ἔπειτα παρείληφεν ἐν τῷ 10 δευτέρῳ τινὰ ὡς ὁμολογούμενα, ἅπερ ἐν τῷ προτέρῳ μετὰ πολλῶν ἀποδείξεων κατεσκεύασεν, οἷον εὐθὺς τὸ περὶ τῆς τῶν θεῶν εὐνοίας ἐνταῦθα μὲν ὡς ὁμολογούμενον ἐν προοιμίῳ τέθεικεν, ἐκεῖ δὲ δίκαιον λογιστὴν ἐζήτησε καὶ πολλὰς ἀποδείξεις ἐκόμισε τοῦ συμμάχους εἶναι τοὺς θεοὺς τῇ πόλει. πρόδηλον οὖν ὅτι διὰ τοῦτο νῦν οὐ κατ- 15 εσκεύασεν ὅτι ἦν ἐν ἐκείνῳ πρότερον ἀποδείξας. κεφάλαιον δὲ ἐν τῷ λόγῳ προηγούμενον καὶ μόνον ἐστὶ τὸ δυνατὸν, καθαίρεσιν ἔχον τοῦ Φιλίππου. τούτου δὲ κατὰ σύμπαντα τὸν λόγον ἐξεταζομένου τρεῖς ἀπ' αὐτοῦ πεπτώκασιν ἀντιθέσεις· μία μὲν καθολικὴ "φοβερὸς ὁ Φί- "λιππος·" ἣν ἔλυσεν ἀπὸ τοῦ δικαίου, φήσας ὅτι ἀδικῶν ηὐξήθη, 20 καὶ κατέλεξε τὰς ἀδικίας καὶ τὰς ἀσεβείας τοῦ Μακεδόνος. εἰ δὲ τοῖς ἀδικοῦσιν ἀπεχθάνονται οἱ κρείττους, ἀσθενής ἐστιν ὁ Φίλιππος

1. τοῦτο] Fort. τούτων, ut infra πρῶτος ὁ "Ἀντὶ πολλῶν."

Διονύσιος] V. quæ in Præfatione dixi.

προτάττει] *Primo loco ponit.* Non opus ut πρῶτον τάττει scribatur.

3. Καικίλιος] καϊκίλιος R.

13. ὁμολογούμενον] ὁμολογουμένως R.

ἐν om. S.

ἐκεῖ δὲ] p. 11, 29.

15. ὅτι om. R.

16. ἦν ἐν ἐκείνῳ] ἐκεῖνο ἦν R.

17. προηγούμενον] προηγουμένως R.

πολεμίους ἔχων τοὺς θεούς. τῶν γὰρ ἀντιθέσεων αἱ μὲν τοῖς ὁμοιογενέσι λύονται κεφαλαίοις, αἱ δὲ τοῖς ἑτερογενέσι, ὥσπερ κἀνταῦθα τὸ δυνατὸν ἐλύθη τῷ δικαίῳ. ταύτης οὕτω λυθείσης τῆς ἀντιθέσεως δευτέρα πέπτωκεν ἀκολουθία "ἀλλ' εἰ καὶ ὑποπτεύουσιν "αὐτὸν τινὲς, ὅμως βίᾳ καθέξει τὰ πράγματα τῷ τὰ χωρία 5 "καὶ λιμένας προειληφέναι." καὶ ταύτην ἔλυσεν ἀπὸ τοῦ δικαίου, φήσας ὅτι οὐ συνέστηκεν αὐτῷ μετ' εὐνοίας τὰ πράγματα, Μακεδόνες· αὐτὸν διὰ τοὺς συνεχεῖς πολέμους μισοῦσι, τῶν ξένων πεζέταιροι καὶ σώφρονες ἀπεληλαμένοι εἰσὶ καὶ τὰ ἑξῆς. μετὰ ταῦτα ἡ τρίτη ἐμπέπτωκεν ἀκολουθία "ἀλλ' εἰ καὶ οὕτως ἔχει τὰ κατ' 10 "αὐτὸν, ὅμως εὐτυχής ἐστι καὶ διὰ τοῦτο φοβερός." ταύτην ἔλυσεν ἀπὸ συγκρίσεως, ὅτι τῆς Φιλίππου τύχης μείζων ἡ τῆς πόλεως τύχη, διότι καὶ δικαιότερα πράττομεν, οὐκ ἀπολαύομεν δὲ αὐτῆς τῷ μηδὲν αὐτοὶ βούλεσθαι πράττειν. μετὰ ταύτην οἱ ἐπίλογοι παρρησίας μεστοὶ καὶ ἀξιώματος. τὰ μὲν γὰρ ἐπιτιμᾷ, τὰ δὲ διορ- 15 θοῦται, καὶ τοὺς μὲν αἰτιᾶται τῶν ῥητόρων, τοῖς δὲ συναγορεύει στρατηγοῖς καὶ πλουσίοις. ἐσχημάτισται δὲ ὁ ἐπίλογος ὁ ἐπὶ τῶν χρημάτων τῶν θεωρικῶν, φανερῶς μὲν μὴ λέγοντος διὰ τὸν νόμον, σχήματι δὲ πληροῦντος τὴν χρείαν. ποτὲ μὲν γὰρ, φησὶν, εἰσφέρετε χρήματα, ποτὲ δὲ ἡμεῖς αἴτιοι τοῦ μηδὲν γίγνεσθαι τῶν δεόντων, μὴ 20 διδόντες χρήματα τοῖς στρατηγοῖς, ποτὲ δὲ ὅτι οὐ χρὴ τοὺς πλουσίους ἀναγκάζειν μόνους καὶ τριηραρχεῖν καὶ λειτουργεῖν καὶ εἰσφέρειν. ἐξ ὧν ἁπάντων λεληθότως αὐτοὺς ἀναγκάζει τῶν θεωρικῶν ἀποστῆναι μηδαμόθεν ἄλλοθεν εὐπορεῖν δυναμένους. R.S.

Ἄλλως εἰς τὸ αὐτό. μία πρὸς τοῖς ἄλλοις ἀρετὴ προοιμίου τὸ 25 παραμυθεῖσθαι τὰ λυποῦντα τὴν ὑπόθεσιν. καὶ τῶν ἀντιπιπτόντων τὸ μὲν ὅλην παραλυπεῖ τὴν ὑπόθεσιν, τὸ δὲ πρὸς μέρος αὐτῇ ἀντιπίπτει. ἐνταῦθα τοίνυν πρὸς ἅπαντα μάχεται τὸν λόγον διὰ τὴν Φιλίππου δύναμιν, καὶ ὁ ἀκροατὴς δεδούλωται τὸ φρόνημα καὶ πάντας τοὺς τοῦ συμφέροντος ἀπωθεῖται λόγους, ὁ δὲ σύμβουλος οὐκ ἔχει 30 πάροδον ἐπὶ τὰ ἄλλα μέρη τῆς ὑποθέσεως. τῶν γὰρ κεφαλαίων τὰ

3. τὸ δυνατὸν ἐλύθη τῷ δικαίῳ] τῷ δικαίῳ ἐλύετο τὸ δυνατόν R.
6. προειληφέναι] προσειληφέναι R.
9. πεζέταιροι] πεζαίτεροι R S.
13. δικαιότερα] δικαιότερον S.
14. βούλεσθαι] βουλευόμενοι R.
16. τοὺς] τὰ R.
18. τὸν νόμον] Eubuli.
24. εὐπορεῖν] εὐπορεῖν μὴ S, sed deleto μή.

μὲν ἐξ αὐτῆς ἀνακύπτει τῆς τάξεως οὐκ ὄντα πρῶτον γνώριμα τοῖς ἀκροαταῖς οὐδὲ ἐπιζητούμενα παρ' αὐτῶν ἐξ ἀρχῆς, ὥσπερ ἐν τῷ πανηγυρικῷ τοῦ Ἰσοκράτους· ἔνια δὲ εὐθὺς καὶ πρὸ τῆς εἰσόδου ζητεῖται παρὰ τῶν ἀκροατῶν, πρὸς ἃ δεῖ τὸν ῥήτορα τὴν ἀπάντησιν εὐθὺς ἐκ προοιμίων ποιεῖσθαι· ὃ δὴ κἀνταῦθα γέγονε. τῆς γὰρ δυνάμεως τοῦ Μακεδόνος φοβούσης τοὺς Ἀθηναίους ἐκ τῆς πρώτης ἐπιβολῆς ἀναιρεῖν πειρᾶται τὸν φόβον ἀντιτάξας τῇ Φιλίππου ῥώμῃ τὴν τῶν θεῶν συμμαχίαν. δεῖ γὰρ τοῖς ἰσχυροῖς τῶν ἀντιπάλων ἰσχυρότερα τὰ παρ' ἡμῶν ἀντιτιθέναι. φήσας δὲ ἐν πολλοῖς διαθεῖναι τοὺς θεοὺς τὴν ἑαυτῶν εὔνοιαν ἀκατάσκευον παρῆκε τὴν πρότασιν. ὅθεν καὶ μάλιστα δείκνυται δεύτερος ὢν οὗτος ὁ λόγος· ἐν γὰρ τῷ πρώτῳ φησὶ "καί μοι δοκεῖ τις ἄν, ὦ Ἀθηναῖοι δίκαιος λογιστής." νομίσας οὖν ἱκανῶς ἐκεῖ μεμαθηκέναι τὸν ἀκροατὴν περὶ τῆς τῶν θεῶν εὐνοίας, ἐνταῦθα λοιπὸν ὡς ὁμολογούμενον ἔθηκε, καὶ ἅπερ ἐκεῖ μετὰ ἀποδείξεων κατεσκεύασε, ταῦτα νῦν ὡς ὁμολογούμενα τέθεικεν εἰς ἑτέρων ἀπόδειξιν αὐτοῖς χρώμενος. καὶ τὸ "ἐπὶ πολλῶν" λαβὼν προλήψει κέχρηται πιστούμενος τὴν πρότασιν· τοῦ γὰρ εὔνους εἶναι τοὺς θεοὺς ἐπὶ τοῦ παρόντος τεκμήριον τὸ καὶ ἐπ' ἄλλων πολλῶν φανερὰν γεγενῆσθαι τὴν εὔνοιαν· αἰνιττόμενος ὅτι ἐν τῷ προτέρῳ λόγῳ τοῦτο ἱκανῶς ἀπέδειξε, καὶ ἄλλως τὸ δυνατὸν ἰσχυρὸν κατασκευάζων τῶν Ἀθηναίων καὶ φανερὰν ἐχόντων τὴν εὔνοιαν. ἔστι δὲ τὸ προοίμιον οὐδὲν ἕτερον ἢ κατασκευὴ τοῦ δυνατοῦ τῶν Ἀθηναίων. R.S.

ἐπὶ πολλῶν μὲν ἄν τις] ἡ μὲν ὑπόθεσις τοῦδε τοῦ λόγου καὶ τὰ κεφάλαια παραπλήσια τῷ πρώτῳ. διενήνοχε δὲ κατ' ἐκεῖνο μόνον ὅτι ἐν μὲν τῷ πρώτῳ ζητεῖται εἰ χρὴ βοηθεῖν τοῖς Ὀλυνθίοις, ἐν δὲ τούτῳ τὸ μὲν βοηθεῖν ἤδη δέδεικται, τὴν δὲ ῥώμην ὀκνοῦσι τοῦ Μακεδόνος καὶ τὴν ἰσχύν, δι' ἣν μάλιστα καὶ τὴν δημηγορίαν ταύτην ὁ ῥήτωρ πεποίηται, ὥστε πλεονάζον ἐν τῷ λόγῳ κεφάλαιον εἶναι τὸ δυνατόν. τῶν δὲ κεφαλαίων τὰ μὲν ἐξ αὐτῆς ἀνακύπτει τῆς τάξεως,

4. τὴν om. R.
6. τοὺς Ἀθηναίους scripsi ex scholio infra ex B. apponendo. τὸν ἀθηναῖον R.S.
11. τῷ πρώτῳ] p. 11, 29.
12. ὦ Ἀθηναῖοι] ὦ R.S. ut solent.
24. παραπλήσια] παραπλήσιος B. ὅμοια codex Paris. Morelii.
τῷ πρώτῳ] τοῦ πρώτου B.
διενήνοχε—ὅτι] διενήνοχε δὲ καὶ ὅτι B.
28. ἐν Wolfius. μὲν libri. In B. brevius ὥστε πλεονάζον εἶναι κεφάλαιον τὸ δυνατόν.

οὐκ ὄντα πρῶτον γνώριμα τοῖς ἀκροαταῖς οὐδὲ ἐπιζητούμενα παρ' αὐτῶν ἐξ ἀρχῆς· ἔνια δὲ εὐθὺς καὶ πρὸ τῆς εἰσόδου ζητεῖται παρὰ τῶν ἀκροατῶν, πρὸς ἃ δεῖ τὸν ῥήτορα τὴν ἀπάντησιν εὐθὺς ἐκ προοιμίων ποιεῖσθαι· ὃ δὴ κἀνταῦθα γέγονε. τῆς γὰρ δυνάμεως τοῦ Μακεδόνος φοβούσης τοὺς Ἀθηναίους, ἐκ τῆς πρώτης ἐπιβολῆς ἀναιρεῖν πειρᾶται τὸν φόβον, ἀντιτάσσων τῇ Φιλίππου ῥώμῃ τὴν τῶν θεῶν συμμαχίαν· δεῖ γὰρ τοῖς ἰσχυροῖς τῶν ἀντιπάλων ἰσχυρότερα τὰ παρ' ἡμῶν ἀντιτιθέναι. δείκνυται δὲ ὧν δεύτερος οὗτος ὁ λόγος ἐκ τῶνδε· ἐν γὰρ τῷ πρώτῳ περὶ τῆς τῶν θεῶν εὐνοίας ἀπόδειξιν παρασχὼν ἐνταῦθα ὡς ὁμολογούμενον ἔλαβεν. ἰστέον δὲ ὅτι φησὶν ὁ Φιλόχορος ὅτι τρεῖς βοήθειαι ἐπέμφθησαν, καθ' ἕκαστον λόγον μιᾶς πεμπομένης, ὡς τῆς πρώτης μὴ οὔσης ἱκανῆς. κεφάλαια δὲ ἐν μὲν τῷ πρώτῳ ἐπὶ πολὺ τὸ συμφέρον, ἐπ' ὀλίγον δὲ τὸ δυνατόν· ἐνταῦθα δὲ τὸ ἐναντίον πολὺ μὲν τὸ δυνατὸν, ὀλίγον δὲ τὸ συμφέρον. B.T.V. δεύτερος τόπος τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων, ἐξ ἀορίστου δὲ προυλήψεως τὸ σχῆμα τοῦ λόγου· εἰρηκὼς γὰρ τὸ "ἐπὶ πολλῶν" ἀόριστον ἐπήγαγεν ὡρισμένον τὸ περὶ τῶν Ὀλυνθίων. ὅμοιον τούτῳ τὸ εἰς τὸν ἅγιον Βασίλειον τοῦ θεολόγου προοίμιον. A.B.R.S.T.V. τοῖς γὰρ προσώποις καὶ πρὸ τῶν πραγμάτων ἴδιαι παρακολουθοῦσιν ὑπολήψεις. A.T.V. ἐκ περιχαρείας εἴληπται τὸ παρὸν προοίμιον. A.

1. παρ' αὐτῶν] περὶ τῶν V.
3. προοιμίων] προοιμίου codex unus Morelii.
5. ἐπιβολῆς] ἐπιβουλῆς V.
9. ἀπόδειξιν] ἀποδείξεις V.
10. φησὶν] φησὶ καὶ V.
12. οὔσης ἱκανῆς] ἐξαρκούσης B.
κεφάλαια] κεφάλαιον T.V.
13. ἐπ' ὀλίγον δὲ τὸ δυνατόν om. B.
15. τόπος] τύπος A.R.
τῶν ἐξ ὑποδιαιρέσεως] Vide Hermog. de invent. 1, 2. (vol. 3. p. 74. ed. Walz.) WOLF. Prima verba δεύτερος—προοιμίων hic absunt ab S: unde caret δέ particula post ἐξ ἀορίστου. Idem vero titulo orationis adscriptum habet τὸ προοίμιον (α'οι scriptum ut alibi) ἐξ ὑποδιαιρ τόπος β.
ἐξ ἀορίστου—λόγου] τὸ δὲ σχῆμα τοῦ λόγου ἐξ ἀορίστου προσλήψεως A. B.
προσλήψεως A.B. προλήψεως ceteri.
17. περὶ] παρὰ B.E.
18. τοῦ θεολόγου] Gregorii Nazianzeni, qui κατ' ἐξοχὴν sic appellatur, ut Demosthenes ὁ ῥήτωρ, Homerus ὁ ποιητής. Exstat hic Epitaphius, cujus hoc initium est: ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις, etc. WOLF. Est oratio vigesima vol. 1. p. 316.
τοῖς γὰρ προσώποις] Mutilus videtur hic locus, nec ad institutum pertinere, nisi ei aliquid consentaneum antecesserit. WOLF.

ἐπὶ πολλῶν] πρότασις. P. λείπει πραγμάτων. T.P.

18, 3. ἐν τοῖς παροῦσι] ἐν τῷ προσγενέσθαι ἡμῖν τοὺς Ὀλυνθίους συμμάχους. S.T.C.P.

18, 4. τὸ γὰρ Φιλίππῳ γεγενῆσθαι] τοῦτό ἐστιν ἡ δευτέρα πρότασις, ἣν ὡς ζητουμένην παρὰ τῶν ἀκροατῶν διὰ τὸν παρόντα φόβον κατασκευάζει τοῖς ἐφεξῆς, ἃ φθάνει ἐν τῷ προτέρῳ λόγῳ διδάξας, οὐ μὴν τῶν αὐτῶν ἕνεκεν ἐκεῖσε κἀνταῦθα παρείληπται. τότε μὲν γὰρ εἰς ἀπόδειξιν τῆς Φιλίππου πανουργίας καὶ ὅτι φανερὸς γενόμενος οὐ δυνήσεται παρακρούσασθαι τοὺς Ὀλυνθίους· ἄπιστον γὰρ ταῖς πολιτείαις ἡ τυραννὶς, ἄλλως τε κἂν χώραν ὅμορον ἔχωσι· νῦν δὲ εἰς πίστιν τῆς εὐνοίας τῶν θεῶν· ἐκεῖ γὰρ ἀποδείξας συμφέρειν τῇ πόλει τὸ τῶν Ὀλυνθίων ἀδιάλλακτον, ἐνταῦθα ὡς ὁμολογούμενον εἰς πίστιν παρέλαβε τοῦτο τῆς εὐνοίας τῶν κρειττόνων. H.R.S. ἀφ' ὧν καταβάλλει τὸν Φίλιππον ἀπό τε ῥώμης καὶ γνώμης, ἀπὸ τούτων συνιστᾷ τοὺς Ὀλυνθίους· καὶ πάλιν ἀφ' ὧν καταβάλλει τὸν Φίλιππον ἀπό τε τῆς δυσμενείας τῶν θεῶν καὶ ἀπὸ τῆς ἀπιστίας τῆς πρὸς ἀνθρώπους, ἀπὸ τούτων συνιστᾷ τοὺς Ἀθηναίους, ἀπό τε τῆς εὐνοίας τῶν θεῶν καὶ ἀπὸ τῆς πίστεως τῶν ἀνθρώπων. πῶς γὰρ ἄπιστοι πρὸς ἀνθρώπους; ὅτι Ὀλύνθιοι τῷ Φιλίππῳ πολεμοῦσιν ἡμῖν προσερχόμενοι· ἐκ δ' αὖ τῶν ἐναντίων δυνάμεθα λαμβάνειν τόπους ἐπὶ τοῖς πράγμασιν ἐναντίοις οὖσι. T.C.

τὸ γὰρ τοὺς πολεμήσαντας] κατασκευὴ τῆς τοῦ προοιμίου προτάσεως. σημείωσαι δὲ ὅτι ἀπό τε ῥώμης καὶ γνώμης καταβάλλει τὸν Φίλιππον· ἔτι ἀπὸ τῆς δυσμενείας τῶν θεῶν καὶ ἀπιστίας πρὸς ἀνθρώπους, κατασυνιστᾷ Ἀθηναίους ἀπὸ τῆς εὐνοίας τῶν θεῶν καὶ πίστεως πρὸς ἀνθρώπους. P.

καὶ χώραν ὅμορον] τῇ ἐκείνου. P. εἰ καὶ εἶχον, φησὶ, δύναμιν καὶ ἐζήτουν αὐτῷ πολεμεῖν, οὐκ ἂν ἠδύναντο, εἴ γε πόρρω που ᾤκουν

1. λείπει] δὲ add. P.
2. ἐν τῷ—συμμάχους] ἐν τῷ γενέσθαι ἡμῖν τὴν Ὀλύνθου συμμαχίαν T.C.P.
7. ἕνεκεν] ἕνεκα S.
8. καὶ ὅτι] ὅτε H.
13. εἰς π. παρέλαβε] παρέλαβεν εἰς π. H.
18. πίστεως—ὅτι] πίστεως τῆς πρὸς ἀνθρώπους. ὅτι C.
19. ἡμῖν] ὑμῖν T. a m. sec.
22. Solum κατασκευὴ inter lineas habet S. κατασκευὴ τοῦ προοιμίου B.
25. κατασυνιστᾷ] κᾶτα συνιστᾷ Wolfius.
27. εἰ] εἰ γὰρ P.

αὐτοῦ. T.V. ὅρα ὅπως ἀπὸ θεῶν ἀρξάμενος δευτέραν ἔταξε τὴν τῶν Ὀλυνθίων συμμαχίαν. B.T.V.

18, 5. δύναμίν τινα] ἀντὶ τοῦ σύμμετρον ἢ μεγάλην. B.C.S.P. ἐμπερίβολον τὸ χωρίον, κατ' ἔννοιαν ἔχον οὐκ ὀλίγα τὰ παρακολουθοῦντα. B.S.

18, 9. δαιμονίᾳ τινὶ καὶ θείᾳ] ὁ μὲν διαλεκτικὸς φιλονεικεῖ πρὸς τὸν ἀντιλέγοντα· διὸ καὶ τῷ συμπεράσματι χρῆται, καθάπερ δεικνὺς ὅτι φανερῶς ἐξήλεγξεν. ῥήτωρ δὲ εἰ συλλογίζοιτο, φιλονεικότερον καθίστησι τὸν ἀκροατὴν καὶ οὐκ εὐάγωγον πρὸς πειθώ· διὸ καὶ τοῖς λεγομένοις ἐνθυμήμασι χρώμεθα, ἐν οἷς τὰς δύο προτάσεις εἰπόντες τὸ συμπέρασμα σιωπῶμεν, ἐκείνῳ καταλιπόντες αὐτὸ προσενθυμεῖσθαι· βούλεται γάρ τι καὶ οἴκοθεν εἰς τὴν τῶν πραγμάτων εὕρεσιν ὁ ἀκροατὴς συμβάλλεσθαι. νῦν δὲ ἀναγκαίως ὁ ῥήτωρ ἐχρήσατο τῷ συμπεράσματι. πρῶτον μὲν γὰρ ἡ κατασκευὴ τῆς προτάσεως διὰ πολλῶν γενομένη ἀνάγκην ἐνεποίησεν αὐτοῦ τοῦ προτεθέντος εἰς ἀπόδειξιν διὰ τοῦ συμπεράσματος ἀναμνῆσαι· δεύτερον δὲ, ὅτι ἐν μὲν τοῖς ἀγῶσιν εἰκότως τὸ συμπέρασμα σιωπῶμεν· πολλῶν γὰρ ἤδη καὶ προειρημένων καὶ μελλόντων λέγεσθαι ῥᾳδίως ὁ ἀκροατὴς εὑρίσκει τὸ σιωπηθὲν ὑπὸ τοῦ ῥήτορος· ἐν δὲ προοιμίῳ μηδενὸς ἔτι ῥηθέντος οὐκ ἔχει πόθεν αὐτῷ προσνοῆσαι τὸ λεῖπον. οὐδὲν δὲ διαφέρει τὸ δαιμόνιον τοῦ θείου παρὰ τοῖς ῥήτορσιν, ἀλλ' ἐκ παραλλήλου τὸ αὐτό. B.T.C.V.

18, 10. δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] τοῦτό ἐστι τὸ συμπέρασμα τοῦ προοιμίου· δείξας γὰρ τοὺς θεοὺς εὔνους καὶ τοὺς συμμάχους βεβαίους καὶ τὸ δυνατὸν τῶν Ἀθηναίων αὐξήσας καιρὸν ἔσχεν ἐπιτιμήσει χρήσασθαι, ᾗ σωφρονίσας ἐπὶ τὰ πράγματα προὔτρεψε. φησὶν

1. ὅρα ὅπως B. ὅρα δὲ πῶς T.V. τὴν om. T.V.
3. ἀντὶ τοῦ om. B.S.P. ἢ] καὶ S.P.
8. φανερῶς] φανερὰν V.
11. αὐτὸ] αὐτῷ C.
12. εἰς] πρὸς C. εὕρεσιν] αἵρεσιν C.
15. αὐτοῦ] αὐτῷ codex Morelii. προτεθέντος] προτιθέντος V.
16. διὰ om. codex Morelii.
17. ἀγῶσιν] ἀνιῶσιν B. "*In confictu*, in confirmando et refutando." WOLF.
20. προσνοῆσαι] προνοῆσαι libri, nisi quod codex Morelii νοῆσαι. Correxit Wolfius, qui προσνοήσαι volebat, tertia persona optativi.
23. τοῦτο—προοιμίου om. H.
24. γὰρ om. H.S.
25. ἐπιτιμήσει χρήσασθαι] ἐπιτιμήσασθαι C.
26. χρήσασθαι—μὴ] Sic H.S. χρήσασθαι καὶ φησὶν ὅτι μὴ B.T.V.

οὖν, μὴ προδόται γενώμεθα τῶν ὑπαρχόντων καὶ δεδωρημένων ἡμῖν παρὰ τῶν θεῶν καὶ δόξωμεν αὐτοὶ καθ' ἑαυτῶν τὰ χείριστα βουλεύεσθαι. B.H.S.T.V. συμπέρασμα. A.

18, 11. αὐτοὺς] ἡμᾶς. P.

18, 12. ὅπως μὴ χείρους] μὴ ἀνάξιοι φανῶμεν τῶν δεδομένων παρὰ τῶν θεῶν καὶ τῶν ὑπαρχόντων πραγμάτων. A.R.

τῶν ὑπαρχόντων] ἤτοι τῶν δεδωρημένων ἡμῖν παρὰ τῶν θεῶν. S. ἡμῖν ἐκ θεῶν, θείων δωρεῶν. P.

18, 13. μᾶλλον δὲ] προδιόρθωσις. C.P. ἐνδιάθετον τὸ σχῆμα. B.S.

18, 15. προϊεμένους] προδιδόντας. B.

18, 17. τὸ μὲν οὖν—] δεύτερον προοίμιον ἀπὸ τοῦ δυνατοῦ. B. δεύτερον προοίμιον ἐκ προσοχῆς. C.P.

τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἰωάννου Ἀθηναίου· τοῦτο σχῆμά ἐστι τὸ κατὰ παράλειψιν. οὐκ ἠβούλετο μὲν γὰρ τῇ ἀληθείᾳ τὴν δύναμιν ἐξετάσαι τοῦ Μακεδόνος· ἡ δὲ αἰτία, ἵνα μὴ φοβήσῃ μᾶλλον τοὺς Ἀθηναίους ἀποσχέσθαι τοῦ πρὸς αὐτὸν πολέμου. οὐκ ἠβούλετο δὲ πάλιν τελέως ταύτην ἀμνημόνευτον ἐᾶσαι, ἵνα μὴ αὐτὸ τοῦτο δόξῃ φοβούμενος ταύτην καταλιπεῖν. τί οὖν ποιεῖ; καὶ μνημονεύει κατὰ παράλειψιν, καὶ τὴν αἰτίαν οὐ τὴν οὖσαν λέγει, ὅτι ἵνα μὴ φοβήσω ὑμᾶς, ἀλλ' ἑτέραν, ἵνα μὴ δόξω, φησὶν, ὑμᾶς αἰσχύνειν καὶ ὀνειδίζειν. B.E.P. Ἄλλως. τὸ μὲν πρῶτον προοίμιον ἀπὸ τοῦ ἐπιχειρήματος τοῦ δυνατοῦ ληφθὲν σκοπὸν εἶχεν ἀπὸ τῆς προνοίας τῶν θεῶν τὸ δυνατὸν τῶν Ἀθηναίων αὐξῆσαι· τὸδ ἐδ εὔτερον περὶ τοῦ δυνατοῦ τοῦ Φιλίππου τὴν ἐξέτασιν ἔχει, καθαίρεσιν ἔχον τῆς δυνάμεως, ὅσην

2. καθ' ἑαυτῶν S. καθ' αὐτῶν B. H.E. κατ' αὐτῶν T.V.

14. Ἰωάννου Ἀθηναίου om. E P. Habet B. sic scriptum ϹΘ ἰῶ ἀ, quod Ἰωάννου Ἀθηναίου legit Reiskius, id ut nomen sit auctoris hujus scholij.

τοῦτο] τοῦτο τὸ E.P.

18. τελέως om. P.

21. φησὶν—ὀνειδίζειν] φησὶν αἰσχύνην ὀνειδίζειν P.

22. Ἄλλως solus habet B. Scholio præcedenti τοῦτο τὸ σχῆμα— præfixum in P., ubi hæc scholia ordine inverso leguntur.

μὲν] μὲν οὖν V.

πρῶτον] πρότερον H.R.S.

ἀπὸ τοῦ ἐπιχειρήματος B. et, omisso τοῦ, E. ἀπὸ ἐπιχειρημάτων V. In H. R.S. hæc in brevius contracta sunt, τὸ μὲν πρότερον προοίμιον σκοπὸν ἔχει τὸ δυνατὸν τῶν Ἀθηναίων αὐξῆσαι, τὸ δὲ δεύτερον etc.

25. ὅσην ἔξεστιν B.E.V. ὡς ἦν ἐξέτασιν H.R.S.

ἔξεστιν ἐν προοιμίοις ἐργάσασθαι. B.E.H.R.S.T.V. ἐπεὶ δὲ πολλάκις τοῖς τεχνικοῖς θεωρήμασιν ὡς νοήμασι χρώμεθα, τοῦτο καὶ νῦν ὁ ῥήτωρ πεποίηκεν. εἰδὼς γὰρ ὅτι δυνατόν ἐστι προτρέπειν τοὺς οἰκείους καὶ ἐπαινοῦντα τοὺς πολεμίους καὶ ψέγοντα (ὁ μὲν γὰρ ἔπαινος τῶν ἐχθρῶν ζῆλον ἡμῖν κινεῖ πρὸς αὐτούς, ὁ δὲ ψογὸς εἰς ἀγανάκτησιν ἄγων 5 παροξύνει) τὸ μὲν θεώρημα ὡς νόημα εἶπεν, ὅτι ἐξῆν ὑμᾶς προτρέπειν ἐπαινοῦντα τὸν Φίλιππον, νῦν δὲ οὐ τοῦτο ποιῶ. καὶ προσποιεῖται μὲν παραλιπεῖν, ἐν οἷς δὲ τὴν αἰτίαν παραδίδωσι τῆς παραλείψεως, ἐν τούτοις ἐπαινεῖ τὸν Φίλιππον. τοῦτο δὲ ποιεῖ, ἵνα καὶ χρώμενος μὴ δοκῇ κεχρῆσθαι καὶ ἵνα παροξύνῃ διὰ τοῦ ζήλου τὸν δῆμον, οὐ 10 προσποιεῖται δὲ φανερῶς ἐπαινεῖν, ἵνα μὴ τὸν φόβον αὐξήσῃ τῶν Ἀθηναίων. H.R.S.

18, 19. οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι] κατὰ μὲν τὸ ἀληθὲς οὐ βούλεται διελθεῖν αὐτοῦ τὴν δύναμιν, ἵνα μὴ φοβήσῃ τοὺς Ἀθηναίους· ὑπωπτεύετο γὰρ συμμάχους ἔχειν πολλούς· προσποιεῖται δὲ τὴν 15 δόξαν παραιτεῖσθαι, ἵνα, φησί, μὴ φιλοτιμίαν ἐκείνῳ περιποιήσω δι' ὧν αὔξω αὐτόν. T.C.V.

διὰ τί;] κατασκευὴ τοῦ δευτέρου προοιμίου. B.

18, 20. ὑπὲρ τούτων] τῶν τοῦ Φιλίππου. P.

18, 22. ὁ μὲν γὰρ—] σημείωσαι· χιαζομένη περίοδος τετρά- 20 κωλος, ἔχουσα δύο προτάσεις καὶ δύο ἀποδόσεις. B.T.C.P. ἡ βάσις τοῦ προοιμίου, ἥτις ἐστὶν αἰτία τῆς ἀξιώσεως, ἅπτεται αὐτοῦ τοῦ πράγματος, παροξύνουσα τοὺς Ἀθηναίους πρὸς πόλεμον μετὰ τὸ ἀνειρηκέναι αὐτοὺς τῆς ἀθυμίας. R.S.

ὑπὲρ τὴν ἀξίαν] ἔτι κέχρηται τοῖς ἐπαίνοις, οὐ μὴν ἐκβαίνει τὸ 25 μέτριον ὥστε καὶ φοβεῖν· οὐ γὰρ εἶπεν ἁπλῶς ὅσα κατώρθωσεν, ἀλλ' ὑπὲρ τὴν ἀξίαν, ὥστε καὶ τὰ κατορθώματα μὴ σφόδρα μεγάλα νομίζεσθαι ταπεινῶν ὄντων Μακεδόνων. R.S.

18, 26. ταῦτα μὲν οὖν παραλείψω] τὸ σχῆμα μερισμός. C.

πάλιν προσποιούμενος παραλιπεῖν ἐπιμένει τοῖς αὐτοῖς λέγων 30

2. θεωρήμασιν ὡς ν. χρώμεθα] θεωρήμασι χρώμεθα ὡς ν. H.
3. καὶ] ἢ H.
9. καὶ χρώμενος—ἐπαινεῖν, ἵνα om. H.R.
11. αὐξήσῃ] αὔξῃ H.
14. δ. αὐτοῦ C. αὐτοῦ δ. V.
20. σημείωσαι habet solus B.
χιαζομένη om. P. Brevior notatio in S. inter lineas αὕτη ἡ περίοδος δύο ἔχει προτάσεις καὶ δύο ἀποδόσεις.

" ἐνθένδ' ἂν αὐτὸν ἴδοι μέγαν γεγενημένον." ἔστι δὲ καὶ τοῦτο καθαιρετικὸν τῆς τοῦ Φιλίππου δυνάμεως, εἴπερ αὐτὸν δύο ἢ καὶ τρεῖς τῶν Ἀθηναίων ηὔξησαν. R.S.

καὶ γὰρ εἰ] συμπέρασμα τοῦ δευτέρου. B.

19, 1. ἐνθένδ' ἂν] ἤγουν ἀπὸ τῶν ῥητόρων τῶν Ἀθηναίων, ἢ ἀπὸ τοῦ τοὺς Ἀθηναίους χρήσασθαι τοῖς πράγμασι μὴ προσηκόντως. R.S. ὅ ἐστιν ἀπὸ τῶν Ἀθηναίων. αἰνίττεται δὲ εἰς τοὺς φιλιππίζοντας ῥήτορας. T.C.P.

19, 3. ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει] τρίκωλος αὕτη περίοδος ἔχουσα μίαν πρότασιν δίκωλον καὶ μίαν ἀπόδοσιν. R.S.T.C.V.

ὧν οὖν ἐκεῖνος μὲν] ὑπὲρ ὧν οὖν ηὐξήκασιν οὕτω Φίλιππον οὗτοι οἱ προδόται, καὶ ἔδει αὐτὸν μὲν Φίλιππον χάριν αὐτοῖς ὁμολογεῖν, ἡμᾶς δὲ δίκην αὐτοὺς εἰσπράττεσθαι, ὑπὲρ τούτων, φησὶν, οὐκ εὔκαιρόν μοι τὸ λέγειν νῦν δοκεῖ· οὐ γὰρ περὶ τούτων εἰσῆλθον κατηγορίαν ἐνστήσασθαι, ἀλλὰ συμβουλεῦσαι περὶ Ὀλυνθίων. T.C.V. λύσις τοῦ ἀντιπίπτοντος. ἀντέπιπτε γὰρ αὐτῷ, διὰ τί οὐ γράφεις καὶ κατηγορεῖς; R.S.

πεπολιτευμένοις] ἤτοι τοῖς ῥήτορσιν· ἢ ἀντὶ τοῦ τοῖς πεπραγμένοις. S. παρ' ὑμῖν. P.

19, 4. λαβεῖν] παρ' αὐτῶν. P.

19, 5. τοῦ λέγειν] ὑπὲρ τῶν πεπολιτευμένων ὑπὲρ ἐκείνων. P.

ἃ δὲ καὶ] τετράκωλος αὕτη περίοδος ἔχουσα μίαν πρότασιν τρίκωλον καὶ ἀπόδοσιν μονόκωλον. S.

χωρὶς τούτων] χωρὶς τοῦ παροξυνθῆναι ἐπὶ τὸν πόλεμον διὰ τῆς κατηγορίας τῶν προδοτῶν. T.C.P.

19, 8. κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη] ἰδοὺ παραδίδωσιν ἡμῖν πότε δεῖ ἐκ τῆς τῶν ἐναντίων δόξης παροξύνειν οἷς προτρέπομεν, ὅτε εἰσὶ τὰ μεγαλεῖα ἐκείνων ἐξ ἄλλων τινῶν, καὶ οὐκ ἐκ τῶν προτρεπο-

1. γεγενημένον—ηὔξησαν om. R. Verba ἔστι δὲ καὶ—ηὔξησαν habet etiam H.
καὶ τοῦτο H. τοῦτο καὶ R.S.
2. τοῦ om. H.
5. ἢ ἀπὸ] ἀντὶ R.
9. τρίκωλος—ἔχουσα S. τρίκωλος ἡ (περίοδος addit Wolfius) ἔχουσα V. τρίκωλος ἔχουσα B.
13. φησὶν post εὔκαιρόν μοι habet C.
14. τούτων Wolfius. ταύτην libri.
15. περὶ] ὑπὲρ τῶν C.
16. αὐτῷ om. S.
23. ἀπόδοσιν] ἀπότασιν S. In B. est ἔχει μίαν πρότασιν τρίκωλον καὶ ἀπόδοσιν μονόκωλον. τέτταρα γὰρ κῶλα ἔχει.

μένων, ὡς ἐν τῷ πρώτῳ τῶν Ὀλυνθιακῶν ἐποίησεν ἐν οἷς διέξεισι τὴν σπουδὴν τοῦ Φιλίππου. ἐκεῖσε γὰρ τοῖς ἄλλοις ὑπάρχει βαρὺς, οὐ τοῖς Ἀθηναίοις, ἐνταῦθα δὲ ἐπεὶ ἐν τῷ τοὺς Ἀθηναίους βλάπτειν γέγονε μέγας ὁ Φίλιππος, παραιτεῖται λέγειν, καὶ ἔστι μέθοδος δεινότητος, ἵνα μὴ φοβερώτερον καταστήσῃ τὸν Φίλιππον, ἀλλ' ἐκ τῆς γνώμης διαβάλλῃ. T.C.

19, 9. ταῦτ' εἰπεῖν πειράσομαι] ἵνα μὴ δόξῃ πρὸς χάριν Ἀθηναίων διαβάλλειν τὸν Φίλιππον, τοῖς πράγμασι πιστοῦται τὰ ῥήματα καὶ δείκνυσιν αὐτὸν διά τε τῆς ἐπιορκίας καὶ τῆς ἀπιστίας καὶ θεῶν καὶ ἀνθρώπων πολέμιον. R.S.

τὸ μὲν οὖν ἐπίορκον] τρίτον προοίμιον. ἔστι δὲ καὶ αὐτὸ ἐκ τοῦ δυνατοῦ εἰλημμένον. A. τρίτον ἐστὶ τοῦτο προοίμιον, οὐ μὴν τὴν αὐτὴν δύναμιν ἔχει τοῖς προειρημένοις. ἐκεῖνα μὲν γάρ ἐστιν ὅλης τῆς ὑποθέσεως· τὸ μὲν γὰρ πρότερον περὶ τοῦ δυνατοῦ τῶν Ἀθηναίων, τὸ δὲ δεύτερον περὶ τοῦ δυνατοῦ τοῦ Φιλίππου, τὸ δὲ δυνατὸν κεφάλαιον ὅλον συνέχει τὸν λόγον· τοῦτο δὲ μερικόν ἐστι προοίμιον, κατασκευὴν ἔχον τῶν ἔγγιστα· ἐπειδὴ γὰρ μέλλει τὴν ἀδικίαν καὶ τὴν ἀπιστίαν ἐξετάζειν τοῦ Μακεδόνος, αἰτίαν ἀποδίδωσιν ἐν τῷ προοιμίῳ, δι' ἣν προλαβὼν μέλλει τοῦτο ποιεῖν. B.H.R. S.T.V. τοῦτο γὰρ μάλιστα ἴδιον τῆς Δημοσθένους δεινότητος τὸ προλαβεῖν ταῖς προκατασκευαῖς τὸν ἀκροατὴν, ὥστε ἀδεῶς παραδέχεσθαι τὰ μέλλοντα λέγεσθαι. τοῦτο κἀν τῷ κατὰ Κόνωνος ἐποίησεν· ἵνα γὰρ μὴ ἀπίθανος εἶναι δόξῃ τοσαύτας πληγὰς καὶ ὕβρεις εἰς αὐτὸν γεγενῆσθαι λέγων, προέλαβε διὰ τῆς κατασκευῆς τὸν ἀκροατὴν εἰπὼν ὅτι κατὰ τὸ στρατόπεδον συσκηνούντων τῶν περὶ τὸν Κόνωνα πολλὰ παρ' αὐτῶν ἐγίγνετο καὶ ἄλλα ὑβριστικὰ μεθυόντων. H.R.S. Ἄλ-

7. μὴ δόξῃ] δόξῃ μὴ R.

10. In T.C. pars hujus scholii est post scholion superius ad p. 19, 5. verbis τῶν προδοτῶν finitum, ἵνα δὲ μὴ δόξῃ πρὸς χάριν Ἀθηναίων διαβάλλειν τὸν Φίλιππον βούλεται τοῖς ἔργοις πιστώσασθαι τὰ ῥήματα.

12. ἐστὶ om. B. In V. est ἔστι μὲν οὖν τρίτον τοῦτο (τοῦτο τρίτον C.) προοίμιον.

13. ἔχει] ἔχον B.V.

ἐστιν ὅλης] ὅλης ἐστὶ B.

14. μὲν γὰρ πρότερον—κεφάλαιον om. B., lacuna relicta.

πρότερον] πρῶτον Sauppius.

16. ἐστι] ἐστι τὸ V.

19. προλαβὼν om. B.E.

μέλλει τοῦτο] τοῦτο μέλλει B.

21. ὥστε] ὥσπερ H.R.S.

παραδέχεσθαι] παραδέχεται S.

22. κατὰ Κόνωνος] p. 1257.

λως. ἰστέον ὅτι τὸ δεύτερον καὶ τρίτον προοίμιον εἰς καθαίρεσιν Φιλίππου ἔλαβεν, ἀλλ' ἐν μὲν τῷ δευτέρῳ ἀπὸ τῆς ῥώμης αὐτὸν καθεῖλεν, ἐν δὲ τῷ τρίτῳ ἀπὸ τῆς γνώμης καὶ τοῦ κρείττονας ἔχειν πολεμίους· ἐκ δὲ τοῦ αὐτοῦ ἐπιχειρήματος, ἤτοι τοῦ δυνατοῦ, ἀμφότερα, ἐπειδὴ φοβερὸς ὁ Φίλιππος δοκῶν καὶ δυνατὸς ἐφόβει τοὺς Ἀθηναίους. καὶ ἡ πᾶσα σύστασις τοῦ λόγου ἐπὶ τὸ δυνατὸν κεφάλαιον ἀνάγεται. B.T.C.V.

ἐπίορκον] σημείωσαι· διὰ τοῦ εἰπεῖν ἐπίορκον θεοῖς ἐχθρὸν αὐτὸν ἀπέφηνεν, διὰ δὲ τοῦ ἄπιστον τῶν ἀνθρώπων πολέμιον κατέστησεν. καὶ ἵνα μὴ δόξῃ πρὸς χάριν Ἀθηναίων διαβάλλειν τὸν Φίλιππον, τοῖς πράγμασι πιστοῦται τὰ ῥήματα. B.

19, 11. κενὴν] ματαίαν καὶ χωρὶς ἐλέγχου. P.

τὸ δὲ πάνθ' ὅσα πώποτε] πρότασίς ἐστι καὶ αὕτη καὶ ἡ ἄλλη ἄνευ κατασκευῆς. ὡς γὰρ ὁμολογούμενα ἔλαβεν, ἵνα μὴ ἀμφιβάλλωμεν ὅτι τοιοῦτος οἷον καὶ ὁ λόγος ἀποδείκνυσιν. A.R.

19, 13. καὶ βραχέος λόγου] ἐπειδὴ τὸ πάντα ὅσα εἶπε καὶ ἔπραξε Φίλιππος ἐπαγγείλασθαι εἰπεῖν ὑπόνοιαν ἐδίδου μακρολογίας, πολεμία δὲ αὕτη τοῖς ἀκροαταῖς, τῷ συντόμῳ τῶν λόγων παρεμυθήσατο. T.C.V.

συμβαίνει δεῖσθαι] κατὰ τὸ τέλος πάρισον. καὶ ἐν τῷ τρίτῳ τῶν Ὀλυνθιακῶν πάρισον κατὰ τὸ τέλος "ἂν τὰ παρόντα ἀναλώσῃ "πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ." T.C.

19, 15. ὅπερ καὶ ἀληθὲς ὑπάρχει] ὑπερβατὸν κατὰ παρένθεσιν, ὃ λέγεται ἐκ περιβολῆς. C.

φαῦλον] ἀντὶ τοῦ εὐτελῆ τινές. S.

19, 17. πάντα διεξελήλυθεν] ὥστε νῦν αὐτὸν εἶναι λοιπὸν εὐκαθαίρετον. εἰ γὰρ οὐκέτι προσθήκην αὐτῷ λαμβάνει τὰ πράγματα, μένειν δὲ ἐπὶ τῶν αὐτῶν οὐχ οἷόν τε τὰ ἀνθρώπινα, καθώς φησιν

3. ἐν δὲ τῷ τρίτῳ] ἐν τῷ τρίτῳ δὲ T.C.V.

4. πολεμίους] τοὺς πολεμίους C.

11. τὰ ῥήματα] τῷ ῥήματι B. Correxi ex scholio superiore codicum R.S.

14. ἀμφιβάλλωμεν] ἀμφιβάλωμεν R.

16. Idem scholion, sed brevius in B.S. ἐπειδὴ πάντα, ὅσα εἶπε καὶ ἔπραξε Φίλιππος, ὑπέσχετο εἰπεῖν (sic S.: εἰπὼν B.), τοῦτο δὲ μακρολογία (-ίας S.), παρεμυθήσατο τὸν λόγον εὐθύς.

26. ὥστε—εὐκαθαίρετον om. B.

28. καθώς—δῆλον ὅτι om. B.

αὐτὸς ἐν τετάρτῳ "μὴ γὰρ ὡς θεῷ νομίζετε ἐκείνῳ πεπηγέναι," δῆλον ὅτι πρὸς καθαίρεσιν ἥκει λοιπὸν αὐτῷ τὰ τῆς δυνάμεως. B.R. S. εἰ γὰρ οὐκέτι προσθήκην αὐτῷ λαμβάνει τὰ πράγματα, μένειν δὲ ἐπὶ τῶν αὐτῶν οὐχ οἷόν τε τὰ ἀνθρώπινα, δῆλον ὅτι πρὸς καθαίρεσιν ἥκει λοιπὸν αὐτῷ τὰ τῆς δυνάμεως.—ἀντὶ τοῦ, οὐδεμίαν ἔτι 5 εὑρίσκει μηχανήν· πάσας γὰρ διῆλθε, καὶ πάντες αὐτὸν ἔγνωσαν. T.C.E.V.

19, 18. παρακρουόμενος] ἐξαπατῶν. P.

19, 20. ἐγὼ μὲν γὰρ] ἀρχὴ τῶν κεφαλαίων τὸ δυνατόν. B. ἐντεῦθεν εἰς αὐτὸ τὸ κεφάλαιον ἐνέβαλε, τὸ δυνατὸν, ἀπὸ λύσεως ἀρξάμενος· ἡ γὰρ ἀντίθεσίς ἐστιν· ἀλλὰ φοβερὸς ὁ Φίλιππος, ἥντινα φανερῶς μὴ θεὶς ἐπάγει τὰς λύσεις. ὅταν μὲν γὰρ πρὸς ἀντίδικον ἔχωμεν ἀναγκαίως μέλλοντα χρῆσθαι ταῖς ἀντιθέσεσι, κἂν ἡμεῖς μὴ λέγωμεν, τότε δεῖ φανερῶς τιθέναι τὰς ἀντιθέσεις, ὅταν δὲ αὐτὸς καθέζηται παρ' ἑαυτῷ τὴν ἀντίθεσιν ἔχων ὁ ἀκροατὴς, τότε 15 χρὴ λύειν καὶ μὴ τιθέντα. ὅπερ καὶ νῦν γέγονεν. εἰσελήλυθε γὰρ αὐτὸς ὁ δῆμος πεφοβημένος τὸν Φίλιππον, ὥστε περιττὸν ἦν τιθέναι ταύτην, δι' ἣν σκεψόμενοι συνῆλθον. B.R.S.T.C.V. συνδρομῇ δὲ κέχρηται μεθ' ὑπερβολῆς, ἵνα μὴ τοῖς φανερῶς μαχομένοις ἀπίθανος δοκῇ. τὸ γὰρ "σφόδρα ἡγούμην φοβερὸν καὶ θαυμαστόν" συντρέχοντός ἐστι τῇ κοινῇ δόξῃ τοῦ δήμου καὶ τῇ φήμῃ τῇ περὶ Φιλίππου. ἵνα δὲ δόξῃ εἶναι πιθανὸς, ἀφίστησι τὴν συνδρομὴν διὰ τῆς λύσεως. R.S. 20

19, 21. καὶ αὐτὸς] ὥσπερ οἱ ἄλλοι. P.

19, 22. δίκαια] τὸ δίκαιον ἐνταῦθα οὐ προηγουμένην ἔχει ἐξέτα- 52

1. ἐν τετάρτῳ] Id est oratione Philippica prima p. 42, 15.

2. τὰ om. B.S.

3. οὐκέτι] οὐκ ἔστι V.: unde Wolfius λαμβάνει in λαμβάνειν mutavit.

4. δῆλον ὅτι om. E.

5. τὰ] τοῦ E.

ἀντὶ] Alius scholii initium. Monuit Mounteneius.

9. ἀρχὴ—δυνατόν] ἀρχὴ (ἀρχή ἐστι A.) τοῦ δυνατοῦ κεφαλαίου A.C.

12. μὴ] ὡς μὴ T.C.V. ὡς punctis notatum habet S. ὡς μὴ om. R.

ἐπάγει τὰς λύσεις] λύει B.

γὰρ πρὸς ἀντίδικον R. idemque in S. fuisse videtur, in quo inter γὰρ et ἀντίδικον quattuor circiter literæ perierunt. γὰρ πρὸς τὸν ἀντίδικον B. T.C.E.V. γὰρ ἀντίδικον ἔχωμεν τὸν ἀναγκαίως—conjecit Wolfius.

14. τιθέναι τὰς ἀντιθέσεις] αὐτὰς τιθέναι B.

16. τιθέντα] τιθέντας V.

17. ἦν om. B.E.

σιν, ἀλλ' εἰς κατασκευὴν ἐλήφθη τοῦ μὴ εἶναι φοβερὸν τὸν Φίλιππον, ἀλλ' εὐκαθαίρετον· εἰ γάρ ἐστιν ἀσεβὴς καὶ ἐπίορκος, δυσμενεῖς ἔχει τοὺς θεούς. S.

19, 23. νῦν δὲ θεωρῶν] τὸ ὑπερβατὸν οὕτω· νῦν δὲ εὑρίσκω τὸν Φίλιππον τὴν ἡμετέραν εὐήθειαν τούτῳ προσαγόμενον, ὅ ἐστι διὰ τούτου, ὥσπερ ὠνησάμενον τὴν ἡμετέραν μωρίαν καὶ δυνηθέντα ἡμᾶς ἀπατῆσαι διὰ τοῦ ὑπισχνεῖσθαι παραδοῦναι ἡμῖν τὴν Ἀμφίπολιν. ὑπισχνεῖτο γὰρ σώσειν αὐτὴν τοῖς Ἀθηναίοις, εἰ μὴ προσδέξαιντο τοὺς Ὀλυνθίους εἰς φιλίαν καὶ συμμαχίαν δοῖεν αὐτοῖς. ἐξ ὧν πεισθέντες Ἀθηναῖοι τούτους ἀπήλασαν τέως, πάλιν δὲ εἶχον πρὸς αὐτοὺς φιλίαν. εἶτα ὁρῶν ὁ Φίλιππος ὅτι ἀσθενεῖ πρὸς Ὀλυνθίους μαχόμενος, διὰ τὸ μὴ καθαρῶς ἀποστῆναι αὐτῶν τοὺς Ἀθηναίους, χαρισάμενος αὐτοῖς τὴν Ποτίδαιαν ἀπέστησεν Ἀθηναίων· φησὶ γὰρ ὅτι καὶ τούτους ἠπάτησεν. ὅρα δὲ πῶς, εἰπὼν Ἀθηναίους ἠπατῆσθαι καὶ Ὀλυνθίους, τοὺς Ἀθηναίους προέταξεν, ἵνα συγγνώμην ἔχωσιν Ὀλύνθιοι δεύτεροι ἀπατώμενοι μετὰ Ἀθηναίους τοὺς σοφωτάτους· τὸ αὐτὸ δὲ θρυλούμενον μὲν παρ' ἡμῖν, ἀπόρρητον δὲ παρὰ τοῖς Ἕλλησιν ὄν. S.T.C.V.

σκοπῶν] αὐτόν. P.

19, 24. τὴν μὲν ἡμετέραν εὐήθειαν] οὐκ εἶπεν ὑμετέραν, διὰ τὸ ἐπαχθὲς καὶ ἑαυτὸν συνάπτων τῷ ἐγκλήματι. φασὶ δέ τινες σημαίνειν τὴν εὐήθειαν οὐ πάντοτε μωρίαν, ἀλλ' ἔστιν ὅτε πραότητα καὶ ἐπιείκειαν καὶ τὸ ἁπλοῦν· ὅπερ καὶ νῦν βούλεται σημαίνειν. B.T. C.V. ἁπλότητα καὶ ἀπονηρευσίαν. P.

τὸ κατ' ἀρχὰς] πρώτους ἔδειξεν ἠπατημένους Ἀθηναίους σφόδρα

5. προσαγόμενον] προαγαγόμενον V.

6. ἡμετέραν—ἡμᾶς—ἡμῖν] ὑ— ter C, non T. ἡμῖν autem post παραδοῦναι collocavi cum S. Ceteri ordine inverso.

10. τέως] τελείως S.

12. αὐτῶν] αὐτῷ T.V.

Ἀθηναίους S.T.D. Ὀλυνθίους C. V.

13. Ἀθηναίων] ἀθηναίους T.V.

15. συγγνώμην ἔχωσιν] Id est, εὕρωσιν, *ut veniæ locus esset Olynthiis.* WOLF.

17. θρυλούμενον] Libri duplici λ hic et infra.

ἡμῖν] ὑμῖν C. solus.

18. In S. hoc scholion legitur in fine paginæ proximæ, quo spectat annotatio hic posita ζήτει τὸ σημεῖον εἰς τὸ τέλος τοῦ ἀντικειμένου καταβατοῦ.

21. τινες om. V.

σημαίνειν—μωρίαν B. ὅτι πάντοτε μωρίαν ἡ εὐήθεια σημαίνει ceteri. In S. nihil est præter gl. interlineare, νῦν τὴν πραότητα καὶ ἐπιείκειαν καὶ τὸ ἁπλοῦν.

22. οὐ addidit Wolfius.

δεινῶς αὐτοὺς ἐκείνους μάρτυρας τῆς ἀπιστίας Φιλίππου ποιούμενος, εἶτα καὶ πιθανὸν ποιῶν τὸ πολλοὺς ἄλλους ἠπατῆσθαι παρὰ τοῦ Μακεδόνος. εἰ γὰρ οἱ σοφώτατοι τῶν Ἑλλήνων ἠπατήθησαν, τί παράδοξον Ὀλυνθίους καὶ Θετταλούς; πρὸς δὲ τούτους καὶ συνέστησε τὴν ποιότητα τῶν Ὀλυνθίων. ἐκ πολλοῦ γὰρ εὖ διάκειται πρὸς τὴν πόλιν. R.S.

19, 25. ἀπήλαυνόν τινες] δέον εἰπεῖν ἀπηλάσατε ὑμεῖς· ἡ γὰρ πόλις πᾶσα ἦν ἡ τοῦτο ποιήσασα· ὁ δὲ εἰς τοὺς ῥήτορας ἀπωθεῖται τὸ ἔγκλημα. ἐμφαντικῶς δὲ εἶπεν ἐνθένδε, οἷον ἀπὸ τῶν Ἀθηναίων, ἀπὸ τοῦ χωρίου ὥσπερ τοῦ Ἐλέου, ἔνθα καὶ Ἡρακλεῖδαι ἐσώθησαν, ἀπήλαυνον οὗτοι τοὺς ἱκέτας. B.E.R.S.T.V.

τινες] οἱ τούτῳ χαριζόμενοι. P.

19, 27. τὸ θρυλούμενον] ἠπάτα γὰρ ἡμᾶς λέγων τὸ θρυλούμενον παρ' ὑμῖν κατορθοῦν ἐν ἀπορρήτῳ· ἐθρύλουν γὰρ πάνυ αὐτὸ ποθοῦντες. ὁ δὲ νοῦς, αὐτὸς ὅπερ ἠβούλεσθε, τοῦτο ποιῆσαι ἔλεγε σιγῇ, ἵνα μὴ μαθόντες οἱ ἐναντίοι κωλύσωσιν. ἔστι δὲ τοῦτο ὁ Ὠρωπός. ἵν' οὖν, φησί, μὴ ἐναντιωθῶσιν οἱ Θηβαῖοι, λάθρα αὐτὸ κατορθοῖ. ἦν γὰρ μεταξὺ τῆς Βοιωτίας καὶ τῶν Ἀθηναίων ὁ Ὠρωπός. A.H.

οὐ τὸν Ὠρωπὸν, ὥσπερ ἐν τῷ κατ' Αἰσχίνου, σημαίνει, ἀλλ' ἐπειδὴ Ἀμφίπολιν τὴν ἐπὶ Θρᾴκης ὑπέσχετο σώσειν τοῖς Ἀθηναίοις, εἰ μὴ προσδέξαιντο τοὺς Ὀλυνθίους. τὸ δὲ αὐτὸ, τὸ θρυλούμενον μὲν παρ' ἡμῖν, ἀπόρρητον δὲ παρὰ τοῖς Ἕλλησιν ὄν. διὰ τί δὲ ὑποσχόμενος ἐπίορκον ἐλέγξειν τὸν Φίλιππον, οὐδαμοῦ περὶ ἐπιορκίας ἐμνημόνευσεν; ὅτι ὡς ὁμολογούμενον αὐτὸ παρέλιπε. δῆλον γὰρ ὅτι ἐν οἷς συνετίθετο πρὸς τὰς πόλεις καὶ ὅρκους ἐδίδου, παρέβαινε δὲ τὰς

7. δέον] δέος V.
ἀπηλάσατε] ἀπηλαύνετε T.V.
9. ἐμφαντικῶς] ἐμφαντικὸν B. ἐκφαντικῶς V.
ἐνθένδε] ἐνθάδε V.
ἀπὸ] ἐκ B.
10. χωρίου] Corruptum fortasse ex βωμιοῦ, quod conjecit Sauppius, collata simili scholiastæ annotatione ad p. 10, 6. In B. pro verbis ἀπὸ τοῦ χωρίου ὥσπερ τοῦ legitur ἐκ τοῦ δευτέρου μετὰ τοῦ.
ἔνθα καὶ R.S. ἔνθεν B. ὅθεν E. a m. sec. et V.
ἐσώθησαν] διεσώθησαν E.
11. ἀπήλαυνον οὗτοι τοὺς ἱκέτας (οἰκέτας R.) om. B.
14. παρ' ὑμῖν post ἀπορρήτῳ habet H.
15. νοῦς—ἠβούλεσθε H. νοῦς αὐτὸς ὅτι ὃ πάνυ ἐβούλεσθε A.
16. Ὠρωπὸς] ὠροπὸς A.H. hic et infra.
17. ἐναντιωθῶσιν οἱ Θ.] ἐναντιωθῶσι θ. A.
19. ἐν τῷ κατ' Αἰσχίνου] p. 446, 1.
20. Θρᾴκης] θρᾳκῶν R.

συνθήκας, παρέβαινε καὶ τοὺς ὅρκους. ἔτι πρὸς τούτῳ κἀκεῖνο ζητητέον. καταδρομὴν ποιεῖται τοῦ Μακεδόνος, καθ' ἣν ποιότητα ἐξετάζει τὸ πρόσωπον, καὶ φαμὲν εἶναι συμβουλευτικὸν τὸν λόγον. ὁμοίως ἐν τῷ κατὰ Ἀριστοκράτους τὴν ποιότητα ἐξετάζει τὴν Χαριδήμου, καὶ φαμὲν εἶναι δικανικὸν τὸν λόγον. ὁμοίως ἐν τοῖς ἐπιδεικτικοῖς ποιότητα ἐξετάζομεν τοῦ προσώπου πότερον ψεκτὸν ἢ ἐπαινετόν. εἰ τοίνυν ἐν πᾶσι τοῖς εἴδεσιν ἡ ποιότης ἐξετάζεται, τίνα φήσομεν εἶναι τὴν διαφορὰν ἀπό τε τῶν ἄλλων καὶ τῶν σκοπῶν; τὸ εἶδος κανονίζομεν. ἂν μὲν τιμωρίαν βουλόμενοι λαβεῖν τὴν ποιότητα ἐξετάζωμεν, δικανικὸν τὸ εἶδος· ἂν δὲ πρὸς τὸ συμφέρον ἀποβλέποντες, συμβουλευτικόν· ἂν δὲ πρὸς τὸ καλὸν μόνον σκοποῦντες, ἐπιδεικτικὸν γίγνεται τὸ εἶδος. R.S.

τὸ θρυλούμενόν ποτε] λέγουσιν ὅτι Πύδνα χωρίον Μακεδονίας, Ποτίδαια δὲ τῆς Θρᾴκης· καὶ ἡ μὲν Πύδνα ὑπήκοος ἦν Φιλίππῳ, ἡ δὲ Ποτίδαια τοῖς Ἀθηναίοις. ἐγένετο δέ ποτε τὴν μὲν Ποτίδαιαν ἀποστῆναι πρὸς Φίλιππον, τὴν δὲ Πύδναν πρὸς τοὺς Ἀθηναίους. ἑκάτεροι δὲ, οἵ τε Ἀθηναῖοι καὶ ὁ Φίλιππος, τῶν ἰδίων ἐπεθύμουν. τοῦτο οὖν ἔλεγεν ὁ Φίλιππος, ὅτι τὸ θρυλούμενον τοῦτο καὶ ποθούμενον ἐν ἀπορρήτῳ κατασκευάσω. διὰ τί δὲ ἐν ἀπορρήτῳ; ἵνα μὴ ἑκάτεροι μαθόντες φυλάξωνται, οἵ τε Ποτιδαιᾶται καὶ οἱ Πυδναῖοι. Θεόπομπος δέ φησιν ὅτι περὶ Πύδνης μόνον καὶ Φιλίππου, ἵνα δῷ αὐτὸς μὲν Ἀθηναίοις Ἀμφίπολιν, δέξηται δὲ παρ' αὐτῶν τὴν Πύδναν αὐτοῦ οὖσαν. καὶ τὸ ἀπόρρητον δὲ, ἵνα μὴ μαθόντες οἱ Πυδναῖοι φυλάξωνται. οὐ γὰρ ἐβούλοντο εἶναι ὑπὸ τὸν Φίλιππον. S.T.C.V.

19, 28. τὴν δ' Ὀλυνθίων φιλίαν] ἀπὸ κοινοῦ τὸ εὑρίσκω προσαγαγόμενον. ὅρα δὲ ὅτι ἐπὶ μὲν Ἀθηναίων εὐήθειαν εἶπεν, ἐπὶ δὲ Ὀλυνθίων φιλίαν. S.T.C.

20, 1. συμμάχους] τοὺς Ποτιδαιάτας. S.P.

20, 2. ἐκείνοις] ἤτοι τοῖς Μακεδόσι. S.

Θετταλοὺς δὲ νῦν] εἰκότως τοὺς Θετταλοὺς τελευταίους ἠπάτη-

11. γίγνεται τὸ εἶδος om. R.

20. Πυδναῖοι] Sequentia usque ad fidem scholii om. S. qui hoc scholion habet post schol. ad p. 22, 15.

21. δῷ] Libri δῴη.

24. τὸν om. C.

25. προσαγαγόμενον] ἐπαγόμενον T. C.

26. Ἀθηναίων—Ὀλυνθίων] τῶν ἀθηναίων—τῶν ὀλυνθίων T.C.

30. εἰκότως—ἠπάτησεν om. R.S.

σεν ὡς εὐχερεῖς ὄντας καὶ μὴ δυνηθέντας ἀπὸ τῆς Ὀλυνθίων καὶ Ἀθηναίων ἀπάτης σωφρονισθῆναι. B.R.S.V.

20, 5. ὅλως] καθόλου. B.S. ἔστι δὲ τὸ σχῆμα περιοχή. S.

ὅντινα οὐ πεφενάκικεν] ἐπεὶ στρατηγικὸν εἶναι δοκεῖ τὸ φενακίζειν τοὺς πολεμίους, διὰ τοῦτο ἐνήλλαξεν εἰπὼν τῶν αὐτῷ χρησαμένων, ὅτι Φίλιππος οὐ τοὺς πολεμίους, ἀλλὰ τοὺς φίλους ἀπατᾷ· τοῦτο δὲ ἀπιστίας τεκμήριον. εἴρηται δὲ ἡ λέξις ἀπὸ τῆς φενάκης, τῆς προσθετῆς κόμης, ἥτις ἕνεκεν ἀπάτης γίνεται· προσποιεῖται γὰρ περιτιθέναι κόσμον ὅνπερ οὐ κέκτηται. B.T.C.E.V.

20, 8. ὥσπερ οὖν—] σημείωσαι· ἐνθύμημα ὃ καλεῖται ἀκολουθία. B.T.C.P. ὥσπερ, φησὶ, διὰ τῆς ἀγνοίας γέγονε μέγας, οὕτως ὀφείλει διὰ τῆς γνώσεως καθαιρεθῆναι πάλιν. R.S.T.V.

20, 10. διὰ τούτων] ἀγνοούντων, καὶ διὰ τοῦτο ἀπατηθέντων. P.

διὰ τῶν αὐτῶν] εἰς γνῶσιν ἐλθόντων ὅτι ἠπάτηνται· διὸ κατ' αὐτοῦ ὁρμήσουσιν. P.

20, 11. ἕνεκα ἑαυτοῦ] ἀλλ' οὐχ ἕνεκα αὐτῶν. P.

20, 12. καιροῦ] ἀντὶ τοῦ ἀτυχίας. B.S.

20, 14. παρελθὼν] τὸ σχῆμα πρόκλησις. B.T.C.P.

μᾶλλον δ' ὑμῖν δειξάτω] τὸ σχῆμα ἐπιδιόρθωσις. T.C. τοῦτο λέγεται ἐπανόρθωσις. εἰ ἐμὲ γὰρ, φησὶν, ἀνάξιον νομίζει τοῦ μαθεῖν, ὑμῖν δειξάτω. ὅρα δὲ πῶς τὸ μὲν ἀμφίβολον ἔφυγε, τὸ δὲ ὁμολογούμενον ἔλαβεν. ἀμφίβολον μὲν γὰρ τὸ "λεγέτω μοι ὅτι οὐκ ἔστιν

1. ὡς om. B.
Ὁ. καὶ Ἀ.] ἀ. καὶ ὁ. V.
4. ἐπεὶ] ἐπειδὴ T.C.E.V. τοῦτο φησὶ διὰ τὸ S. qui initium scholii habet usque ad τοὺς πολεμίους.
στρατηγικὸν] στρατηγητικὸν S. στρατιωτικὸν codex unus Morelii.
δοκεῖ] δοκεῖν S.
5. αὐτῷ C. αὐτῷ ceteri.
6. ἀπατᾷ] ἐξαπατᾷ C.
8. προσθετῆς T.E. προσθετικῆς V. προθετικῆς C.
ἕνεκεν B. ἕνεκα ceteri.
10. σημείωσαι habet B. solus.
11. διὰ] καὶ διὰ V.
12. καθαιρεθῆναι πάλιν] ἀναιρεθῆναι, omisso πάλιν, R.
21. ὅρα δὲ πῶς τὸ μὲν B.H.S. (nisi quod μὲν om. S.) τὸ γοῦν V. Legitur hæc scholii pars paullo aliter concepta etiam in A.R., quorum prior τὸ ἀμφίβολον ἔφυγε, καὶ τὸ ὁμολογούμενον εἴρηκεν. ἦν μὲν γὰρ ἀκόλουθον καὶ ἀμφίβολον τὸ, παρελθών τις ἐμοὶ λεγέτω, ἢ ὡς οὐκ ἔστι λοιπὸν ἀσθενής· καὶ γὰρ τοῦτο ὤφειλεν ἀπαντῆσαι. ὁ δὲ εἶπε τὸ ὁμολογούμενον, ὅτι οὐκέτι οἱ ἅπαξ ἠπατημένοι νῦν ἀπατηθήσονται. alter vero sic, ὅρα δὲ—ἔλαβεν. ἦν μὲν γὰρ ἀκόλουθον καὶ ἀμφίβολον et reliqua ut A., nisi quod in fine ἠπατημένοι καὶ νῦν—. Cum A. consentit H., nisi quod ab initio habet ὅρα δὲ πῶς τὸ μὲν ἀμφίβολον etc. et in fine καὶ νῦν, ut R.
22. ἔλαβεν B.R. εἴρηκεν ceteri.

" ἀσθενής." τὸ δὲ ὁμολογούμενον, " ὅτι οἱ ἐξηπατημένοι οὐ πιστεύσου-
" σιν." B.H.S.T.C.V.

20, 17. παρὰ τὴν αὐτῶν ἀξίαν] τοῦτο, ἵνα πιθανὸν ποιήσῃ ὅτι τὴν ἐλευθερίαν ἀγαπήσουσιν. S.

20, 18. καὶ μὴν εἴ τις ὑμῶν] τὸ σχῆμα ἀνθυποφορά. B. καὶ τοῦτο ἀντίθεσίς ἐστιν ἀπὸ τοῦ δυνατοῦ, δύνυμιν ἀνθυποφορᾶς ἔχουσα. ἡ γὰρ ἀνθυποφορὰ οὐχ ὁλόκληρός ἐστιν ἀντίθεσις, ἀλλὰ μέρος ἀντιθέσεως, τὸ μὲν δεχομένη, τῷ δὲ ἐνισταμένη, οἷόν ἐστι καὶ τὸ νῦν. τῆς γὰρ πρώτης ἀντιθέσεως οὔσης, ὅτι φοβερὸς ὁ Φίλιππος, καὶ τῷ δικαίῳ λελυμένης, ἡ ἀνθυποφορὰ πρὸς μὲν τὸ δίκαιον οὐκ ἐνίσταται, μέρος δὲ ἔχει τοῦ δυνατοῦ, ὅτι εἰ καὶ Φίλιππος ἄδικος καὶ ἐπίορκος, ἀλλ' ὅμως βίᾳ καθέξει τὰ πράγματα. B.H.R.S.T.C.V. ἐδήλωσε δὲ καὶ αὐτὸς ὁ ῥήτωρ τὴν δύναμιν τῆς ἀνθυποφορᾶς εἰπὼν " ταῦτα
" μὲν οὖν οὕτως ἔχειν ἡγεῖται," φαίνεται γὰρ τὸ μέν τι συγχωρῶν, τὸ δὲ μὴ δεχόμενος. H.R.S.

20, 19. οἴεται δὲ βίᾳ καθέξειν] ὅ ἐστι διὰ τὸ κατέχειν αὐτὸν τοὺς καιρίους τόπους κατ' αὐτῶν, οἷον φρούρια καὶ λιμένας, ἵνα, κἂν θελήσωσιν ἀποστῆναι, μὴ δυνήσονται. T.C.V.

20, 20. τῷ τὰ χωρία καὶ λιμένας] οὐκ εἶπε τῷ στρατηγοὺς ἔχειν καὶ συμμάχους, δι' ὧν μάλιστα βίᾳ κρατοῦμεν, οὐδὲ μὴν πόλεις καὶ φρούρια, ἀλλὰ χωρία καὶ λιμένας τοῖς γενικοῖς ὀνόμασι χρησάμενος ἠλάττωσε τὴν δύναμιν τοῦ Μακεδόνος. καὶ τὸ προειληφέναι οὐ βίᾳ κρατουντός ἐστιν, ἀλλ' ἀπάτῃ προλαβόντος. καὶ δι' ὧν εἰσάγει τὴν ἀντίθεσιν φθάνει καὶ πρὸ τῆς λύσεως καθαιρῶν τοῖς ὀνόμασι τὴν δύναμιν τῆς ἀντιθέσεως. H.R.S.

20, 21. ὅταν μὲν γὰρ ὑπ' εὐνοίας] ἀπὸ τοῦ δικαίου πάλιν ἐποιήσατο τὴν λύσιν· εἰ γὰρ ἐκ πλεονεξίας ἴσχυσεν, οὐκ εὔνους ἔχει τοὺς ἀδικηθέντας. B.S.T.C.V.

1. ἔστιν ἀ.] ἔστιν om. B.S.
6. ἐστιν ἀ. τοῦ] ἐστι τοῦ B.T.C.V.
8. τῷ] τὸ V.
10. λελυμένης] λελησμένος B. et pr. E., qui in reliqua scholii parte consentit cum B.
πρὸς] ὅτι πρὸς R.S.
11. μέρος] κέρδος S.
εἰ καὶ] καὶ εἰ R.S.
12. τὰ πράγματα] τὸ πᾶν B. et pr. E.
18. δυνήσονται] δυνήσωνται C.P.
19. τῷ] τὸ H.
20. οὐδὲ μὴν S. οὐ μὴν δὲ H.R.
21. χωρία καὶ λιμένας] Hæc delenda videntur, nisi quis καὶ τοῖς γενικοῖς scribere malit.
27. εἰ—ἴσχυσεν] ἡ—ἰσχὺς B.

20, 22. πᾶσι] στρατηγοῖς καὶ στρατιώταις. T.C.P.

20, 26. ἡ πρώτη πρόφασις] ἀντιπῖπτον ἔλυσεν "οὐκοῦν δεήσει "μάχης καὶ κινδύνων, ἵνα κρατήσωμεν." ὁ δὲ ἡ πρώτη πρόφασις καὶ μικρὸν παῖσμα εἰπὼν τὸ ῥᾴδιον τῆς καθαιρέσεως ἔδειξεν. τοῦτο γὰρ μάλιστα τοῦ δυνατοῦ κεφαλαίου τιμιώτατον μέρος. B.E.T.C.V. 5

20, 27. μικρὸν παῖσμα] τὸ ἡττηθῆναι αὐτὸν κατὰ τὸν πόλεμον. T.P.

ἀνεχαίτισε] εἰς τοὐπίσω ἤγαγε. H. ἀνέτρεψεν· ἀπὸ μεταφορᾶς τῶν ὑποζυγίων, ἃ διὰ τὸ μὴ ἐπὶ πολὺ δύνασθαι φέρειν τὸν ζυγὸν πολλάκις ἀνατρέπει αὐτόν. πάνυ δὲ ὁ λόγος ἁρμόζει καὶ ἐπὶ τῶν ὑπὸ 10 Φιλίππου δεδουλωμένων, εἴ γε καὶ ἡ δουλεία ἔοικε ζυγῷ, καὶ τὸ βούλεσθαι τοὺς δούλους ἀποστῆναι, διὰ τὸ μηκέτι φέρειν ἐπὶ πολὺ ἀδικοῦντα καὶ ἐπιορκοῦντα. τῇ δὲ συνεχείᾳ τῶν ὀνομάτων δείκνυσιν αὐτὸν καὶ θεοῖς καὶ ἀνθρώποις πολέμιον, ἵνα τὸ μὲν ἀδικοῦντα λάβωμεν ἐπὶ ἀνθρώπων, τὸ δὲ ἐπιορκοῦντα ἐπὶ θεῶν, τὸ δὲ ψευδόμενον ἐπ' 15 ἀμφοτέρων. B.H.S.T.C.E.V.

20, 29. δύναμιν βεβαίαν] ἐξ ἀμφοτέρων ἡ ἐλάττωσις. T.C.

21, 2. ἀντέχει] ἰσχύει. A.

σφόδρα] τὸ ὀλιγοχρόνιον παρέστησεν. B.C.

καὶ σφόδρα γε ἤνθησε] τῷ δισταγμῷ καὶ ἐλπίσι χρησάμενος καὶ 20 τῷ ἤνθησεν πρόσκαιρον καὶ ἀβέβαιον ἔδειξε τὴν δύναμιν τοῦ Μακεδόνος· καὶ γὰρ τὰ ἄνθη πρόσκαιρα καὶ οὐ πολυχρόνια. S.T.C.V.

21, 3. φωρᾶται] τουτέστιν ἐλέγχεται. ἀπὸ μεταφορᾶς τοῦ

1. στρατηγοῖς καὶ στρατιώταις] Non bene hunc locum interpretatus est scholiastes. Etenim per hasce voces πᾶσι τοῖς μετέχουσι τοῦ πολέμου non solum imperatores et milites, verum etiam socii omnes intelligendi sunt. Infra in Philippica I. p. 42. dixit Philippi socios metu solo retentos esse, quo minus ab eo desciscerent: p. 21. et infirmos et infidos eos esse affirmat; et p. p. 22. quomodo ei res sit cum militibus suis exponit. MOUNT.

3. ὁ δὲ ἡ πρώτη πρόφασις om. B.E. In S. hæc tantum leguntur διὰ τοῦτο τὸ ῥᾴδιον τῆς—τιμιώτατον, omisso μέρος.

8. ἀνέτρεψεν] ὠνέστρεψεν V.

10. καὶ om. H.

11. εἴ γε—ἐπωρκοῦντα om. H. Verba καὶ τὸ βούλεσθαι—ἐπιορκοῦντα om. B.E.

13. ἐπιορκοῦντα S. πολιορκοῦντα T. C.V.

14. ἵνα τὸ μὲν—ψευδόμενον] ἵν' ᾖ τὸ μὲν ἄδικον ἐπὶ ἀνθρώπων, τὸ δὲ ἐπίορκον ἐπὶ τῶν θεῶν, τὸ δὲ ψευδὲς B.

19. παρέστησεν om. C.

21. τῷ S. τὸ V. In B. omissis primis scholii verbis est ἀντὶ τοῦ πρόσκαιρον—πρόσκαιρα καὶ ὀλιγοχρόνια.

23. τουτέστιν] ἤγουν B.

φωρὸς, ἢ τοῦ λῃστοῦ. φὼρ γὰρ ὁ λῃστής· ἔνθεν καὶ τὸ ἐπ' αὐτοφώρῳ. B.S.T.C.V. ἐλέγχεται δὲ τὰ τοιαῦτα τῷ χρόνῳ. A. τὸ δὲ καταρρεῖ ἀντὶ τοῦ διαφθείρεται, ἀπὸ μεταφορᾶς τοίχου τινὸς παλαιοῦ, ὅταν ὑπὸ τῆς παλαιότητος αὐτὸς ὑφ' ἑαυτοῦ διαβιβρώσκηται καὶ ἀναλίσκηται. B.S.T.C.E.V. συμπίπτει. A. 5

21, 5. τῶν ἄλλων τῶν τοιούτων] οἷον ἱερῶν, λουτρῶν. B.T.C.

τὰ κάτωθεν ἰσχυρότερα εἶναι δεῖ] τινὲς λαμβάνονται τοῦ ῥήτορος ἐνταῦθα, λέγοντες ὅτι κάτω ἔδει εἰπεῖν καὶ οὐ κάτωθεν. ἀλλ' ἠγνόησαν τὸ ἀκόλουθον. κάτωθεν γὰρ εἶπεν, ἐπειδὴ κάτωθεν ἀπὸ θεμελίων ἐπὶ τὰ ἄνω οἰκοδομεῖται οἶκος, ὁμοίως δὲ καὶ ναῦς ἀπὸ τῆς τρόπιδος. B.T.C.E.V. 10

21, 7. τὰς ὑποθέσεις] οἷον αὐτὰς τὰς κρηπῖδας καὶ τοὺς θεμελίους. S.T.C.

21, 9. φημὶ δὲ δεῖν ὑμᾶς] ἐγχείρημα συμβουλευτικὸν ἀποφαντικῶς. B.T.C.P. πεπλήρωκεν ἄχρις ἐνταῦθα τὸν περὶ τοῦ δικαίου λόγον· καὶ δείξας Φιλίππῳ μὲν δυσμενεῖς τοὺς θεοὺς, εὐμενεῖς δὲ τῷ δήμῳ, πάλιν ἐπὶ τὴν προτροπὴν ἐχώρησεν. ἀεὶ γὰρ τοῖς ἐνθυμήμασι καὶ ταῖς ἀποδείξεσιν ἐπάγει τὴν προτροπήν. B.S.T.C.E.V. 15

21, 11. κάλλιστα καὶ τάχιστα] καλῶς συνέζευξε τὰ δύο· ἑκάτερον γὰρ χηρεῦον τοῦ ἑτέρου βλάβην ἐργάζεται. H.R.S.T.C.V. 20

1. ἢ τοῦ—ἔνθεν S. ὅ ἐστι τοῦ λῃστοῦ. φὼρ γὰρ ὁ λῃστής. ὅθεν (ἔνθεν T.) V. In B. est ἀπὸ μεταφορᾶς τοῦ λῃστοῦ, ὃς λέγεται φὼρ, reliquis omissis.

τὸ om. V.

2. τὸ δὲ—διαφθείρεται S. καταρρεῖ ὅ ἐστι διαφθείρεται V. καταρρεῖ, διαφθείρεται B.

3. ἀπὸ] ὡς ἀπὸ T.V.

4. παλαιότητος] καὶ τοῦ χρόνου add. T.C.V.

6. οἷον om. B.

7. λαμβάνονται] Idem quod ἐπιλαμβάνονται, *reprehendunt*: de quo usu verbi dixerunt Stephanus et L. Dindorfius in Thesauro vol. v. p. 73.

8. λέγοντες] λέγοντος T., om. C.

9. τὸ ἀκόλουθον] *Consequens*, id est, quid sequatur, vel, quam apte hoc dicatur. WOLF.

10. ἐπὶ τὰ ἄνω om. B.E.

δὲ om. B.

12. οἷον αὐτὰς om. T.C.

15. πεπλήρωκεν] πεπλήρωκε δὲ B. T.C.P.

ἄχρις] αὖθις codex unus Morelii.

16. μὲν δυσμενεῖς] δυσμενεῖς μὲν S.

17. ἐχώρησεν] ἀνεχώρησεν B.E. Sequentia om. B.

18. τὴν προτροπήν S. τὰς προτροπάς ceteri.

19. ἑκάτερον γὰρ χηρεῦον] καὶ γὰρ χηρεῦον τὸ ἓν H.R.

20. τοῦ ἑτέρου ambiguum est, utrumne ad χηρεῦον, an vero ad ἐργάζεται βλάβην. ego utroque censeo pertinere. Nam nec celeriter facta laudantur, si benefacta non sint: et benefacta propter longiorem moram minus celebrantur. WOLF.

21, 12. Θετταλοὺς] πάλιν τοὺς Ἀθηναίους ἐπὶ τὸ ἀξίωμα τῆς ἡγεμονίας ἐφίστησι πρεσβεύεσθαι κελεύων. καὶ διδάσκει τοὺς πρέσβεις ἃ ὀφείλουσι διαλεχθῆναι τοῖς Θετταλοῖς. H.R.S.

πρεσβείαν πέμπειν] ἀπὸ κοινοῦ τὸ φημί. ἥτις πρεσβεία τοὺς μὲν διδάξει· εἰς δύο γὰρ μερίζει τοὺς Θετταλούς, εἰς ἀγνοοῦντας τὸν Φίλιππον καὶ εἰδότας μέν, δεδιότας δέ. T.C.V.

21, 14. καὶ γὰρ νῦν εἰσιν] ἐν ταὐτῷ τό τε δυνατὸν καθαιρεῖ τοῦ Φιλίππου καὶ αὔξει τὸ τῆς πόλεως· εἰ γὰρ Φιλίππου μὲν ἀποστήσονται Θετταλοί, τῇ δὲ πόλει προσθήσονται, κἀκεῖνος ἀσθενέστερος καὶ οὗται μείζους γενήσονται. R.S.

21, 18. ἀξίως τῆς πόλεως] καλῶς ἐπησφαλίσατο. ἠδύνατο γὰρ πολλάκις πέμψαι μέν, ὀλίγους δέ· διὸ προσέθηκεν, ἀξίως τῆς πόλεως. T.C.V.

21, 19. ἐπὶ τοῖς πράγμασι] πράγματα τὸν πόλεμον καλεῖ. B.R. S.T.C.

21, 20. τὰ πράγματα] ἔργα. B.P.

21, 23. τοσούτῳ μᾶλλον ἀπιστοῦσιν] ἐπειδὴ γάρ, φησίν, εὐχερῶς καὶ ἑτοίμως ὑπισχνούμεθα, οὐ ποιοῦμεν δὲ, εἰκότως ἅπαντες ἡμῖν ἀπιστοῦσιν. H.S.T.C.V.

21, 24. πολλὴν δὴ—] τὸ σχῆμα ἀπὸ αὐξήσεως. B.H.S.T.C.

τὴν μετάστασιν] μετάστασις τὸ ἀπὸ Ἀθηνῶν ἀπελθεῖν εἰς Ὄλυνθον συμμάχους· μεταβολὴ δὲ τὸ τὴν ῥαθυμίαν εἰς προθυμίαν μεταβαλεῖν. B.T.C.P.

μεταβολὴν] τὴν ἐκ ῥαθυμίας εἰς προθυμίαν. R.S.

21, 26. εἴ πέρ τις ὑμῖν προσέξει τὸν νοῦν] οὕτω, φησίν, ἅπαντες

5. μερίζει] διαιρεῖ codex Morelii.

ἀγνοοῦντας] μὲν add. T.C.V. delevit P.

6. μὲν] μὴ C. In S. sunt gl. τοὺς μέν· τοὺς ἀγνοοῦντας τὸν Φίλιππον. τοὺς δέ· τοὺς εἰδότας τὸν Φίλιππον, δεδιότας δέ. In R. prius tantum gl.

14. πράγματα om. B.S.

17. γὰρ om. S.V.

21. μετάστασις om. B.

ἀπελθεῖν εἰς Ὄ.] εἰς Ὄ. ἐλθεῖν P. In S. est scholion μετάστασιν καλεῖ τὸ ἀπὸ Ἀθηνῶν ἐλθεῖν εἰς Ὄλυνθον. "Quale somnium somniatus est "bonus scholiastes, cum hanc vo- "cis μετάστασιν explicationem ex- "cogitarit! Sententia est, Athe- "nienses omnino alios homines "fieri debere: id quod et μετά- "στασις et μεταβολὴ significat, illa "autem vox animi potius muta- "tionem, ut causam, hæc novam "agendi rationem, ut effectum, re- "spicere videtur." MOUNT.

25. οὕτω] οὕτως S.

ἀπιστοῦσιν ἡμῖν μηδὲν ποιοῦσιν· ὅτι κἂν θεάσωνται ἡμᾶς ποιοῦντας, θαυμάζω εἰ καὶ τότε ἡμῖν πιστεύουσιν ὅτι ποιοῦμεν. S.T.C.V.

22, 1. τῆς οἰκείας ἀρχῆς] ὅ ἐστιν αὐτῆς τῆς Μακεδονικῆς, οὐ τῆς ἔξω τῶν συμμάχων· ἤδη γὰρ περὶ ταύτης εἶπεν. T.C.V.

22, 2. ὅλως] ἀντὶ τοῦ καθόλου. B.C.P.

ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις] περικόψας τοὺς συμμάχους τοῦ Μακεδόνος ἐπ' αὐτοὺς ἐχώρησε τοὺς Μακεδόνας· καὶ ἐπειδὴ μὴ φανερῶς ἔχει δεῖξαι κατὰ πόλεμον αὐτοὺς ἡττημένους, τὸ ἐξ ἀνάγκης γιγνόμενον εἰς καθαίρεσιν ἔλαβε· τὸ γὰρ μετὰ συμμάχων αὐτοὺς πολεμεῖν τεκμήριον ἀσθενείας φησί. τοῦτο δὲ Θουκυδίδης περὶ Λακεδαιμονίων φησὶν ὅτι οὐ καθ' ἑαυτοὺς, ἀλλὰ μετὰ πάντων εἰς τὴν γῆν ἡμῶν στρατεύουσιν· ὁ μέντοι Δημοσθένης καὶ ἐπ' ἔλαττον καθεῖλε τοὺς Μακεδόνας, οὐ τοὺς συμμάχους προσθήκην αὐτῶν, ἀλλὰ ἐκείνους τῶν συμμάχων ἀποφηνάμενος ὡς καὶ πλήθει καὶ δυνάμει πολλῷ λειπομένους τῶν συμμάχων. δῆλον δὲ καὶ ἐξ αὐτῶν τῶν ῥητῶν "καὶ ὅποι τις ἂν, οἶμαι, προσθῇ κἂν μικρὰν δύναμιν." R.S.

πρὸς γὰρ Ὀλυνθίους πολεμοῦσι τοῖς Ἀθηναίοις συνεμάχησε Περδίκκας ὁ ἀδελφὸς Φιλίππου μετὰ τῶν Μακεδόνων. λεληθότως οὖν λέγει ὅτι ἡ δύναμις, ἣν εἴχομεν τότε, ὥσπερ ἐν προσθήκης μέρει, πρὸς συμμαχίαν, νῦν ἡμῖν περὶ τῶν πρωτείων φιλονεικεῖ. H.R. S.T.C.V.

22, 4. ἐν προσθήκης μέρει] ἤγουν προστιθεμένη ἄλλῃ τινὶ δυνάμει. S.T.C.V.

οὐ σμικρὰ] ἀντὶ τοῦ σύμμετρος. S. οἷον σύμμετρος, οὔτε μεγάλη οὔτε σμικρά. T.C.P.

1. ἀπιστοῦσιν] ἀπιστήσουσιν S.
μηδὲν—θεάσωνται ἡμᾶς ποιοῦντας, θαυμάζω εἰ καὶ—πιστεύουσιν ὅτι] In S. hæ tantum literæ legi possunt μη ... θεα (cum compendio quod σ τα significat) ἡμᾶς .. ποιοῦντας θαυμαζ. . . καὶ πιστεύον . . ὅτι. Post ἡμᾶς fortasse excidit τι.
2. πιστεύουσιν] πιστεύσουσιν Wolfius.
5. ἀντὶ τοῦ] καὶ B.
16. ὅποι] ὅπῃ R.
μικρὰν R. correctus. μικρὸν pr. R. μικροῦ S.
18. πολεμοῦσι τοῖς ἀ. S. πολεμοῦσιν ἀ. ceteri.
19. τῶν om. H.R.
20. λέγει ὅτι] ὅτι om. R.S. λέγει ταῦτα ὅτι codex Morelii.
εἴχομεν R.S. ἔσχομεν H. ἔχομεν V.
τότε] τότε μὲν V.
21. τῶν om. R.
23. ἤγουν] ὅ ἐστι T.C.P.

22, 5. ἐπὶ Τιμοθέου] οὗτος στρατηγὸς ἦν Ἀθηναίων, πατὴρ Κόνωνος τοῦ στρατηγοῦ, εὐτυχὴς δὲ σφόδρα ἐξ ἀρχῆς γενόμενος, εἴπερ τις ἄλλος. λέγεται γὰρ περὶ αὐτοῦ ὡς ἐν οἵῳ δήποτε πολέμῳ ἐπέμπετο, ἐνίκα. ὅθεν καὶ τοὺς ζωγράφους, ἡνίκα αὐτὸν ἔγραφον, γράφειν αὐτὸν καθεύδοντα· γυναῖκα δέ τινα συγγράφειν, ἐπιγράφοντας αὐτῇ τὸ τῆς τύχης ὄνομα, πλησίον αὐτοῦ ἱσταμένην, καὶ βαστάζουσαν δίκτυα καὶ ἄλλα θηρευτικὰ ὄργανα, δηλοῦντας διὰ τούτου ὅτι ἡ τύχη ὑπὲρ αὐτοῦ πάντα ποιεῖ, αὐτοῦ ποιοῦντος μηδέν. ὡς δὲ ἐπὶ τούτοις βαρέως ἤνεγκε, μηδέποτε νενικηκέναι διὰ τῆς τύχης, ἀλλὰ δι' ἑαυτοῦ λέγων, ὕστερον, ὥσπερ τοῦ δαιμονίου αὐτῷ νεμεσήσαντος τῆς ἀλαζονείας τοῦ ῥήματος, οὐκ ἔτι νενίκηκεν. H.R.S. T.C.V.

22, 6. συναμφότερον] ὅ ἐστι σὺν ἄλλῳ τινὶ γενόμενον, καὶ οὐ καθ' ἑαυτό, ὡς εἶπεν ἐν προσθήκης μέρει. R.S.

22, 7. Θετταλοῖς νοσοῦσι] νοσοῦσι λέγει τὰς γνώμας, ὅτι οἱ μὲν αὐτῶν ἐβούλοντο δημοκρατεῖσθαι, οἱ δὲ περὶ τοὺς τυράννους τοὺς Ἀλευάδας καὶ οἱ φίλοι αὐτῶν τυραννεῖσθαι. τυραννικὴν δὲ οἰκίαν τὸ γένος λέγει τῶν Ἀλευαδῶν. H.T.C.V.

22, 9. ὅποι τις ἂν κἂν] ἐπειδὴ διὰ τῶν ἀνωτέρω ἔδοξεν ὥσπερ

1. οὗτος στρατηγὸς] ὁ δὲ τιμόθεος στρατηγὸς S. in quo hoc scholion cum superiore ad p. 22, 2., quod verbo φιλονικεῖ finitur, cohæret. In R. hoc scholion legitur post scholion ad p. 23, 2. ab verbis incipiens ὁ τιμόθεος στρατηγὸς—.

πατὴρ] υἱὸς μὲν Wolfius. Notum est duos fuisse Conones, alterum patrem, alterum filium Timothei.

5. τινα addidi ex S. et codice uno Morelii.

ἐπιγράφοντας—δηλοῦντας Morelius. ἐπιγράφοντες—δηλοῦντες libri.

7. βαστάζουσαν] βαστάζειν T. C. V.

8. ποιοῦντος S. et codex Morelii. πονοῦντος ceteri.

9. νενικηκέναι] Sequentia usque ad finem scholii om. R.

τύχης] νίκης T. a pr. m. et V.

10. αὐτῷ T. αὐτῶν C. αὐτοῦ H. R.S. αὐτὸν V.

11. τῆς ἀλαζονείας S. τῇ ἀλαζονείᾳ vulgo: unde ἐπὶ τῇ ἀλαζονείᾳ Wolfius.

οὐκ ἔτι] οὐδέποτε C.

13. ἄλλῳ—ὡς] ἄλλῃ τινὶ γενομένη καὶ οὐ καθ' ἑαυ$^{\tau}$ (litera τ cum compendio terminationis) . . ῆς R.

17. καὶ οἱ φίλοι αὐτῶν om. H.

οἰκίαν—Ἀλευαδῶν] ἀρχὴν ἐνταῦθα λέγει τὴν μακεδον . . H. Particulæ hujus scholii sunt etiam in A., τὸ γένος λ. τῶν ἀλευάδων (hoc accentu etiam V.), in R. τὴν μακεδονικὴν ἀρχήν· τὸ γένος λέγει τῶν ἀλευάδων. et in R.S. οἱ μὲν γὰρ αὐτῶν ἐβούλοντο δημοκρατεῖσθαι, οἱ δὲ ὑπὸ (παρὰ R.) τῶν ἀλευάδων τυραννεῖσθαι.

19. ἀνωτέρω] ἀνωτέρων V.

ἔδοξεν—παρέχειν] ἔδειξεν—παρέχων B.E.

τινὰ ὑποψίαν δυνάμεως παρέχειν τοῖς Μακεδόσι, βούλεται κοινὸν αὐτὸ δεῖξαι καὶ διὰ τοῦ καθολικοῦ ἐλαττῶσαι. ὁ δὲ κἂν σημαίνει ἐνταῦθα αἵρεσιν τοῦ ἐλάττονος ἐν ἀποτυχίᾳ τοῦ μείζονος· οὐ γάρ εἰσι δύο μέρη, ἀλλ' ἕν. B.E.S.T.C.V.

κἂν] τὸ κἂν ἐνταῦθα κεῖται τὸ παραφερόμενον καὶ δοκοῦν μὴ λέγεσθαι· οὐ γὰρ δυνάμεθα αὐτὸ διαλῦσαι εἰς τὸ καὶ ἐάν. κεῖται γὰρ ἄλλος σύνδεσμος ὁ ἄν. B.

22, 13. ἔτ' ἐπισφαλεστέραν] τὴν Μακεδόνων ἀρχήν. S. ζητεῖται πῶς ἀσθενεστέραν, ἀλλ' οὐχὶ καὶ μᾶλλον ἰσχυροτέραν ποιεῖ διὰ τοῦ γυμνάζεσθαι καὶ συνεχῶς μανθάνειν τὰ πολεμικά. καί φαμεν ὅτι ἀσθενεστέραν οὐ λέγει τοῖς σώμασιν, ἀλλὰ τῇ γνώμῃ, διότι μισοῦσιν αὐτὸν δι' ἅπερ αὐτοῖς ποιεῖ, ὡς ἐπιφέρει. ἢ ὅτι τῇ συνεχεῖ τριβῇ κατακοπτόμενοι ἀσθενέστεροι γίνονται. B.E.S.T.C.V.

22, 15. μὴ γὰρ οἴεσθε] ἀντιπῖπτον λύει. P. θαυμαστή τις ἡ βία τοῦ ῥήτορος· τῶν γὰρ Ἀθηναίων διὰ τὰ κατορθώματα τοὺς Μακεδόνας εὐλαβουμένων, οὗτος ἐξ αὐτῶν τούτων σαθρὰν αὐτῶν ἀποφαίνει τὴν δύναμιν, καὶ ἐπειδὴ δειλίαν οὐκ ἔσχε κατηγορῆσαι, τὴν γνώμην ἐξετάζει τοῦ Φιλίππου καὶ τὴν σχέσιν τῶν Μακεδόνων, καὶ τὰς προαιρέσεις αὐτῶν ἐναντίας ἀποφήνας οὐχ ὁμονοοῦντας ἀλλήλοις δείκνυσιν. B.R.S.T.C.V.

22, 18. καὶ προῄρηται πράττων] ἡ σύνταξις οὕτως· καὶ προῄρηται πράττων καὶ κινδυνεύων παθεῖν ὅ τι ἂν συμβῇ. εἶτα δεῖ στίξαντας ἐπενεγκεῖν· προῃρημένος ἀντὶ τοῦ ζῆν ἀσφαλῶς δόξαν

1. Μακεδόσι] μακεδονίοις T.C.V.
5. παραφερόμενον Sauppius. περιφερόμενον B. παραχαραττόμενον dixit schol. Isocratis ad p. 33 E.
6. λέγεσθαι Sauppius. λέγειν B.
9. ἀσθενεστέραν] ἀσθενὲς E.V.
ἀλλ' οὐχὶ καὶ] ἀλλὰ καὶ B.
ἰσχυροτέραν] ἰσχυρὸν E.T.C.V.
10. συνεχῶς μανθάνειν] συνεκμανθάνειν T.C.V. συνεχῶς μανθάνειν E. relicto post συνεχῶς aliquot literarum spatio. συνεχῶς ποιεῖν codex Morelii.
τὰ πολεμικά] τὰ πόλεμια B. et codex Morelii. τὸν πόλεμον S.
12. αὐτοῖς] αὐτὸς V.
14. θαυμαστή—δύναμιν καὶ om. B.T.C.V.
17. κατηγορῆσαι—Φιλίππου] κατηγορῆσαι Φιλίππου τὴν γνώμην αὐτοῦ B.
21. ἡ σύνταξις οὕτως om. T.C.V. Addidit P, sed omisso ἡ, quod addidi ex B.E.
22. πράττων] πράττων τι B.
δεῖ στίξαντας T.C.P. διαστίξαντας V. στίξαντας, omisso δεῖ, B.E.
23. ἐπενεγκεῖν B.E. προενεγκεῖν ceteri.
προῃρημένος B.E. ᾑρημένος V. τὸ ᾑρημένος T.C.P.

κτήσασθαι τοῦ ταῦτα διαπράξασθαι, ἃ μηδεὶς ἄλλος Μακεδόνων. B.E.T.C.V.

22, 19. τὴν τοῦ διαπράξασθαι ταῦτα] ὑπερβατὸν καθ' ὑπέρθεσιν. B. τὸ σχῆμα ὑπερβατόν. A.R.

κοπτομένης] συντριβομένης καὶ ἀπολλυμένης. A. 5

κοπτόμενοι δ' ἀεὶ] ταλαιπωρούμενοι. P. συντριβόμενοι καὶ ἀπολλύμενοι. H. καὶ τοῦτο πρὸς φόβον ἐδύνατο συντελεῖν, ὅτι ἐκ τοῦ συνεχῶς στρατεύεσθαι μελέτην ἐκτήσαντο καὶ ἐμπειρίαν τῶν πολεμικῶν. ὁ δὲ τὸ μὲν συμβαῖνον ἐκ τῆς στρατείας ἀφῆκε, τὴν δὲ γνώμην ἐξήτασεν ὅτι λυποῦνται τοῖς συνεχέσι πολέμοις. καὶ τὴν 10 αἰτίαν προσέθηκεν, οὐ συγχωρούμενοι γεωργεῖν, οὔτε τοῖς ἰδίοις προσέχειν. εἶτ' ἐπειδὴ καὶ πρὸς τοῦτο ἀντέπιπτεν, ἀλλ' ἐκ τοῦ πολέμου κερδαίνουσι λάφυρα καὶ τὰ τοιαῦτα λαμβάνοντες, καὶ τούτων ἄχρηστον ἀπέφηνε τὸ κέρδος, οὐ δυναμένων αὐτῶν διαπιπράσκειν ὅσα ἂν πορίσωσιν, ἀλλὰ μᾶλλον εἰς προσθήκην ἀναλωμάτων ἐχόντων ταῦτα, 15 διὰ τὸ ἀναγκάζεσθαι τρέφειν αὐτὰ καὶ μὴ δύνασθαι πωλεῖν κεκλεισμένων τῶν ἐμπορίων καὶ μηδενὸς ἐμπορευομένου διὰ τὸν πόλεμον. καὶ προσέθηκεν, οὕτως ὅπως ἂν δύνωνται, ἐνδεικνύμενος ὅτι οὐδὲ ὅπλοις κρατοῦντες, ἀλλ' ἁρπάζοντες καὶ λῃϊζόμενοι, κερδαίνουσι. R.S.T.C.V.

22, 27. διαθέσθαι] πωλῆσαι ἡ λέξις καὶ παρ' Ἰσοκράτει ἐν τῷ 20 Βουσίριδι, ὅταν λέγῃ τὴν διάθεσιν. B.S.T.C.V.

1. τοῦ] τὴν τοῦ V.
ἄλλος] ἄλλων V.
3. ὑπερβατὸν καθ' ὑπέρθεσιν] ὑπέρβασις κατὰ παρένθεσιν C.
5. συντριβομένης] Sequitur scripturam corruptam κοπτομένης pro κοπτόμενοι.
7. καὶ τοῦτο πρὸς φόβον—ἀφῆκε] τὸ μὲν συμβαῖνον ἐκ τῆς στρατείας, λέγω δὴ τὴν ἐμπειρίαν τῶν πολεμίων, ὡς πρὸς φόβον συντελοῦν, ἀφῆκε T.C. V.
10. λυποῦνται] λυπεῖται R.
13. καὶ τὰ τοιαῦτα λαμβάνοντες om. R.S. ἀνδράποδα καὶ ὑποζύγια καὶ τὰ τ. λ. Wolfius.
καὶ τούτων om. C.
ἄχρηστον] ἀχρεῖον C.
14. ἀπέφηνε C. ἀπέφαινε R.S.V.
15. μᾶλλον εἰς addidi ex S. qui verba ἀλλὰ μᾶλλον—διὰ τὸν πόλεμον non hoc loco habet, sed infra ut scholion ad verba ταῦτ' ἔχοντες referendum.
ἐχόντων] Legebatur ἔχειν. ἔχοντες S.
20. πωλῆσαι] Hoc gl. est etiam in A.
21. ὅταν—διάθεσιν om. B.S. διάθεσις legitur apud Isocr. Busir. p. 224 B, verbum διαθέσθαι in Panegyr. p. 49 A. Post διάθεσιν P. addidit, Ἄλλως. διαθέσθαι ἀντὶ τοῦ ἀποδόσθαι, Ἰσοκράτης, καὶ διάθεσις ἀντὶ τοῦ διάπρασις· Ἀντιφῶν δὲ ἀντὶ τοῦ διοίκησις, καὶ διαθέσθαι, ἀντὶ τοῦ διοικῆσαι. παραλαμβάνεται δὲ καὶ ἀντὶ τοῦ συνθέσθαι, ὡς Ὑπερίδης καὶ Δημο-

22, 29. *οἱ μὲν οὖν πολλοὶ*] *οὐκ εἶπεν ἅπαντες, ἀντιπῖπτον ὑποτεμνόμενος· εἰ γὰρ ἅπαντες ὑπόπτως ἔχουσι πρὸς αὐτόν, διὰ τί μὴ τῆς βασιλείας αὐτὸν ἐξωθοῦσιν; ὁ δὲ τοὺς πολλοὺς εἰπὼν δέδωκεν αὐτῷ τινὰς καὶ εὔνους οἳ συνέχουσιν αὐτὸν ἐπὶ τῆς ἀρχῆς.* R.S.

23, 1. *οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι*] *ὅρα πῶς κατὰ μικρὸν τὸ ἀσθενὲς ἀποδείκνυσι τοῦ Φιλίππου. πρῶτον εἰπὼν ὅτι μισοῦσιν αὐτὸν οἱ σύμμαχοι, εἶτα καὶ αὐτοὶ οἱ Μακεδόνες οἱ πολῖται αὐτοῦ, εἶτα, ἵνα μή τις εἴπῃ, ἀλλ' εἰ καὶ οὗτοι οὕτως ἔχουσιν, ἀλλ' οὖν ξενικά τινα ἔχει στρατεύματα, φησὶν ἃ φησιν.* B.H.R.S.T.C.V. *βούλεται δεῖξαι ὅτι καὶ οὗτοι δόξαν μέν τινα ἔχουσι καὶ ὑπόνοιαν πολεμικήν, οὐ μέντοι ἐστὶν ἀληθῆ, ἐξ ὧν ἐπιφέρει.* T.C.V.

οἱ δὲ δὴ] *καὶ συμμάχους αὐτὸν καὶ τοὺς ὑπηκόους ἀφελόμενος ἐπὶ τὸ ξενικὸν ἐχώρησε. καὶ κέχρηται συνδρομῇ, λέγων δόξαν μὲν ἔχουσιν, ἵνα μὴ δοκῇ μόνος ἐναντιοῦσθαι τῇ περὶ αὐτὸν φήμῃ. βουλόμενος δὲ καθελεῖν αὐτῶν τὴν δόξαν, ἐπὶ ἄτεχνον πίστιν ἐχώρησεν, ἵνα μὴ πάντα αὐτὸς ἐνθυμούμενος καὶ ἀποδεικνὺς φιλονεικίᾳ τῇ πρὸς Φίλιππον μᾶλλον δοκῇ λέγειν ἢ ὡς αὐτὴν τὴν ἀλήθειαν ἐγνωκώς. ἀνενεγκὼν δὲ τὴν μαρτυρίαν τοῦ ἀνθρώπου εἰς τὸ περὶ τῶν ξένων οὐκ ἀφῆκεν ἀκατάσκευον τὴν μαρτυρίαν, ἀλλὰ λογισμοὺς αὐτῷ περιέθη-*

σθένης ἐν τοῖς ἑξῆς. ἑκατέρα δὲ τούτων κεῖται καὶ ἐπὶ τοῦ διαθήκας γράφειν. Ἰσαῖος ἐν τῷ πρὸς Ἀριστογείτονα· "μετὰ ταύτην τοίνυν τὴν ἀπόκρισιν "ἑτέραν διαθήκην ἐκόμισαν, ἣν ἔφασαν "Ἀρχέπολιν ἐν Λήμνῳ διαθέσθαι." Λυσίας ἐν τῷ πρὸς Τιμωνίδην· "πῶς δ' "ἂν τῆς διαθέσεως τοῦ τετελευτηκότος "ἀμελήσαιμεν, ἣν ἐκεῖνος διέθετο, οὐ "παρὼν, οὐδὲ γυναικὶ πεισθείς." παρ' Ἰσοκράτει δὲ καὶ ἐπὶ τοῦ πάσχειν κεῖται τὸ διατίθεσθαι, ὥς φησιν ἐν Ἑλένης ἐγκωμίῳ, "γνοίη δ' ἄν τις κἀ-"κεῖθεν ὅτι διαφέρει τῶν ὄντων, ἐξ ὧν "αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον τῶν "καλῶν." Ἀντιφῶν δὲ τῇ διαθέσει ἐχρήσατο ἐπὶ γνώμης ἢ διανοίας· ὁ αὐτὸς δὲ καὶ ἐπὶ τοῦ διαθεῖναι λόγον, τοῦτ' ἔστιν, ἐπὶ τοῦ ἐξαγγεῖλαί τι, ἐν τῷ ις' τῆς ἀληθείας· ὁ αὐτὸς κέχρηται αὐτῷ καὶ ἐπὶ τῆς διακοσμήσεως. Quæ ex Suida (s. v. *διάθεσις*) sunt transcripta cum levi scripturæ diversitate. Suidas autem sua composuit duabus ex glossis Harpocrationis.

6. *ἀποδείκνυσι*] *δείκνυσι* R.

7. *σύμμαχοι*] *Ἕλληνές τε καὶ βάρβαροι καὶ μελετῶσιν ἀπόστασιν* add. H.T.C.V.

οἱ πολῖται αὐτοῦ om. B.

εἶτα ἵνα μή τις] *εἶτα εἴ τις* C.

8. *εἴπῃ*] *εἴποι* T.C.V.

ἀλλ' εἰ καὶ—ἔχουσιν om. B.

ἀλλ' οὖν ξενικά τινα ἔχει (*ἔχει* om. V.) *στρατεύματα*] *εἰσὶν ξενικὰ στρατεύματα* H. *ἀλλ' οὖν ξενικὰ* C., omissis *τινὰ ἔχει στρατεύματα*.

9. *φησὶν ἃ φησιν* addidi ex H.R.S. Eorum loco in B. est *διαβάλλει καὶ ταῦτα*.

11. *μέντοι ἐστὶν ἀληθῆ*] *μὴν ἀληθεύουσιν* codex Morelii.

ὧν] *ὧν καὶ* P.

κεν ὅτι τοὺς μὲν ἀνδρείους διὰ φιλοτιμίαν ἀπωθεῖται, τοὺς δὲ σώφρονας διὰ τὸ μὴ δύνασθαι φέρειν αὐτοῦ τὴν μέθην, καὶ προσυνέστησε τὸν ἄνθρωπον καὶ φρόνιμον εἰπὼν καὶ ἔμπειρον τῶν ἐν Μακεδονίᾳ, οὐχ ἵνα ἐκεῖνον ἐπαινέσῃ, ἀλλ' ἵνα τοὺς τούτου λογισμοὺς ὡς ἀληθεῖς παραδέξωνται διὰ τὴν ἐκείνου δόξαν. S. 5

23, 2. πεζέταιροι] τοῦ πεζέταιροι πολλαὶ φέρονται ἐξηγήσεις. οἱ μὲν γὰρ αὐτὸ λέγουσιν ὄνομα στρατεύματος οὕτω καλουμένου, οἱ δὲ ὅτι τινὲς ἦσαν παρ' αὐτοῖς στρατιῶται τὸν ἕτερον πόδα γυμνὸν ἔχοντες, τὸν δὲ ἕτερον ὡπλισμένον· διό φασι καὶ πεζετέρους αὐτοὺς καλεῖσθαι, διὰ τὸ τὸν ἕτερον πόδα γυμνὸν ἔχειν· πέζα γὰρ τὸ κάτω 10 τοῦ ποδός· ὅθεν καὶ πεζεύειν τὸ χαμαὶ περιπατεῖν. οἱ δέ φασι τοὺς ἀπὸ τοῦ πλήθους τῶν πεζῶν ὧν εἶχε ξένων ἑταίρους καὶ φίλους γενομένους αὐτῷ οἱονεί τινας ἐκλελεγμένους διὰ τὸ ἀνδρεῖον, ἵνα φυλάττωσιν αὐτόν· ἡ δὲ γραφὴ διάφορος πρὸς τὴν διάφορον ἐξήγησιν. B. S.T.C.E.V. Θεόπομπός φησιν ὅτι ἐκ πάντων τῶν Μακεδόνων ἐπί- 15 λεκτοι οἱ μέγιστοι καὶ ἰσχυρότατοι ἐδορυφόρουν τὸν βασιλέα καὶ ἐκαλοῦντο πεζέταιροι. A.R.

23, 4. τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων] οἷον οἰκησάντων καὶ οὐχ ἁπλῶς παροδευσάντων. R.P.

23, 5. τινὸς] διὰ τὸ ἀξιόπιστον. B. οὐ γὰρ λέγων ἐπιστεύ- 20 ετο. P.

6. τοῦ πεζέταιροι πολλαὶ S. (nisi quod πεζαίτεροι scriptum). πολλαὶ περὶ (παρὰ B.) τούτου ceteri. Scholion in brevius contractum habet R. περὶ πεζεταίρων· οὓς οἱ μὲν λέγουσιν ὄνομα στρατεύματος, οἱ δὲ ὅτι τινὲς ἦσαν παρ' αὐτοῖς στρατιῶται—ἕτερον πόδα ὡπλισμένον· οἱ δέ φασι—γενομένους αὐτῷ.

7. καλουμένου] καλούμενον B.S. λεγομένου ceteri.

8. αὐτοῖς] αὐτῷ B.E.

στρατιῶται] στρατιώταις T.C.V.

τὸν δὲ ἕτερον] τὸν δὲ ἕτερον πόδα B.

9. πεζετέρους Wolfius. πεζαιτέρους libri. Hodie satis constat vana esse grammaticorum commenta de πεζέτερος vel πεζαίτερος (quod fuisse qui cum πλησιαίτερος compararent docet Eustath. ad Hom. p. 472): de quo dixi in Thesauro vol. vi. p. 652.

10. διὰ B.E. παρὰ ceteri. In S. præpositio in parte marginis quæ periit posita fuit.

πέζα] πεζοὶ B.

κάτω B.S. et codex Morelii. κάτωθεν vulgo.

11. καὶ] καὶ τὸ V.

πεζεύειν] πεζάλα B.E.

12. εἶχε] εἶχε καὶ C.

ἑταίρους καὶ—αὐτῷ om. B.E.

13. διὰ] καὶ διὰ codex Morelii.

15. Θεόπομπος] θεόπεμπτος A.R. quæ non infrequens in libris est hujus nominis scriptura.

16. ἰσχυρότατοι Sauppius. ἰσχυρότεροι A.R.

17. πεζέταιροι] πεζαίτεροι A.R.

18. καὶ om. P.

23, 6. οὐδένων] φασὶν οἱ τεχνικοὶ τῶν γραμματικῶν ὅτι οὐ κυρίως κέκλιται, εἴ γε ἡ εὐθεῖα ὁ οὐδεὶς, τοῦ οὐδενός. B.T.C.V.

βελτίους] οὗτοι οἱ πεζέταιροι. C.P.

εἰ μὲν γάρ τις] τὸ σπάνιον ἐνέφηνε. B.R.S.T.C.P.

23, 8. φιλοτιμίᾳ] φιλοτιμία, ἡ ἀσύμμετρος δηλονότι, ἣ καὶ εἰς κενοδοξίαν ἐκπίπτει· ἑκάστῃ γὰρ ἀρετῇ δύο κακίαι παρέπονται, κατὰ ἔνδειαν καὶ πλεονασμόν. ἀκρασία δὲ ἀκοσμία, ἀταξία, παρὰ τὸ μὴ κεκαλύφθαι. διὰ δὲ τοῦ καθ' ἡμέραν διέβαλεν αὐτὸν ὡς μεθυστὴν καὶ τοῦτο βίον ἔχοντα. B.

φιλοτιμίᾳ πάντας] ἀντὶ τοῦ διὰ φιλοτιμίαν, ἣν αὐτὸς μόνος κεκτῆσθαι βούλεται. τί οὖν οὐκ ἐπαινετὸς, καθ' ὃ δόξης ὀρέγεται; εἰ μὲν συμμέτρου ὠρέγετο, ἐπαινετὸς ἂν ἦν· νῦν δὲ τῷ πλεονάζοντι εἰς κενοδοξίαν, ὥσπερ λέγομεν, ἐκπίπτει. ἑκάστῃ γὰρ ἀρετῇ δύο κακίαι παρέπονται, κατ' ἔνδειαν καὶ πλεονασμόν. T.C.V.

23, 10. αὖ τοῖς ἄλλοις] τοῖς ἄλλοις κακοῖς δηλονότι οἷς κέκτηται. T.C.

23, 11. ἢ δίκαιος ἄλλως] ὡς καὶ τοῦ σώφρονος δικαίου ὄντος τοῦτό φησι. R.S.

οἷον ἀπὸ φύσεως, ἵνα δείξῃ ὅτι ἀπὸ διδαχῆς οὐκ ἔστι παρὰ Μακεδόσι γενέσθαι σώφρονα. τρία δὲ σημαίνει παρὰ τοῖς παλαιοῖς τὸ ἄλλως· οἷον, τὸ κατὰ ἄλλον τρόπον, ἢ τὸ κατὰ φύσιν, ὡς ἐνταῦθα, ἢ τὸ μάτην. Πλατωνικῇ δὲ κέχρηται δόξῃ· φησὶ γὰρ ἐκεῖνος ἕπεσθαι τὰς ἀρετὰς ἀλλήλαις, ὥστε τὸν ὄντα σώφρονα καὶ δίκαιον εἶναι καὶ φρόνιμον καὶ ἀνδρεῖον. T.C.V.

ἄλλως] φύσει. καὶ Ὅμηρος "ὁ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως." σημαίνει καὶ τὸ κατ' ἄλλον τρόπον καὶ τὸ μάτην. B.

23, 12. ἀκρασίαν] ἀκοσμίαν τινὰ καὶ ἀταξίαν, παρὰ τὸ μὴ κεκρᾶσθαι. R.S.T.C.P.

1. τῶν γραμματικῶν] τῆς γραμματικῆς B.
2. κέκλιται] κέκληται V.
εἴ γε ἡ εὐθεῖα B.C. ἥ γε ἡ εὐθεῖα T. ἡ εὐθεῖα V.
ὁ B. τοῦ ceteri.
3. οὗτοι] αὐτοὶ C.
4. ἐνέφηνε] ἐμφαίνει P. In B. hoc scholion adscriptum verbis εἰ δέ τις σώφρων v. 11.
10. μόνος om. V.
12. μὲν] μὲν γὰρ P.
17. ὡς καὶ τοῦ—δικαίου] ὡς οὖν τοῦ—καὶ δικαίου S.
20. παρὰ om. codex Morelii.
25. Ὅμηρος] Il. I, 699.
26. ἄλλον] ἄλλων τὸν B. Correctum ex scholio præcedente.
27. τινὰ om. S. In R.P. hoc scholion sequitur post proximum,

τὴν καθ' ἡμέραν ἀκρασίαν] τὸ πᾶσιν ὑπάρχον τοῖς βασιλεῦσι τοῦτο ὡς Φιλίππου μόνου κατηγόρηκεν. τὸ γὰρ ἐν τρυφαῖς εἶναι καὶ πότοις κοινὸν τῶν βασιλέων· διόπερ οὐδὲ πίστεως ἐδεήθη πρὸς τοῦτο, ὡς τῶν ἀκροατῶν αὐτόθεν συγχωρούντων. ἀλλὰ καὶ ἰδιότητα προσῆψεν εἰπὼν τὴν καθ' ἡμέραν, ὡς τῶν μὲν ἄλλων, κἂν τοιούτοις προσ- 5 έχωσιν, οὐκ ἀεὶ τοῦτο ποιούντων, Φιλίππου δὲ καθ' ἡμέραν. S.

τὴν καθ' ἡμέραν ἀκρασίαν] οὐχ ἁπλῶς οὐδὲ τοῦτο, ἀλλ' ἵνα μή τις νομίσῃ ὡς τύραννον αὐτὸν τρυφᾶν, καὶ ἔν τισιν ἡμέραις καί τινας ἐπ' ἄριστον καλεῖν, διὰ τοῦ καθ' ἑκάστην ἡμέραν ταῦτα ποιεῖν, διέβαλεν αὐτὸν ὡς μέθυσον καὶ τοῦτο βίον ἔχοντα. H.R.T. 10 C.V.

23, 13. κορδακισμοὺς] κορδακισμὸς εἶδος ὀρχήσεως ἀπρεποῦς· τῶν γὰρ ὀρχήσεων ἡ μέν ἐστι πολεμικὴ, ὡς ἡ πυρρίχη, ἡ δὲ γελαστικὴ, ᾗ χρῶνται ἐν θεάτροις καὶ πότοις. H.R.S.V.

ὀρχήσεις. Ἄλλως. ἰστέον ὅτι κοινὸν μὲν ἦν τῆς τραγικῆς ὀρχή- 15 σεως εἶδος ἡ προσαγορευομένη ἐμμέλεια, τῆς δὲ σατυρικῆς ἡ σίκιννις, τῆς δὲ κωμικῆς ὁ κόρδαξ, τῆς δὲ πολεμικῆς ἡ πυρρίχη. B. τὰς μετὰ μέθης ὀρχήσεις. A.

23, 14. παρεῶσθαι] ἐπὶ μὲν τῶν ἀνδρείων τὸ ἐκβάλλειν, ἐπὶ δὲ τούτων τὸ παρεῶσθαι εἶπεν, οἱονεὶ καταπεφρονῆσθαι· καὶ ἐπὶ μὲν 20 τῶν ἀνδρείων τὸν φθόνον αἴτιον, ἐπὶ δὲ τῶν σωφρόνων τὸ μῖσος. H.R. S.T.C.V.

23, 15. λῃστὰς καὶ κόλακας] λῃστὰς, οἱονεὶ ἅρπαγάς τινας στρατιώτας. εἶτα ἐπειδὴ ἔμφασιν ἔχει τινὰ ἰσχύος τὸ τῶν λῃστῶν,

verbis τοῦτο βίον ἔχοντα finitum, ἀκρασίαν δὲ ἀκοσμίαν etc.

8. ὡς τύραννον αὐτὸν τρυφᾶν] *Ut tyrannum deliciari.* τρυφᾶν fere malim exponere, *fastum præ se ferre.* Quis vero is fastus est? hominem esse perpaucorum hominum, magni beneficii loco ducere, si quem ad prandium invitaret statis temporibus. WOLF.

9. τοῦ pr. T. et P. τὴν V. τὸ ceteri.

ταῦτα] τοῦτο C.

10. τοῦτο βίον ἔχοντα] Id est συζῶντα τῇ καθ' ἡμέραν ἀκρασίᾳ, ut interpretatur Wolfius.

12. κορδακισμὸς] ἐστιν add. V.

ἀπρεποῦς] αἰσχρᾶς καὶ ἀπρεποῦς V.

13. πυρρίχη] πυρρίχιος H.R.

14. ἐν om. V.

15. μὲν om. H.R.

19. ἐκβάλλειν] ἐκβαλεῖν C.

δὲ om. H.R.

20. καταπεφρονῆσθαι H.R. καταφρονεῖσθαι ceteri, quod ut gl. ad παρεῶσθαι adscriptum in B.

μὲν om. H.R.

22. τὸ om. T.C.V.

24. ἐπειδὴ δὲ B. qui om. præcedentia λῃστὰς οἱονεὶ—εἶτα, brevius scho-

εἴ γε λῃστεύουσι τοὺς πολεμίους, ἐπαγαγὼν τούτῳ τὸ κόλακας ἐταπείνωσεν αὐτό· ταπεινοὶ γὰρ τὸ φρόνημα οἱ κόλακες. B.T. C.V.

23, 17. ὀκνῶ] διὰ τὴν αἰσχρότητα. B.S.P.

23, 18. καὶ γὰρ οὓς ἐνθένδε] εἰς πίστιν τοῦ ἀπαγγείλαντος αὐτοὺς ὥσπερ βούλεται μάρτυρας Ἀθηναίους ποιήσασθαι ἐξ ὧν ἴσασιν. H.R.S.T.C.V.

23, 19. θαυματοποιῶν] θαυμαστὸν ἐργαζομένων. A.

Καλλίαν ἐκεῖνον τὸν δημόσιον] ὁ Ἀθηναίων δῆμος ἔθος εἶχεν ὠνεῖσθαι οἰκέτας γράμματα ἐπισταμένους· τοὺς δὲ εὐνοϊκῶς δουλεύοντας ἠλευθέρουν. ὁ δὲ Καλλίας, εἷς ὢν τῶν οἰκετῶν καὶ καταγνωσθεὶς, ἔφυγεν εἰς Μακεδονίαν καὶ διέτριβε παρὰ Φιλίππῳ. A.R.

ἰστέον ὅτι πληθυντικῶς εἰπὼν οὓς πάντες ἀπήλαυνον, ἕνα ἐπήγαγεν, ἐφ' ἑνὸς τὸ πλῆθος τῆς μαρτυρίας δειξάμενος. B.T.C.V. δημόσιον δέ φησιν, ἐπειδὴ δούλους εἶχον δημοσίους οἱ Ἀθηναῖοι ἀπὸ αἰχμαλώτων ποιήσαντες, καὶ ἐδίδασκον τούτους γράμματα, καὶ ἐξέπεμπον αὐτοὺς ἐν τοῖς πολέμοις μετὰ τῶν ταμιῶν καὶ τῶν στρατηγῶν, ἵνα ἀπογράφοιεν τὰ ἀναλισκόμενα. οὐκ ἀκαίρως δὲ τοῦτο ἐποίουν, ἀλλ' ἵνα, διὰ τοῦ δύνασθαι τύπτειν τούτους ὡς δούλους, ἔχωσι μανθάνειν τὸ ἀληθές· αἰσχρὸν γὰρ ἐνομίζετο παρὰ Ἀθηναίοις ἐλευθέρους τύπτειν. εἰ δὲ διὰ τῶν πληγῶν ἠλέγχθη ὁ στρατηγὸς καὶ ὁ ταμίας ψευδόμενος, ὡς δοῦλοι λοιπὸν καὶ αὐτοὶ κακῶς ἔπασχον. S. T.C.V.

lion habet ἐπειδὴ δὲ ἔμφασιν ἔχει ἡ λέξις, εἴ γε τοὺς πολεμίους λῃστεύουσι, διὰ τοῦ κόλακας ἐταπείνωσεν αὐτό· ταπεινοὶ γὰρ οὗτοι τὸ φρόνημα.

1. ἐπαγαγὼν—ἐταπείνωσεν] προσήγαγεν—ταπεινώσας C.

5. εἰς S. ταῦτα εἰς ceteri, in quibus lemma est δῆλον δ' ὅτι ταῦτ' ἐστίν.

αὐτοὺς S.V. αὐτοῦ H. αὐ R. cum compendio quo αὐτὸν significatur. Wolfius hæc sic correxit ταῦτα εἰς πίστιν τοῦ ἀπαγγείλαντος· αὐτοὺς γὰρ ὥσπερ βούλεται μάρτυρας—quo sensu ὥσπερ ante μάρτυρας collocavi debebat.

11. ὧν om. R.

14. ἰστέον ὅτι om. B.

15. δειξάμενος Wolfius. δεξάμενος B.V.

δημόσιον δέ φησιν] τὸν μέντοι καλλίαν δημόσιον φησὶν S. qui hoc scholion habet post scholion ad p. 23, 23.

20. τύπτειν τούτους] τούτους τύπτειν P.

22. τῶν πληγῶν] τῶν δούλων addit Wolfius, qui idem consequi poterat τῶν πληγέντων scribendo.

ἠλέγχθη] εὑρέθη codex Morelii.

BODLEIAN LIBRARY OXFORD

23, 20. μίμους γελοίων] ἀναγκαῖον τὸ τῆς προσθήκης· οὐχ ἅπασα γὰρ μίμησις γελοία τυγχάνει, ἀλλ' ἐστὶ καὶ σπουδαία. καὶ γὰρ ἡ τραγῳδία μίμησίς ἐστιν ἠθῶν καὶ παθῶν καὶ ἡ κωμῳδία μίμησις. καὶ τὰ Ὁμήρου παραπλησίως. R.S.T.C.V. καὶ αἰσχρῶν ἐπὶ τοῦ ᾀσμάτων προσέθηκεν· εἰσὶ γὰρ καὶ ἀγαθῶν ᾀσμάτων ποιηταί. 5 T.C.V.

23, 22. τούτους ἀγαπᾷ] κἀνταῦθα τὴν κοινότητα ἐξέφυγεν· ἐπειδὴ γὰρ καὶ οἱ ἄλλοι βασιλεῖς τοῖς τοιούτοις προσέχουσιν, ἀπὸ τῆς γνώμης τοῦ Φιλίππου διέβαλεν, ὅτι ἐκεῖνοι μὲν τοῖς μίμοις χρῶνται πρὸς τέρψιν, οὗτος δὲ ὡς σπουδαίους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει, 10 δηλονότι τὸ Εὐριπίδου κατηγορῶν αὐτοῦ,

τοιοῦτός ἐστιν οἷσπερ ᾤδεται ξυνών.

ἐπεὶ καὶ Σωκράτης παρὰ Ξενοφῶντι προσέσχε τοιούτοις θεάμασιν ἐν Συμποσίῳ, ἀλλ' ὁ μὲν ὡς φιλόσοφος ἐκ τῆς πείρας δοκιμάζων εἰ δεῖ χρῆσθαι τοιούτοις ἢ μὴ, Φίλιππος δὲ ὡς τεθαυμακὼς ἀγαπᾷ καὶ 15 περὶ αὐτὸν ἔχει. R.S. τὸ δὲ "καίτοι ταῦτα καὶ εἰ μικρά τις ἡγεῖ-"ται" φησὶ τὸ ἀντιπῖπτον ὑποτεμνόμενος· ἵνα γὰρ μή τις εἴπῃ, καὶ τί λυμαίνεται ταῦτα αὐτοῦ τὴν δύναμιν; ἐπάγει ὅτι δεῖγμα τῆς κακοδαιμονίας αὐτοῦ ἐστιν ὡς ὅτι ἔχει μηνιῶντας τοὺς θεούς· εἰκὸς

1. ἀναγκαῖον codex Morelii. ἀναγκαίως nostri omnes et V.
οὐχ ἅπασα γὰρ] οὐ γὰρ ἅπασα B.
2. γελοία] γελοῖόν τι S.
ἐστὶ] ἐστὶ μίμησις S.
καὶ γὰρ ἡ R.S. ἡ γὰρ ceteri, excepto B: nam hic post καὶ σπουδαία pergit, οἷα ἡ τῶν τραγῳδῶν ἢ τῶν κωμικῶν. διὰ τοῦτο προσέθηκε καὶ ἐπὶ τοῦ ᾀσμάτων τὸ αἰσχρῶν· εἰσὶ γὰρ— ποιηταί.
3. ἡ alterum om. S.
4. καὶ τὰ ὁμήρου παραπλησίως R.S. καὶ οἱ μῖμοι σώφρονες ceteri.
ἐπὶ τοῦ addidi ex scholio codicis B. Ultima verba εἰσὶ—ποιηταί habet etiam E.
8. τοῖς om. S.
9. τοῖς] ὡς S.
10. ὡς] τοὺς R.
αὐτὸν] αὐτὸν libri hic et infra.
11. Εὐριπίδου] Euripidis ex Phœnice versum sumsit ex Demosthene p. 417, 20.
12. οἷσπερ] ἕκαστος οἷσπερ R.S. ut libri nonnulli p. 417, 20.
14. Συμποσίῳ] cap. 2.
16. τὸ δὲ καίτοι—ὑποτεμνόμενος om. B.T.C.V.
ταῦτα] τοιαῦτα R.
17. φησὶ τὸ] φησὶν, omisso τὸ, S.
γὰρ om. B.T.C.V.
εἴπῃ B.R.S.C. εἴποι T.V.
18. τί om. B.
λ. ταῦτα αὐτοῦ R.S. ταῦτα αὐτοῦ λ. T.C.V. ταῦτα αὐτῷ λ. B., qui om. τὴν δύναμιν.
19. αὐτοῦ ἐστιν hoc loco R.S. ἐστιν αὐτοῦ ante τῆς κακοδαιμονίας ceteri.
ὡς ὅτι] Vid. annot. ad schol. ad p. 11, 20.

γὰρ τοὺς μίμους καὶ εἰς τοὺς κρείττονας ἀποσκώπτειν. B.R.S.T. C.V.

23, 26. τοῖς εὖ φρονοῦσιν] σωφροσύνης Ἀθηναίων ἔμφασιν ἔχει ἡ λέξις. B. τοῦτο διὰ τὸν δῆμον· οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων ἥδονται τοιούτοις θεάμασιν, ὁ δὲ φιλόσοφος καὶ πεπαιδευμένος οὐδαμοῦ. R.S.

ἀλλ' οἶμαι νῦν μὲν ἐπισκοτεῖ] λύσις ἀντιπίπτοντος· πῶς οὖν εἰ κακοδαίμων ἐστὶ καὶ ἀσελγής, οὐ γίγνεται κατάδηλος; ὅτι συγκρύπτουσιν αὐτὸν αἱ περὶ τοὺς πολέμους εὐπραγίαι. H.R.S. ἀντέπιπτεν αὐτῷ· καὶ πῶς οὖν αὐτὸς ἀντέχει καὶ σώζει τὴν δύναμιν, εἰ κακοδαίμων ἐστίν; ἐπάγει ὅτι τέως νῦν εὐτυχεῖ· ἐὰν δὲ περιπέσῃ τινὶ ἀτυχίᾳ, εὐθέως ταῦτα πάντα ἐλέγχεται. εἶτα, ἵνα μὴ πάλιν φοβήσῃ εὐτυχῆ λέγων, εὐθὺς ἐπάγει, οὐκ εἰς μακρὰν εὐτυχήσει, ἂν ὑμεῖς βούλησθε. ὥστε εἰ δεῖ τἀληθὲς εἰπεῖν, χορηγία τῆς ἐκείνου εὐτυχίας ἡ ὑμετέρα ῥαθυμία γίνεται. T.C.V.

23, 27. συγκρύψαι] ἀντὶ τοῦ συσκιάσαι. B.

23, 29. ἐξετασθήσεται] ἐλεγχθήσεται. P.

24, 1. δείξειν] ἐλέγξειν. S. ἔλεγχον δώσειν. P.

24, 2. ἂν οἵ τε θεοὶ θέλωσι] χρῄζουσι γὰρ αἱ πράξεις καὶ εὐτυχίας καὶ κατορθούντων ἀνδρῶν. H.R.S.T.C.V.

24, 6. κἂν ῥῆγμα, κἂν στρέμμα] ῥῆγμα μὲν οἱ ἰατροί φασιν ἀγγείου τινὸς ῥῆξιν, οἷον φλεβὸς, ἢ ἀρτηρίας, στρέμμα δὲ ἄρθρου

1. ἀποσκώπτειν] Pergit S. τὸν μέντοι καλλίαν etc. ut dixi in annot. ad p. 99, 15.

3. σωφροσύνης—λέξις] σωφροσύνης παρὰ ἀθηναίων ἔμφασιν ἔχειν λέγουσι T.C.

7. ἐπισκοτεῖ] In B. adscriptum ἐπισκοτεῖν τὸ ἐπικεῖσθαί τινι καὶ τειχίζειν τὸ φῶς σὺν τῇ δοτικῇ. quæ ex Suida illata sunt ab recentissimo aliquo grammatico, ut alia multa in hoc codice.

λύσις ἀντιπίπτοντος] ἀντιπίπτον δὲ λύει S.

οὖν om. H.R.

εἰ κακοδαίμων ἐστὶ καὶ ἀσελγὴς] εἰ ἀσελγής ἐστιν H.R.

8. γίγνεται] γίνεται H.R.

10. αὐτὸς Wolfius. αὐτῷ T.C.V. αὐτοῦ codex Morelii.

12. ἀτυχίᾳ] εὐτυχίᾳ V.

ἐλέγχεται] ἐλεγχθήσεται Wolfius.

13. εὐτυχήσει] ἀτυχήσει T.C.

15. γίνεται] ἐστὶν codex Morelii.

20. καὶ om. H.R.

κατορθούντων] κατορθωμάτων T.C.V.

21. ἰατροί] ἰατρικοί S.

22. ἀγγείου] αἰτίου S. Brevius scholion in A. ῥῆγμα λέγεται ἡ τοῦ νεύρου διάτασις, στρέμμα δὲ ὀστέου μετάστασις. et in B. ῥῆγμα, νεύρου διάστασις (sic), στρέμμα, ὀστέου παράβασις.

παράβασιν· τινὲς δὲ ῥῆγμα μὲν νεύρου διάτασιν, στρέμμα δὲ ὀστέου μετάστασιν. H.R.S.T.C.V.

καὶ τῶν πόλεων] λείπει ἡ περί, ἵνα ᾖ, οὕτω καὶ περὶ τῶν πόλεων καὶ τῶν τυράννων. T.C.P.

24, 8. ἂν ἔξω πολεμῶσιν] δῆλον γὰρ ὡς εἰ μὴ ἴσχυον, οὐκ ἂν ὑπερορίους ἐποιοῦντο τοὺς πολέμους. S.T.C.

24, 9. ἐπειδὰν δὲ ὅμορος] οὐκ εἶπεν, ἐπειδὰν δὲ ἡττηθῶσιν ἐν τοῖς πολέμοις, ἵνα μὴ τὸ ἐργῶδες ἐμφήνῃ τοῦ πράγματος· ἀλλ' ἐξαρκεῖ καὶ γείτονα μόνον κινηθῆναι πόλεμον, αἰνιττόμενος τὸν τῶν Ὀλυνθίων. H.R.S.

24, 10. εἰ σέ τις ὑμῶν] ἀνθυποφορὰ τὸ σχῆμα. B.T.C.P. πληρώσας τὰ πρότερα μέρη τοῦ δυνατοῦ μεταβέβηκεν ἐπὶ τρίτον τὸ τῆς τύχης. ἡ μὲν γὰρ πρώτη καὶ καθολικὴ "φοβερὸς Φίλιππος" ἔδειξεν ὅτι οὐ φοβερὸς ἐξ ἀδικίας ηὐξημένος. ἡ δὲ δευτέρα καὶ μερικὴ "ὅτι βίᾳ καθέξει τὰ πράγματα·" ἔδειξεν ὅτι οὐ καθέξει, μισούντων αὐτὸν καὶ ὑπηκόων καὶ συμμάχων καὶ ξένων, ἄλλως τε καὶ αὐτὸς ὢν μεθυστὴς καὶ ἀσελγής· ἡ δὲ τρίτη καὶ τελευταία "ἀλλ' εὐτυχὴς ὁ "Φίλιππος, ὥστε κἂν μὴ σφόδρα εὔνους ἔχῃ τοὺς συναγωνιζομέ-"νους, κατορθοῖ διὰ τῆς τύχης·" ὥστε εἶναι τὰς δύο τὰς τελευταίας μέρη τῆς πρώτης καὶ καθολικῆς. B.R.S.T.C.V. δόξειε δ' ἂν ἐναντίον εἶναι τῷ λέγειν ὅτι ἐπίορκος καὶ ἄπιστος ὁ Φίλιππος τὸ δεικνύειν τὴν τύχην αὐτῷ συναγωνιζομένην. ῥητέον δὲ ὅτι πλείους οἷδε τύχας ὁ Δημοσθένης, καὶ τὴν μὲν ἄλογον, οἵαν τῷ Φιλίππῳ δίδωσι· τὴν δὲ παρὰ τῶν κρειττόνων καὶ κατὰ λόγον, οἵαν ὑπάρχειν τῇ πόλει μαρ-

1. τινὲς δὲ H.R.S. ἢ V.
διάτασιν] διάστασιν V.
2. μετάστασιν] παράβασιν S.
3. περὶ] περὶ πρόθεσις P.
11. τὸ σχῆμα om. B.
12. τοῦ δυνατοῦ] τῆς δυνάμεως B.
μεταβέβηκεν] μετέβη codex Morelii. In B. μεταβέβηκεν ἐπὶ τὰ δεύτερα . . . . ἡ δὲ δευτέρα μερικὴ—cum quattuor versuum lacuna inter δευτέρα et ἡ δέ.
ἐπὶ τρίτον τὸ τῆς τύχης R.S. ἐπὶ τρίτον ἐπὶ τύχης T.C.V. ἐπὶ τὸ τρίτον τὸ περὶ τῆς τύχης Wolfius: quo non opus.
13. ἡ μὲν γὰρ] ἔστι γὰρ ἡ μὲν T. C.V.
καθολικὴ] Addendum censeo ἀντίθεσις, et tamen etiam sic constructio satis turbata erit, nisi aut addas ἔδειξεν οὖν, aut initio periodi legas, ἐπεὶ γάρ ἐστιν ἡ μὲν πρώτη. WOLF. Fallitur.
14. ἔδειξεν om. C.: habet T.
16. αὐτὸν T.C.V. αὐτῶν ceteri.
18. ὥστε κἂν—τύχης om. B.: a m. rec. addita habet E.
εὔνους ἔχῃ (ἔχει pr. S.) R.S. ἔχῃ εὔνους ceteri.
20. καὶ addidit Sauppius.

τυρεῖ, καὶ τὴν μὲν μείζω, τὴν δὲ ἐλάττω. ὥστε κἀνταῦθα προτιμότερον εἶναί φησι τὴν Ἀθηναίων τύχην τῆς Φιλίππου τύχης. R.S.

24, 12. σώφρονος μὲν ἀνθρώπου] ἐμήκυνε τὴν ἀντίθεσιν καὶ τὸν προσκομίσαντα αὐτὴν ἐπῄνεσε σώφρονα προσειπών, τουτέστι φρόνιμον. καὶ μεγάλη γὰρ ῥοπὴ καὶ τὸ ὅλον. ὥσπερ οὖν ἀγωνιζόμενός 5 ἐστι τῷ κομίσαντι τὴν ἀντίθεσιν. τίς οὖν ἡ πρόφασις; εἴωθεν ὁ Δημοσθένης, ἔνθα ἂν ἀπορῇ λύσεως πρὸς ἀντίθεσιν, μὴ ψιλὴν αὐτὴν τιθέναι, ἀλλὰ κατ' ὀλίγον πλατύνειν, ἕως ἂν λάθῃ τοιοῦτόν τι προσθεὶς, ἐξ οὗ λήψεται τὴν ἀφορμὴν τῆς λύσεως· ὃ δὴ κἀνταῦθα πεποίηκεν. ἦν γὰρ ἡ μὲν ἀντίθεσις "εὐτυχὴς ὁ Φίλιππος·" οὐκ ἔχων δὲ 10 λῦσαι ταύτην, κατ' ὀλίγον πλατύνων ἀπὸ τῆς Φιλίππου τύχης αὐτοὺς ἐπὶ τὴν κοινὴν τῶν ἀνθρώπων μετέστησεν εἰπών, τὸ ὅλον ἡ τύχη παρὰ πάντα ἐστίν· σκοπεῖτε δὲ καὶ τὴν τῆς πόλεως τύχην. B.H. R.S.T.C.V.

24, 14. ἡ τύχη] τὸ σχῆμα καλεῖται τόπου ἐμβολὴ ἐξ ὀνόματος 15 ἀντὶ τοῦ πράγματος. B.R.S.T.C.

παρὰ] ἀντὶ τοῦ κατά ἢ τοῦ εἰς. τὸ δὲ λεγόμενον, ἐξουσίαν ἔχει ἡ τύχη πάντων τῶν ἀνθρωπίνων πραγμάτων. H.S.

24, 17. ἐθελόντων] τοῦτό φησιν, ἵνα μὴ θαρρήσαντες τῇ τύχῃ τῶν πρακτέων ἀμελήσωσι. S. 20

24, 18. κατὰ μικρὸν] μικρὸν ἀπαιτεῖ, ἵνα μὴ εἴπωσιν οὐδὲν ὄφελος τύχης, εἰ μέλλοιμεν πονεῖν. H.R.

πολὺ γὰρ πλείους] ὥσπερ ἀπὸ Πλατωνικῆς ὁρμώμενος διατριβῆς ἐνταῦθα φιλοσοφεῖ λέγων ταῖς ἀρεταῖς καὶ τὰ τῆς τύχης ἀκολουθεῖν. S.T.C.V. ὅτι Πλάτων φησὶ τὰς ἀρετὰς ἀλλήλαις ἕπεσθαι, ὥστε τὸν 25

3. ἐμήκυνε] εἰς τὸ αὐτό præscriptum in S.

4. προσκομίσαντα] προκομίσαντα H.
ἐπῄνεσε] ἐποίησε V.
σώφρονα προσειπὼν—τὴν ἀντίθεσιν addidi ex H.R.S.

8. λάθῃ] λάθοι H.C.
προσθεὶς] προστιθεὶς codex Morelii.

10. ἔχων—πλατύνων] ἔχει—πλατύνει H.

11. αὐτοὺς] αὐτῆς V.

12. εἰπὼν τὸ—τύχῃ addidi ex R. S. In B. post μετέστησεν sequitur ὅτι Πλάτων φησὶ τὰς ἀρετὰς etc. quæ spectant ad p. 24, 18.

15. καλεῖται om. B.
τόπου ἐμβολὴ] τοῦτο παρεμβολὴ B.

16. ἀντὶ τοῦ πράγματος om. B.S. T.C. Totum scholion sic scriptum in P. τὸ σχῆμα τοῦ τόπου ἐπεμβολὴ ἐξ ὀνόματος, ὅταν ἀπὸ λέξεώς τινος ἐμβαλομένης τὸ ἐπιχείρημα τίκτεται. et proximum, παρὰ πάντ'] ἀντὶ τοῦ πάντων τῶν ἀνθρωπίνων πραγμάτων τὴν ἐξουσίαν ἔχει.

21. μικρὸν] μικρὰν H.R.

24. καὶ om. S.

ὄντα σώφρονα καὶ δίκαιον εἶναι καὶ φρόνιμον καὶ ἀνδρεῖον· ὁ δὲ αὐτός φησι καὶ ταῖς ἀρεταῖς τὰ τῆς τύχης ἀκολουθεῖν. B.

πολὺ γὰρ πλείους] ἀντιπῖπτον ἔλυσε "πόθεν ὅτι εὐτυχεῖς ἐσμέν;" ὅτι περὶ τοὺς θεοὺς εὐσεβοῦντες εὔνους ἔχετε τοὺς κρείττους. κἀνταῦθα μὲν συνάπτει τοὺς θεοὺς καὶ τὴν τύχην, ἐπὶ δὲ τοῦ Φιλίππου διίστησι. R.S.

24, 20. οἶμαι] παρέλκον τὸ οἶμαι. S. ἕτερον ἀντιπῖπτον "πῶς "οὖν οὐδὲν ὠφελούμεθα παρὰ τῆς τύχης;" ὅπου ἀργοῦντες οὐκ ἀπολαύομεν τῶν παρ' ἐκείνης ἐνδιδομένων. οἱ μὲν γὰρ θεοὶ τοὺς καιροὺς παρέχουσιν, ἡμεῖς δὲ τούτοις μὴ χρώμενοι οὐ δεχόμεθα τῆς εὐνοίας τῆς παρ' αὐτῶν αἴσθησιν. R.S.

24, 21. οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντα] ἐπιχείρημα ἀπὸ τοῦ ἥττονος. P. διττὴ ἡ ἐξήγησις· ἡ γὰρ καθολική ἐστιν οὕτως "οὐκ ἔνι δ' αὖ," ἵν' ᾖ τὸ αὖ σύνδεσμος ἀντὶ τοῦ δή· εἶτα "τὸν ἀργοῦντα" καθολικῶς· ἢ "οὐκ ἔνι δ' αὐτὸν, τὸν ἄνθρωπον, ἀργοῦντα." S.T.C.V.

24, 27. τοὐναντίον γὰρ ἦν θαυμαστὸν] σχῆμα ἐναντίον, ὅ ἐστι δριμύτης νοήματος ἀπὸ τῆς ἐργασίας λαμβανομένη. B.R.S.T. C.P.

25, 1. Λακεδαιμονίοις μέν ποτε] τὸν πόλεμον λέγει τὸν ὑπὲρ τῶν Θηβαίων, ὅτε Λακεδαιμόνιοι τὴν Καδμείαν κατέλαβον. H.R. S.T.C.V.

25, 2. ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων] Ξενοφῶν φησιν· ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ὁρῶντες οἱ Λακεδαιμόνιοι τοὺς Ἕλληνας ἀδικουμένους ὑπὸ τῆς ἀρχῆς τῶν Ἀθηναίων ὑπέσχοντο αὐτοῖς ἐλευθε-

6. In B. est scholion ἀφορμὰς] αἰτίας. καὶ δείκνυσιν ὅτι ἐσμὲν εὐσεβεῖς, καὶ δείκνυσι παρὰ τῶν θεῶν. τὸ δὲ οἶμαι παρέλκον.

8. ὅπου] Scrib. videtur ὅτι.

9. θεοὶ—χρώμενοι] θεοὶ τὰς ἀρχ... (i. e. ἀρχὰς) παρέχουσι καὶ τοὺς καιροὺς, ἡμεῖς δὲ μὴ χρώμενοι τοῖς καιροῖς S.

13. οὕτως] οἷον V.

14. καθολικῶς] καθολικόν S.

15. In R. brevius, διττῶς λέγεται· ἢ γὰρ οὐκ ἔνι δ' αὖ ἀντὶ τοῦ δή· ἢ οὐκ ἔνι δ' αὐτὸν τὸν ἄνθρωπον.

16. σχῆμα] σημείωσαι, σχῆμα B.

17. νοήματος] νοημάτων R.

λαμβανομένη] ἐμβαλλομένη T. C. Præterea in S. est gl. ἐργασία ἀπὸ τοῦ ἐναντίου. A quibus verbis incipit scholion in H. ἑ. ἀ. τ. ἐ. ὅ ἐστι δριμύτης—λαμβανομένη.

19. λέγει post Θηβαίων R.

20. κατέλαβον] ἔλαβον R.

22. Ξενοφῶν φησιν addidi ex R.S.

ἐν] ἐν γὰρ V. ubi hoc scholion cohæret cum præcedente.

24. τῆς ἀρχῆς om. H.T.C.V.

ἐλευθερίαν] ἐλευθερίαν εἰ (μὴ addit codex Morelii) μετασταῖεν πρὸς αὐτοὺς T.C.V.

ρίαν, καὶ τούτῳ τῷ λόγῳ χρησάμενοι ἠδυνήθησαν κατὰ μικρὸν μεταστῆσαι πρὸς αὐτοὺς τοὺς Ἕλληνας· ὡς δὲ κατώρθωσαν τὸν Πελοποννησιακὸν πόλεμον, ὕστερον καὶ αὐτοὶ χειρόνως ἤπερ οἱ Ἀθηναῖοι ἠδίκουν τοὺς Ἕλληνας· εἶτα ἀγανακτήσαντες ὑπὲρ τούτου Ἀθηναῖοι ἐξήνεγκαν ὑπὲρ τῶν ἀδικουμένων πόλεμον πρὸς Λακεδαιμονίους· καὶ ἐκ τούτου τῆς προσηγορίας ἔτυχεν ὁ πόλεμος ὁ ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων. B.H.R.S.T.C.V.

25, 3. καὶ πολλὰ ἰδίᾳ] ἵνα λαμβάνοντες χρήματα παρὰ Λακεδαιμονίων συγχωρήσωσιν αὐτοῖς ἀδικεῖν ἀδεῶς τοὺς Ἕλληνας. T.C.V.

πλεονεκτῆσαι] κατὰ μόνας κερδῆσαι. B.H. ἐπὶ τὰ μὴ δίκαια ἀνέδραμε σημαίνων τὰ κατὰ τὸν Μαρδόνιον καὶ ὅσα τοῖς Ἀθηναίοις ὑπισχνεῖτο. S.

25, 6. προεκινδυνεύετε] ὅ ἐστι πρὸ αὐτῶν καὶ ὑπὲρ αὐτῶν τῶν Ἑλλήνων ἐκινδυνεύετε. P. ἀντήρατε. C.

25, 7. ὑπὲρ τῶν ὑμετέρων] οὐ γὰρ βούλεται τὸν πόλεμον εἶναι δοκεῖν ὑπὲρ τῶν Ὀλυνθίων, ἀλλ' ὑπὲρ τῶν Ἀθηναίων ὡς μελλόντων αὐτῶν ὑποχείριον λαμβάνειν τὴν Θρᾴκην. S.

25, 9. πολλάκις πάντας καθ' ἕνα] μονονουχὶ ἰσόθεον δύναμιν τῇ πόλει μεμαρτύρηκεν, εἰπὼν καὶ καθ' ἕνα πολλάκις ἔσωσε τοὺς Ἕλληνες. H.R.S. οὐ λέγει καθ' ἕκαστον τῶν Ἑλλήνων, ἀλλὰ κατὰ ἔθνη καὶ κατὰ γένη. R.T.C.V.

25, 11. καὶ ἔτι πρὸς τούτοις] κατὰ κοινοῦ τὸ θαυμάζω. T. C.P.

25, 12. πολεμεῖτε] ἀντὶ τοῦ διαφέρεσθε. S.

25, 13. χρόνον Φιλίππῳ] ὥσπερ ὑπομιμνήσκει αὐτοὺς τοῦ χρό-

1. χρησάμενοι om. H.T.C.V.
ἠδυνήθησαν—ὡς δὲ] ἠδυνήθησαν (ἐδ— V.) αὐτοὺς ἀποστῆσαι. ὡς οὖν T.C.V.
2. κατώρθωσαν] B.R.S. κατορθώσαντες ceteri.
Πελοποννησιακὸν addidi ex B.R.S.
3. χειρόνως—Ἀθηναῖοι B.R.S. χειρόνως ἠδίκουν τοὺς Ἕλληνας, ἀγανακτήσαντες ὑπὲρ τούτων οἱ Ἀθηναῖοι ceteri.
4. ὑπὲρ—ὑπὲρ] ἐκ—ἐκ B.
6. τῆς προσηγορίας ἔτυχεν] ἐκλήθη T. C.V.
ὁ πόλεμος om. B.R.S.
ὑπὲρ] ἐκ B.
19. μεμαρτύρηκεν—Ἕλληνας] μαρτυρεῖ. πάντας καὶ καλῶς. ἕνα πολλάκις δέδωκε (hoc est σέσωκε) τοὺς ἕλληνας H.
20. καθ' ἕκαστον T.C. καθ' ἕνα ἕκαστον V. ἕνα ἕκαστον R.
τῶν ἑλλήνων R. ἄνδρα ceteri.
25. ὥσπερ om. R.P.
ὑπομιμνήσκει] ὑπομιμνήσκει δ' P.
αὐτοὺς] αὐτοῖς P. τούτους R. τούτοις B.

νου, ὡς δὴ καὶ τούτου λήθην παθόντας διὰ τὴν πολλὴν ῥᾳθυμίαν. B. R.S.T.C.P.

25, 15. ἑτέρους τινὰς] οἷον τοὺς ξένους καὶ Χάρητα καὶ Χαρίδημον. B.S.T.C.P.

25, 16. αἰτιωμένων] οἱ γὰρ στρατηγοὶ τὸν δῆμον ᾐτιῶντο μὴ διδόντα τὰ χρήματα, ὁ δὲ δῆμος ἐκείνους ὡς ἀμελοῦντας κατὰ τοὺς πολέμους. H.R.S.

ἀλλήλους] εἰς τοὺς ῥήτορας αἰνίττεται. T.C.

κρινόντων] τοῦτο εἰς Χάρητα. ἵνα δὲ μὴ δοκῇ ἀπολογεῖσθαι ὑπὲρ αὐτοῦ, τῷ κοινῷ καλύπτει τὴν ὑποψίαν. μεταπεμπόμενοι γὰρ τοὺς στρατηγοὺς εἰς κρίσιν καθιστᾶσι. B.S.T.C.V.

πάλιν ἐλπιζόντων] οἱ γὰρ στρατηγοὶ κρινόμενοι καθυπισχνοῦντο τοῖς Ἀθηναίοις, ἐὰν ἀφεθῶσι, τάσδε καὶ τάσδε τὰς νήσους αὐτοῖς προσκτήσασθαι καὶ τᾶδε καὶ τᾶδε κατορθῶσαι. H.R.S.T.C.V.

ὅ ἐστι δεῖγμα τῆς ῥᾳθυμίας. C.

25, 18. εἶθ' οὕτως] τραχύτητος τὸ σχῆμα μᾶλλον ἢ ἀκμῆς ἡ ἔννοια· μακρὰ γὰρ τὰ κῶλα. B.

ἀγνωμόνως] νυνὶ ἀβούλως, ἀνοήτως. S.

ἀγνωμόνως ἔχετε] ἀγνώμονας, τοὺς ἀνοήτους, κατὰ στέρησιν τῆς γνώμης, οὐχ ὡς νῦν τοὺς ἀχαρίστους. B. ἀγνώμονας λέγει τοὺς ἀνοήτους, κατὰ στέρησιν τῆς γνώμης· οὐχ ὥσπερ νῦν ἀγνώμονας καλοῦμεν τοὺς μὴ ἀποδιδόντας τὰ χρέα, ἤγουν τὰς ἀμοιβάς. T.C.V.

25, 19. δι' ὧν] διὰ τῆς ῥᾳθυμίας. P.

25, 24. νυνὶ δὲ ὅτι μὲν φυλάξομεν] ἀντιπῖπτον ἔλυσεν, ὅτι ξενικοῖς χρησόμεθα στρατοπέδοις. ὁ δὲ τί φησιν; εἰ μὲν εἴχομέν τι

1. παθόντας] λαβόντας C., non T.
3. οἷον τοὺς ξένους καὶ om. B.
Χαρίδημον] λέγει add. B.
5. ᾐτιῶντο] αἰτιῶνται H.R.
9. τοῦτο—ὑποψίαν om. S.
Χάρητα] Vide argumentum orationis Isocratis de pace. WOLF.
10. μεταπεμπόμενοι] μὴ πεμπόμενοι B.
11. καθιστᾶσι] καθίστων B. καθίστασαν Wolfius.
12. γὰρ om. T.C.V.
κρινόμενοι] ἀποφυγεῖν βουλόμενοι add. T.C.V.
καθυπισχνοῦντο (—ται H.R.) τοῖς ἀθηναίοις] πάλιν αὐτοῖς ἐπηγγέλλοντο T.C.V.
13. ἐὰν ἀφεθῶσι om. H.T.C.V.
14. Addidi alterum καὶ τάδε cum Wolfio.
κατορθῶσαι] κατορθώσειν T.C.V., recte, si etiam προσκτήσεσθαι scribatur.
22. χρέα T.C. χρέη V.

φυλάξαι, καλῶς τοὺς ξένους ἐπέμπομεν· ἐπὶ τοῦτο γὰρ ἀπέστελλον τοὺς ξένους· εἰ δὲ κτήσασθαι δεῖ, πρόδηλον ὅτι τὸν δῆμον εἶναι δεῖ τὸν στρατευόμενον. B.H.R.S.T.C.V.

25, 27. φημὶ δὴ δεῖν] ἐντεῦθεν ἐπὶ τοὺς ἐπιλόγους μετελήλυθεν, ἐν σχήματι ἀνακεφαλαιώσεως τὴν εἰσβολὴν ποιησάμενος. τινὲς δέ φασιν ὅτι ἕως ὧδε ἐπλήρωσε τὸ δυνατὸν κεφάλαιον, εἶτα ἐπὶ τὸ συμφέρον ἔρχεται. B.T.C.V. καθαρῶς ἐντεῦθεν ἐπὶ τοὺς ἐπιλόγους μετελήλυθεν ἐν σχήματι ἀνακεφαλαιώσεως τὴν εἰσβολὴν ποιησάμενος. ἐσχημάτισται δὲ αὐτῷ περὶ τῶν θεωρικῶν ὁ ἐπίλογος. ἐπειδὴ γὰρ ἐν τῷ προτέρῳ λόγῳ φανερῶς εἰπόντος αὐτοῦ θόρυβος γίγνεται κατὰ τὴν πόλιν, οὔτε παντελῶς ἐσιώπησε φοβηθεὶς οὔτε φανερῶς εἰσήγαγεν, ἀλλὰ σχήματι τὴν εἰσήγησιν ἔκρυψε "φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα·" φοβούμενοι γὰρ τὸ οἴκοθεν εἰσφέρειν ἀποστήσονται. H.R.S.

25, 28. μηδένα αἰτιᾶσθαι] διαβαλλόντων γὰρ τῶν ῥητόρων τοὺς στρατηγοὺς, μετεπέμποντο αὐτοὺς ἐπὶ κρίσιν, καὶ τούτων ἀναχωρησάντων ἔρημα διεφθείρετο τὰ πράγματα. H.R.S.

26, 1. τοὺς μὲν ἀξίους] οὔτε ἀπολογεῖται παντελῶς ὑπὲρ τῶν στρατηγῶν, οὔτε κατηγορεῖ, καθάπερ ὁ νομοθέτης ὁρίζει τι ποιεῖν. R.S.

26, 2. τὰς προφάσεις] πάλιν ἐσχηματισμένως ὑπὲρ τῶν θεωρικῶν. οἱ γὰρ στρατηγοὶ προφάσεις ἐποιοῦντο τῆς ἀπολογίας τὸ μὴ λαμβάνειν χρήματα. ἐλλείμματα δὲ αὐτὰ καλεῖ τὰ χρήματα· ὀλίγα γὰρ, φησὶν, εἰς μισθὸν διδόντες τοῖς στρατιώταις τὰ ὑπόλοιπα τοῦ τελείου μισθοῦ εἰς τὰ θεωρικὰ κατέχετε. B.H.R.S.T.C.V.

1. ἐπέμπομεν] παρεπέμπομεν H. ἐξεπέμπομεν codex Morelii.
τοῦτο] τούτῳ S. τούτων H.
2. δὲ om. B.
κτήσασθαι] προσκτήσασθαι C.
τὸν om. B.
5. τινὲς B. τί T.C.V.
6. ὅτι om. T.C.V.
ἐπλήρωσε B. πληρώσαντες T.C.V. πληρώσαντα P.
δυνατὸν—ἔρχεται B. δυνατὸν ἐπὶ τὸ συμφέρον μετέρχεσθαι T.C.V.
19. καθάπερ] καθὼς R.
21. πάλιν—θεωρικῶν om. B.T.C.V.
23. λαμβάνειν] ἀπ' αὐτῶν add. codex Morelii.
ἐλλείμματα—χρήματα om. B.
24. τὰ ὑπόλοιπα—εἰς] τὰ λοιπὰ εἰς B.
25. εἰς τὰ (τὰ om. R.S.) θεωρικὰ] εἰς θεωρικὴν T.C.V.
κατέχετε] κατέχεται pr. T.

26, 3. ἐλλείμματα] τὰ ὑστερήματα. P.

πικρῶς] ἀντὶ τοῦ δικαίως· πικρὸν γὰρ τοῖς ἀδικοῦσι τὸ δίκαιον φαίνεται. S.T.C.V.

26, 5. τὰ δέοντα] ταῦτα δέ ἐστι τὸ συνεμπορεῖν χρήματα τοῖς στρατηγοῖς. S. 5

26, 6. τοῦτον μὲν] ὃν ἔχομεν πρὸς τὸν Φίλιππον. S.T.C.

26, 7. ἰδίους] ἰδίους λέγει οὓς αὐτοὶ ἰδίως ποιοῦνται ἐκτὸς τῆς πόλεως. αἰνίττεται δὲ ἴσως εἰς Χάρητα. S.T.C.V.

26, 8. εἰ δεῖ τι τῶν ὄντων—εἰπεῖν] δικαιοσύνην ἑαυτῷ προσεμαρτύρησεν ὅτι οὐ πρὸς χάριν λέγει οὐδὲ πρὸς μισθὸν ὥσπερ οἱ ἄλλοι 10 ῥήτορες οἱ τοῖς στρατηγοῖς συναγορεύοντες. εἰ γὰρ τἀληθὲς περὶ αὐτῶν ἐρεῖ, πρόδηλον ὅτι οὐ πρὸς χάριν οὐδὲ διὰ μισθὸν ταῦτα ψευδῆ, ὡς οἱ μισθοῦ συναγορεύοντες. αἰνίττεται δὲ τὸν Εὔβουλον καὶ τὸν Ἀριστοφῶντα. R.S.

26, 18. ὅταν δὲ δόντες λόγον] ὅτι χρήματα μὴ λαμβάνοντες οὐ 15 δύνανται ὑπὲρ τῆς πόλεως πολεμεῖν. οὐκοῦν καὶ ἐνταῦθα περὶ τῶν θεωρικῶν. H.R.S.T.C.V.

26, 19. περίεστι] ἐκ περιουσίας ἐστί. P.

26, 20. διεστάναι] διακεχωρίσθαι καὶ διχονοεῖν. P.

26, 21. πρότερον μὲν γὰρ] δέκα οὐσῶν φυλῶν παρὰ τοῖς Ἀθη- 20 ναίοις καὶ εἰς δέκα ὥσπερ μεμερισμένης τῆς πόλεως, ἀνάγκην εἶχεν ὥσπερ ἑκάστη φυλὴ ἀπὸ πάσης προβάλλεσθαι τοὺς πλουσιωτέρους αὐτῆς, ἑκατὸν εἴκοσι ἄνδρας τοὺς λειτουργοῦντας ὑπὲρ αὐτῆς τῇ πόλει. εἶτα οἱ ἑκατὸν εἴκοσι οὗτοι ἐμέριζον ἑαυτοὺς εἰς δύο μερίδας· ἵνα ἑξήκοντα αὐτῶν ἄνδρες ἔσονται οἱ πάνυ πλούσιοι, οἱ δὲ ἄλλοι 25 ἑξήκοντα ἧττον πλούσιοι. ἐποίουν δὲ τοῦτο, ἵνα μὴ ἐξαίφνης πόλεμος

2. Gl. ἤγουν δικαίως est in B.

3. φαίνεται S. καταφαίνεται ceteri.

7. ἰδίους (ἴδιον T.C. licet sequatur οὓς) λέγει om. S. In B. scholion brevius οὓς ἐκτὸς τῆς π. ἐποίουν. αἰνίττεται etc.

ἰδίως S.C. ἰδίους ceteri.

9. ἑαυτῷ] αὐτοῖς R.

προσεμαρτύρησεν ὅτι] προσεμαρτύρησε καὶ S.

10. οὐδὲ] οὐ R.S.

12. διὰ] διὰ τὸν S.

19. διχονοεῖν] Hoc gl. in B.

22. πλουσιωτέρους] πλουσιωτάτους C.

23. τῇ πόλει Wolfius. τῆς πόλεως libri.

24. ἐμέριζον C. et corr. T. ἐμερίζοντο vulgo.

25. ἔσονται] ἔσωνται Wolfius.

26. μὴ] μὴ, ἐὰν Wolfius.

αὐτοὺς ἐπείξῃ καὶ τύχῃ πρὸς τὸ παρὸν μὴ ἔχειν χρήματα τοὺς ἧττον πλουσίους. εἰσέφερον γὰρ οἱ πλουσιώτεροι ὑπὲρ αὐτῶν καὶ προετέλουν, καὶ ἐδέχοντο ταῦτα ὕστερον κατὰ σχολήν. ἐλέγετο δὲ τὸ σύστημα αὐτῶν, τῶν ἑξήκοντα, συμμορία, οἱονεὶ παρὰ τὸ μέρος εἶναι τῆς φυλῆς. δέκα οὖν οὐσῶν φυλῶν καὶ ἑκάστης προβαλλομένης ἀπὸ 5 ἑκατὸν εἴκοσι, συνέβη τοὺς πάντας εἶναι λειτουργοὺς χιλίους διακοσίους. ἐμέριζον οὖν αὐτοὺς ἀπὸ ἑξακοσίων ἀνδρῶν, ὅ ἐστιν ἀπὸ δέκα συμμοριῶν. πάλιν δὲ ἑκατέραν τῶν δύο μερίδων τούτων ἔτεμνον εἰς δύο, ὅ ἐστιν εἰς τριακοσίους μὲν ἄνδρας, κατὰ πέντε δὲ συμμορίας. οὗτοι δὲ ἦσαν οἱ τριακόσιοι οἱ πάνυ πλούσιοι οἱ πρῶτοι, οἵτινες προ- 10 εισέφερον τῶν ἄλλων τε καὶ εἶχον αὐτοὺς ὑπακούοντας εἰς πάντα, ὥστε συμβαίνειν εἰς δύο μερίδας εἶναι τοὺς πάντας· εἴ γε οἱ τῶν ἑκατέρωθεν ἦσαν ὥσπερ ἡνωμένοι τοῖς ἑκατέρωθεν τριακοσίοις τοῖς πλουσιωτέροις. εἶχε δὲ ἑκάστη μερὶς τῶν τεσσάρων καὶ ἴδιον στρατηγὸν καὶ ἴδιον ῥήτορα. ὅμως δὲ πάλιν τῶν δευτέρων καὶ οἱ ῥήτορες 15 καὶ οἱ στρατηγοὶ ὑπεῖκον ταῖς προτέραις. τότε οὖν, φησὶν, ἐμέριζον ἑαυτοὺς, διὰ πλείονα σπουδὴν τοῦ εὐκαίρως εἰσφέρεσθαι τὰ χρήματα· νῦν δὲ δι' οὐδὲν ἄλλο μερίζεσθε εἰς συμμορίας ἢ διὰ τὸ πολιτεύεσθαι, ὅ ἐστι διὰ τὸ στασιάζειν. μέμφεται οὖν αὐτοὺς ὅτι πρώην, ἡνίκα διὰ τὸ εἰσφέρειν ἐποιοῦντο τὰς συμμορίας καὶ καιρὸς ἦν τῶν πραγμάτων, 20 ἡγεμόνας ᾔδεσαν τοὺς πλουσιωτέρους· δευτέρους δὲ τοὺς στρατηγοὺς τοὺς κατορθοῦντας· τρίτους δὲ τοὺς ῥήτορας, τοὺς μόνον λέγοντας. νῦν δὲ, ἐπειδὴ καιρός ἐστι τοῦ στασιάζειν καὶ τοῦ λέγειν, ἡγεμόνες εἰσὶν οὐχ οἱ πλούσιοι, ἀλλ' οἱ ῥήτορες· καὶ βοησόμενοί εἰσιν οἱ πρῶ-

1. αὐτοὺς ἐπείξῃ] ἐπὶ τὴν πόλιν ἥξῃ codex Morelii.

καὶ τύχῃ μὴ ἔχειν τοὺς] Pro καὶ ἴσως μὴ ἔχωεν τὰ χρήματα, εἰ τύχωσι μὴ ἔχοντες. WOLF.

5. προβαλλομένης] προβαλομένης V.

ἀπὸ ἑκατὸν εἴκοσι] *A centum viginti.* Videtur præpositionem addidisse, ut cardinalia vim distributivorum haberent. Referatur hic locus ad orationem περὶ συμμοριῶν. WOLF.

16. ὑπεῖκον ταῖς προτέραις] ὑπήκουον τοῖς προτέροις C.

οὖν] αὖ codex Morelii.

17. χρήματα] Delevi quod addebatur τὰς συμμορίας. τὰς om. T.C.P. κατὰ τὰς συμμορίας Wolfius.

18. δι' addidit Wolfius.

μερίζεσθε Wolfius. μερίζεται T.C. V. μερίζεται ταῦτα codex Morelii.

20. τῶν om. T.V.

23. στασιάζειν] ἐκκλησιάζειν Wolfius.

τοι τριακόσιοι, ἐπαινοῦντες τὰ ὑπὸ τῶν ἰδίων ῥητόρων λεγόμενα, οἱ δὲ ἄλλοι προσνενεμημένοι ἑκατέροις. T.C.V.

26, 24. *ῥήτωρ ἡγεμὼν*] *δεῖ μὴ χωρίζειν τὸ ῥήτωρ ἡγεμὼν, ἀλλὰ συνάπτειν.* B.T.C.P.

26, 26. *ὡς τούτους*] *εἰς τούτους.* P.

δεῖ δὴ ταῦτα ἐπανέντας] *συμπέρασμα τοῦ συμφέροντος.* B.R.P. *ἐντεῦθεν οἱ ἐπίλογοι.* B.C.P.

26, 27. *ἐπανέντας*] *ἐάσαντας, ἐγχαλάσαντας.* B.

ὑμῶν αὐτῶν—γενομένους] *ὡς ἐπὶ νοσούντων εἶπε τὸ ὑμῶν αὐτῶν γενομένους.* B.T.C.

26, 29. *εἰ δὲ τοῖς μὲν*] *πρὸς τὸν Εὔβουλον ἀποτείνεται τὸν πολιτευόμενον.* B.P. *τὸν Εὔβουλον λέγει ὡς πρὸς χάριν δημηγοροῦντα.* B.T.C.

τοῖς δ' ἀναγκάζεσθαι] *ἐπειδὴ εἶπεν ἀνωτέρω, φημὶ δὴ δεῖ χρημάτων, ἵνα μὴ εἴπωσιν οἱ πένητες, οὐκοῦν εἰσοίσουσιν οἱ πλούσιοι, προλαβὼν ὑπὲρ αὐτῶν ποιεῖται τὸν λόγον ὅτι, μέχρι πότε οἱ πλούσιοι τριηραρχήσουσι καὶ εἰσοίσουσι καὶ πάντα δαπανήσουσιν; ἐὰν γὰρ αὐτοὺς παρακόψῃ ἀπὸ τῶν πλουσίων, ἐλπίδα μηδεμίαν ἔχοντες μηδ' ἄλλως εὐπορίαν, ἀποστήσονται τῶν θεωρικῶν. καὶ ὅλως σύνηθες τῷ Δημοσθένει τοῖς πλουσίοις συνίστασθαι· γινώσκει γὰρ ὅτι νεῦρα τῆς πόλεώς εἰσιν οἱ πλούσιοι.* B.T.C.V.

27, 3. *τοῖς δὲ ψηφίζεσθαι*] *τοῖς ῥήτορσι συμπονεῖν.* B.

27, 7. *λέγω δὴ κεφάλαιον*] *ἐπίλογος.* B.P. *διὰ τούτου δευτέρας ἐδεήθη ἀνακεφαλαιώσεως, εἰπὼν ὅτι χρὴ πάντας εἰσφέρειν, ἵνα*

3. *ἡγεμὼν*] *ἡγεμὼν ἑκατέρων* B., omisso *ἀλλὰ συνάπτειν.*

7. *ἐντεῦθεν*] *ἐνταῦθα* C. *ὅθεν ἄρχονται* P.

11. *τὸν πολιτευόμενον* om. B.

12. *ὡς* om. B, in quo hoc scholion legitur infra ad p. 27, 11. ad verba *ὁ δεῖνα ἢ ὁ δεῖνα.* Utrique loco aptum est.

δημηγοροῦντα] *δημηγορήσαντα* C.

14. *ἐπειδὴ εἶπεν—οἱ πλούσιοι* om. B.

δὴ δεῖ] *δεῖ δὴ* T.

17. *καὶ εἰσοίσουσι* om. B.

18. *ἔχοντες—ἀποστήσονται* B. *ἔχοντες, ἢ ἄλλην εὐπορίαν, ἢ ἀποστήσονται* ceteri: ad quod Wolfius "Intricatus locus ob incertas distinctiones. Ego post *πλουσίων* colon pono, itemque post *εὐπορίων*: deletoque *τῷ ἢ* et sententiam perspicuam esse arbitror, nec in verbis quicquam salebrosum restare."

23. *διὰ τούτου δευτέρας ἐδεήθη* B. *τοῦτο ἐδεήθη δευτέρας* ceteri.

τῆς ἀνάγκης αὐτοὺς περιστάσης ἐκστήσωνται τῶν θεωρικῶν. B. T.C.V.

27, 8. *τὸ ἴσον*] *κατὰ τὴν ἑκάστου οὐσίαν.* B.

κατὰ μέρος] *κατὰ διαδοχήν.* B.

27, 12. *ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς*] *διὰ τὸ πεισθῆναι τοῖς καλῶς* 5 *συμβουλεύσασιν.* B.T.C.

1. *αὐτοὺς* B. *ταύτης* ceteri.
5. *ἀλλὰ καὶ—πεισθῆναι*] *ἂν ἀκούσητε αἱρεῖσθαι· δηλονότι πεισθῆναι* T.C.
6. *συμβουλεύσασιν*] *βουλεύσασιν* B.

III.

ΟΛΥΝΘΙΑΚΟΣ Γ.

28, 1. Οὐχὶ ταὐτὰ παρίσταταί μοι] τὸ προοίμιον ἐξ ἐπιτιμήσεως.—τὸ προοίμιον προσοχὴν διὰ τοῦ παροξυσμοῦ ἀπεργάζεται. A.B. ὡς τῶν πραγμάτων χαλεπῶν ὄντων ἐξ ἐπιτιμήσεως εἴληπται τὸ προοίμιον, ἢ ἐκ τοῦ παραδόξου· παράδοξον γὰρ γίνεται, ὅτε τοῖς λόγοις οὐ συντρέχει τὰ πράγματα· ἢ ἀπὸ συγκρίσεως· συγκρίνων γὰρ δείκνυσι τοὺς λόγους ἐναντίως ἔχοντας τοῖς πράγμασιν. B.H. R.S.T.C.V. παθητικὸν τὸ προοίμιον καὶ μεστὸν ἀξιώματος· ἐν ᾧ γὰρ ἐπηρμένον τὸν δῆμον καὶ φρονοῦντα τῇ νίκῃ συστέλλει καὶ πρὸς φόβον καθίστησιν, ἀφ' ἑτέρου πάθους εἰς ἕτερον ἄγει τὸν ἀκροατήν· ἐν ᾧ δὲ ἀλλάττει τὴν γνώμην τῶν Ἀθηναίων, τὸ τοῦ Περικλέους ἀξίωμα διὰ τῶν ἔργων δείκνυσιν. A.B.T.C.V. καὶ γὰρ ἐκεῖνος ἀθυμοῦντα μὲν τὸν δῆμον ἱκανὸς ἦν ἀναγαγεῖν καὶ μεστὸν ἐλπίδων ἀποφῆναι, θαρροῦντα δὲ αὖθις εἰς φόβον περιαγαγεῖν. B.T.C.V. κεφάλαια τοῦ λόγου· τὸ συμφέρον, τὸ δυνατὸν καὶ ὀλίγον ἀπὸ τοῦ δικαίου, συμβουλεύοντος αὐτοῦ ὅτι δεῖ ἅπαξ βοηθήσαντας τοῖς Ὀλυνθίοις ἐμμένειν τούτῳ καὶ μὴ καθυφεῖναι τὰ δεδογμένα. R.S. τριμερὴς ὁ λόγος. τὸ μὲν γὰρ πρῶτον καὶ τὸ δοκοῦν μάλιστα συν-

2. Verba ὅτι τὸ προοίμιον προσοχὴν —ἀπεργάζεται habent etiam T.C. in quibus præcedunt verba εἰς μακεδονίαν μεταβιβάζει τὴν δύναμιν.

4. παράδοξον γὰρ γίνεται] γίνεται γὰρ S. γίνεται δὲ H.R.

ὅτε S. ὅταν ceteri.

5. οὐ συντρέχει S.V. οὐκ ἐντρέχῃ B. οὐ συντρέχῃ ceteri.

7. καὶ om. T.C.

11. διὰ—δείκνυσιν] ἅμα γὰρ δεινὸν χρῆσθαι πράγμασι τοῦτον δείκνυσιν codex Morelii.

13. περιαγαγεῖν] περιῆγε V.

15. αὐτοῦ om. R.

ἅπαξ] ἅπαντα R.

17. τριμερὴς] δὲ add. V.

πρῶτον καὶ τὸ δοκοῦν μάλιστα συνέχειν A.R., nisi quod πρῶτόν ἐστι τὸ A. πρῶτον εἶναι καὶ τὸ δοκοῦν μάλιστα συνεχῶς (συνέχειν H.) H.T.C.V. In A.R. hoc scholion adscriptum infra ad p. 28, 8. ad verba οὐχὶ τὴν οὖσαν παριστάντες.

ἔχειν καὶ περὶ οὗ πρόκειται νῦν ἡ σκέψις, ὃ καὶ προηγούμενον κέκληται, εἰ χρὴ μεταστῆσαι τὴν δύναμιν εἰς Μακεδονίαν, ἢ κατὰ χώραν ἐᾶσαι μένειν τοῖς Ὀλυνθίοις βοηθήσουσαν· τὸ δὲ δεύτερον, εἰ χρὴ λῦσαι τοὺς νόμους τοὺς θεωρικούς· τὸ δὲ τρίτον, ἐπιλογικὸν ὂν, καταδρομὴν ἔχει τῆς πολιτείας τῶν νῦν δημαγωγούντων. τούτων δὲ τῶν 5 μερῶν ἕκαστον ὑποπέπτωκεν οἰκείοις κεφαλαίοις. τὸ μὲν γὰρ πρότερον τοῦ συμφέροντος εἶναι δοκεῖ, τὸ δὲ δεύτερόν ἐστι τοῦ νομίμου, εἴληπται δὲ ἐκ κατασκευῆς τοῦ δυνατοῦ· καὶ γὰρ κεφάλαιον κεφαλαίῳ ἀποδείκνυται· τὸ δὲ τρίτον ἐστὶ τοῦ δικαίου, λέγω δὲ τὸ τῆς καταδρομῆς τῶν νῦν πολιτευομένων καὶ τῆς εὐφημίας τῶν ἐπὶ τῶν προ- 10 γόνων πολιτευσαμένων. πᾶσα γὰρ συμβουλὴ περὶ ποιότητος προσώπων γινομένη, ἔπαινον ἢ ψόγον δηλοῦσα, εἰς τὸ δίκαιον ἔχει τὴν ἀναφοράν. καὶ τὸ μὲν συμφέρον δίχα τέτμηται, εἴς τε τὸ ἀναγκαῖον (ἐλεύσεται γὰρ Φίλιππος εἰς τὴν Ἀττικὴν διαφθαρέντων τῶν Ὀλυνθίων), καὶ εἰς τὸ ἄδοξον (πάντες γὰρ ἴσασιν Ἕλληνες ὅτι τοῖς 15 Ὀλυνθίοις ἐπηγγειλάμεθα βοηθήσειν, εἰ πολεμήσαιεν πρὸς Φίλιππον), καὶ τὸ ψευδεῖς φανῆναι τῶν ἀδόξων. A.H.R.T.C.V. ζητήσειε δ' ἄν τις τί δήποτε κωλύων μεθιστάναι τὴν δύναμιν, οὐδεμίαν πεποίηται περὶ αὐτοῦ μνήμην, οὐδὲ φαῦλον δεικνύει τὸ μετάγειν εἰς Μακεδονίαν τοὺς στρατιώτας. ῥητέον οὖν ὅτι πλείους εἰσὶ τρόποι καθ' 20 οὓς ἀντιλέγειν ἔξεστιν. ἢ γὰρ πρὸς αὐτοὺς τοὺς λογισμοὺς μαχόμεθα τῶν ἀντιλεγόντων, δεικνύντες αὐτοὺς σαθροὺς ὄντας· ἢ ἑτέραν εἰσηγούμεθα γνώμην, διὰ τῆς ἡμετέρας τὴν ἐκείνων ἀνατρέποντες· ἢ

1. ὃ addidit Wolfius.
προηγούμενον] προηγουμένως H.R.
2. μεταστῆσαι A.R. μεταστῆναι ceteri.
3. Ὀλυνθίοις] ἀθηναίοις H. θ α A.
βοηθ.] ὡς βοηθ. C.
6. οἰκείοις κεφαλαίοις A. οἰκείῳ κεφαλαίῳ ceteri.
πρότερον om. A.
7. νομίμου] νόμου A.H.R.
8. ἐκ κατασκευῆς A. εἰς κατασκευὴν ceteri.
9. τὸ τῆς] τὸ om. A.H.
10. νῦν om. A.H.R. Conf. p. 129, 3.
προγόνων] πρότερον A.
11. συμβουλὴ] συμβολὴ A.H.R.
περὶ ποιότητος προσώπων A.R. περὶ (περὶ τὴν C.) ποιότητα προσώπου ceteri.
12. γινομένη] γινομένου T.C.
13. ἀναφοράν] καταφοράν A.
μὲν om. A.
δίχα] διχῶς A.
14. Φίλιππος] ὁ μακεδὼν addit codex Morelii.
15. ἄδοξον] ἔνδοξον codex Morelii.
16. ἐπηγγειλάμεθα] ἐπαγγειλάμενοι A.
βοηθήσειν A.H.R. βοηθῆσαι ceteri.
πολεμήσαιεν] ἐκπολεμήσωνται A.
17. ψευδεῖς] ψεῦδος T.C.V.

τὸ συμφέρον τὸ μὲν ἐκείνων ἐλέγχομεν, αὐτοὶ δὲ συμβουλὴν ἑτέραν εἰσηγούμεθα. ἐνταῦθα τοίνυν ὁ ῥήτωρ φρονήματι χρώμενος τῆς μὲν ἐκείνων γνώμης οὐδεμίαν πεποίηται μνήμην, τὴν δὲ αὐτῷ δοκοῦσαν εἰσηγεῖται καὶ ταύτην ἐργάζεται. Ἄλλως. προοίμιον ἐκ τοῦ ἀναγκαίου. λαμβάνεται δὲ ἐξ ὑπολήψεως τῶν πραγμάτων φαύλων ὄντων. 5 T.C.V.

28, 4. τοὺς μὲν γὰρ λόγους] κατασκευὴ τοῦ προοιμίου. B.

τιμωρήσασθαι Φίλιππον] τουτέστιν εἰς Μακεδονίαν μεταβιβάζειν τὴν δύναμιν. A.

28, 5. εἰς τοῦτο προήκοντα] οὐκ εἶπεν οὕτως ἔχοντα, ἀλλ' εἰς 10 τοῦτο προήκοντα, διὰ τῆς ἐν τῇ λέξει παρατάσεως τὸν χρόνον δεικνὺς ὄντα αἴτιον τῶν κακῶν. B.T.C.V.

εἰς τοῦτο κακίας ἐλθόντα. A. εἰς τοῦτο δηλονότι ἀναιδείας προελθόντες. T.C.

ὥστε ὅπως μὴ πεισόμεθα] μεγάλῳ θάρσει μέγαν φόβον ἀντέθηκε, 15 σφόδρα τεχνικῶς ποιῶν. τὰ γὰρ μεγάλα πάθη μείζοσι πάθεσι λύειν προσήκει. B.T.C.V.

28, 7. οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν] ὥσπερ αἰνιττόμενος· ἀλλὰ νῦν μὲν οὐκ ἔχω Φιλιππισμὸν αὐτοῖς ὀνειδίζειν. B.T.C.V. ὑπερβατὸν καθ' ὑπέρθεσιν. T.P. τὸ δὲ ἑξῆς οὕτω· οὐδὲν οὖν ἄλλο μοι 20 δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες ῥήτορες ἢ ἁμαρτάνειν. εἶτα ἐν τῷ μέσῳ κατασκευάζει, πῶς; τὴν ὑπόθεσιν ὑμῖν παριστάντες καὶ συμβουλεύοντες, περὶ ἧς καὶ ὑμεῖς βουλεύεσθε· βουλεύονται δὲ νῦν περὶ τοῦ τιμωρήσασθαι Φίλιππον, ἀλλ' οὐχὶ τὴν οὖσαν καὶ ἀληθῆ ὑπόθεσιν. κατὰ κοινοῦ τό, παριστάντες ὑμῖν, ἥτις ἐστὶ τὸ βουλεύ- 25 σασθαι, ὅπως ἂν πρῶτον σώσωμεν τοὺς Ὀλυνθίους. ἔστι δὲ ὥσπερ συμπέρασμα τοῦ προοιμίου διὰ πλειόνων. T.C.V.

28, 8. τὴν ὑπόθεσιν] σφόδρα βιαίως τὸν δῆμον κοινωνὸν τῆς ἐαυ-

3. μνήμην—αὐτῷ Wolfius. γνώμην—αὐτῶν libri, nisi quod αὐτοῦ C.

10. ἀλλ' εἰς τοῦτο π.] ἀλλὰ π. B.

11. παρατάσεως B. et codex Morelii. τάσεως ceteri.

12. ὄντα] τὸν T.C.V.

15. θάρσει] θάμβει B.

16. ποιῶν om. B.

μείζοσι—προσήκει] μεγάλοις πάθεσι προσῆκον λύειν B.

20. τὸ] τῶν T.C.

23. βουλεύεσθε] ἐβουλεύεσθε T.C.

28. σφόδρα βιαίως] βιαίως σφόδρα C.V.

τὸν δ. κοινωνὸν] κοινωνὸν τὸν δ. C.

τοῦ γνώμης ἐποίησεν, ὑπὲρ ὧν αὐτὸς μέλλει συμβουλεύειν, περὶ τούτων εἰσεληλυθέναι φήσας βουλευσόμενον τὸν δῆμον. B.T.C.V. τὸ τιμωρήσασθαι Φίλιππον. P.

28, 9. τὴν οὖσαν] τὸ σῶσαι τοὺς Ὀλυνθίους. P.

ἐγὼ δὲ ὅτι μέν ποτε] ἔτι τὴν αὐτὴν ἔννοιαν ἐξεργάζεται. δηλοῖ δὲ τοὺς καιροὺς ἐν οἷς Ἀμφίπολιν εἶχον καὶ Ποτίδαιαν καὶ τὰ ἐπὶ Θρᾴκης. T.C.V.

28, 10. ἐξῆν τῇ πόλει] λύσις τοῦ ἀντιπίπτοντος. B.T.C.P.

τὰ αὐτῆς] δέον εἰπεῖν, καὶ Ὀλυνθίους σῶσαι. T.P.

28, 11. τιμωρήσασθαι] οὐχ ὡς τιμωρησαμένων αὐτῶν τότε τὸν Φίλιππον, ἀλλ' ὡς ἐξουσίαν ἐχόντων, εἴπερ ἠβουλήθησαν. F.P.

28, 12. ἐπ' ἐμοῦ γὰρ] ὑπερβατὸν καθ' ὑπέρθεσιν. B.

28, 13. ἱκανὸν] αὔταρκες. ὡσεὶ ἔλεγε, κἂν τοῦτο δυνηθῆτε ποιῆσαι, καλῶς ὑμῖν ἔχει πρὸς τὴν παροῦσαν δύναμιν. T.C.V.

προλαβεῖν] ὥσπερ ἐπὶ δρομέων εἶπεν ἐπειγομένων διὰ τάχους προαρπάσαι τὸ ἆθλον κείμενον ἐν μέσῳ, ἵνα ἆθλον μὲν νοήσωμεν τὴν Ὄλυνθον, δρομέας δὲ Φίλιππόν τε καὶ Ἀθηναίους. T.C.V. ὡς ἐπὶ δρομέων εἶπε τὴν λέξιν. B.

29, 1. τὴν πρώτην] τὴν ἀρχὴν δηλονότι· ἀρχὴν γὰρ καλεῖ τὸ σῶσαι τοὺς Ὀλυνθίους, τέλος δὲ τὸ τιμωρήσασθαι Φίλιππον. T.C.P.

29, 2. ἐὰν γὰρ τοῦτο βεβαίως] τὸ μὲν λέγειν ὡς οὐκ ἔσωσαν Ὀλυνθίους ἀναίσχυντον· καθεῖλε δὲ αὐτὸ φήσας ὅτι οὐ βεβαίως. ὥστε ἀνάγκη μένειν κατὰ χώραν τὴν δύναμιν. B.T.C.V. δέον εἰπεῖν καὶ Ὀλυνθίους σῶσαι. C.

καὶ περὶ τοῦ τίνα τρόπον] καὶ ἐν τῷ τρόπῳ τῆς τιμωρίας ἁμαρτάνοντας δείκνυσι τοὺς ῥήτορας· φησὶ γάρ, τότε ἐξέσται τὸν τρόπον σκοπεῖν. αἰνίττεται δὲ ὅτι κατὰ θάλατταν ἐπελθεῖν χρὴ τῷ Φιλίππῳ, καὶ κλεῖσαι τὰ ἐμπόρια, ὅπερ αὐτὸς ὕστερον ἐν τῷ τετάρτῳ συνεβούλευσεν. T.C.V.

2. βουλευσόμενον Wolfius. βουλευόμενον T.C.V. βουλεύσασθαι codex η Morelii.

5. ἔτι P. ἐπὶ C.V.

ἐξεργάζεται] ἀπεργάζεται codex η Morelii.

12. ὑ. καθ' ὑπέρθεσιν] ὑ. τὸ σχῆμα P.

17. δρομέας] Legebatur δρομέα.

22. Ὀλυνθίους] ὄλυνθον codex η Morelii.

ὅτι om. B.

27. ἐπελθεῖν] ἐλθεῖν codex η Morelii.

χρὴ T.C.P. δεῖ V.

29, 3. πρὶν δὲ τὴν ἀρχὴν] ἀκόλουθον τῇ ἐξ ἀρχῆς προτάσει τὸ συμπέρασμα· τότε γὰρ τοὺς ῥήτορας μεμφόμενος, ὅτι ἕτερα ἀνθ' ἑτέρων συμβουλεύουσι, νῦν φησι μάταιον εἶναι περὶ τοῦ τέλους σκοπεῖν, ἀρχὴν μὲν τὴν τῶν συμμάχων σωτηρίαν, τέλος δὲ τὴν Φιλίππου καταστροφὴν εἶναι διδάσκων. τὸ δὲ συμπέρασμα γνωμικὸν ὂν σεμνὴν τὴν βάσιν τοῦ προοιμίου πεποίηκε. δεῖ γὰρ ἐν μὲν ταῖς ἀρχαῖς τῶν προοιμίων τὰ γνωμικὰ φυλάττεσθαι· καὶ γὰρ ἄγονον καὶ ἀρχαιότροπον τὸν λόγον δεικνύει· τῷ δὲ ἐπὶ τέλει γνωμικῷ ἐπισφραγίζεσθαι τοὺς ἐν μέρει λογισμοὺς τῇ καθόλου προσθήκῃ. B.T.C.V.

29, 5. λόγον ἐνταῦθα τὴν συμβουλὴν καλεῖ. T.C.P.

ὁ μὲν οὖν παρὼν καιρὸς] δεύτερον προοίμιον ἐκ τοῦ ἀναγκαίου. λαμβάνεται δὲ ἐξ ὑπολήψεως τῶν πραγμάτων φαύλων ὄντων. A.B. ἀκατάσκευον τὸ δεύτερον προοίμιον εἶπεν, ἵνα ὡς ὁμολογούμενον λάβῃ τὸ ὅτι πολλῆς φροντίδος δεῖται τὰ πράγματα. B. ἐκθέμενος ἐν τῷ πρώτῳ προοιμίῳ σπερματικῶς τὴν ἑαυτοῦ γνώμην, ὅτι δεῖ τοὺς στρατιώτας κατὰ χώραν μένειν, καὶ τὸ προηγούμενον τοῦ λόγου μέρος αὐτῷ κατανείμας, ἐν τῷ δευτέρῳ πάλιν τὰ λειπόμενα δύο μέρη περιείληφεν. T.C.F.V.

29, 8. πολλῆς φροντίδος] φοβεῖ αὐτοὺς πάλιν λεληθότως, ἵνα μὴ ὡς ἔτυχεν ἐπὶ Μακεδόνας χωρήσωσι. διαφέρει δὲ τοῦ πρώτου προοιμίου τὸ δεύτερον, εἰ καὶ φοβεῖ αὐτοὺς ἐν ἑκατέρῳ, ὅτι ἐν μὲν τῷ πρώτῳ ἐξ ἐπιτιμήσεως ἤρξατο τῶν ῥητόρων, ἐνταῦθα δὲ μόνως φοβεῖ. H.R.S.

29, 9. ἀλλ' ἐκεῖν' ἀπορῶ] τὴν λύσιν τῶν κακῶν εἰδὼς ὀκνεῖ ἀποφήνασθαι. τὸ δὲ "τίνα τρόπον," φανερῶς ἢ ἐξ ἀπάτης, μετὰ παρρησίας, ἢ ὑφειμένως. B.

τὸ δεύτερον μέρος ἐκ τοῦ περὶ τῶν θεωρικῶν ἐκίνησε. δείκνυσι δὲ ὅτι τὴν λύσιν τῶν κακῶν εἰδὼς ὀκνεῖ ἀποφήνασθαι. τὸ δὲ "ἀπορῶ

3. συμβουλεύουσι] συμβουλεύσουσι T., non C.

6. τοῦ προοιμίου B. τῷ προοιμίῳ ceteri.

ταῖς ἀ. P. ταῖς om. T.C.V. ταῖς ἀρχαῖς—τῇ καθόλου προσθήκῃ om. B.

7. γὰρ om. V.: habent T.C.P.

8. τῷ—γνωμικῷ] τῷ (sic)—γνωμικὸν T.C.V.: unde τὸ—γνωμικὸν—ἐπισφραγίζεται Wolfius.

ἐπισφραγίζεσθαι T.P. ἐπισφραγίζεται C.V.

11. δεύτερον—ὄντων] Conf. p. 114, 4.

14. ἐκθέμενος] δεύτερον προοίμιον. ἐκθέμενος δὲ V.

15. σπερματικῶς] σπερματικὴν codex η Morelii.

"τίνα τρόπον" πολλὰς ἔχει σημασίας, πότερον φανερῶς, ἢ τοὐναντίον ἐξ ἀπάτης; πότερον μετὰ παρρησίας, ἢ ὑφειμένως; οὐκ εἶπε δὲ, ἀπορῶ τί δεῖ λέγειν, ἀλλὰ πῶς δυνήσομαι κολάσεως ἐκτὸς πεῖσαι. ἰστέον δὲ ὅτι ἀκατασκεύαστον εἶπε τὸ προοίμιον, ἵνα ὡς ὁμολογούμενον λάβοι τὸ ὅτι πολλῆς φροντίδος δεῖται τὰ πράγματα. T.C.V. 5

29, 10. πέπεισμαι γὰρ] τουτέστιν, ἐξ ὧν αὐτός τε συμβουλεύω καὶ ἐξ ὧν ἕτεροι λέγουσι· δίδωσι γὰρ καὶ τῶν ἄλλων ῥητόρων ἐνίοις λέγειν τὰ χρήσιμά ποτε, ἵνα μὴ πάντα εἰς ἑαυτὸν ἀνάγων φορτικὸς εἶναι δοκῇ. B.T.C.V. τὸ σχῆμα προδιόρθωσις. B.F.

29, 13. μὴ συνιέναι] σημείωσαι ὅτι διενήνοχε σύνεσις φρονήσεως, 10 ὅτι ἡ μὲν φρόνησις ἕξις ἐστὶ γεννητικὴ τῶν οἴκοθεν λογισμῶν, ἡ δὲ σύνεσις ἕξις δεκτικὴ τῶν ἔξωθεν λογισμῶν. B.T.C.F.P.

ἀξιῶ δὲ ὑμᾶς] ἐν τῇ ἀξιώσει κέχρηται τῇ προδιορθώσει. B.T.C.P. ἀντὶ τοῦ ἄξιον νομίζω· σπανίως γὰρ εὑρίσκεται παρὰ τοῖς Ἀττικοῖς τὸ ἀξιῶ ἀντὶ τοῦ παρακαλῶ. B. 15

29, 16. ὁρᾶτε γὰρ] προσεμβολὴ τοῦ συμφέροντος κεφαλαίου. B. ἐντεῦθεν αὐτῷ γεννᾶται τὸ τρίτον μέρος τὸ τῆς ἐπιτιμήσεως τῶν νῦν πολιτευομένων. B.T.C.V.

29, 17. ἐνίους] τοὺς προδότας. B.

29, 18. ἀναγκαῖον δ' ὑπολαμβάνω] μετελήλυθεν ἐνταῦθα εἰς αὐτὰ 20 τὰ κεφάλαια. καὶ ἔστιν αὐτῶν τὸ συμφέρον ἐξεταζόμενον καὶ τὸ προηγούμενον μέρος, πότερον χρὴ μένειν ἐν Ὀλύνθῳ τὴν δύναμιν, ἢ μετάγειν εἰς τὴν Μακεδονίαν. A.R.T.C.V.

29, 20. μέμνησθε] διηγηματικόν. B.C. ἐντεῦθεν οἱ ἀγῶνες· τὸ

2. πότερον μετὰ—ὑφειμένως om. C.
3. κολάσεως Wolfius. κολακείας T. C.V.
4. ἀκατασκεύαστον] ἀκατάσκευον P.
6. τούτεστιν—λέγουσι om. B.
7. γὰρ om. B.
8. τὰ χρήσιμά ποτε B. ποτὲ τὰ χρήσιμα T.C.V.
9. τὸ σχῆμα π. B. π. τὸ σχῆμα F. τὸ σχῆμα ἐπιδιόρθωσις T.C.
11. τῶν—λογισμῶν] τοῦ—λογισμοῦ B.
13. ἐν] σημείωσαι δὲ ὡς ἐν F.P. προδιορθώσει] διορθώσει T.C.
14. σπανίως—παρακαλῶ B. οὐ γὰρ εὑρίσκεται παρὰ τοῖς ἀττικοῖς (τῶν ἀττικῶν T.C.) εἰ μὴ σπανίως ἐστὶ τὸ ἀξιῶ ἐπὶ τοῦ παρακαλῶ T.C.V.
17. αὐτῷ B.P. αὐτῶν ceteri.
γ. τὸ τρίτον μέρος B. τὸ τρίτον μέρος γ. ceteri.
τὸ om. B. τὸ ἐπὶ V.
20. εἰς] ἐπ' A.R.
αὐτὰ τὰ A. τὰ αὐτὰ ceteri.
21. αὐτῶν] αὐτὸ V.
22. πότερον—Μακεδονίαν om. A.
24. ἐντεῦθεν οἱ ἀ.] οἱ ἀ. ἐντεῦθεν T.C.P. omissis sequentibus τὸ δὲ—τοῦ συμφέροντος.

δὲ κεφάλαιον διηγηματικὸν τοῦ συμφέροντος. B. πεῖσαι βουλόμενος τοὺς Ἀθηναίους ἐᾶσαι μένειν κατὰ χώραν τὴν δύναμιν παραδειγματικῇ πίστει κέχρηται· πιθανωτέρα γὰρ πασῶν τῶν πίστεων ἡ τοιαύτη. διὸ καὶ Ἰσοκράτης μὲν πιθανώτερος εἶναι δοκεῖ, περιττεύων τοῖς παραδείγμασι, Δημοσθένης δὲ βίαιος ὑπείληπται, νῦν μὲν τοῖς ἐνθυμήμασι, νῦν δὲ παραδείγμασιν, αὖθις δὲ ἐντέχνῳ πίστει χρώμενος. A.R.T.C.F.V. τοῦτό τινες ἁμαρτάνοντες ὑπενόησαν εἶναι διήγησιν, ἀγνοήσαντες ὡς ἐν συμβουλευτικῷ λόγῳ διηγεῖσθαι οὐκ ἔξεστι. A.R.

29, 21. τρίτον ἢ τέταρτον ἔτος] πρὸ τριῶν ἢ τεσσάρων ἐτῶν. B.

29, 22. Ἡραῖον τεῖχος] πολισμάτιον Θρακικόν. T.C.

29, 23. μαιμακτηριῶν] κατ' ἔμφασιν μείζονα τῆς σπουδῆς κεῖται τὸ ὄνομα τοῦ μηνός. θέλει γὰρ εἰπεῖν ὅτι καὶ χειμῶνος ὄντος τὰς ναῦς καθέλκειν ἐψηφίσασθε. καὶ γὰρ χειμερινὸς ὁ μήν. A. ἀπὸ τῆς μαιμάξεως μαιμάξαντες ἀντὶ τοῦ ὁρμήσαντες. ἐτρύγησαν ἀμπέλους καὶ οἶνον ἐποίησαν. H.R.

χειμέριος οὗτος ὁ μήν· ἐξ οὗ δείκνυσιν ὅτι, καίτοι χειμῶνος ὄντος, πλεῖν ἐψηφίσασθε, τοσαύτῃ προθυμίᾳ πρὸς τὴν βοήθειαν ἐκέχρησθε. T.C.V.

29, 25. καθέλκειν] ἀντὶ τοῦ ἐμβιβάζειν εἰς τὴν θάλατταν. P.

μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν] ὡς παράδοξον τοῦτο εἶπεν, ἵνα ἐμφήνῃ αὐτῶν τὴν πολλὴν σπουδήν, ὅτι νόμου κελεύοντος παρ' Ἀθηναίοις μέχρι τετταράκοντα ἐτῶν στρατεύεσθαι, ἀρξαμένους ἀπὸ ὀκτωκαίδεκα καὶ μέχρι μέντοι τῶν εἴκοσι παῖδας ὄντας τέως περιπολεῖν τὰ περὶ τὴν πόλιν φρούρια, εἰς ὑπερορίους δὲ πολέμους ἀπὸ εἴκοσιν, αὐτοὶ τότε βουλόμενοι πολλὴν σπουδὴν ἐνδείξασθαι, καὶ

2. μένειν addidi ex A.R.
3. γὰρ] δὲ A.T.C.P.
πασῶν] ἐστι πασῶν A.
ἡ τοιαύτη—χρώμενος om. A.R.
5. νῦν μὲν addidi ex F.P.
6. νῦν δὲ pr. T.F. et P. νῦν μὲν T. corr., C.V.
ἐντέχνῳ Wolfius. ἀτέχνῳ libri.
11. πολισμάτιον Θρακικόν] πολίχνιον θρακικόν B. πολισμάτιον· Θράκης P.
16. In S. est glossa Photii p. 241, 22—27. Μαιμακτηριών—ἴσχει nulla cum scripturæ diversitate.
18. προθυμίᾳ Wolfius. βοηθείᾳ libri.
22. παρ' Ἀθηναίοις] περὶ ἀθηναίων T.C.
23. τετταράκοντα] πέντε καὶ τεσσαράκοντα B.
ἀπὸ—τέως] ἀπὸ ι' καὶ η' ἐτῶν μέχρι κ' τέως παιδία ὄντας B.
26. αὐτοὶ τότε—ἐψηφίσαντο B. αὐτοὶ τότε καὶ οὓς οὐκ ἐκέλευεν ὁ νόμος

οὓς οὐκ ἐκέλευσεν ὁ νόμος στρατεύεσθαι, πολεμεῖν ἐψηφίσαντο. B.T. C.V.

29, 27. διελθόντος τοῦ ἐνιαυτοῦ] ἤτοι μηνῶν ὀκτὼ παρελθόντων ἀπὸ Αὐγούστου μετρουμένων, καὶ πληρωθέντος τοῦ ἐνιαυτοῦ τούτου, ἦν Ἑκατομβαιὼν ἤτοι Ἀπρίλλιος, ὁ καὶ Κρόνιος παρ' Ἕλλησιν, εἶτα 5 Μεταγειτνιὼν ἤγουν Μάϊος, εἶτα Βοηδρομιὼν ἤγουν Ἰούνιος· ὄντων οὖν πάντων μηνῶν ιβ', λέγει ὅτι ὀκτὼ παρεληλύθεσαν μῆνες, ἐξ οὗ τριήρεις ἐκπέμπειν ἐψηφίσασθε, καὶ θάτερον ἦρξεν ἔτος, καὶ Ἰανουάριος, Φεβρουάριος, Μάρτιος ἤδη παρῆλθε· καὶ τότε μόλις μετὰ τὰ μυστήρια, ἤτοι μεγάλα, ἤγουν τὰ Βοηδρόμια, ἀπεστείλατε δέκα 10 ναῦς. P.

29, 28. τούτου τοῦ μηνὸς] Ἀττικὴ ἡ σύνταξις ἀντὶ δοτικῆς. B.

29, 29. μετὰ τὰ μυστήρια] τὰ Κόρης καὶ Δήμητρος. B.

30, 1. κενὰς] πολιτικῆς βοηθείας. B.P. Ἀθηναίων ἐπιβατῶν. A.R. Ἀθηναίων. ὅ ἐστι ξένους ἀντὶ Ἀθηναίων ἐχούσας. T.C.V. 15

30, 2. Φίλιππος ἀσθενῶν] ἐπικινδύνως ἀσθενῆσαί φασι Φίλιππον, ὅτε τὴν Μεθώνην ἐπολιόρκει, Ἀστέρος τινὸς στρατιώτου Μεθωναίου ἀπὸ τοῦ τείχους ἐπιγράψαντος τῷ δόρατι,

Ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος,

εἶτα πέμψαντος καὶ κατὰ τύχην τινὰ ἐπιτυχοντος κατὰ τοῦ ὀφθαλ- 20 μοῦ. λέγεται δὲ ὅτι καὶ ὁ Φίλιππος ἀντέγραψε πρὸς αὐτὸν, καὶ ἀντηκόντισεν, ὅμως οὐκ ἐπέτυχεν αὐτός·

Ἀστέρα Φίλιππος ἢν λάβῃ, κρεμήσεται. T.C.F.V.

στρατεύεσθαι πολεμεῖν ἐψηφίσαντο διὰ τὴν πολλὴν σπουδὴν, ὡς εἴρηται ceteri.

4—6. Αὐγούστου — Ἀπρίλλιος — Μάϊος—Ἰούνιος] Μαΐου—Ἰανουάριος—Φεβρουάριος—Μάρτιος P. ex interpolatione editoris: nam in margine recta scriptura affertur ex codicibus Paris. α. β. (αὐγούστου etiam ex η.) Huc accedit quod nominibus mensium μαιμακτηριὼν, ἑκατομβαιὼν, μεταγειτνιὼν, βοηδρομιὼν in B. adscripta sunt nomina αὔγουστος, ἀπρίλλιος, μάϊος, ἰούνιος. et ad βοηδρομιὼν in R. gl. ἰούλιος. eandemque computandi rationem sequitur scholiasta recens ad p. 359, 6. 11. et 17.

5. ὁ καὶ Κρόνιος] Legebatur ὃς ἔχει Χρόνον.

16. φασι] Legebatur φησι.

19. πέμπει Wolfius pro ἐπιπέμπει.

20. τιχὰ ἐπιτυχόντος] ἐπιτυχόντος αὐτοῦ F.

21. ἀντέγραψε] ἀντέπεμψε codex η Morelii.

αὐτὸν] τοῦτο F.

22. αὐτός] ἐπέγραψε δὲ addit P.

23. Φίλιππος ἢν Wolfius. Legebatur ἢν Φίλιππος. Φίλιππος om. T.C.

ὡς γὰρ ἠγγέλθη ὁ Φίλιππος ἀσθενῶν] τὴν αἰτίαν λέγει, δι' ἣν ἐρραθύμησαν, ἐξ ἀρχῆς σπουδάσαντες. B.

30, 5. τὸν ἀπόστολον] ἀπόστολος πᾶσα πεμπομένη δύναμις, εἴτε τοξοτῶν εἴτε ὁπλιτῶν εἴτε ἱππέων. ἐξαιρέτως δ' ἐκάλουν τὴν ναυτικὴν δύναμιν ἀπόστολον οἱ Ἀθηναῖοι. B.R.S. 5

ἦν δ' οὗτος ὁ καιρὸς αὐτὸς] ἀντὶ τοῦ, ἦν δὲ τότε εὔκαιρον ἐπιθέσθαι τῷ Φιλίππῳ, ὅτε ἠρρώστει. B.

ἀκούσαντες, φησὶ, νοσεῖν τὸν Φίλιππον ἐξελίπετε τὴν βοήθειαν. καὶ τότε μάλιστα ἐπιτήδειος καιρὸς βοηθεῖν ἐκείνοις ἦν, ἐν ᾧ κακῶς διέκειτο Φίλιππος. T.C.V. 10

εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν] ἐπηγγείλατο μὲν εἰς ὕστερον παρρησίᾳ χρήσασθαι· οὐδὲν δὲ ἧττον καὶ νῦν ἐπιτιμᾷ, σκώπτων εἰς κουφότητα καὶ ῥαθυμίαν τὸν δῆμον. οὐ μὴν ἀλλὰ κέκρυπται τὰ τῆς ἐπιτιμήσεως σφόδρα τεχνικῶς. ὅταν μὲν γὰρ πείθειν τι βουλώμεθα τοὺς ἀκούοντας, κἂν ἐπιτιμᾶν ἔχωμεν, ἐγκεκρύφθαι δεῖ τὴν παρρη- 15 σίαν, ἵνα μὴ χαλεπήναντες φιλονεικότεροι γένωνται· ὅταν δὲ τοῦτο μόνον βουλώμεθα ποιεῖν, διὰ τὸ σωφρονίζειν ἐπιτιμῶντες, τότε φανερώτερον τῇ παρρησίᾳ προσήκει κεχρῆσθαι. T.C.V.

30, 8. οὐκ ἂν ἄλλως ἔχοι] τὴν αἰτίαν ὥσπερ βούλεται ἡμῖν εἰπεῖν, διὰ τί ἐχρήσατο τῷ διηγήματι τούτῳ. πῶς γὰρ δυνατὸν 20 μεταποιηθῆναι τὰ ἤδη γενόμενα; καὶ γὰρ οἱ φιλόσοφοί φασιν ὡς ὅτι πάντα δύναται τὸ θεῖον ποιῆσαι, χωρὶς ἑνὸς, τοῦ ἄλλως ποιῆσαι τὰ ἤδη γενόμενα. T.C.V.

30, 10. τί δὴ χρησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι] ἐρώτησιν προθεὶς οὐκ ἐπήνεγκε τὴν ἀπόκρισιν, βοηθήσομεν· εἶθ' οὕτω τὰ ἑξῆς, εἰ γὰρ 25

3. εἴτε—εἴτε—εἴτε] ἤτε—ἢ R., omisso tertio εἴτε.

4. ἐξαιρέτως—Ἀθηναῖοι] ἐξαιρέτως τὴν ναυτικὴν οἱ ἀθηναῖοι R., omissis mediis. In F.P. hoc scholion sic scriptum, ἀπόστολον ἤγουν στόλον· ἀπόστολον γὰρ ἐκάλουν οἱ Ἀθηναῖοι καὶ πᾶσαν τὴν παρ' αὐτῶν πεμπομένην δύναμιν, τοξοτῶν, ὁπλιτῶν, ἱππέων, τῶν ἄλλων· ἐξαιρέτως δὲ τὴν ναυτικὴν δύναμιν.

8. ἐξελίπετε] ἐξελείπετε codex η Morelii.

17. διὰ addidit Wolfius.

20. ἐχρήσατο] ἐχρῆν T.C. et codex α Morelii.

21. καὶ γὰρ οἱ—γενόμενα om. T.C.

ὡς ὅτι] Vid. annot. ad p. 11, 20.

22. τοῦ ἄλλως ποιῆσαι] Non est sapientis mutare factum. WOLF.

24. προθεὶς] θεὶς F.

25. ἀπόκρισιν, βοηθήσομεν, εἶθ' οὕτως τὰ (τὸ codex η Morelii) ἑξῆς] Sententia est: cum verbum βοηθήσομεν subjiciendum fuisset, et mox cætera quæ in contextu sunt, εἰ γὰρ μὴ etc. responsionem esse de industria prætermissam. WOLF.

μὴ βοηθήσετε παντὶ σθένει. ὁ δὲ τὴν ἀπόκρισιν ἐξελὼν ἐνέφηνεν αὐτὸ διὰ τοῦ δευτέρου, εἰ γὰρ μὴ βοηθήσετε. ἐκ τούτου δείκνυται τίς ἦν ἡ ἀπόκρισις, ὅτι δεῖ βοηθῆσαι. T.C.F.V.

30, 12. παντὶ σθένει] παντοίᾳ βοηθείᾳ, οἷον ναυτικῇ, ὁπλιτικῇ, καὶ διὰ τῶν ἄλλων. T.C.V. ναυτικῇ καὶ ὁπλιτικῇ δυνάμει. B. 5

30, 15. ἐθάρρει] ἡ σχῆμά ἐστι κατὰ ἀντίπτωσιν, ἀντὶ τοῦ ἐθάρρει τούτοις, ἢ λείπει τῷ νοήματι τὸ ἀδικεῖν· οἷον οὐκ ἐθάρρει τούτους ἀδικεῖν· καὶ τὸ ἑξῆς δὲ αὐτοῦ οὕτω δεῖ λαβεῖν. B.

30, 18. πόλιν] τὴν Ὄλυνθον. P.

ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς] καλῶς ἐχρήσατο τῇ λέξει. ἐγγὺς 10 γὰρ οὔσης τῆς Μακεδονίας ἐπιτηρεῖν ὥσπερ ἔμελλεν αὐτοῦ τὰ ἀτυχήματα, πότε ἀτυχήσει, ἵνα τότε αὐτῷ εὐκαίρως ἐπίθηται. T.C.V.

30, 19. διηλλαγμένην] φίλην γενομένην. T.C.P.

ἐκπολεμῶσαι] ἐχθροὺς καταστῆσαι. T.C.P. καταβαλεῖν. P.

30, 20. τοὺς ἀνθρώπους] τοὺς Ὀλυνθίους. P. 15

30, 21. ἐθρύλουν] ηὔχοντο. B.P.

ὁπωσδήποτε] τυχηρῶς. B. οἷον τυχηρῶς· ἢ τῆς τύχης ἐνεργούσης ἡμῖν. C. αὐτομάτως. P.

30, 22. τί οὖν ὑπόλοιπον] ὑπερβατὸν καθ' ὑπέρθεσιν. B.

τὸ μέρος τοῦ συμφέροντος ἀνέκοψεν ἐνταῦθα τὸ ἀναγκαῖον, πληρω- 20 θέντος χρησίμου. T.C.P.

30, 24. χωρὶς γὰρ τῆς περιστάσης] καὶ ἐκ τῆς ἀδοξίας καὶ ἐκ τοῦ κινδύνου τὸ συμφέρον συνέστησεν, ἵν' οἱ μὲν σώφρονες καὶ γενναῖοι τὴν αἰσχύνην δείσαντες, οἱ δὲ πολλοὶ καὶ δημόται τὸν φόβον τὸν ἐκ τοῦ μέλλοντος κινδύνου, βοηθήσωσι τοῖς Ὀλυνθίοις. T.C.F.V. 25

καθυφείμεθα] ἤγουν ἐνδοίημεν. P.

30, 27. ἐχόντων μὲν ὡς ἔχουσιν] ἤγουν ἐχθρῶς. B. ἀντὶ τοῦ ἐχθρῶν ὄντων. T.C.P.

30, 29. πρὸς ταῦτα ἐπικλῖναι] μετὰ γὰρ τὴν Ὄλυνθον ἐπ' Ἀθήνας τραπῆναι ἀνάγκη. T.C.P. 30

1. ὁ δὲ (γὰρ T.C.P.) τὴν ἀπόκρισιν ἐξελὼν (ἐπαινῶν C.)] ἀλλ' ἐξελὼν τὴν ἀπόκρισιν F.

2. αὐτὸ] Sc. τὸ ῥῆμα τὸ βοηθήσομεν· aut αὐτὴν, τὴν ἀπόκρισιν. WOLF.

βοηθήσετε] βοηθήσετε T.C.

ἐκ] κάκ F.

11. αὐτοῦ τὰ ἀτυχήματα, πότε ἀτυχήσῃ] Alterutrum satis esset, vel nomen vel verbum. WOLF.

28. ὄντων] ἡμῖν T.C.

29. γὰρ om. T.C.

30. τραπῆναι] τὸν φίλιππον addit C., non T.

31, 1. ἀλλὰ μὴν] ἐνταῦθα τὸ μέρος τοῦ συμφέροντος τὸ ἀναγκαῖον, πληρωθέντος ἤδη τοῦ χρησίμου. B.

31, 6. ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν] ἀνθυποφορά. τὸ δυνατὸν κεφάλαιον. B.T.C.

ἐνταῦθα τὸ προηγούμενον κεφάλαιον πεπλήρωκε, τουτέστι τὸ συμφέρον, εἰς δὲ τὸ δυνατὸν μεταβέβηκεν, ὃ παρεμπίπτοντος ἔχει χώραν· δεικνύντος γὰρ αὐτοῦ τὸ συμφέρον, ὅτι βοηθεῖν δεῖ τοῖς Ὀλυνθίοις, ἀντέπεσε, καὶ πῶς δυνησόμεθα χρήματα μὴ ἔχοντες; καὶ γέγονεν ἡ εἴσοδος τοῦ δυνατοῦ ἀντίθεσις πρὸς τὸ συμφέρον· ἐὰν γὰρ ἀποδειχθῇ ὅτι καὶ χρημάτων εὐποροῦμεν, κατεσκεύασε τὸ συμφέρον, ὅτι δεῖ βοηθεῖν τοῖς συμμάχοις. T.C.F.V.

31, 8. μὴ τοίνυν] ἐπειδὴ τοῦ ἀκροατοῦ προσδοκῶντος περὶ πολέμου ἀκούειν αὐτὸς περὶ νομοθετῶν μέλλει λέγειν, διὰ τοῦτο τῇ προθεραπείᾳ χρῆται. νομοθέτας δὲ λέγει τοὺς κρίνοντας τοὺς νόμους καὶ τιθέντας νόμους καινούς. B.

μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] ἐπειδὴ τοῦ ἀκροατοῦ προσδοκῶντος ἀκούειν περὶ πολέμων, αὐτὸς περὶ νομοθετῶν μέλλει λέγειν, διὰ τοῦτο προθεραπεύει τοὺς πολλούς. οἱ γὰρ συνετοὶ οὐχ ἡγήσονται αὐτὸ παράδοξον, ἀλλὰ καὶ πάνυ ἀναγκαῖον. τολμηρὸν δὲ τὸ κελεύειν καθιστάναι νομοθέτας, ὡς λελυμένης τῆς δημοκρατίας, ἢ μελλούσης ὀλιγαρχίας γενέσθαι. διὰ τοῦτο τῇ προδιορθώσει κέχρηται, διὰ τὸ δοκοῦν ἄτοπον τῆς εἰσηγήσεως. τὸ οὖν μέλλον ῥηθῆναι παρὰ τοῦ δήμου, ὅτι σὺ κελεύεις νομοθέτας καθίστασθαι; οὐδὲ γὰρ ἔχομεν νόμον, ἀνακόπτει λέγων, ἐν δὲ τούτοις μὴ θῆσθε νόμον μηδένα, ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς λύσατε. T.C.V.

31, 10. νομοθέτας καθίστατε] νομοθέτης ἐλέγετο παρ' αὐτοῖς καὶ ὁ νόμον καινὸν εἰσφέρων καὶ πάλιν ὁ κρίνων τοὺς νόμους, μή πως ἐναντίοι τινὲς ἀλλήλοις ἔλαθον ὄντες. τοῦτο δὲ τὸ ἔργον ἦν τῶν θεσμοθετῶν. T.C.P.

3. Verba τὸ δυνατὸν κεφάλαιον in T.C. adscripta sunt ad εἰσὶ γὰρ ἱκανοί p. 31, 11.

7. δεικνύντος T.C. δεικνύοντος F.V.

10. εὐποροῦμεν] ἀποροῦμεν C. (non T.) V.

18. αὐτὸ] αὐτῷ V.

23. οὐδὲ γὰρ ἔχομεν νόμον] Malim: οὐ γὰρ ἔχομεν νόμους; *Num leges non habemus?* WOLF.

27. νόμους codices α. η. Morelii. νομίμους T.C.V. νόμους vel κυρίους conjecerat Wolfius.

31, 13. λέγω δὲ] οὐκ εἶπε γράφω, ἀλλὰ λέγω, διὰ τὸ ἀκινδυνότερον. T.C.

τῶν θεωρικῶν] εἰ μὲν τὰ θεωρικὰ τῇ θεωρίᾳ ἐδίδοσαν, οἰστὸν ἂν ἦν· νῦν δὲ τὰ τῶν στρατιωτῶν τοῖς θεωροῦσι νέμουσιν. ἑνὸς δὲ ὄντος νόμου, πῶς πολλοὺς αὐτοὺς λέγει; φαμὲν οὖν διοικήσεις πολλὰς καὶ ψηφίσματα γεγενῆσθαι περὶ τῶν χρημάτων. δι' ὃ καὶ πολλοὺς νόμους λέγει, ἵνα λυθῶσιν ἐν τοῖς νομοθέταις, ἢ ἵνα μὴ δόξῃ μόνῃ τῷ Εὐβούλῳ ἐναντιοῦσθαι ὡς ἐχθρός. A.R.

31, 16. οἱ δὲ τοὺς ἀτακτοῦντας] τίνι διαφέρουσιν οἱ ἀτακτοῦντες τῶν λειποτακτούντων καὶ τῶν ἀστρατεύτων; ἀστράτευτος μέν ἐστιν ὁ μηδέποτε ἐγγραφεὶς εἰς τὸν κατάλογον τῶν στρατιωτῶν· ἄτακτος δὲ ὁ ἐγγραφεὶς μέν, μὴ ἐξιὼν δὲ εἰς τὰς ἐπιβαλλούσας αὐτῷ στρατείας· λειποτάκτης δὲ ὁ παρὰ τὴν μάχην καὶ τὸ στρατόπεδον τὴν τάξιν καὶ τοὺς συνασπιστὰς ἀπολιπών. νόμοι δὲ ἦσαν κελεύοντες ἀφίεσθαί τινας τῆς στρατείας, ὥστε πομπεύειν εἰς τὰ Διονύσια. κατὰ χάριν οὖν τὴν ἑαυτῶν οἱ χορηγοὶ τοὺς νεωτάτους καὶ τοὺς ἐκ τοῦ καταλόγου μάλιστα ἐπελέγοντο. ὁ δὲ Δημοσθένης τοὺς μὲν ἐκ τοῦ καταλόγου στρατεύεσθαι ἔφη, ἐκ δὲ τῆς ἀρχήστου ἡλικίας γίνεσθαι τοὺς χορευτάς. T.C.V.

31, 18. ἐπειδὰν δὲ ταῦτα λύσητε] βούλεται ψήφισμα λαβεῖν

3. τῶν θεωρικῶν] In B. hæc sunt adscripta, ex Suida s. v. θεωρικά huc translata, qui ex Photio sumpsit p. 89, 20. Harpocrationis glossam in compendium redigente, χρήματά τινα ἦν ἐν τῷ (τῷ om. Photius et Suidas) κοινῷ, ἀπὸ τῶν τῆς πόλεως προσόδων συναγόμενα, ἃ πρότερον μὲν εἰς τὰς τοῦ πολέμου χρείας ἐφυλάττετο, καὶ ἐκαλεῖτο στρατηγικά· ὕστερον δὲ κατετίθετο εἴς τε τὰς δημοσίας κατασκευὰς καὶ διανομὰς τῶν πολιτῶν· ἦν δὲ τὸ μὲν πρότερον νομισθὲν δραχμὴ τῆς θέας· ὅθεν καὶ θεωρικὰ ἐκλήθη. Φιλῖνος δέ φησιν ὅτι διὰ τοῦτο ἐκλήθη θεωρικά, διότι τῶν Διονυσίων ὑπογείων (scribendum ὑπογύων ex Photio et Suida) ὄντων διένειμεν Εὔβουλος εἰς τὴν θυσίαν, ἵνα πάντες ἑορτάζωσι, καὶ μηδεὶς ἀπολείπηται δι' ἔνδειαν ἀναλωμάτων. ἄλλοτε δὲ ἄλλως ὡρίζετο τὸ διδόμενον εἴς τε τὰς θέας καὶ τὰς θυσίας, καὶ τὰς ἑορτάς. οὐκ ἐξῆν δὲ τοῖς ἀποδημοῦσι τὰ θεωρικὰ λαμβάνειν. ἦν δὲ καὶ ἀρχή τις ἐπὶ τοῦ θεωρικοῦ, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (p. 57, 15.) δηλοῖ.

μὲν] μὲν γὰρ A.

14. νόμοι ἦσαν κελεύοντες ἀφίεσθαί τινας τῆς στρατείας ὥστε πομπεύειν εἰς τὰ Διονυσία] Hoc colligitur ex Demosth. p. 519, 14. ὅσα τοὺς χορευτὰς ἐναντιούμενος ἡμῖν ἀφεθῆναι τῆς στρατείας ἠνώχλησεν—ἐάσω. ubi similis atque hoc loco est annotatio scholiastæ, ἔθος ἦν τοὺς τῷ Διονύσῳ χορεύοντας μὴ στρατεύεσθαι τοῦτον τὸν χρόνον. ὁ τοίνυν Μειδίας ἠνάγκαζεν αὐτοὺς ἐξιέναι καὶ οὐκ εἴα τῆς στρατείας ἀφίεσθαι.

15. ὥστε πομπεύειν] ὡς τὸ πέμπειν codex η Morelii.

16. νεωτάτους] νεωτέρους idem codex.

παρὰ τοῦ δήμου, τὸ παρέχον τὴν ἄδειαν τοῦ κατηγορεῖν τοῦ νόμου. T.C.V.

31, 19. τηνικαῦτα τὸν γράψαντα] σοφίσματι κέχρηται καὶ συναρπάζει τὸν δῆμον. τῶν γὰρ πλουσίων μόνον συμφέρον ἡγουμένων λυθῆναι τὰ θεωρικά, αὐτὸς πάντας προσέθηκεν, ὡς καὶ τοῦ δήμου τοῦτο σπουδάζοντος. T.C.F.V. τὸ δὲ ὅτι σύνδεσμος. P.

31, 23. ἄλλως τε καὶ τούτου μόνου] ἀντιπῖπτον λύει· ἵνα μή τις εἴπῃ ὅτι "πῶς αὐτὸς ὀκνεῖς ὁ φιλόπολις τὸν ὑπὲρ τῆς πόλεως θά-"νατον, ὡς Κόδρος, ὁ βασιλεὺς Ἀθηναίων, καὶ τοῦ Λεὼ θυγατέρες;" ἐπάγει ὅτι, εἰ κἀκεῖνοι ἔπιπτον ὑπὲρ τῆς πατρίδος, ἀλλ' εἶχον παραμυθίαν τοῦ θανάτου τὸ χρησιμεύειν τοῖς πράγμασιν· ἐγὼ δὲ, ἐὰν ἀποθάνω νῦν, οὐ μόνον οὐκ ὠφελήσω, ἀλλὰ καὶ βλάψω τοῖς πράγμασι μᾶλλον, φοβερώτερον καταστήσας τὸ βῆμα τοῖς βουλομένοις παρρησιάζεσθαι. B.T.C.V.

31, 27. καὶ λύειν γε] ἐντεῦθεν ἐκ τοῦ δικαίου ἐπιχειρεῖ. A.

31, 29. οἵπερ καὶ τεθείκασι] βούλεται κατήγορον αὐτὸν ἑαυτοῦ ποιῆσαι τὸν Εὔβουλον. T.C.P.

32, 4. πρὶν δὲ ταῦτα εὐτρεπίσαι] ἀντιπῖπτον ἔλυσε, ἀλλὰ σὺ λύεις τὸν νόμον, μηδὲν εὐλαβηθείς. ἀπήντησεν οὖν διλημμάτως· εἰ μὲν οὐ δώσω δίκην λύσας τοὺς νόμους, τυραννικὸν τὸ τοιοῦτον· εἰ δὲ ἀνάγκη κινδυνεύειν, πῶς οὐκ ἀνόητος ἔσομαι εἰς πρόδηλον κακὸν ἐμαυτὸν ἐμβάλλων; T.C.F.V.

1. τοῦ νόμου (vel τῶν νόμων, τοῦ τε Διονυσιακοῦ καὶ τοῦ θεωρικοῦ) Wolfius. τὸν νόμον libri.

3. καὶ addidi ex F. et α. β. Morelii. Eo omisso Wolfius conjecit συναρπάζων vel τοῦ συναρπάζειν ἕνεκα. συναρπάζει iidem codices et T. συναρπάζειν C.V.

4. μόνον συμφέρον Wolfius. μόνον τὸ συμφέρον T.C.V. In F. est μόνον τοῦτο συμφέρειν ἡγουμένων τὸ λυθῆναι.

7. ἀντιπῖπτον—παρρησιάζεσθαι] Exhibui hoc scholion ut conceptum est in B., a quo nonnihil differunt T.C.V. ἀντιπίπτον λύει, ἵνα μή τις εἴπῃ, τί οὖν ὀκνεῖς σὺ, ὦ (ὁ T.C.) φιλόπολις, ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν, ὡς ὁ Κόδρος καί τινες ἄλλοι· ἐπάγει ὅτι (ὡς pro ὅτι C. Fortasse utrumque conjungendum, ut alibi ἐπάγει ὡς ὅτι: vid. ad schol. p. 11, 20.) ἐκεῖνοι μὲν εἶχον ὥσπερ παραμυθίαν τὸ ἀποθνήσκειν ὑπὲρ τοῦ χρησιμεύειν τοῖς πράγμασιν, ἐγὼ δὲ ἐὰν ἀποθάνω νῦν, οὐ μόνον οὐκ ὠφελήσω, ἀλλὰ καὶ βλάψω, φοβερώτερον καθιστὰς τὸ βῆμα τοῖς βουλομένοις (βουλευομένοις V.) παρρησιάζεσθαι.

17. ποιῆσαι] ἀποφῆναι C. In T. quid fuerit non constat, quum in partem marginis abscissam incidat.

18. ἀλλὰ σὺ λύεις additum ex F.P.

19. διλημμάτως] διὰ διλήμματος codex η Morelii.

32, 8. οὐ μὴν οὐδ' ἐκεῖνο ὑμᾶς] ἀντιπῖπτον ἐπανορθοῦται, μηδὲν φοβηθῇς, ὦ Δημόσθενες, τὸν νόμον λύσας· ψήφισμα γὰρ ποιοῦμεν ὥστε λυθῆναι. τί οὖν, φησὶν, ἂν ψηφίσησθε μὲν, μηδὲν δὲ πράξητε τῶν ἐφεξῆς, οἷον, ἐὰν μὴ συνέλθητε ὥστε λῦσαι, ἢ συνελθόντες μὴ λύσητε, τί τὸ κέρδος τοῦ ψηφίσματος; T.C.F.V. 5

32, 11. εἰ γὰρ αὐτάρκη] καθ' ὑπόθεσιν τὸ σχῆμα. B.

32, 14. οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι] ἀσαφὲς τὸ χωρίον· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἂν ἐδεήθητε πολλῶν ψηφισμάτων, καὶ ἐπράξατ' ἂν ἐξ αὐτῶν ἢ μικρὰ ἢ οὐδέν. ἐξήρκει γὰρ ἓν ψήφισμα καταγωνίσασθαι τὸν Φίλιππον. T.C.F.V. 10

32, 17. ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει] ἐπίκρισις. B.T.C.

τὸ γὰρ πράττειν τοῦ λέγειν] γνώμη ἐνθυμηματική. B.T.C.P.

τόπον Ἀριστοτελικὸν διὰ τῆς γνώμης ἐγύμνασεν. ἔστι δὲ ὁ τόπος, τὸ αἴτιον τινὶ τοῦ εἶναι πρῶτόν ἐστιν· αἴτια δὲ τὰ ἔργα τῶν λόγων· πρότερα ἄρα ἔσται, καὶ πάλιν οὗ ἕνεκά τι πράττεται, τοῦτο κρεῖττόν 15 ἐστιν. T.C.F.V.

32, 19. τοῦτ' οὖν δεῖ προσεῖναι] τουτέστι τὸ λυθῆναι τὸν νόμον καὶ γενέσθαι τὰ θεωρικὰ στρατιωτικά. T.C.

32, 22. ὀξύτατοι] ἐκ τούτου ἔστι μαθεῖν ὅτι εἰ καὶ βάναυσοί τινες ἦσαν τὴν τέχνην καὶ κάπηλοι καὶ ἄλλοι τοιοῦτοι ἀκροαταὶ 20 παρὰ τοῖς Ἀθηναίοις καὶ δικασταὶ, ἀλλ' οὖν γε Ἀθηναῖοι ὄντες καὶ σοφοὶ τὴν φύσιν ἐνόουν τὰ παρὰ τῶν ῥητόρων λεγόμενα. B.

32, 23. πρᾶξαι δὲ δυνήσεσθε] οὐκ εἶπε πολεμήσετε, φεύγων τὸ λυπεῖν διὰ τῆς δυσχερείας τοῦ ὀνόματος. T.C.P.

τίνα γὰρ χρόνον ἢ τίνα καιρὸν] ἀνακεφαλαίωσις κατὰ ἀναπο- 25 δισμόν· τὸ δὲ χρόνον ἢ καιρὸν ἐκ παραλλήλου τὸ αὐτό. ἢ χρόνον μὲν λέγει πάντα, ὃν πολεμοῦσι Φιλίππῳ, καιρὸν δὲ τὸν νῦν, εἰς ὃν πολεμοῦσιν αὐτῷ διὰ τοὺς Ὀλυνθίους. B. καὶ τοῦτο τοῦ δυνατοῦ

4. ἐὰν μὴ συνέλθητε] εἰ μὴ συνέλθοιτε F. et Par. η Morelii.
5. λύσητε] λύσετε F. et Par. η.
7. ἀσαφὲς τὸ χωρίον om. F.
8. οὐκ ἂν Wolfius. οὔτ' ἂν T.C.F. ὅταν V.
9. ἐπράξατ' ἂν ἐξ αὐτῶν ἢ] ἐξ αὐτῶν ἐπράττετε F.
10. τὸν Φίλιππον] γράψαντας addunt T.C.V.: ante καταγωνίσασθαι habent F.P. Delevit Wolfius.
15. ἔσται] ἐστὶ F.
οὗ T.C.F. οὗ ἂν V.
23. πολεμήσετε] τολμήσετε margo C.
24. τοῦ ὀνόματος] τῶν ὀνομάτων T.C.
28. τοῦ om. T.C.V.

μέρους ἐστί. πᾶσα γὰρ περὶ καιρὸν καὶ χρόνον ἐξέτασις εἰς τὸ δυνατὸν ἔχει τὴν ἀναφοράν. A.H.R.T.C.F.V.

32, 26. οὐχ ἅπαντα μὲν] ἀνακεφαλαίωσις ἡ κατὰ ἀναποδισμόν. T.C.P.

33, 1. οὐκ ἐχθρός;] σφοδρὰ καὶ κατ' ἔννοιαν καὶ κατὰ σχῆμα τὰ κῶλα, ἢ μᾶλλον τὰ κόμματα. B.

33, 2. οὐ βάρβαρος;] ὑβρίσαι τοῦτον βουλόμενος καλεῖ αὐτὸν βάρβαρον. ἐπεὶ τὸ ἀληθὲς σκοπήσει, εὑρήσει αὐτὸν Ἕλληνα Ἀργεῖον καὶ ἀπὸ Ἡρακλέους τὸ γένος καταγόμενον, ὡς πάντες οἱ ἱστορικοὶ μαρτυροῦσιν· ἀμέλει καὶ τὸν υἱὸν αὐτοῦ, Ἀλέξανδρον, μικρὸν κομιδῇ ὄντα, ἀναγαγὼν εἰς τὸ Ἄργος μιᾷ φυλῇ τῶν ἐν τῷ Ἄργει ἐνέγραψεν. B.

33, 9. πάντων μᾶλλον] ἤπερ ἑαυτοῦ. B.

33, 12. καὶ νῦν οὐ λέγει τις] εἰς ἑαυτὸν ἀποτείνεται ὁ ῥήτωρ. B. ἀνθυποφορὰ, ἣν λύει ὅρῳ. R.

33, 14. ἀγαθῇ τύχῃ] ἡδομένου ὥσπερ καὶ συνευχομένου αὐτοῖς τὰ κάλλιστα τὸ ῥῆμα, ἵνα δείξῃ ὅτι οὐ διαφωνεῖται τοῖς ἄλλοις ῥήτορσιν. B.

ἀλλ' οὐχ ἡδέα ταῦτα] κατὰ ἐρώτησιν. οὐχ ἡδέα, φησὶ, τὰ παρ' ἐμοῦ λεγόμενα, ὅτι συμβουλεύω τὰ θεωρικὰ γενέσθαι στρατιωτικά; οὐκ ἐγὼ, φησὶν, αἴτιος τούτων, ἀλλ' ἡ φύσις τῶν πραγμάτων, ὅτι οὐ δύναμαι εἰσαγαγεῖν καὶ τὰ ἡδέα καὶ τὰ ὠφέλιμα. T.C.V.

33, 15. πλὴν εἰ δέον εὔξασθαι] πλὴν εἰ μὴ ἄρα, φησὶν, ἐν τούτῳ ἀδικῶ, ἐν ᾧ οὐκ εὔχομαι καὶ ἑκάτερα ὑμῖν προσγενέσθαι, καὶ τὰ ἡδέα καὶ τὰ ὠφέλιμα. T.C.V. εἴπερ δέον εὔξασθαι οὐκ εὔχομαι. εἰ μὴ ἄρα ἐν τούτῳ ἀδικῶ, ὅτι οὐκ εὔχομαι γενέσθαι ὑμῖν τὰ ἡδέα καὶ τὰ ὠφέλιμα. A.R.

33, 16. εὔξασθαι μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι] τί ζητεῖτε, φησὶ, παρὰ τοῦ συμβούλου; εὐχὴν, ὡς ἔοικεν, ἀπαιτεῖται τοῦτο. οὐ γὰρ μόνον ῥᾴδιόν ἐστι τοῦτο, ἀλλὰ καὶ ἡδύ. εὔχεται γάρ τις ὅ τι καὶ

1. μέρους] μέρος H.R.T.C.F.
περὶ] παρὰ R.F.
19. οὐχ] ἀλλ' οὐχ C.
21. οὐκ] ἀλλ' οὐκ P.
22. δύναμαι Wolfius. δύναται libri.
ἡδέα correxi ex scholio proximo.
ἡμέτερα T.C.V. ἡδύτερα Wolfius.
25. εἴπερ δέον εὔξασθαι om. R.
28. τί addidit Wolfius.
ζητεῖτε] ζητεῖται T.C.

βούλεται. τὸ δὲ δέον προσέθηκε συντρέχων ταῖς γνώμαις τῶν φιλοσόφων· εἰσὶ γὰρ αὐτῶν οἵ φασι μὴ δεῖν εὔχεσθαι περὶ τῶν ἐφ' ἡμῖν· ἢ καὶ ἴσως ἀνωφελὲς τὸ τῆς εὐχῆς ἡγούμενος. T.C.V.

33, 18. ἑλέσθαι δὲ ὅταν] ὅτε δὲ χρεία βουλεύεσθαι, οὐκέτι ἃ βούλεταί τις σκοπεῖ καὶ αἱρεῖται, ὥσπερ ἐν τῷ εὔχεσθαι, ἀλλ' ὡς ἀπαιτεῖ τὰ πράγματα. A.

33, 21. εἰ δέ τις ἡμῖν ἔχει τὰ θεωρικὰ] οὐκ ἔστιν ἀντίθεσις, ἀλλὰ νόημα ἀποκλεῖον τῆς ἀναβολῆς τὸν δῆμον· ἵνα γὰρ μὴ μέλλοντας πόρους ἐπιζητῶσιν, ἐπειγόντων τῶν πραγμάτων, διὰ τοῦτο εἶπεν ὅτι θαυμάζω εἴ τις εὐπορῆσαι τῶν ἀπόντων πρὸς ἃ δεῖ δυνήσεται. οἱ γὰρ μέλλοντες πόροι οὐδὲν ποιοῦσι πρὸς τὰ παρόντα· αἱ γὰρ νῦν πράξεις οὐ μέλλοντας πόρους ἀπαιτοῦσιν. T.C.F.V.

33, 26. ἂν τὰ παρόντα ἀναλώσῃ] σημείωσαι· παρίσωσις κατὰ τὸ τέλος. B.T.C.P.

34, 1. τὰ δὲ πράγματα πολλάκις] καλῶς ὁ προσδιορισμός· ἔστι γὰρ ἐνίοτε καὶ οὕτως ἡμῖν ἐκβαίνειν τὰ πράγματα, ὡς καὶ νομίζομεν, εἶναι. B.

34, 4. καὶ μισθὸν ἕξετε] μείζονα χρημάτων αὐτοῖς εὐπορίαν ὑποτίθεται. ὁ γὰρ μισθὸς καθημερινὴ δόσις ἐστὶ χρημάτων· τὰ δὲ θεωρικὰ ταῖς ἱερομηνίαις ἐλάμβανον. T.C.V.

34, 5. σωφρόνων] συνετῶν· τὸ δὲ γενναίων οὐκ ἰσχυρῶν λέγει, ἀλλ' ἐλευθέρων καὶ εὐγενῶν. B.T.C.V.

οὔ τοι σωφρόνων] τραχεῖα μὲν ἡ ἔννοια, ἐν δὲ τῷ καθόλου λεχθεῖσα λειοτέρως πως γίνεται. μελετᾷ δὲ τὸ δυνατὸν κεφάλαιον. λέγει γὰρ ὅτι οὐ δίκαιόν ἐστιν ἐπὶ μὲν Ἑλληνας στρατεύεσθαι, ἐπὶ δὲ Φίλιππον, βάρβαρον ὄντα, μή· καὶ ὅτι δίκαιόν ἐστιν ἐμμένειν οἷς ἐψηφισάμεθα, τουτέστι τῷ βοηθεῖν τοῖς Ὀλυνθίοις. B.

34, 7. οὐδ' ἐπὶ μὲν Κορινθίους] ἀπὸ κοινοῦ τὸ οὐδαμῶς σωφρόνων

3. εὐχῆς Wolfius. τύχης libri. ἡγούμενος T.C. ἡγούμενον V.

7. ἔστιν ἀντίθεσις] ἔστι τοῦτο ἀντίθεσις F.P.

10. εὐπορῆσαι T.C.F. ἀπορῆσαι V.

13. σημείωσαι om. T.C.P.

21. συνετῶν — εὐγενῶν] σωφρόνων ἀντὶ τοῦ συνετῶν. γενναίων δὲ, εὐγενῶν, ἐλευθέρων, οὐχὶ ἰσχυρῶν T.C.V.

24. μελετᾷ—τοῖς Ὀλυνθίοις] Hanc tantum scholii partem habet S. sic scriptam τὸ δίκαιον κεφάλαιον πρῶτον μὲν συμβουλεῦον μὴ δίκαιον ἐπὶ μὲν Ἕλληνας στρατεύεσθαι, ἐπὶ δὲ Φίλιππον βάρβαρον ὄντα, μή· εἶτα ὅτι δέον ἐστὶν ἐμμένειν οἷς ἐψηφίσαντο τουτέστιν Ἀθηναίοις (sic) βοηθεῖν.

25. Ἕλληνας] ἕλλησι B. Correxi ex S.

27. τῷ] Legebatur τό.

ἐστὶν, οὐδὲ γενναίων, ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας, ὅ ἐστιν Ἕλληνας ὄντας, στρατεύεσθαι, ἐπὶ δὲ Φίλιππον, τὸν βάρβαρον ὄντα, μή. αἱ δὲ αἰτίαι αἱ κατὰ Μεγαρέων καὶ Κορινθίων αὗται. οἱ Μεγαρεῖς τὴν ὀργάδα παρέτεμνον, οἱ δὲ Κορίνθιοι συνεμάχουν τοῖς Μεγαρεῦσι, καὶ διὰ τοῦτο εἰς πόλεμον Ἀθηναίοις κατέστησαν. 5 ὀργὰς δὲ ἐκαλεῖτο ἡ χώρα ἢ διὰ τὰ ὄργια τῶν θεῶν, ἢ διὰ τὸ ἀργὴν εἶναι καὶ ὀργᾶν ἐν αὐτῇ. T.C.F.V.

ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας] Ἕλληνας ὄντας. A.

ἐπὶ μὲν Κορινθίους] παράδειγμα πρόσφορον εἰσήγαγεν αὐτοῖς. πολέμων γὰρ μέμνηται καὶ κατορθωμάτων αὐτοῖς ἄνευ καμάτων καὶ 10 πόνων, ἵνα ταὐτὰ νομίσωσι καὶ ἐπὶ τοῦ παρόντος. Κορίνθιοι, λελυπημένοι κατ' Ἀθηναίων, καλοῦντες πάντας Ἕλληνας εἰς τὰ Ἴσθμια (κοινὴ γὰρ ἦν ἡ πανήγυρις) τοὺς Ἀθηναίους παρῆκαν. οὗτοι, ὡς θεοσεβεῖς ὄντες, ἔπεμψαν τὴν θυσίαν μετὰ ὁπλιτῶν, ἵν', εἰ δέξωνται αὐτὴν, ὑπόσπονδοι ὑποστρέψωσιν· οὐ γὰρ ἐπὶ πόλεμον ἐξεληλύθεισαν. 15 ὃ δὴ καὶ γεγένηται· ἑορακότες γὰρ τὴν παρασκευὴν οἱ Κορίνθιοι ἐδέξαντο. ἄνευ οὖν πόνων συνέβη κατορθῶσαι αὐτοὺς τοῦτο τὸ πρᾶγμα. A.R.

Μεγαρέας] τὴν ἱερὰν γῆν ὡς ὀργάδα καὶ ἄνετον ἐγεώργουν οἱ Μεγαρεῖς. πάλιν ὡς εὐσεβεῖς οἱ Ἀθηναῖοι ἐξελθόντες ἔπαυσαν 20 αὐτοὺς μόνῃ τῇ θέᾳ νικήσαντες. A.

34, 11. οὐχ ἵν' ἀπέχθωμαι] ἐπιδιόρθωσις. B.

34, 14. ἀλλὰ—] ἐντεῦθεν μεταβέβηκεν ἐπὶ τὸ τρίτον τοῦ λόγου μέρος, ἐπιλογικὸν μὲν εἶναι δοκοῦν, ἔχον δὲ καταδρομὴν τοῦ τε νόμου τῶν καὶ τοῦ θέντος αὐτόν. πέπτωκε δὲ ἀκο- 25 λούθως τοῦτο τὸ μέρος. εἰ γὰρ διὰ τὰ χρήματα διέφθαρται τὰ

7. ἐν αὐτῇ (ἑαυτῇ T.C.F.) redundare monet Wolfius, qui supra post τῶν θεῶν addendum esse conjecit γιγνόμενα ἐν αὐτῇ.

11. νομίσωσι] νομίζωσι R.

12. κατ' Ἀθηναίων Reiskius. καὶ ἀθηναῖοι A.R.

14. τὴν θυσίαν] τὰς θυσίας A.

εἰ δέξωνται] Debebat εἰ δέξαιντο scribere.

15. αὐτὴν] αὐτοὺς A.

16. ἑορακότες] ἑωρακότες A.R.

24. τοῦ λόγου om. A.R.

25. τῶν θεωρικῶν] τοῦ περὶ τῶν θεωρικῶν Wolfius.

αὐτόν om. A.R. In R. postrema sic scripta καταδρομὴν καὶ τοῦ τεθέντος νόμου. Sequentia πέπτωκε δὲ usque ad finem scholii non leguntur in A.R.

δὲ Wolfius. γὰρ libri.

26. γὰρ add. F.P., om. T.C.V.

πράγματα τῆς πόλεως, αἴτιος δὲ τούτων ὁ νόμος, ἄξιον ἦν καταδραμεῖν αὐτοῦ τε καὶ τοῦ θέντος αὐτόν. ἡ δὲ καταδρομὴ γέγονε κατὰ ἀντεξέτασιν τῶν νῦν πολιτευομένων καὶ τῶν ἐπὶ τῶν προγόνων. κἀκείνοις μὲν ἑαυτὸν ἀπείκασε, τούτων δὲ καθήψατο, καὶ διχόθεν ἑαυτὸν συνέστησεν, ἐξ ὧν καὶ τούτους οὐ μιμεῖται καὶ τοὺς παλαιοὺς ἐζήλωκε τῷ ἔθει καὶ τῷ τρόπῳ τῆς πολιτείας, οὐ τοῖς κατορθώμασιν. T.C.F.V. 5

34, 17. ἀκούω ὥσπερ ἴσως καὶ ὑμεῖς] ἐπὶ μὲν αὐτῶν τέθεικε τὸ ἴσως, ἐπὶ δὲ ἑαυτοῦ τὸ ἀκούω, ὡς ἀκριβεστέρου αὐτῶν καὶ πλέον περιεργαζομένου τὰ τῶν προγόνων, οἷα δὴ καὶ τὰ ἐκείνων ζηλοῦντος. τινὲς δὲ ἐξηγοῦνται τὸ ἴσως πρὸς τὴν ἀκοήν, ὅτι καί τινες ἦσαν ἴσως μὴ μόνον ἀκοῇ εἰδότες τὰ τῶν προγόνων, ἀλλὰ καὶ τῇ θέᾳ, διὰ τὸ μακρόβιον ἑαυτῶν. B.P. 10

34, 18. οἱ παριόντες] οἱ δημηγοροῦντες. C.P.

34, 20. ἐκεῖνον] τὸ ἐκεῖνον ὡς θαυμάζων προσέθηκε. C.P. 15

34, 21. τὸν Περικλέα] διὰ τί τὸν Περικλέα δεύτερον τέθεικε πρεσβύτερον ὄντα τοῦ τε Νικίου καὶ τοῦ Δημοσθένους; ὅτι τοὺς ἄκρους κατ' ἀρετὴν ἐν ἄκροις ἔταξε, τοὺς δὲ μέσους ἐν μέσοις. διὰ τί δὲ μὴ καὶ Θεμιστοκλέους καὶ Μιλτιάδου ἐμνήσθη; ἐπειδὴ ἐκεῖνοι μὲν κατὰ βαρβάρων εὐδοκίμησαν, οὗτοι δὲ κατὰ τὴν πολιτείαν. B.P. 20

34, 22. διερωτῶντες] ἀντὶ τοῦ διόλου ἐρωτῶντες. B.

34, 23. προπέποται] ἀντὶ τῶν λοιπῶν ἡδέων ἀντιδεδώρηται τῶν πόλεων ἡ ἀπώλεια. ἀπὸ μεταφορᾶς τοῦ προπίνειν ἐν τοῖς συμποσίοις, ὅταν τις χάριτας ὁμολογῶν τινι δεξιωσάμενος αὐτὸν τῷ πόματι 25

1. ἄξιον P. ἄξιος T.C.F.V.
3. ἐπὶ τῶν om. V.: habent T.C.F.P. Conf. p. 113, 10.
5. ἦν καὶ] ἦν τε Wolfius.
15. ὡς om. C.
θαυμάζων προσέθηκε] θαυμαστὸν τέθειται codex β Morelii.
16. τί] τί μὴ B.
δεύτερον τέθεικε] τέθεικε τελευταῖον P.
23. ἀντὶ τῶν λοιπῶν] ἀντὶ τοῦ τῷ λόγῳ τῶν P.
τῶν πόλεων] τῆς πόλεως P.
24. τοῖς om. P.
25. χάριτας H.R.S. χάριν B. P.
πόματι] στόματι P.: illud codices et γρ. P. "Fortasse ita hæc legenda sint: δεξιωσάμενος αὐτὸ (scilicet τὸ ποτήριον) τῷ στόματι: ut hic sensus sit: *cum quis—accepto a pincerna poculo, eoque leviter delibato*, etc." MOUNT.

μετὰ τοῦ ποτοῦ χαρίσηται αὐτῷ καὶ τὸ ποτήριον, ἀργυροῦν ὂν ἢ χρυσοῦν. B.H.R.S.P.

34, 27. καίτοι σκέψασθε] εἰς ταύτην τὴν ἀντεξέτασιν ἐχώρησεν, ἣν διεῖλεν εἰς τρία· πῶς μὲν ἐπολιτεύοντο πρὸς τοὺς Ἕλληνας, πῶς δὲ πρὸς τὴν πόλιν, πῶς δὲ τὰ καθ' ἑαυτοὺς ἰδίᾳ. T.C.F.V.

35, 3. οἷς οὐκ ἐχαρίζοντο] τί οὖν; τοὺς προγόνους ἐμίσουν οὗτοι καὶ οὐκ ἐφίλουν; ἐπάγει εὐθὺς ὅτι ἐφίλουν, ἀλλ' οὐχ ὡς οὗτοι οἱ προδόται· οὗτοι γὰρ φιλοῦσι τῷ δοκεῖν καὶ χαρίζονται ἐπὶ τῷ ἀπολέσαι τὰ πράγματα. B.P.

35, 5. πέντε μὲν] πῶς τετταράκοντα καὶ πέντε νῦν εἰπὼν ἐν ἑτέρῳ λόγῳ τρία καὶ ἑβδομήκοντα ἄρξαι τῶν Ἑλλήνων φησί; δεῖ γὰρ εἶναι ἐγγὺς τὸν ἀριθμόν· οἷον, ὁ παῖς οὗτος οὐδαμῶς ἄν τις εἴποι ὅτι τριῶν ἐτῶν ἐστιν ἢ εἴκοσιν, ἀλλὰ τριῶν ἢ τεσσάρων ἢ πέντε· ἐγγὺς γὰρ ὁ ἀριθμός. λέγομεν οὖν ὅτι προσέθηκεν ἐνταῦθα τὸ ἑκόντων· τὰ γὰρ ἄλλα ὀκτὼ καὶ εἴκοσιν ἔτη ἀκόντων αὐτῶν ἦρξαν, διὰ τὸ ἐπαχθῶς φέρεσθαι τοῖς Ἕλλησι τοὺς Ἀθηναίους. B.P.

τῶν Ἑλλήνων] μνημονεύει τούτων Θουκυδίδης ἐν τῇ δευτέρᾳ ἱστορίᾳ. B.P.

35, 7. ὑπήκουε] καὶ μέντοι καὶ φόρους ἤνεγκεν αὐτοῖς Περδίκκας, ὁ ἀδελφὸς Φιλίππου, θεῖος Ἀμύντου, τοῦ πατρὸς Φιλίππου, ὥς φησι Διόδωρος· Ἀλεξάνδρου γὰρ τοῦ Φιλέλληνος, τοῦ γενομένου ἐπὶ τῶν Μηδικῶν, δύο παῖδες, Περδίκκας καὶ Φίλιππος. ἐπολέμησαν οὖν πρὸς αὐτὸν οἱ Ἀθηναῖοι. B.P. οἱ μὲν Περδίκκαν εἶναί φασι τὸν ἐνεγκόντα τοὺς φόρους Ἀθηναίοις, οἱ δὲ Φίλιππόν τινα τῶν Φιλίππου προγόνων. T.C.F.V.

ταύτην τὴν χώραν] τὴν Μακεδονίαν. B.

1. ποτοῦ] πόματος H.R. ποτηρίου S., superscripto a m. rec. πόματος.
αὐτῷ om. H.R.
3. εἰς ταύτην] ἐπ' αὐτὴν F.
ἀντεξέτασιν] ἐξέτασιν V.
6. τοὺς προγόνους—οὗτοι Wolfius. οἱ πρόγονοι—αὐτοὺς libri.
7. οὗτοι οἱ] οἱ ἄλλοι P.
8. τῷ] τὸ P.
τὸ] τῷ P.
10. ἐν ἑτέρῳ λόγῳ] p. 116, 21.
12. ἂν addidit Sauppius.
19. Περδίκκας ὁ ἀδελφὸς Φιλίππου, θεῖος Ἀμύντου, τοῦ πατρὸς Φιλίππου] περδίκκας ὁ θεῖος ἀμύντου, ἀδελφὸς φιλίππου τοῦ πατρὸς φιλίππου B.P. Recte in γρ. P.
21. Διόδωρος] Librone decimo an 12, 50? SAUPP.
23. οἱ om. B.
24. τῶν—προγόνων Wolfius. τοῦ—πρόγονος libri.

35, 8. *βασιλεὺς*] Περδίκκας ὁ πατὴρ Ἀμύντου τοῦ πατρὸς Φιλίππου. T.C.F.

35, 10. *μόνοι δὲ ἀνθρώπων*] ὅτι οἱ μὲν τοῖς ἄλλοις φθονοῦντες καθαιροῦσιν αὐτῶν τὴν δόξαν διὰ τοῦ λοιδορεῖν, τὴν δὲ ἐκείνων εὔκλειαν οὐδεὶς ἀφανίσαι δεδύνηται. T.C.V. 5

35, 11. *κρείττω*] διὰ τὸ ὑπερβάλλον τῶν πράξεων· οἱ γὰρ φθονοῦντες ἢ τοῖς ἴσοις φθονοῦσιν ἢ τοῖς μικρῷ μείζοσιν, οὐ μὴν τοῖς πάνυ ὑπερβάλλουσιν. B.P.

35, 14. *ὁποῖοι*] ὅ ἐστι, πῶς διέκειντο κοινῶς πάντα πράττοντες εἰς τὰ δημόσια αὐτῶν. εἶτα καὶ ἐχρήσατο, πῶς ἕκαστος ἰδίᾳ ἐβίου. 10 B.P.

35, 17. *ἀναθημάτων*] ταῦτα πάντα ἐποίησαν καὶ ἀνέθεσαν ἀπὸ τῶν λαφύρων τῶν Περσικῶν, τὸν δίφρον τὸν ἀργυρόποδα τοῦ Ξέρξου, καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου, καὶ τὰ προπύλαια τῆς ἀκροπόλεως κατεσκεύασαν, καὶ τὴν χαλκῆν Ἀθηνᾶν καὶ τὴν ἐκ χρυσοῦ καὶ ἐλέ- 15 φαντος. B.P.

ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων] οὐ περὶ τῶν οἰκοδομημάτων λέγει, ἀλλὰ τῶν ἀναθημάτων· καὶ γὰρ τούτων εἰσὶν ἴσως ὑπερβολαί· ἀλλ' αὔξει τὰ ἀναθήματα διὰ τὰς πράξεις ἐξ ὧν ἀνετέθησαν. ὁ γὰρ Ξέρξου δίφρος καὶ ὁ ἀκινάκης Μαρδονίου, ὁ μὲν ἐκ Σαλαμῖνος, ὁ δὲ 20 ἐκ Πλαταιῶν ἀνετέθησαν. τούτων δὲ τῶν κατορθωμάτων οὐδεὶς ἐξεῦρεν ὑπερβολήν. T.C.V.

35, 21. *οἰκίαν εἴ τις*] ἔδειξε τὸ εὐτελὲς τῶν οἰκιῶν καὶ τὸ ἀφανὲς, οὕτως εἰπὼν, εἴ τις οἶδεν, ὡς μὴ πολλοῖς γνωριζομένων διὰ τὸ ταπεινόν. T.C.F.P. 25

35, 25. *ἴσως*] ἐπίσης. P.

1. Περδίκκας — Φιλίππου] Habet hoc scholion P., sed brevius Περδίκκας ὁ πάππος τοῦ Φιλίππου.

5. ἀφανίσαι] ἐπαινέσαι Par. η Morelii.

18. ἀλλὰ] Wolfius legisse videtur οὐδέ. vertit enim *neque de donariis*. Utcunque legas, equidem haud video quare tantopere hallucinatum scholiasten Palmerius dicat. Scholiastæ hic sensus est: Ædificia et donaria, utcunque sint splendida (id enim haud negat), superari fortasse possunt: non item facinora, propter quæ hæc donaria suspensa sunt: ideoque de his, non illis etiam, dici, ὥστε μηδενὶ τ. ἐ. ὑπερβολὴν λελεῖφθαι. MOUNT.

19. ἀλλ' αὔξει] αὔξει δὲ Par. η Morelii.

21. πλαταιῶν T. πλαταιέων P. πλατεέων C.V.

24. οἶδεν] εἶδεν P.

35, 29. πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν] εἰρωνεία τὸ σχῆμα. τῆς δὲ εἰρωνείας ἡ μὲν εὐθὺς ἐπαγόμενον ἔχει τὸν ἔλεγχον διὰ τοῦ λόγου, ὥστε δείκνυσθαι ὅτι εἰρωνεία ἐστὶν, ὅπερ ἔστι νῦν παρὰ τῷ Δημοσθένει· ἡ δὲ διὰ τῶν πραγμάτων, ὅπερ ἔστι παρὰ τῷ Πλάτωνι. εἰρωνευσάμενος γὰρ ὅτι οὐδὲν οἶδα καὶ παρὰ σοῦ δέομαι μαθεῖν, ἐπάγει μετ' οὐ πολὺ τὸν διὰ τῶν πραγμάτων ἔλεγχον· δι' οὗ δείκνυσιν ὅτι ἐξ ἀρχῆς εἰρωνεία ἦν. T.C.F.V.

ὑπὸ τῶν χρηστῶν] ἐμπερίβολον τὸ χωρίον διὰ τὸν πλαγιασμόν. B.

36, 2. ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε] ἀντεξετάζει τὴν πολιτείαν τὴν περὶ τὸν Εὔβουλον ὁμοίως ἀπὸ τῶν τριῶν, τῶν τε Ἑλληνικῶν καὶ τῶν ἰδίων καὶ τῶν πολιτικῶν. T.C.F.V.

36, 3. Λακεδαιμονίων μὲν ἀπολωλότων] Φοιβίδας στρατηγὸς Λακεδαιμονίων κατέσχε τὴν Καδμείαν· ἐξέωσαν δὲ αὐτὸν οἱ Θηβαῖοι· ὁ δὲ παρώξυνε τοὺς Λακεδαιμονίους στρατεύεσθαι ἐπὶ Θηβαίους· ἐστράτευσαν καὶ ἡγεῖτο αὐτῶν Κλεόμβροτος, εἷς τῶν βασιλέων, Θηβαίων δὲ Ἐπαμινώνδας. καὶ ἐγένετο μάχη ἐν Λεύκτροις ἐπὶ Κηφισῷ· ἐν ᾗ ἔπεσον χίλιοι Σπαρτιατῶν καὶ Κλεόμβροτος καὶ τῶν ἐκ περιοικίδος πολὺς ἀριθμός. ἀπέστησαν αὐτῶν οἱ σύμμαχοι καὶ ἐταπεινώθησαν καὶ οἱ Λακεδαιμόνιοι. A.R.

36, 4. ἀπολωλότων] ἐν Λεύκτροις. T.C.P.

ἀσχόλων ὄντων] διὰ τὸν Φωκικὸν πόλεμον. B.T.C.P.

36, 8. ἀπεστερήμεθα χώρας οἰκείας] τῆς Ἀμφιπόλεως λέγει· αὐτῶν γὰρ κτῆμα ἦν. T.C.P.

36, 9. ἀνηλώκαμεν] εἰς αὐτὴν Ἀμφίπολιν. T.C.P.

36, 10. οὓς δ' ἐν τῷ πολέμῳ] πρὸ τοῦ Φιλίππου Τιμόθεος ἦν ἔξω τυγχάνων ἐν τῇ Θρᾴκῃ καὶ ἐκεῖ ἐκτήσατο χωρία, ἅπερ νῦν εἴληφε Φίλιππος, Πύδναν καὶ Ποτίδαιαν καὶ τὰς ἄλλας. ἄγαν γὰρ εὐτυχὴς ὁ Τιμόθεος, ὥστε προσιέναι τὰς πόλεις αὐτῷ καὶ τοὺς ζωγρά-

6. μετ' οὐ πολὺ Wolfius. μετὰ πολὺ libri.

10. τὴν περὶ] τῶν περὶ Par. β. Morelii.

12. πολιτικῶν] κοινῶν C.

18. Κηφισῷ] κιφισῷ A. κιφισὸν R.

Σπαρτιατῶν] στρατιωτῶν R.

20. καὶ οἱ R. καὶ om. A.

23. τῆς T.C. περὶ P.

25. εἰς] πυδναίους λέγει καὶ εἰς C. Verba Πυδναίους λέγει sunt gl. ad συμμάχους versu proximo.

27. Addidi καὶ ἐκεῖ.

φους κοιμώμενον γράφειν αὐτὸν καὶ Τύχας αὐτῷ τὰς πόλεις προσφερούσας. A.

κατὰ τὸν συμμαχικὸν πόλεμον ἀπέστησαν αὐτῶν Χῖοι καὶ Ῥόδιοι καὶ Βυζάντιοι καὶ ἕτεροί τινες. πολεμοῦντες οὖν πρὸς αὐτοὺς τοὺς μὲν ἀνεκτήσαντο, τοὺς δὲ οὐκ ἠδυνήθησαν, εἶτα εἰρήνην ἐποιήσαντο ὥστε πάντας αὐτονόμους ἐᾶσαι τοὺς συμμάχους. τοῦτο οὖν φησιν, ὅτι καὶ οὓς προσηγαγόμεθα τῷ πολέμῳ, καὶ τούτους διὰ τὴν εἰρήνην ἀπολωλέκαμεν. τοῦ δὲ τοιαύτην γενέσθαι τὴν εἰρήνην αἴτιος Εὔβουλος οὕτω διοικῶν τὰ πράγματα. T.C.F.V.

συμμάχους] Πυδναίους λέγει. C.P.

36, 12. τηλικοῦτον] φοβήσας αὐτοὺς διὰ τοῦ εἰπεῖν τηλικοῦτον πάλιν ἐπάγει τὴν θεραπείαν διὰ τοῦ εἰπεῖν ὅτι ἡμεῖς αὐτὸν ἠσκήσαμεν. εἰ δὲ αὐτοὶ αὐτὸν ἤσκησαν, οὐκοῦν καὶ καθελεῖν δυνήσονται. B.P.

ἢ φρασάτω τις] τὸ σχῆμα πρόκλησις. C.

36, 14. ἀλλ' ὦ τᾶν] ἀνθυποφορὰν λύει διὰ τὸ τὰ πολιτεύματα Εὐβούλου διεξιέναι. T.C.F.V.

ταῦτα] τὰ ἐκτὸς τῆς πόλεως. B.P.

36, 16. ἐπάλξεις] ταῦτα ἦν τὰ Εὐβούλου πολιτεύματα, τὸ ποιῆσαι τὰς ἐπάλξεις λευκοχρίστους. T.C.V.

36, 18. λήρους] οἱ μέν φασι τοὺς κρουνοὺς λέγειν, παρὰ τὸ λίαν ῥεῖν· οἱ δὲ τὰ λήρου ἄξια πράγματα· ἐκεῖθεν γὰρ καὶ ὁ Ἀριστοφάνης παρὰ τὸ ληρεῖν ἐποίησε τὴν σύνθεσιν, θέλων τινὰ ὑβρίσαι, ἐν τῷ κρουνοχυτρολήραιον. T.C.V. ἢ λήρους λέγει τοὺς κρουνοὺς ἀπὸ τοῦ λίαν ῥεῖν, ὥσπερ καὶ Ἀριστοφάνης κρουνοχυτρολήραιον, ἢ λήρους καθολικῶς εὐτελῆ τινὰ ἐκ τοῦ λήρου τοῦ φλυάρου καὶ περιττοῦ. R.S. ταῦτα δὲ ἐπειδή περ Εὔβουλος πεποίηκε, τούτου χάριν διασύρει. A.

5. ἀνεκτήσαντο Wolfius. ἐκτήσαντο libri.
ἐποιήσαντο Wolfius. ποιούμενοι libri.
13. ἠσκήσαμεν] ἠσκήκαμεν P.
18. ἐκτὸς] ἐκ B.
24. ἢ λήρους λέγει — περιττοῦ] Postremam hujus scholii partem habet B. sic incipiens λήρους λέγει εὐτελῆ τινα ἀπὸ τοῦ λήρου etc. Sic etiam P.
25. Ἀριστοφάνης] Equit. 89.
κρουνοχυτρολήραιον] κρουνοχυτρολληρεῖν B. Pro αι in S. est semicirculus κρουνοχυτρολήρ'ον.

36, 19. ὧν οἱ μὲν ἐκ πτωχῶν] αἰνίττεται τοὺς περὶ τὸν Δημάδην, Εὔβουλον, Φρύνωνα, Φιλοκράτην, καὶ εἴ τινες ἕτεροι. T.C.F.V.

36, 20. οἱ δ' ἐξ ἀδόξων] οἱ περὶ Δημάδην· υἱὸς γὰρ ἦν αὐτοῦ. T.C.P.

36, 21. τῶν δημοσίων οἰκοδομημάτων] οὐ τῶν ὑπὸ Περικλέους τε κἀκείνων τῶν ἀνδρῶν γεγονότων, ἀλλ' ὧν οὗτοι τῇ πόλει κατεσκεύασαν κρηνῶν καὶ λήρων. ἴσως δὲ τῶν ἀναθημάτων λέγει. ἐν δὲ τῷ λέγειν τοῦτο παροξύνει αὐτοὺς κατὰ τῶν ῥητόρων· φύσει γὰρ φθονερὸν τὸ τῶν ἀνθρώπων γένος. T.C.F.V.

36, 23. τί δὴ τὸ πάντων αἴτιον] αἰτίας παράθεσις δι' οὗ προτρέπεται ποιεῖν αὐτοὺς τὰ δέοντα· διὰ γὰρ τοῦ λέγειν ὅτι διὰ τοῦ ἐξιέναι ηὐτύχουν εἰς ζῆλον αὐτοὺς τούτων καθίστησιν. T.C.V.

37, 2. ὑμεῖς δ'] ἐμφαντικὸν τὸ ὑμεῖς, ὡς ἂν εἰ ἔλεγεν· οἱ αὐτόχθονες ὑμεῖς καὶ πάλαι τῆς Ἑλλάδος ἡγεμόνες νῦν δοῦλοι τῶν ῥητόρων γεγένησθε. τὸ δὲ ἐκνενευρισμένοι τῶν νεύρων ἀφῃρημένοι· νεῦρα δὲ καὶ δύναμιν τῆς πόλεως καλεῖ τοὺς συμμάχους. ἐπειδὴ τραχεῖα ἡ μεταφορὰ, ἐπήγαγε τὸ περιῃρημένοι. ἀπὸ μεταφορᾶς καὶ τοῦτο μέρους σώματος εἶπεν, ἐμμένων τῇ τροπῇ τοῦ ἐκνενευρισμένοι. B.T. C.V.

37, 6. βοΐδια] τοῦτο εἰς Χάρητα. διαβὰς γὰρ εἰς τὴν Ἀσίαν πρὸς Ἀρτάβαζον, τοῖς ξενικοῖς στρατεύμασι πορθήσας Λάμψακον καὶ Σίγειον, ἔπεμψεν Ἀθηναίοις βοῦς, ἃς διείλοντο κατὰ φυλάς. A.R.

γράφεται καὶ βοηδρόμια. καὶ γάρ φασιν, ὅτε ἔπεμψε τὴν λείαν ὁ Χάρης, βοηδρόμια ἦν. τὸ δὲ βοΐδια ὑποκοριστικόν ἐστιν ἐν συναιρέσει Ἀττικῷ ἔθει. T.C.V.

καὶ τὸ πάντων ἀνανδρότατον] γράφεται καὶ ἀνδρειότατον ἵν' ᾖ

3. υἱὸς—αὐτοῦ om. P.
5. τε κἀκείνων Wolfius. κἀκείνων τε libri.
13. ἐμφαντικὸν—τὸ δὲ om. V.: habet P.
16. ἐπειδὴ] δὲ addit Wolfius.
ἐπειδὴ—ἐπήγαγε om. B.
17. τὸ] τὸ δὲ B.
καὶ τοῦτο om. B.
18. εἶπεν] εἶπε τὴν λέξιν B.
21. πρὸς] καὶ R. καὶ ὡς A. in folio recentiore, ubi idem scholion.
24. βοηδρόμια Wolfius. βουδρόμια libri.
27. ἀνδρειότατον] ἀνανδρειότατον C. In eodem ad οἱ δ' ἐν τῇ πόλει adscriptum εἰρωνικόν.

κατὰ εἰρωνείαν. ὅ τινες ἀγνοήσαντες τὴν νῦν φερομένην γραφὴν ἐποίησαν. τὸ δὲ προσοφείλετε χάριν εἶπεν, ἐπειδή φασιν ὅτι ἐστεφάνωσαν ἐπὶ τῇ λείᾳ τὸν Χάρητα. T.C.V.

37, 8. καθείρξαντες] οἷον συγκλείσαντες καὶ μὴ ἐῶντες πολεμεῖν· εἶπε δὲ ὡς ἐπὶ δεσμουμένων θηρίων τὴν λέξιν. διὸ ἐπάγει καὶ τὸ τιθασεύουσι καὶ τὸ χειροήθεις. ταῦτα γὰρ πάντα ἐπὶ θηρίων εἰώθαμεν ποιεῖν, ἡμεροῦντες αὐτά. καὶ τὸ ἐπάγουσι δὲ ὡς ἐπὶ θηρίων εἶπεν· εἰώθαμεν γὰρ καὶ τὰ θηρία οὕτως ἐξημεροῦν, διὰ τοῦ τὴν χεῖρα τοῖς σώμασιν αὐτῶν ἐπάγειν, οἱονεὶ κολακεύοντες αὐτὰ διὰ τοῦ χειροτριβεῖν. B.P. ἐκ μεταφορᾶς τῶν ἀλόγων ζῴων· διὸ καὶ τὸ τιθασεύουσι καὶ τὸ χειροήθεις ἐπήγαγεν. T.C.V.

37, 14. ταῦτα μὰ τὴν Δήμητρα] ἐντεῦθεν οἱ ἐπίλογοι· προκατασκευαστικῶς δὲ ὁ ῥήτωρ τὸν κίνδυνον βουλόμενος φυγεῖν τοῦτό φησιν. T.C.V.

μὰ τὴν Δήμητρα] ἐπειδὴ ᾔσθετο αὐτοὺς ὀργίλους γινομένους διὰ τὸ πολλὰ αὐτοῖς ἐπιτιμῆσαι, τὴν Δήμητρα ἀποκαλεῖται. εἰκὸς γὰρ ἦν ἡμέρους αὐτοὺς ἀπεργάσασθαι, τὴν καὶ τῶν ἡμέρων σιτίων αἰτίαν γενομένην αὐτοῖς. B.P. ὡς ἐπιπλήξας θεραπεύει πάλιν, διὰ τὸ τραχὺ δὲ τὴν Δήμητρα ὄμνυσι, τυγχάνουσαν θεὸν ἥμερον, πρὸς τὸ ἡμέρους αὐτοὺς ποιῆσαι. ὥσπερ γὰρ ἐκείνη διὰ τῶν καρπῶν ἡμέρους τοὺς ἀνθρώπους ἐποίησεν, οὕτως καὶ αὐτὸς διὰ τοῦ ὅρκου βούλεται ἡμεροῦν αὐτῶν τὴν ἀγριότητα τὴν γενομένην ἐκ τῆς ἐπιτιμήσεως. H.R.

37, 17. ἀλλ' ἔγωγε ὅτι καὶ νῦν] ἐπειδὴ τὸ ἐν τῇ συνηθείᾳ κακῶς λεγόμενον, οὐ χρῆται τὸ ἔτι καὶ νῦν, ἀλλ' ὅτι καὶ νῦν ἀντὶ τούτου κέχρηται. διὰ δὲ τοῦ λέγειν ὅτι θαυμάζω ὑμᾶς, ὅτι κἂν γοῦν νῦν

1. ὅ] Legebatur οἵ.
2. προσοφείλετε] προφείλετε (sic) T. προοφείλετε C.
ἐπειδή—ἐστεφάνωσαν Wolfius. ἐπειδή φησιν ὅτε ἐστεφάνωσεν T.C.V.
6. εἰώθαμεν] εἰώθασι B.
15. ἐπειδὴ ᾔσθετο γρ. P. ἐπειδὴ κατὰ τῆς Δήμητρος ὄμνυσιν εἰκὸς ἦν, ᾔσθετο libri.
16. τὴν] κατὰ τῆς Δήμητρος ὄμνυσιν, ἤτοι τὴν γρ. P.
Δήμητρα] δήμητραν B.
εἰκὸς γὰρ ἦν addidit Wolfius.
18. ὡς om. R.
24. κακῶς] καλῶς Par. η Morelii.
25. τὸ] τῷ C.
ἀλλ' ὅτι καὶ νῦν add. T.C.P., om. V. In γρ. P. hæc sic corriguntur ἐπειδὴ τῷ ἐν τῇ συνηθείᾳ κακῶς λεγομένῳ οὐ χρῆται τῷ ἔτι καὶ νῦν, ἀλλὰ τῷ ὅτι καὶ νῦν ἀντὶ etc.
τούτου] τούτων Par. η Morelii.

δεδώκατέ μοι παρρησίαν, προτρέπει αὐτοὺς τοῦτο ποιεῖν. T.C.V. καινοπρεπές. C.

37, 20. καὶ ταῖς περιουσίαις] τουτέστι τοῖς θεωρικοῖς. ἀφορμαῖς δὲ ταῖς προφάσεσι. διὰ δὲ τοῦ ἴσως εἰπεῖν ὡς ἐν ἐπανορθώσει τὸν δισταγμὸν τὸν πρὸς σφᾶς ὑπέφηνεν. T.C.P. 5

37, 22. ἴσως ἄν, ἴσως] τεχνικὸς ὁ διπλασιασμός. οὔτε γὰρ φανερῶς ἀπεφήνατο· ἀλαζονικὸν γὰρ τοῦτο καὶ ἐπισφαλές· οὔτε μόνῳ τούτῳ ἠρκέσθη, ἀλλὰ διπλασιασμῷ κέχρηται πρὸς βεβαίωσιν καὶ ἀκρίβειαν· οὐδεὶς γὰρ συμβούλου πείθεται διστάζοντος. τινὲς δὲ χαριέντως αὐτὸ ἀναγινώσκοντες ἐξηγοῦνται οὕτως, τὸ δεύτερον ἴσως 10 ὡς ἐπανορθωτικὸν λαμβάνοντες τοῦ προτέρου, ὡς ἂν εἰ ἔλεγεν ἐπιτιμῶν ἑαυτῷ εἰπόντι ἴσως· μᾶλλον γὰρ ἀκριβῶς τέλειόν τι καὶ μέγα κτήσεσθε. B.P.

37, 24. ἃ τοῖς ἀσθενοῦσιν] οἰκείως τῇ παραβολῇ ἐχρήσατο, δεικνὺς ὅτι νοσοῦσιν ἄνοιαν. T.C.V. 15

38, 1. οὐκοῦν] ἀνθυποφορά. C. ἐπειδὴ ἡ ἡμισθοφορὰ παρὰ τοῖς Ἀθηναίοις ἐφύβριστος (οἰκετῶν γὰρ), ἐχρήσατο τῇ ἀνθυποφορᾷ ταύτῃ, δι' ἧς λύει καὶ ἀποκρύπτει τὸ ἀπρεπές. ἐπειδὴ δὲ οἶδεν ὅτι οὐκ ἂν πείσειεν αὐτοὺς ἀποστῆναι τῶν θεωρικῶν, βούλεται αὐτοὺς τούτοις μόνοις ἀρκεῖσθαι· καὶ μὴ ἐὰν δικάζωσιν, ἢ συμβουλεύωσιν, ἢ ἐκστρατεύωνται, λαμβάνειν μισθόν. T.C.V. 20

οὐκοῦν σὺ μισθοφορὰν λέγεις;] ἀνθυποφορὰ τὸ σχῆμα· ἵν' ὡς δοῦλοι λάβωμεν μισθὸν καὶ οὕτως πολεμῶμεν· τοῦτο γὰρ ᾐνίξατο ἐν τοῖς ἄνω, ὅτι δεῖ λαβεῖν τὰ θεωρικὰ εἰς μισθὸν πολέμου. εἶτα ἐπειδὴ ἐδόκει ἐφύβριστον εἶναι τὸ ὄνομα τῆς μισθοφορᾶς, μεταβάλλει καὶ 25 σύνταξιν αὐτὴν καλεῖ· τῷ δὲ ἔργῳ καὶ τῷ ἀληθεῖ τὴν αὐτὴν καλεῖ καὶ σύνταξιν καὶ μισθοφοράν. καὶ γὰρ καὶ ἐν τῇ συντάξει μισθός ἐστιν ὁ παρεχόμενος. ὡσανεὶ ἔλεγε· μισθοφορὰν καλῶ οὐχ ἣν ὑμεῖς νομίζετε, παρεχομένην τοῖς δούλοις, ἀλλὰ τὴν παρεχομένην τοῖς

10. αὐτὸ ἀναγινώσκοντες] ἀπογινώσκοντες αὐτὸ P.
11. ὡς ἐπανορθωτικὸν P. ἐπανορθωτικῶς B., omisso ὡς.
13. κτήσεσθε] κτήσασθαι B. κτήσασθε P. κτήσαισθε γρ. P.
16. παρὰ om. V.
20. ἐκστρατεύωνται Wolfius. ἐγκρατεύωνται libri.
22. ἵν' H.R.S. οἷον ἵν' B.P.
23. πολεμῶμεν] πολεμοῦμεν B. ἐν τοῖς ἄνω H.R.S. εὐτάκτως B.P.
25. μισθοφορᾶς] μισθοφορίας B.S. et mox iterum μισθοφορίαν.
26. τὴν αὐτὴν] ταύτην R.S.
27. γὰρ καὶ ἐν] γὰρ ἐν H.R.
28. οὐχ ἣν] ἣν οὐχ P.

ἐλευθέροις ὑπὲρ τοῦ λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα. τὸ δὲ ἀπάντων ἀντὶ τοῦ ὑπὲρ ἁπάντων τῶν πραγμάτων, καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ. βούλεται γάρ, ἐπειδὴ ὁρᾷ αὐτοὺς μὴ βουλομένους λῦσαι τὰ θεωρικά, λαμβάνειν αὐτὰ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ ἀρκεῖσθαι καὶ μὴ ζητεῖν πλείονα ἐν πολέμῳ. κοινῶν δέ φησι τῶν δημοσίων. B.H.R.S.P. ἀνθυ- 5 ποφορά· ἥτις μέση τυγχάνει ἀντιπίπτοντος καὶ ἀντιθέσεως, μεῖζον μὲν ἀντιπίπτοντος, ἧττον δὲ ἀντιθέσεως. ἀλλὰ λέξει τις· μισθοφορεῖν ἡμῖν συμβουλεύεις; τοῦτο δ' ἦν Ἀθηναίοις εὐδοξοῦσιν ἐπαχθές τε καὶ βαρύτερον. A.

38, 5. ἔξεστιν ἄγειν ἡσυχίαν] πάνυ καλῶς τὴν ἡσυχίαν προέταξε· 10 ῥαθύμους γὰρ προσφθέγγεται. εἶτα ἵνα μὴ μεμνημένος τοῦ ὀνόματος τοῦ πολέμου ἐπαχθὴς ὀφθῇ, οὐκ ὠνόμασεν, ἀλλ' εἶπεν οἷον καὶ τὰ νῦν ὑπάρχει. T.C.F.V.

38, 8. συμβαίνει τι τοιοῦτον] ἀποστροφὴ τὸ σχῆμα. C.

τὰ νῦν] ἀντὶ τοῦ πόλεμον. ὅρα δὲ πῶς τὸ ὄνομα τοῦ πολέμου ἀπο- 15 κρύπτεται. B.

ἀπὸ τῶν αὐτῶν τούτων] τουτέστιν, ἵνα μὴ πρὸς τοῖς θεωρικοῖς λαμβάνῃ μισθὸν στρατιωτικόν. T.C.V.

38, 9. λημμάτων] λαμβανέτω δηλονότι. C.

ὥσπερ ἐστὶ δίκαιον] καὶ γὰρ οὐ παράνομον τὸ ὑπὲρ τῆς ἐνεγκα- 20 μένης τοὺς πολίτας ἀγωνίζεσθαι. T.C.V.

ἔστι τις ἔξω τῆς ἡλικίας ἡμῶν;] καὶ τίς ἐστιν ἔξω τῆς καθολικῆς, οἷον νέων, ἀνδρῶν, γερόντων, εἰ μὴ ἄρα οἱ τελευτήσαντες; λέγομεν οὖν ὅτι ἡλικίαν ἐκάλουν ἐξαιρέτως τὴν τῶν δυναμένων πονεῖν. ὁ τοίνυν ταύτης ὢν ἔξω τῆς ἡλικίας γέρων ἂν ὑπάρχοι. B.P. 25

38, 11. ἀτάκτως νῦν λαμβάνων] ἀντὶ τοῦ μὴ στρατευόμενος. C.P.

38, 13. οὔτ' ἀφελῶν] τῶν θεωρικῶν δηλονότι. B.

38, 14. πλὴν μικρὸν] ἐπειδὴ συνεβούλευσεν αὐτοῖς μὴ λαμβάνειν

2. καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ om. H.R. Scholion ἁπάντων ἀντὶ—πολέμῳ habet C.

5. πλείονα ἐν S. πλεῖον τὰ B.P. Verba καὶ μὴ ζητεῖν—ἐν πολέμῳ absunt ab H.R.

11. περὶ ῥαθύμους T.C. παρὰ ῥαθύμοις F. περὶ ῥαθύμων V. Delevi περί.

προσφθέγγεται] φθέγγεται Wolfius, servato Aldino περὶ ῥαθύμων.

21. ἀγωνίζεσθαι Wolfius. ἀναγκάζεσθαι libri.

22. καὶ τίς—καθολικῆς om. P. In sequentibus οἷον ἔξω τῆς τῶν νέων ἡλικίας καὶ ὧν ἀνδρῶν γερόντων γρ. P.

26. ἀντὶ τοῦ om. P.

μηδὲ στρατιωτικὸν, μηδὲ συμβουλευτικὸν, μηδὲ δικαστικὸν, ἀλλ' ἀρκεῖσθαι τοῖς θεωρικοῖς. διὰ δὲ τοῦ εἰπεῖν μικρῶν εὐχερεῖς τοῦ καταφρονεῖν αὐτοὺς τούτου παρασκευάζει. T.C.F.V.

ἀταξίαν] τὴν τῶν νέων δηλονότι. C.P.

38, 20. ἀπορεῖν] ἀπορεῖν καλεῖ τὸ λαμβάνειν τοὺς δύο ὀβολοὺς, ἐξὸν πλουτεῖν ἀπὸ τοῦ πολέμου. B.P.

τοῦ δεῖνος] οἷον οἱ τοῦ Χάρητος. B.P.

38, 22. οὐχὶ μέμφομαι] ἐπειδὴ διεβάλλετο τὸ ξενικὸν ἄνω· ξενικῷ γὰρ ἐκέχρητο ὁ Χάρης. ὡσανεὶ εἰ ἔλεγεν· ἐπαινῶ τὸν Χάρητα πονοῦντα ἀεὶ καὶ μετὰ ξένων, ἀλλ' οὖν γε προκρίνω τοὺς ἐκ τῆς πόλεως στρατιώτας. B.P.

38, 25. τῆς τάξεως] τάξιν ἀρετῆς καλεῖ τὸ ἡγεμονεύειν τῆς Ἑλλάδος, ἀλλ', ὥσπερ εἰώθεσαν, τὸ δι' ἑαυτῶν εἰς τοὺς πολέμους ἐξιέναι. T.C.V. ἡ ἀρετὴ τῆς τάξεως τὸ ἡγεμονεύειν τῆς Ἑλλάδος καὶ τὸ δι' ἑαυτῶν εἰς τοὺς πολέμους ἐξιέναι. B.

38, 27. σχεδὸν εἴρηκα] ἵνα μή τινες καταγνῶσιν αὐτοῦ ὡς παραλείψαντός τινας συμβουλίας, ἢ ῥᾳθυμήσωσιν ὡς ἅπαντ' ἀκούσαντες, προσέθηκε τὸ σχεδόν. T.C.V.

38, 29. συνοίσειν] πάλιν καὶ ἐνταῦθα διὰ τοῦ αὐτοῖς τὴν αἵρεσιν ἀποδιδόναι, τὴν περὶ τῶν θεωρικῶν κρίσιν ἀποφεύγει. T.C.V.

2. εὐχερεῖς τοῦ] εὐχερῆ T.C.
3. τούτου παρασκευάζει] κατασκευάζει τούτου F.
6. ἐξὸν] καὶ ἐξὸν P.
7. οἷον οἱ om. B.
9. εἰ om. P.
10. πονοῦντα] Bis scriptum in B. ποιοῦντα καὶ πονοῦντα P.
12. μὴ post καλεῖ addit Wolfius.
13. ὥσπερ εἰώθεσαν (vel καὶ ὅπερ εἰώθεσαν, non addito supra μὴ) Wolfius, conjectura valde incerta. ἀλλ' ὥρα (ὅρα C.) ἔφασαν T.C. ἀλλ' ὥρα ἔφθασαν V.
17. ἅπαντ' ἀκούσαντες Wolfius. ἅπαντες ἀκούσωσι libri.

IV.

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Α.

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ] Ζητοῦσιν, εἰ τοῦ συμβουλευτικοῦ ἴδιον ἡ προτροπή τε καὶ ἀποτροπή, οὐδ' ὅλως δὲ κατηγορεῖ, πῶς ἐνταῦθα ἐπιγέγραπται, ὅλος συμβουλευτικὸς ὢν, κατὰ Φιλίππου. καὶ φαμὲν ὅτι πολλάκις τὰ τρία εἴδη τῆς ῥητορικῆς ἐπιμίγνυται, ἀντὶ ὕλης ἀλλήλοις καθιστάμενα, ὥσπερ ἐνταῦθα. βουλόμενος γὰρ κατασκευ- 5 άσαι ὅτι δεῖ τὴν Μακεδονίαν κακῶσαι ὕλῃ ἐχρήσατο τῇ κατὰ τοῦ Φιλίππου καταδρομῇ. ἰστέον ὅτι ἐν μὲν τοῖς ἄλλοις λόγοις ὕλη ἦν ἡ τῶν Ὀλυνθίων πολιορκία· αὕτη γὰρ εὐπορίας ἐν τῷ λέγειν αἰτία τῷ ῥήτορι καθίσταται· συνέχον δὲ ἡ τῶν Ἀθηναίων δύναμις. ἐνταῦθα δὲ ὕλη μὲν ὁ Μακεδών, συνέχον δὲ οἱ Ἀθηναῖοι. διὰ τοῦτο καὶ ἑτέρας 10 ἐπιγραφῆς ὡς πρὸς τοὺς προλαβόντας λόγους ἔτυχε. τὰ δὲ τοῦ λόγου ἐνθυμηματικὰ κεφάλαια τρία εἰσὶ, τὸ ἐρρωμένως ἀντιλαμβάνεσθαι τῶν πραγμάτων· τὸ αὐτοὺς στρατεύεσθαι· τὸ πόρους χρημάτων ἐπινοεῖν, ὅθεν τὸ σιτηρέσιον τοῖς στρατευομένοις γενήσεται. διὰ δὲ τοῦ ἀναγινώσκειν τὴν Φιλίππου ἐπιστολὴν οὐδὲν ἕτερον ἢ παρο- 15 ξύνει καὶ ἀντιλαμβάνεσθαι δεῖν τῶν πραγμάτων διδάσκει. τὸ δὲ προοίμιον οὐκ ἀπὸ τοῦ πράγματος, ἀλλ' ἀπὸ τοῦ προσώπου· ἀναστάντος γὰρ αὐτοῦ πρὸ τῶν πρεσβυτέρων ἐδυσχέραινόν τινες, ὃ δὴ καὶ θεραπεύει. T.C.V.

1. Ζητοῦσιν εἰ] ζητοῦσι γὰρ εἰ libri, quorum in V. hæc leguntur post οὐδὲν δὲ ἤνεσαν in scholio ad p. 40, 6. In C. lemma præfixum εἰ γὰρ ἐκ τοῦ παρεληλυθότος (p. 40, 8), in T. sine lemmate post verba πρὸς ἐκείνους πόλεμον (p, 40, 24), addito signo quodam, cui nihil est quod respondeat.

9. συνέχον Wolfius. συνεχὲς libri hic et paullo post.

11. προλαβόντας P. προσλαβόντας T.C.V.

14. διὰ δὲ—παροξύνει] διὰ τοῦ γινώσκειν τὴν ἐπιστολὴν οὐδὲν ἕτερον εἰ μὴ τὸ παροξύνειν T.C.V. διὰ γὰρ τοῦ ἀναγινώσκειν τὴν ἐπιστολὴν οὐδὲν ἕτερον εἰ μὴ τὸ παροξύνειν P. Correxit Wolfius.

16. δεῖν addidit Wolfius.

ἐν τῇ ἀπωλείᾳ τῶν τριάκοντα δύο πόλεων τῶν Χαλκιδικῶν τεθορυβημένους ὁρῶν Ἀθηναίους ἀνίσταται παραθαρρύνων ὁ Δημοσθένης· διὸ τῷ δυνατῷ κεφαλαίῳ ἐπὶ πολὺ κέχρηται παραμυθούμενος ὡς ὅτι καὶ νῦν δύνανται αὐτοῦ περιγενέσθαι, ἐὰν βούλωνται. ἔχει δὲ καὶ τὸ συμφέρον. ἐπιγέγραπται δὲ κατὰ Φιλίππου, οὐχ ὅτι καὶ οἱ Ὀλυν- 5 θιακοὶ οὐκ εἰσὶ κατὰ Φιλίππου, ἀλλ' ὅτι ἐκεῖνοι μὲν πρὸς τούτῳ ἔχουσι τινὰ καὶ ἰδίαν ὑπόθεσιν περὶ τοῦ δεῖν σῶσαι τοὺς Ὀλυνθίους, ἐνταῦθα δὲ μόνον κατατρέχει Φιλίππου καὶ ὧν εἰργάσατο. ἀπολογεῖται δὲ περὶ τοῦ προαρπάσαι τὴν τάξιν τῶν γερόντων, ἐπεὶ ἔθος ἦν τοιοῦτον. εἰσήρχετό τις ὁ λεγόμενος περιστίαρχος ὁ περι- 10 καθαίρων τὴν ἐκκλησίαν διὰ χοίρου ἐσφαγμένου καὶ ἄλλων τινῶν, καὶ τὰ καθάρσια λαβὼν ἔρριπτεν εἰς θάλασσαν· ὃ καὶ ὁ ποιητὴς εἶπεν·

οἱ δ' ἀπολυμαίνοντο καὶ εἰς ἅλα λύματ' ἔβαλλον.

εἶτα εἰσήρχετο κῆρυξ πρῶτον θυμιατίσας καὶ αὐτὸς τὴν ἐκκλησίαν καὶ ὕστερον ἐβόα πρώτῃ φωνῇ "τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ 15 "πεντήκοντα ἔτη γεγονότων Ἀθηναίων;" εἶτα εἰ μέν τις ἠβούλετο τούτων λέγειν, ἀνίστατο· εἰ δὲ ἐπὶ πολὺ βοῶντος οὐδεὶς ὑπήκουε, δευτέρᾳ φωνῇ ἐβόα "τίς ἀγορεύειν βούλεται πάντων Ἀθηναίων." ἐκέχρητο δὲ ὁ περιστίαρχος χοίρῳ καὶ τοῖς τοιούτοις ἀκαρθάρτοις, διὰ τούτων τοὺς ἀκαθάρτους δαίμονας καὶ τὰ πνεύματα πολλάκις 20 ἐνοχλοῦντα ταῖς διανοίαις τῶν ἀνθρώπων, ὥστε πολλάκις ἄλλως βουλεύεσθαι, ἕλκων πρὸς τὰ θύματα καὶ ὥσπερ ἀποχωρίζων τῆς ἐκκλησίας, ἵνα καθαρῶς βουλεύσωνται. ὁ δὲ κῆρυξ διὰ τῶν θυμιαμάτων ἐπικαλούμενος τὰ θεῖα· χαίρει γὰρ τοῖς ὁμοίοις τὰ ὅμοια, ἵνα διὰ τῆς τούτων παρρησίας ἀγαθόν τι ἔχωσιν Ἀθηναῖοι βουλεύεσθαι. 25

R.S.

Τὸ προοίμιον οὐκ ἀπὸ τοῦ πράγματος, ἀλλ' ἀπὸ τοῦ προσώπου· ἀναστάντος γὰρ αὐτοῦ πρὸ τῶν πρεσβυτέρων ἐδυσχέραινόν τινες· ὃ δὴ καὶ θεραπεύει. B. τὸ σχῆμα οἱ μὲν καλοῦσι διπλοῦν μερισμόν, οἱ δὲ μερισμόν τε καὶ ὑπομερισμόν. εἰρηκὼς γὰρ πρότερον δύο 30

1. Χαλκιδικῶν] χαλκηδονικῶν S.
3. ὡς ὅτι] Vide annot. ad p. 11, 20.
9. προαρπάσαι] προαρπάξαι S.
10. περιστίαρχος] περιστίαρχος S. hic et infra.
12. ὁ ποιητὴς] Il. A, 314.
13. ἔβαλλον] ἔβαλω S.
29. τὸ σχῆμα] τὸ δὲ σχῆμα B. Scholion brevius in R.S. κατασκευή. τὸ σχῆμα οἱ μὲν διπλοῦν—μερισμὸν καὶ ὑπομερισμὸν καλοῦσι.

"μέν" ἐπήγαγε δύο "δέ." ἐπιφέρουσι δὲ αὐτοὺς πολλάκις οὐ κατὰ τάξιν, ἀλλὰ πρὸς τὸ πρῶτον τὸ τελευταῖον. B.T.C.V.

Ὅτι ἐν τῷ περὶ τῆς περιβολῆς λέγει Ἑρμογένης τῆς ἰδέας τὴν κατασκευὴν προτέραν εἶναι τῆς προτάσεως. τὸ γὰρ "εἰ μὲν περὶ "καινοῦ τινος πράγματος προὐτίθετο λέγειν" καὶ τὰ λοιπὰ ἐστὶν ἡ κατασκευή, τὸ δὲ "ἐπειδὴ δὲ περὶ ὧν πολλάκις" καὶ τὰ λοιπὰ ἐστὶν ἡ πρότασις. πρότασις γάρ ἐστιν ὅτι δεῖ καὶ νεωτέρου ὄντος πρώτου λέγοντος ἀνέχεσθαι· αἱ δὲ ταύτης κατασκευαὶ ὅτι μηδὲν τῶν δεόντων οἱ εἰωθότες, ἤτοι οἱ πρεσβύτεροι, εἰρήκασιν. ὁ δὲ σοφιστὴς Ἀσκληπιὸς κατασκευὴν εἶναι λέγει ἄνευ προτάσεως. ὁ δὲ Ἰσοκράτης ἐν τῷ τοῦ Ἀρχιδάμου τὴν πρότασιν πρώτην ποιήσας ἐπήνεγκε τὴν κατασκευήν· οἷον· "ἴσως τινὲς ὑμῶν θαυμάζουσιν ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς "τοῖς τῆς πόλεως νομίμοις, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν ἡλικιωτῶν, "τοσαύτην πεποίημαι τὴν μεταβολήν," καὶ τὰ ἑξῆς, τοῦτο ἡ πρότασις· ἡ δὲ κατασκευή· "ἐγὼ δὲ, εἰ μέν τις τῶν εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν "ἀξίως ἦν τῆς πόλεως εἰρηκὼς, πολλὴν ἂν ἡσυχίαν ἦγον." B.T.C.V.

ἀπολογεῖται ἐν τῷ προοιμίῳ περὶ τοῦ προαρπάσαι τὴν τάξιν τῶν γερόντων. ἰστέον δὲ ὅτι συλλογιστικῶς τοῦτο λύει· ὡσεὶ ἔλεγεν, οἶδα μὲν ὅτι ἀναγκαῖόν ἐστι πρώτους λέγειν τοὺς γέροντας, ἀλλὰ τοῦτό γ' ὅταν ᾖ ἡ βουλὴ περὶ καινοῦ τινὸς πράγματος· νῦν δὲ οὐ περὶ καινοῦ πράγματος. περὶ γὰρ Φιλίππου βουλευόμεθα, φησὶν, ὥστε ἤδη πολλάκις εἰπόντων τῶν γερόντων περὶ τούτου οὐ παραχαράττω τὸν νόμον. καὶ οὕτω μὲν οὗτος συνελογίσατο, ἡ δὲ ἀλήθεια ἔχει ὡς, εἴτε παλαιὸν ἦν τὸ πρᾶγμα εἴτε καινὸν, ἔδει τοὺς γέροντας

3. Ἑρμογένης] vol. iii. p. 265. ed. Walz.

4. προτάσεως] καὶ κέχρηται τούτῳ τῷ παραδείγματι addit P.

6. δὲ addidi ex C.

8. αἱ—κατασκευαὶ] ἡ—κατασκευὴ Wolfius.

12. τὸν ἄλλον χρόνον] τῶν ἄλλων χρόνων V. Sic etiam T., nisi quod χρόνον a pr. m.

13. νομίμοις B.T. a pr. m. et C. νόμοις V.

ἄλλος om. B.

14. πεποίημαι] πεποίηκε B.

καὶ om. B.

ἑξῆς—ἡ δὲ] ἑξῆς τούτου. εἶτα ἡ B.

15. ἐν om. V.

ἀγορεύειν C. ἀγορεύει T.V.

17. ἀπολογεῖται] μὲν addunt F.V.

τάξιν τῶν γερόντων—περὶ] τάξιν. τῶν γὰρ γερόντων ἦν τὸ βουλεύεσθαι. κατασκευάζει δὲ ἐνταῦθα, εἰ μὲν ἦν καινὸν, ἔλεγον ἂν οἱ γέροντες, ἤγουν ἡ βουλή· νῦν δὲ οὐ περὶ καινοῦ, περὶ B.

20. τινὸς om. F.

21. πράγματος om. F.

φησὶν addidi ex F.

22. οὐ add. B., om. ceteri.

23. οὕτω μὲν οὗτος (οὗτος om. F.)] οὗτος μὲν οὕτως B.

λέγειν πρώτους. ἐπειδὴ δὲ νῦν πάνυ τεθορύβηνται οἱ Ἀθηναῖοι ἐπὶ τῇ ἀπωλείᾳ τῶν τριάκοντα δύο πόλεων τῶν Χαλκιδικῶν καὶ ἐπὶ τῇ πολλῇ αὐξήσει τοῦ Φιλίππου, διὰ τοῦτο προαρπάσαι τὴν τάξιν ἐπεχείρησεν. B.T.C.F.V. τὸ δὲ προὐτίθετο τινὲς μὲν ἀντὶ τοῦ προεβάλλετο, τινὲς δὲ ἀντὶ τοῦ προεγράφετο· ἐπειδήπερ σανίδας τινὰς ἐνέγραφον ἐχούσας τὸ πρᾶγμα περὶ οὗ ἡ σκέψις καὶ περὶ οὗ συνεληλύθασι, καὶ προετίθουν τῇ ἐκκλησίᾳ, ἵνα γνῶσι πάντες περὶ τίνος ἐστὶν ἡ ἐκκλησία. B.T.C.F.V. εἰς δὲ τὸ λέγειν ὑποστικτέον. ἰστέον δὲ ὅτι τῷ Ἰσοκρατικῷ προοιμίῳ ἐχρήσατο τῷ ἐν τῷ Ἀρχιδάμῳ· κἀκεῖ γὰρ ἐπιχείρημά ἐστιν, ὅτι νέος ὢν προλαμβάνει τοὺς γέροντας. B.T.C.V. τὸ δὲ εἰωθότων θέλει εἰπεῖν τῶν γερόντων. ὅρα δὲ πῶς λεληθότως αὐτοὺς διέβαλε διὰ τοῦ εἰπεῖν εἰωθότων, ἵνα δηλώσῃ ὅτι μόνον ἔθος ἔχουσι πρῶτοι λέγειν, οὐ μὴν καὶ χρήσιμόν τι συμβουλεύσουσι λέγοντες, ὥσπερ καὶ εὐφυῶς πάλιν διαβάλλει ἐν τῷ εἰπεῖν ὑπὲρ ὧν πολλάκις· ὑποφαίνει γὰρ ὅτι πολλάκις μὲν εἰρήκασιν, οὐδὲν δὲ ἤνυσαν. B.T.C.V.

Τὸ προοίμιον ἄνευ προτάσεως· ἄρχεται γὰρ ἐκ τῆς κατασκευῆς. τὴν γὰρ πρότασιν ἐν τῷ νῷ ἔλαβε τὴν ἐκ τῶν γερόντων μέλλουσαν αὐτῷ προτείνεσθαι. ἐξ ἀντιπίπτοντος τὸ προοίμιον. ἀντέπιπτε γὰρ αὐτῷ, πῶς παρὰ τὴν ἡλικίαν λέγει. λύει οὖν διὰ τοῦ λέγειν ὅτι περὶ παλαιῶν πραγμάτων ἡ σκέψις, περὶ ὧν εἶπον καὶ οἱ πρῶτοι. A.H. τὸ προοίμιον ἐξενήνεκται κατὰ τὸ παρὰ τοῖς ῥήτορσιν ἀντίθετον καλούμενον σχῆμα. S.

40, 2. ἐπισχὼν] διὰ τοῦ ἐπισχὼν ἔδειξεν ὡς καὶ τότε μόλις εἶχε

1. πάνυ om. B.

2. Χαλκιδικῶν] χαλκιδονικῶν T.C.V.

4. τὸ δέ— τινὲς δὲ] προυτίθετο· ἀντὶ τοῦ προεβάλλετο. τινὲς δὲ F.V.

5. ἐχούσας τὸ π.] τὸ π. ἐχούσας F.V.

6. προετίθουν τῇ ἐκκλησίᾳ] προετίθεσαν τῆς ἐκκλησίας F.V.

7. ἵνα—ἐκκλησία om. B.

8. εἰς δὲ —ὑποστικτέον] δεῖ ὑποστίξαι ἐν τούτῳ, ἵν' ᾖ οὕτως· εἰ μὲν περὶ καινοῦ τινὸς πράγματος λέγειν προετίθετο, ἐπισχὼν καὶ ἀναμείνας, ἕως οὗτοι εἴπωσιν οἱ γέροντες, τότε καὶ αὐτὸς ἐπειρώμην ἃ γινώσκω λέγειν T.C.V.

10. τὸ δὲ—θέλει] τῶν εἰωθότων· θέλει T.C.V.

12. τοῦ] τὸ B.

13. πρῶτοι λέγειν] λέγειν πρῶτοι T.C.V.

συμβουλεύσουσι—ἤνυσαν] συμβουλεύουσιν. πολλάκις εἰρήκασιν· πάλιν αὐτοὺς εὐφυῶς διαβάλλει διὰ τοῦ εἰπεῖν πολλάκις μὲν εἰρήκασιν, οὐδὲν δὲ ἤνυσαν. T.C.V.

17. ἐκ] ἀπὸ A. in folio recentiore, ubi hoc scholion repetitur.

22. τὸ—σχῆμα] In R. breviter τὸ προοίμιον κατὰ ἀντίθετον.

καρτερῆσαι μὴ ὑπὲρ τῶν συμφερόντων πρῶτος εἰπεῖν, ἐκ μεταφορᾶς τῶν προθυμουμένων ἵππων δραμεῖν καὶ ἐπεχομένων. T.C.V.

40, 3. εἰ μὲν ἤρεσκε τί μοι] διὰ τοῦ εἰπεῖν τοῦτο κριτὴν τῶν προγενεστέρων ἐπέδειξεν ἑαυτόν. T.C.P. τῷ μερισμῷ καὶ ὑπομερισμῷ σχήματι κέχρηται ἐνταῦθα. εἰπὼν γὰρ τὸν μέν ἄνω σύνδεσμον 5 οὐκ ἐπήγαγεν εὐθέως τὸν δέ, ἀλλὰ ἄλλον μέν. ἔστι γὰρ ὁ μερισμὸς καὶ ὑπομερισμὸς, ὅταν εἰπὼν δύο μέν ἀνάγκην ἔχῃ πρὸς τὰ δύο μέν ἀποδοῦναι δύο δέ, ὅπερ ἔστι καὶ ἐνταῦθα εὑρεῖν. ὅρα δὲ πῶς πάλιν ἀξιοπίστως εἶπε τὸ ἤρεσκέ μοι, ὅ ἐστι τῷ ἀγαθῷ συμβούλῳ, ἀγαθὴ συμβουλευθεῖσα βουλή. τὸ δὲ σχῆμα τοῦτό ἐστι καὶ παρὰ τῷ 10 ποιητῇ·

Χαῖρ', Ἀχιλεῦ· δαιτὸς μὲν ἔϊσης οὐκ ἐπιδευεῖς
ἡμὲν ἐνὶ κλισίῃ. T.C.V.

40, 4. ἡσυχίαν ἦγον] τὸ ἦθος τὸ οἰκεῖον δείκνυσιν, ὡς οὐ φιλόνεικος τοῖς καλῶς λεγομένοις. T.C.P. 15

40, 5. αὐτὸς ἐπειρώμην] διὰ τοῦ ἐπειρώμην ἐταπείνωσε τὸν λόγον, ὡς οὐ πάντως ἐρῶν τὰ συμφέροντα. T.C.P.

40, 6. ἐπειδὴ δὲ] κατασκευὴ τοῦ προοιμίου. P.

οὗτοι πρότερον] τὸ σχῆμα δεικτικὸν, φαυλισμοῦ δὲ ἐκφαντικόν. P. 20

40, 8. συγγνώμης τυγχάνειν] καίτοι ἀποδείξας ὡς οὐχ ἁμαρτάνει διὰ τὸ ταπεινοφρονεῖν, συγγνώμην τὸ τοιοῦτον καλεῖ. T.C.P.

40, 10. πρῶτον μὲν οὖν] εἰς τὸ δυνατὸν πρῶτον εἰσέβαλε, μεμιγμένην τῇ νουθεσίᾳ τὴν παραμυθίαν ποιησάμενος. F.P.

ἀπὸ θεραπείας ἡ εἰσβολὴ τῶν ἀγώνων. B. 25

40, 12. οὐδ' εἰ πάνυ φαύλως] ἀπὸ θεραπείας τινὸς ἐχούσης αἰτίαν τοῦ μὴ δεῖν ἀθυμεῖν τὴν εἰσβολὴν τῶν ἀγώνων ἐποιήσατο. διὰ τοῦ εἰπεῖν, οὐκ ἀθυμητέον, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ, δείκνυσιν

3. τοῦ] τὸ T.C.
4. ἑαυτόν om. P.
6. ἄλλον] ἕτερον C. et Par. θ. Morelii.
7. ἀνάγκην ἔχῃ] ἀνάγκην μὲν ἔχει T.C. ἀνάγκη μὲν ἔχει V. ἀνάγκη ἔχει P.
10. καὶ add. T.C.P., om. V.
τῷ ποιητῇ] Il. I, 225.
12. Χαῖρ' Ἀχιλεῦ] χαίρεις Ἀχιλλεῦ V.
14. δείκνυσιν om. P.
16. τοῦ] τοῦ εἰπεῖν P.
21. ἀποδείξας] ἑαυτὸν addit C.
22. συγγνώμην T.C. συγγνώμης P.

ὡς θαρρεῖν χρή· καὶ γὰρ τοῖς εἰς ἄκρον ἥκουσι νόσου τοῦτο παραινοῦμεν ἀεί. P.

40, 13. ὃ γάρ ἐστι χείριστον] τὸ σχῆμα παρὰ προσδοκίαν. οἱ δὲ λέγοντες δεύτερον εἶναι προοίμιον τοῦτο λέγουσιν εἶναι κατασκευὴν αὐτοῦ. B.P.

40, 14. τί οὖν ἐστι τοῦτο] τὸ ἐνθύμημα ἐκ τοῦ παραδόξου. B. καὶ τοῦτο τὸ ἐνθύμημα εἴληπται ἐκ παραδόξου. ὃ δέ φησι, τοιοῦτόν ἐστιν, ὃ ὑμᾶς ἐκ τοῦ παρελθόντος ἔβλαψε χρόνου, τοῦτο ἀποθέμενοι πάλιν ὠφεληθησόμεθα. P.

40, 18. ἔπειτα ἐνθυμητέον] δεῖ γὰρ τοὺς ἄρτι ἀκούοντας κατανοεῖν καὶ ἐνθυμεῖσθαι περὶ τῶν πραγμάτων, τοὺς δὲ εἰδότας διὰ τῆς μνήμης ἀνακαινίζειν τὰ γεγενημένα. P. τὸ μὲν ἀκούουσιν ἐνθυμουμένοις, τὸ δὲ εἰδόσιν ἀναμιμνησκομένοις. F.

40, 19. ἐνθυμητέον] καλῶς ἐπήγαγε τοῦτο τὸ παράδειγμα· εἰώθασι γὰρ οἱ ἄνθρωποι διὰ τῶν ὁμοίων παθημάτων ἐπελαφρύνεσθαι. μερίζει δὲ τὸν λόγον εἰς δύο, εἴς τε νεωτέρους, μὴ εἰδότας τὰ παλαιὰ καὶ ὀφείλοντας αὐτὰ παρὰ τῶν πρεσβυτέρων μανθάνειν, καὶ εἰς γέροντας, εἰδότας μὲν τὰ παλαιά, χρῄζοντας δὲ ὅμως καὶ ἀναμνήσεως. B.P.

40, 20. ἡλίκην ποτ' ἐχόντων] ἐπεὶ περιδεὴς ἦν ὁ δῆμος διὰ τὴν τοῦ Φιλίππου δύναμιν, ἐκ παραδείγματος τὸ θαρρεῖν αὐτοῖς ἐπορίσατο· καὶ γὰρ Λακεδαιμόνιοι οὐ μικρότερον τοῦ Μακεδόνος ἴσχυσαν κατὰ γῆν τε καὶ θάλασσαν. P.

40, 21. οὗ χρόνος] ἵνα μή τις εἴπῃ, πάλαι τοιοῦτοι ἦμεν, νῦν δὲ ὁ χρόνος ἤλλαξε τὰ πράγματα, προσέθηκεν, ἐξ οὗ χρόνος οὐ πολύς. F.P.

41, 2. οὔτε φυλαττομένοις] λείπει τὴν ῥαθυμίαν· ἐὰν φυλάττησθε, φησί, καὶ ἐκφεύγητε αὐτήν, οὐδὲν ὑμῖν φοβερὸν ἔσται. σημεῖον δὲ τούτου ἡ Λακεδαιμονίων δύναμις, ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν. A.H.

41, 3. οἷον ἂν] εὐφήμως αὐτὸ εἶπε πάνυ, φάσκων οἷον ἂν ὑμεῖς βούλησθε, τουτέστι μετ' ἀργίας νικῆσαι. T.C.V.

28. ἔσται] ἔσεται A.H. ἀργίας] ἀργείας T.C.V.
32. μετ' om. V.

41, 4. παραδείγμασι] πρὸς τὸ οὐδὲν ὑμῖν ἐστὶ φοβερόν. T.C.V.

χρωμένοις] ἐὰν δὲ χωρὶς τοῦ ς, πρὸς τὸ ἵνα εἰδῆτε χρώμενοι. T.C.F.V.

41, 6. τῇ νῦν ὕβρει] ἄνω μὲν ὅτε ἔλεγε περὶ Λακεδαιμονίων, ῥώμην εἶπεν· ἐνταῦθα δὲ, ἐπειδὴ θέλει ταπεινοῦν τὸν Μακεδόνα, ὕβριν εἶπε. πάνυ δὲ τοῦτο ἔχθιστον τοῖς Ἀθηναίοις· καὶ γὰρ ἐλευθερίας ἐργασταὶ καθειστήκεισαν. T.C.V.

εὐτελίζει πάλιν τὸν Φίλιππον διὰ τοῦ ὕβριν μόνον καλέσαι αὐτοῦ τὸ πρᾶγμα, ἀλλ' οὐχὶ πόλεμον, καὶ ἅμα τοὺς Ἀθηναίους πρὸς πόλεμον διηρέθισεν, οἷς οὐδὲν ἐπαχθέστερον τῆς ὕβρεως. B.

41, 8. εἰ δέ τις ὑμῶν] εἰσβολὴ κατὰ τὸ κεφάλαιον τὸ δυνατόν. A.R.

εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι] ὅσας οἶδεν ὁ ῥήτωρ ἰσχυρὰς ἀντιθέσεις, πρῶτον τούτων λέγει τὰς λύσεις, εἶθ' οὕτω σαθρὰς ἀποδείξας αὐτὰς προφανῶς προβάλλεται· ὥσπερ οὖν καὶ ἐνταῦθα. τὴν δὲ ἀντίθεσιν τὴν παροῦσαν εἰς δύο κατασκευάζει, εἴς τε τὴν τούτου δύναμιν καὶ πλείστην ἐκ τῆς οἰκείας ἀσθενείας τῶν Ἀθηναίων. εἶτα ἐπειδὴ, εἰ καὶ τὰ μάλιστα ἐδόκει λελύσθαι ἡ ἀντίθεσις, ὅμως ἔτι σφοδρὰ ἦν, τὴν μὲν ἀρχὴν συντρέχει τῷ ἀντιτιθέντι. δεῖ γὰρ τὸν ῥήτορα διὰ τὸ μὴ δοκεῖν ἀναιδῆ καὶ τοῖς προφανῶς ἀληθέσι πολέμιον, ἐπὶ τῶν τοιούτων τὴν μὲν ἀρχὴν ἐνδιδόναι, τελευταῖον δὲ καὶ ὑπὲρ τῆς συνδρομῆς ἀπολογεῖσθαι. T.C.F.V.

δυσπολέμητον] δυσπολέμητον εἶπε καὶ οὐχὶ ἀκαταγώνιστον. ὁ μὲν γὰρ ἀκαταγώνιστος οὐδέποτε ἡττᾶται, ὁ δὲ δυσπολέμητος δυσ-

5. ὕβριν] ὕβρει T.C.

14. ἀποδείξας αὐτὰς] αὐτὰς ἀποδείξας F. ἀποδείκνυσιν αὐτὰς καὶ Par. η. Morelii.

16. εἰς δύο] ἐκ δυοῖν correxit manus recentior in D.

εἴς τε τὴν τούτου δύναμιν F. Idem ex Par. α. β. Morelii affertur, sed omisso τούτου, qui fortasse editoris error est. ἔκ τε τῆς τούτου δύναμιν T. ἔκ τε τῆς τούτου δυνάμεως C. et correctus D. et V. Post δύναμιν F. addit ἣν ἔχει ὁ Μακεδών. "Fortassis "ἐκ δυοῖν κατασκευάζει, ἔκ τε τῆς τοῦ "Φιλίππου δυνάμεως καὶ τῆς τῶν Ἀθη- "ναίων ἀσθενείας. non, καὶ πλείστην "ἐκ τῆς οἰκείας." WOLF.

18. ὅμως F. ὅλως T.C.V.

19. σφοδρὰ] σφόδρα V.

20. δοκεῖν] δοκεῖν εἶναι F. et margo P.

21. ἐπὶ τῶν τοιούτων] ἐπὶ τούτων F. ἐνδιδόναι Wolfius. συνδιδόναι libri.

22. συνδρομῆς F. ut Wolfius conjecerat. συνεκδρομῆς ceteri.

χερῶς μὲν, ὅμως δὲ καταγωνίζεται· ὅπερ ἐνταῦθα θέλων ὑποφῆναι παρέθετο. T.C.V.

41, 10. λογισάσθω μέντοι τοῦθ' ὅτι] συντρέχει τοῖς ὁμολογουμένοις τὸ σπουδαζόμενον ἀνύσειν. A.H.

41, 14. κύκλῳ] τινές φασιν ὅτι, ἐπειδὴ ἀκτή ἐστιν ὁ τόπος, διὰ τοῦτο εἶπε τὸ κύκλῳ· οἱ δὲ ὅτι ἐπειδὴ ἐν κύκλῳ αὗται ἔκειντο. T.C.F.V.

41, 17. εἰ τοίνυν] καθ' ὑπόθεσιν τὸ σχῆμα. B.P.

41, 19. ἐπιτειχίσματα] ἐπιτείχισμα τόπος ὑψηλὸς, ὃν ἂν προκαταλαβόντες πολέμιοι τειχίσειαν, διὰ τὸ ἐντεῦθεν αὐτοὺς ὁρμωμένους ἐπιτίθεσθαι τοῖς ἐχθροῖς. ἐκεῖνος οὖν διὰ τὸ πονεῖν πρὸς ζῆλον τῶν Ἀθηναίων ἐπαινεῖ τὸν Μακεδόνα. οἶδε γὰρ ἐν καιρῷ ἐπαινεῖν καὶ τὸν πολέμιον. T.C.F.V.

41, 22. ἀλλ' εἶδεν] τοῦτο οὐκ ἔστι τοσοῦτον ἐπαινοῦντος τὸν Φίλιππον ὅσον ἐπιτιμῶντος τοῖς Ἀθηναίοις, ὅτι ἅπαντα, ἃ ἔδει αὐτοὺς ποιῆσαι, Φίλιππος προλαμβάνει ποιῶν. B. οὐκ ἔπαινον ἔχει τοῦ Φιλίππου μόνον ὡς καλῶς τι ποιήσαντος, ἀλλὰ καὶ προτροπὴν τῶν Ἀθηναίων. μιμήσασθε γὰρ, φησὶ, καὶ ὑμεῖς τὰ καλῶς πραχθέντα. A.H.R.

41, 23. ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ χωρία ἆθλα τοῦ πολέμου κείμενα ἐν μέσῳ] ἐκ μεταφορᾶς τοῦ κειμένου τοῖς παλαίουσιν ἄθλου ἐν μέσῳ. ἔπαθλα δὲ οὐχ εὕρηται, εἰ μὴ ἅπαξ παρ' Εὐριπίδῃ. T.C.V.

41, 25. καὶ τοῖς ἐθέλουσιν] ὅρα ὅτι δι' ἐκείνου τοῦ τρόπου φησὶν αὐτὸν ῥῆρηκέναι τὰς πόλεις, δι' οὗ βούλεται αὐτοὺς προσέχειν τοῖς πράγμασιν. T.C.V.

1. ὑποφῆναι] ὑποφάναι T. (non C.) ἀποφάναι affertur ex Par. α. η.

4. τὸ σπ. ἀνύσειν] ἐπὶ τῷ τὸ σπ. ἀνύσαι Wolfius.

6. τὸ κύκλῳ add. F.P., om. T.C.V., qui εἶπεν.

ἐπειδὴ om. F.

8. καθ'] τὸ καθ' P.

9. ἂν add. F.P., om. T.C.V.

11. ἐχθροῖς] ἐναντίοις F.

ἐκεῖνος οὖν—πρὸς] Turbata hic scholia videntur esse, duoque in unum perperam compacta. Rectius, ut opinor, apud Wolfium sch. ad v. ἐπιτειχίσματα finitur v. ἐχθροῖς: quæ sequuntur ad novum caput, scilicet, καὶ τοῖς ἐθέλουσι πονεῖν, referuntur. Ibi autem pro ἐκεῖνος οὖν, οἰκείως legitur. MOUNT.

15. ἐπιτιμῶντος Reiskius. ἐπιτιμῶντα B.

ἅπαντα ἃ Sauppius. ἅπαν B.

22. Εὐριπίδῃ] Vide annot. meam ad Phœn. 52.

τὰ τῶν ἀμελούντων τῶν πονούντων ἐστίν. A.H.R.

41, 28. τὰ μὲν ὡς ἂν ἑλών τις] ἐπειδὴ τὸ κατέστραπται φοβερόν ἐστιν, ἐπήγαγε ταπεινώσεως χάριν, ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ. T.C.F.V.

42, 1. καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν] ἐπειδὴ ἐλύπει τοὺς Ἀθηναίους τὸ τὸν Φίλιππον ἔχειν συμμάχους καὶ φίλους, διὰ τῆς καθολικῆς γνώμης τοῦτο ἐθεράπευσεν. T.C.V.

τούτοις ἐθέλουσιν] ἐπειδὴ ἀνωτέρω ἐφόβησεν αὐτοὺς εἰπὼν αὐτὸν τὸν Φίλιππον ἰσχυρὸν διὰ τὸ ἔχειν συμμάχους, ἐπήγαγε τοῦτο παραμυθούμενος, ὡς ὅτι, ἐὰν καὶ αὐτοὶ τὰ αὐτὰ ἐθέλωσι πρᾶξαι, εὐχερῶς αὐτὸν καθαιρήσουσιν. ἄξιον δὲ ζητῆσαι πῶς ἀλλαχοῦ καθελὼν αὐτοῦ τὴν δύναμιν διὰ τοῦ εἰπεῖν ὅτι οἱ πολλοὶ αὐτοῦ ἀφίστανται, νῦν λέγει ὅτι πολλοὺς ἔχει συμμάχους. λέγομεν οὖν ὅτι τὸν τρόπον διέξεισι τῶν ὑπηκόων· εἰ γὰρ καὶ μισοῦσι καὶ φοβοῦνται τοὺς δυνατούς, ἀλλ' ἐν ὅσῳ μὴ πράττουσί τι οἱ ἀγαθοὶ διὰ τὴν ῥαθυμίαν, ἀνάγκῃ προστρέχουσι τοῖς δυνατοῖς, ἵνα μὴ μετὰ τῶν ῥαθύμων ὄντες πάθωσι μετ' αὐτῶν· εἰ δέ ποτε οἱ ἀγαθοὶ σπουδάσουσι καὶ τὴν ῥαθυμίαν ἀποθέσθαι θελήσουσιν, εὐθέως πρὸς αὐτοὺς ἀποστήσονται. B.P.

42, 7. πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν] εἰρωνείαν λέγουσι τὴν ἐπὶ τὸ ἔλαττον προσποίησιν, ὅπερ ἐστὶν ἐναντίον τῇ ἀλαζονείᾳ, καὶ αὖθις τὴν βραδύτητα εἰρωνείαν. Ἰουλιανός φησι ταῦτα σοφιστὴς Χριστιανός. R.S. ἰστέον ὅτι εἰρωνείᾳ ἐστὶν ἐναντίον τῆς ἀλαζονείας. ἀλαζονεύεσθαι μὲν γάρ ἐστι τὸ πλείονα ἐπαγγέλλεσθαι δύνασθαι ποιεῖν ἤπερ δύναιντο, εἰρωνεία δὲ τὸ ἐλάττονα λέγειν δύνασθαι ποιεῖν ἤ τις δεδύνηται. B.T.C.V.

42, 11. αὐτὸς μὲν οὐδὲν ἕκαστος] ἴδιον γὰρ καὶ τοῦτο τῶν ῥαθυμούντων. T.C.V.

42, 13. ἂν θεὸς θέλῃ] εἰς οὐρανὸν τὰς ἐλπίδας ἀνέπεμψεν, ἵνα,

2. τὸ—φοβερόν] τῷ—φοβερός C.
6. τὸ] τῷ C.
10. ὡς ὅτι] Vid. ad p. 11, 20. καὶ om. P.
12. νῦν Sauppius. καὶ νῦν libri.
15. ἀγαθοὶ] Ἀθηναῖοι Wolfius.
19. λέγουσι] λ^ε S.
21. Χριστιανός] χριστῖνος S.
22. ἰστέον ὅτι om. B.
23. ἐστι add. C.P., om. B.T.V.
24. δύναιντο B.T. δύναιτο C.V.
ἐλάττονα λέγειν] λέγειν ἐλάττονα T. C.V.
δύνασθαι] μὴ δύνασθαι T.C.V. μὴ om. B.P.
ἤ τις Sauppius. ἄν τις B.P. Verba ἄν τις δεδύνηται primum addita in P., absunt ab T.C.V.

ἐὰν ἴσως ταῦτα ποιησάντων μὴ ἀποβαίνῃ τὰ συμφέροντα, ἔχῃ ἀπολογίαν· τούτου χάριν ἐντεῦθεν ἤδη τὴν δόκησιν τοῦ θεοῦ προσέθηκεν· οἱ δὲ, διὰ τὸ φιλόθεον τὸ οἰκεῖον ἦθος παραστῆσαι. T.C.V.

42, 16. μισεῖ τις] μισεῖ μὲν ὁ ἤδη πεπονθὼς κακῶς, δέδιε δὲ ὁ μηδέπω μὲν ὑπομείνας προσδοκῶν δὲ, φθονεῖ δὲ ὁ ὁρῶν οὕτως τὰς πόλεις καταστρεφομένας. B.T.C.V. τὸ μειζον ἐν μέσῳ θεὶς ἀπέκρυψε τοῖς ἄκροις τὸ ἰσχυρόν. A.

42, 19. καὶ ἅπαντ' ὅσα] τοῦτο τὸ σχῆμα καλεῖται καθαίρεσις. καὶ γὰρ διὰ τούτου ὅθεν ῥᾳδίως καὶ μάλιστα βλάβη προσγίνεται, τῷ καθόλου τὸν λόγον ἐπιστώσατο. T.C.V.

42, 21. κατέπτηχε] ταπεινοῦται. οὔτε γὰρ ὁ μισῶν βλάπτει, διὰ τὸ ἡμᾶς ῥᾳθυμεῖν, οὔτε ὁ δεδιὼς ἕτερόν τι φρονῆσαι δύναται· ἐπισφαλὲς γάρ· οὔτε ὁ βασκαίνων ἀντιστῆναι· ἀδύνατον γάρ. B.T.C.V. ἀντιπῖπτον δὲ λύει. ἵνα γὰρ μή τις εἴπῃ, πῶς οὖν, εἰ μισοῦσιν αὐτὸν, οὐκ ἀφίστανται αὐτοῦ; ἐπάγει ὅτι ἄκοντες καὶ φοβούμενοι εἰσὶ μετ' ἐκείνου, διὰ τὸ μὴ εὑρίσκειν τινὰ καταφυγὴν πρὸς ἡμᾶς ῥᾳθυμίᾳ κατεχομένους. καὶ μὴν ἤδη ἐπείσθησαν αὐτῷ καὶ ἔπεμψαν βοήθειαν πρὸς Ὀλυνθίους. πῶς οὖν ῥᾳθύμους αὐτοὺς καλεῖ; καθὸ μηδὲν ἑκόντες ποιοῦσιν, εἰ μή τις αὐτοῖς ἐπιτιμήσει διὰ τοῦ συμβουλεύειν καὶ πείθειν ποιεῖν. B.P.

42, 24. ὁρᾶτε γὰρ] τοῦτο τοῦ συμφέροντος. καταμέμικται δὲ τοῦ δυνατοῦ. A. συμφέρον. ἐγκαταμίγνυσι γὰρ τῷ δυνατῷ τὸ συμφέρον. S.

42, 25. ἀσελγείας] ἀσέλγεια κοινῶς καλεῖται πᾶσα ὕβρις, οὐχ ἡ περὶ τὰ ἀφροδίσια μόνον. B.P.

ὃς οὐδ' αἵρεσιν] τουτέστι διὰ τὴν ὕβριν τοῦ Μακεδόνος, οὐδὲ δυνατοὶ καθεστήκατε πράττειν ἃ βούλεσθε· ἀλλὰ καὶ ἐξ ἀνάγκης ἔχετε πολεμῆσαι. διὰ δὲ τούτου τὸ ἀναγκαῖον παρίστησιν. ἀναγκαῖον δ' ἐστὶν οὗ χωρὶς ζῆν οὐ δυνατόν. T.C.F.V.

1. ἴσως Wolfius. εἰκὸς libri. Fort. ὡς εἰκός.
ἀποβαίνῃ] Legebatur ἀποβαίῃ.
2. δόκησιν] διοίκησιν Wolfius.
5. μὲν add. B.P., om. T.C.V.
ὁρῶν—καταστρεφομένας B. ὁρῶν αὐτὸν οὕτω τὰς πόλεις καταστρεφόμενον T.C.V.
9. τούτου] τόπου C.
16. εἰσὶ μετ' Wolfius. εἰσὶν ἀπ' libri.
18. πρὸς] εἰς B.
20. πείθειν] πείσει B.
24. οὐχ ἡ] οὐχὶ P.
28. δ' ἐστὶν οὗ F. δὲ οὗ ceteri.
29. ζῆν addidit Wolfius.

42, 26. τοῦ πράττειν] οὐκ εἶπεν ἁπλῶς πολεμεῖν, ἀλλὰ κοινοτέρῳ ὀνόματι ἐχρήσατο τοῦ πράττειν, οἷον τοῦ ψηφίζεσθαι, τοῦ δικάζειν, τοῦ γεωργεῖν καὶ τῶν λοιπῶν. B.P.

42, 27. καὶ λόγους ὑπερηφάνους] ἵνα μὴ λέγων τὰ ῥήματα τοῦ Μακεδόνος κακὸς οἰωνὸς δόξῃ, τούτου χάριν παρέδραμεν αὐτά. T.C.V. 5

42, 29. προσπεριβάλλεται] τινὲς φασίν, ἐπειδὴ κυκλοτερῶς ἔκειντο αἱ πόλεις, ἃς παρέλαβεν ὁ Φίλιππος, τούτου χάριν εἶπεν οὕτως. ἄλλοι δέ, ἀπὸ μεταφορᾶς τῶν κυνηγετῶν, οἵτινες κύκλῳ περὶ πάσας τὰς ὁδοὺς καὶ πάσας τὰς ἐκτροπὰς τὰς ἄρκυς περιβάλλουσιν, ὑπὲρ τοῦ μὴ διαφυγεῖν τὰ θηρία ἐκεῖθεν. καὶ τὸ περιστοιχίζεται 10 πάλιν ἐπήγαγεν· ὃ καὶ ἄμεινον. T.C.F.V.

περιστοιχίζεται] ἀπὸ μεταφορᾶς τῶν κυνηγετῶν· κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στοίχους ἢ στόχους, καταπετεννύντες αὐτῶν δίκτυα, ἵνα, ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ. ἔνια δὲ τῶν ἀντιγράφων περισχοινί- 15 ζεται ἔχει. B.R.P.

43, 1. καὶ καθημένους] ἐπειδὴ φοβεῖ τὸ λεχθὲν, φησὶν ὡς ἐπικουροῦσαν τὴν ἡμετέραν ῥᾳστώνην κτησάμενος τοῦτο διαπράξεται Φίλιππος. T.C.V.

43, 2. πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι] μετάβασις καὶ ἐνταῦθα ἐπὶ 20 τὸ ἀναγκαῖον· δείκνυσι γὰρ ὅτι ἐξ ἀνάγκης ταῦτα ποιητέον. ἔστι δὲ κατὰ ἐπιτίμησιν· διὸ καὶ τὸ δεύτερον πότε βαρυτέρᾳ φωνῇ προφέρεται. τρόπον δὲ διαγράφει ἐνταῦθα τῶν ῥαθυμούντων. ἔστι δὲ τὸ σχῆμα διαλογικόν. εἶτα τῇ ἐρωτήσει τὴν ἀπόκρισιν οὐκ ἀποδίδωσιν, ἀλλ' ὑπὸ τῆς ὀργῆς αὐτὸς ἀντὶ τοῦ δῆθεν ἠρωτημένου φθέγγεται. 25 T.C.F.V.

1. οὐκ—λοιπῶν] Brevius in S. κοινῶς ἀντὶ τοῦ ψηφίζεσθαι, τοῦ δικάζειν, τοῦ γεωργεῖν.

6. τινὲς om. T.C.V.

7. παρέλαβεν] κατέλαβεν C., non T.

εἶπεν] εἰκεῖν Wolfius.

8. περὶ addidi ex F.P.

11. ὃ] Legebatur ὅθεν. Usitata scholiastis formula ὃ καὶ ἄμεινον.

12. ἀπὸ R.T. ἐκ B.

18. διαπράξεται] διαπράττεται Wolfius.

20. ἐνταῦθα] ἐντεῦθεν Par. η.

21. γὰρ add. F.P., om. ceteri.

22. βαρυτέρᾳ] βαρύτερον Par. η.

φωνῇ] τῇ φωνῇ F.P.

προφέρεται Wolfius. προσφέρεται libri.

23. τῶν add. F.P., om. ceteri.

24. ἀπόκρισιν Wolfius. διάκρισιν libri.

43, 3. ἐπειδὰν] ὡς ἐν ἤθει ἀναγνωστέον τὸ ἐπειδὰν νὴ Δία ἀνάγκη· οὐδὲν γὰρ χαλεπώτερον αἰσχύνης τοῖς ἐλευθέροις καθέστηκεν. T.C.V.

43, 4. ἐγὼ μὲν γὰρ οἴομαι] εἰπὼν τὸν μέν οὐκ ἐπήγαγε τὸν δέ, ἐπειδὴ ἔμελλεν ἐπιφέρειν· "ὑμεῖς δὲ αὐτὴν οὐχ ἡγεῖσθε αἰσχύνην," ὅπερ ἦν ὑβριστικόν. καὶ διὰ τοῦτο τὸ μὲν ἀποσιωπᾷ, ἄλλο δὲ ἐπι- 5 φέρει τούτου ὅμοιον. B.P. εἰ μὲν δούλων ἀνάγκην ζητεῖς, ἐκδέχου τὰς πληγάς· εἰ δὲ ἐλευθέρων, ἡ τῶν πραγμάτων αἰσχύνη μεγίστη ἀνάγκη καθέστηκεν. ἔστι δὲ τοῦ συμφέροντος. A.R.

43, 6. ἢ] ἀντὶ τοῦ ἄρα ἀπορηματικοῦ. A.

43, 7. εἰπέ μοι] δέον εἰπεῖν· εἴπατέ μοι, πρὸς τὸ βούλεσθε, εἰπέ 10 μοι εἶπεν Ἀττικῶς. B.

πυνθάνεσθαι] κατὰ τὴν ἀγοράν. B.

43, 8. γένοιτο γὰρ ἄν τι καινότερον] τοιοῦτοι γὰρ οἱ ἄνθρωποι· ἀεὶ τῶν καινοτέρων ὀρέγονται. B.

43, 9. Ἀθηναίους] τοὺς τὸν Πέρσην ἀπὸ τῆς Ἑλλάδος διώξαντας 15 ἐκ Πέλλης ὁρμώμενος ἄνθρωπος καταπολεμεῖ. T.C.F.V.

43, 10. τέθνηκε Φίλιππος] καὶ ἐντεῦθεν ὁρμώμενοί φασιν ὅτι πρῶτος οὗτος ὁ λόγος· καὶ γὰρ ἡ ἀσθένεια Φιλίππου πρὸ τῆς πολιορκίας Ὀλύνθου. ἀλλὰ φαμὲν ὅτι οὐκ ἀπεικὸς αὐτὸν τὸ τοιοῦτον θεῖναι ὡς ἐν παραδείγματι, κἂν ἦν τοῖς χρόνοις προγενέστερον· 20 ἐκεῖνοι γὰρ ἅτε ταῦτα θέλοντες γενέσθαι ἐθρύλουν. T.C.F.V.

43, 12. ταχέως ὑμεῖς] ἡ ῥᾳστώνη, φησὶ, πολλοὺς τίκτειν Φιλίππους δύναται· καὶ γὰρ παρ' ἡμῖν οὔσης τῆς ἀμελείας, ταχέως γενησεται καὶ ἕτερος Φίλιππος. ἄλλοι δέ τινες περιέργως φασὶ διὰ τὸν Ἀλέξανδρον αὐτὸν τοῦτο λέγειν. καθ' ὑπόθεσιν τὸ λεγό- 25 μενον. T.C.V.

43, 14. τοσοῦτον ἐπηύξηται] καλῶς ἠσφαλίσατο διὰ τὸ πιθανόν·

3. εἰπὼν] εἰπὼν γὰρ P.
5. ἀποσιωπᾷ] σιωπᾷ P.
7. τὰς om. A.
15. Ἀθηναίους] τοὺς—διώξαντας T. P. ἀθηναίοις τοῖς—διώξασιν C.F.V. in quibus hoc scholion cohæret cum superiore, quod verbo καθέστηκεν finitur.
16. καταπολεμεῖ] κατὰ πολέμου T. καταπολεμῶν C. κατὰ cum lacuna V.
17. καὶ] τινὲς δὲ P.
20. προγενέστερον] προγενέστερος V.
21. ἐκεῖνοι γὰρ, ἅτε Wolfius. ἅτε γὰρ ἐκεῖνοι T.C.V. ἅτε δὴ γὰρ ἐκεῖνοι F.P.
23. δύναται] ἐπίσταται Par. η.
25. λεγόμενον] In F. scholion brevius τινὲς φασὶ τοῦτο διὰ τὸν ἀλέξανδρον λέγεσθαι καθ' ὑπόθεσιν.

οὐ γὰρ πάντως πάντα διὰ τῆς ῥαθυμίας Ἀθηναίων, ἀλλὰ καί τινα διὰ τῆς αὐτοῦ ῥώμης κατώρθου. B.P.

43, 18. ἴσθ' ὅτι πλησίον] τοῦ γὰρ βασιλέως νεωστὶ τετελευτηκότος καὶ τῶν ὑπηκόων, ὡς εἰκὸς ἦν, διχονοούντων, αὐτοὶ προστιθέμενοι ἐνίοις ἐξ αὐτῶν ἠδύναντο τῶν ἑτέρων περιγενέσθαι καὶ οἰκεῖον 5 βασιλέα καταστῆσαι. T.C.F.V.

43, 22. ἀπηρτημένοι] ἀντὶ τοῦ κεχωρισμένοι, κρεμάμενοι. A.T. C.P.

43, 24. ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα] ἐντεῦθεν μέτεισιν ἐπὶ τὸ ἄλλο μέρος τοῦ δυνατοῦ. εἰς δύο γὰρ τοῦτο ἔτεμεν, εἴς τε τὸ ὅτι, 10 ἐὰν λάβωμεν τὴν αὐτὴν γνώμην Φιλίππῳ, δυνάμεθα νικῆσαι, ὃ ἤδη καὶ ἐξείργασται· καὶ εἰς τὸ ποσὸν τῆς δυνάμεως καὶ τὸν τρόπον τοῦ πόρου, ὃν νῦν ἐρεῖ. διὰ μέσου δὲ εἶπε τὸ ἀναγκαῖον. τὸν δὲ τρόπον τῆς παρασκευῆς, πότερον ἐκ πολιτῶν, ἢ ξένων αὕτη γίνεται. T.C.F.V. 15

43, 25. πεπεισμένων] ἀντὶ τοῦ πεισθέντων. τοιοῦτος δὲ ὁ Δημοσθένης, τὰ ἀμφιβαλλόμενα λαμβάνων ὡς ὁμολογούμενα. B.P.

43, 26. τὸν δὲ τρόπον τῆς παρασκευῆς] τὸ δυνατὸν κεφάλαιον. B.

43, 29. καὶ τάχιστα] καὶ τὸ τάχιστα προσέθηκεν, ἐπειδὴ μικρὰν μέλλει λέγειν τὴν βοήθειαν ποιεῖσθαι, ἵνα τὸ τάχος πρὸς ἀπολογίαν 20 ἔξῃ. T.C.V.

44, 1. δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι] προθεραπείᾳ κέχρηται, ἐπειδὴ οἶδεν αὐτοὺς ἡδέως τὰ μέγιστα ψηφιζομένους, μηδὲν δὲ ἄξιον ποιοῦντας τῶν δεδογμένων. θέλει δὲ αὐτοὺς ἐκείνην τὴν βοήθειαν πέμψαι, ἣν δύνανται. τούτου χάριν ταύτῃ κέχρηται. T.C.F.V. 25

44, 2. τοσοῦτον] ἀντὶ τοῦ ὀλίγον. T.C.P.

44, 4. καινὴν παρασκευὴν] ὡς πρὸς τὴν τῶν Ἀθηναίων δόκησιν· καὶ γὰρ αὐτοὶ πολλὴν ἤθελον. ὁ δὲ Δημοσθένης εἰδὼς πῶς ἔχει τὰ πράγματα, ὀλίγην. T.C.V.

44, 5. ἀναβάλλεσθαι] ἀναβολὴν τοῖς πράγμασι ποιεῖν. P. 30

44, 6. οὐ γὰρ οἱ ταχὺ καὶ τήμερον εἰπόντες μάλιστα εἰς δέον

2. αὐτοῦ—κατώρθου] αὐτῶν—κατώρθουν B.
3. τοῦ] τοῦτο V.
5. ἐνίοις Wolfius. ἐνίοτε libri. ἠδύναντο] ἠδύνατο V.
7. κρεμάμενοι om. A.
11. ἐὰν om. V.
20. τὴν addidi ex C.
24. θέλει] θέλων F. a m. sec.
25. τούτου χάριν om. F.

λέγουσιν] οὐχ οἱ ταχὺ καὶ τήμερον λέγοντες ἡμῖν ἐξελθεῖν χρήσιμοί εἰσι σύμβουλοι, ἀλλ' ἐκεῖνος ἄριστος σύμβουλος, ὃς ἂν παρασκευὴν ἐξεύρῃ καὶ πόρον, δι' οὗ ἀδιάφθορος ἔσται ἡ δύναμις. T.C.V.

44, 7. τῇ νυνὶ βοηθείᾳ] τῇ νυνὶ φησὶν ἐκπεμπομένῃ στρατιᾷ μετὰ τὸ ἁλῶναι τὰ πράγματα· ἄλλο τι γὰρ βοήθεια καὶ ἄλλο παρασκευή· ἡ μὲν ἡ πεμπομένη μετὰ τὰ πράγματα, παρασκευὴ δὲ ἡ πεμπομένη ἐξ ἀρχῆς τοῦ φυλάξαι τὰς πόλεις. H.R.S.

44, 9. τίς πορισθεῖσα παρασκευὴ καὶ πόση] ξενικὴ ἢ πολιτική. πάλιν πόσους δεῖ εἶναι στρατιώτας, καὶ πόθεν μέλλουσιν ἔχειν τὰς τροφάς; B.

44, 10. ἕως αν ἢ διαλυσώμεθα] πάνυ καλῶς, ἵνα μὴ δόξῃ νεμεσητόν τι ποιεῖν προτάττων τὸ νικήσωμεν, προέταξε τὸ λῦσαι τὸν πόλεμον. εἶτα διὰ τὸ κακοσύμβουλον εἶπε πεισθέντες. F.T.C.V.

44, 12. οὕτω γὰρ οὐκέτι τοῦ λοιποῦ] νικήσαντες, ἢ φυλάττοντες τὴν τῶν πολεμίων ἔφοδον. F.T.C.V.

44, 13. μὴ κωλύων] ἀντὶ τοῦ τοῖς βουλομένοις δημηγορῆσαι μὴ γινόμενος παρεμποδών. τινὲς δέ φασιν ὅτι ἐξ ἀληθείας ὁ ῥήτωρ βούλεται τὰς δύο γενέσθαι παρασκευάς. ἄμεινον δὲ λέγειν ὅτι ἐπειδὴ εἶπε μόνην τὴν ἑτέραν παρασκευὴν, ἐλύπει τοὺς Ἀθηναίους. καὶ γὰρ ἡδέως τὰ μεγάλα ἦσαν ψηφιζόμενοι· τούτου χάριν προσέθηκε καὶ ταύτην. ἀμέλει παρακατιὼν ταύτην μὲν ὑπεσιώπησε, περὶ δὲ τῆς ἑτέρας πολὺν τὸν λόγον ἐποιήσατο. T.C.F.V.

44, 14. ἡ μὲν οὖν ὑπόσχεσις] ἢ ὅτι διαλυσόμεθα, ἢ περιγενησόμεθα τῶν ἐχθρῶν. B.

44, 21. καὶ πλοῖα] τὰ φέροντα τὰ ἐπιτήδεια καὶ ὑπηρετικὰ φησίν. T.C.V.

1. Addidi οὐχ οἱ ταχὺ καὶ τήμερον λέγοντες. In P. οὐχὶ γὰρ οἱ λέγουσιν.

2. παρασκευὴν—πόρον] παρασκευάσῃ ὑμᾶς καὶ πόρον ἐξεύρῃ Par. η. unde ἐξεύρῃ sumsi pro vulgato ἐξεύροι.

δι' addidit Wolfius.

3. οὗ] Legebatur οὗ ἄν.

7. Hoc scholion sic scriptum in B. ἄλλο παντάχοῦ βοήθεια καλεῖ καὶ ἄλλο παρασκευή· βοήθειαν μὲν τὴν πεμπομένην μετὰ πράγματος, παρασκευὴν δὲ τὴν ἀποστελλομένην ἐξ ἀρχῆς πρὸς τὸ φυλάξαι τὰς πόλεις. In P. καλεῖ βοήθειαν μὲν τὴν πεμπομένην μετὰ πράγματος, παρασκευὴν δὲ τὴν ἀποστελλομένην πρὸς τὸ φυλάξαι τὰς πόλεις.

8. ξενικὴ—τροφάς] In P. ξενικὴ ἢ π. πόση· πόσους δεῖ εἶναι στρατιώτας.

12. προτάττων] προτείνων F.P.

19. εἶπε μόνην T.C. εἰπὼν μόνην F. εἶπε μόνον V.

ἑτέραν] προτέραν Par. η.

20. ἦσαν om. T.C.V.

44, 24. Πύλας] Πύλαι ἦσαν τῆς Ἑλλάδος, μεταξὺ τοῦ τε Παρνασσοῦ καὶ τῆς θαλάττης, ποδῶν εἰκοσιπέντε τὸ πλάτος· αἵτινες ἐκαλοῦντο καὶ Θερμοπύλαι, διὰ τὸ θερμὰ ἐκεῖ λουτρὰ τὴν Ἀθηναῖν ἀναδοῦναι μετὰ τοὺς ἄθλους τῷ Ἡρακλεῖ κεκμηκότι. ταύτην ἐπειράθη καταδραμεῖν ὁ Φίλιππος ὢν ἐν Θετταλίᾳ. μαθόντες δὲ Ἀθηναῖοι καὶ περιπλεύσαντες τὸν τόπον ἀπεώσαντο αὐτόν. T.C.F.V. 5

44, 27. εἰς Ἀλίαρτον] ὅτι τὸ ἐν Ἀλιάρτῳ πρὸ ἓξ ἐτῶν ἐγένετο, τὸ δὲ ἐν Εὐβοίᾳ πρὸ τριῶν, ὅτε καὶ ὁ ῥήτωρ ἐτριηράρχει· ἢ ὅτι πρὸ πολλῶν ἐτῶν γέγονεν ἡ ἐν Ἀλιάρτῳ μάχη· ὅθεν εἶπε καὶ "τὰ τελευ-
"ταῖα." τελευταῖα μὲν ὡς πρὸς ταύτας τὰς στρατείας, πρῴην δὲ 10
ὡς πρὸς τὸν χρόνον, καθ' ὃν ἐλέγετο ὁ λόγος. τὸ δὲ Ἀλίαρτος ἀρσενικῶς, ὡς καὶ Ὅμηρος,

καὶ ποιήσθ' Ἀλίαρτον.

B.T.C.V. Ἀλίαρτος πόλις τῆς Βοιωτίας. ἐκεῖ ἐξελθόντες οἱ Ἀθηναῖοι Θηβαίοις ἄγαν ταλαιπωροῦσιν ἐβοήθησαν, καὶ μέλλοντας 15
ὑπὸ Λακεδαιμονίων παντελεθρίᾳ διαφθείρεσθαι κεκωλύκασιν. A.H.R.

45, 5. παριδὼν] ἀντὶ τοῦ καταφρονήσας τῆς ἡμῶν παρασκευῆς. T.C.P.

45, 11. μή μοι μυρίους] τὸ σχῆμα ἀποτρεπτικὸν πνεύματος. B.P. βασιλέως τοῦ Περσῶν ἐπιστείλαντος τοῖς ἐπὶ θαλάσσης 20
σατράπαις διαλῦσαι τὰ μισθοφορικὰ στρατεύματα διὰ τὸ πολλὰ χρήματα καταναλώσασθαι, ἀφῆκαν οἱ σατράπαι τοὺς στρατιώτας. οὗτοι περὶ μυρίους ὄντες ἧκουσι πρὸς Χάρητα στρατηγὸν Ἀθηναίων ἔχοντα ξενικὴν δύναμιν καὶ ἐποίησαν αὐτὸν ἡγεμόνα. Ἀρτάβαζος δὲ Πέρσης ἀνὴρ, ἀποστὰς βασιλέως καὶ πολεμῶν πρὸς αὐτὸν, ἔπεμψε 25
πρὸς Χάρητα, παρακαλῶν αὐτὸν διαβιβάσαι τὸν στρατὸν εἰς τὴν βασιλέως χώραν. τῶν οὖν στρατιωτῶν ἢ χορηγῆσαι αὐτοῖς ἀναγκαζόντων τὸν Χάρητα, ἢ ἀπελεύσεσθαι πρὸς τὸν διδόντα, διεβίβασεν

2. Παρνασσοῦ] παρνασσοῦ T.V.
3. ἐκεῖ F. ἐκεῖσε ceteri.
4. ἀναδοῦναι] δοῦναι V.
ταύτῃ] ταύτας F. a m. sec.
5. ὢν addidit Wolfius.
6. ἀπεώσαντο] ἀπεσώσαντο V.
11. τὸ δὲ Ἀλίαρτος—Ἀλίαρτον om. T.C.V.
12. Ὅμηρος] Iliad. B, 503.
13. ποιήσθ'] ποιῆν B.
14. Ἀλίαρτος om. A.
17. ἡμῶν T. ἡμῖν P. ἡμετέρας C.
25. ἀποστὰς Reiskius. καταστὰς A.H.R.
βασιλέως A. βασιλεὺς H.R.
27. χορηγῆσαι] χορηγήσειν A.H.R. Notavit vitium Reiskius apposito sic.

ἀναγκασθεὶς τὸν στρατὸν, καὶ ἐνίκησε συμβαλὼν δισμυρίους Περσῶν καὶ πλεῖστον αὐτῶν ἱππικὸν ὑπὸ Τιθραύστου στρατηγούμενον· ὃς καὶ ἔγραψε τοῖς Ἀθηναίοις περὶ τῶν μυρίων ὅτι νενίκηκε μάχην ἀδελφὴν τῆς ἐν Μαραθῶνι. οἱ δὲ δι' ἐπιστολῶν καὶ ἑτέρους ἐκέλευον μισθώσασθαι Χάρητα. λέγει οὖν ὁ ῥήτωρ ὅτι, μὴ δι' ἐπιστολῆς τοῖς 5 στρατηγοῖς ἐπιτάττωμεν μισθώσασθαι ξένους μυρίους ἢ δισμυρίους. A.H.R.

45, 12. ἐπιστολιμαίους ταύτας δυνάμεις] οἱ γὰρ Ἀθηναῖοι πολλάκις ἐμάχοντο δι' ἐπιστολῶν πρὸς Φίλιππον. P.

46, 5. εἶεν] ἀνάπαυσις τῶν λεχθέντων. ὅτε γὰρ βουλόμεθα παύ- 10 σασθαι τῶν λεγομένων καὶ ἐφ' ἕτερα μετελθεῖν, τῷ εἶεν χρώμεθα. λῆξις γὰρ τῶν πρώτων, ἀρχὴ δὲ τῶν μελλόντων. A.

46, 19. ξενικὸν] οἱ ξενικοὶ μισθοφόροι τὸ παράπαν εἰώθασι χρησιμεύειν ἐν πολέμοις, ὅτι οἱ Ἀθηναῖοι μὴ βουλόμενοι δι' ἑαυτῶν πολεμεῖν πρὸς Κορινθίους, διὰ τὸν κίνδυνον, μισθούμενοι ξένους εἰς τὸν 15 πόλεμον, ἔτρεφον αὐτούς. τοῦτο δὲ ἐν πολλοῖς τῶν πολέμων διεπράττοντο, ὅπερ ξενικὸν ἐκάλουν. B.P.

47, 10. ταξιάρχους] ταξίαρχος λέγεται ὁ τῆς πεζικῆς ἄρχων, ἵππαρχος δὲ ὁ τοῦ ἱππικοῦ παντὸς στρατηγός. ἱεροποιοὶ δὲ οἱ τὰ θύματα ἄγοντες εἰς τὴν πανήγυριν ἀπὸ τόπου εἰς τόπον. A.R. 20

47, 12. ὥσπερ γὰρ οἱ πλάττοντες] καθάπερ γὰρ οἱ τὰ πήλινα προτιθέντες εἰς τὴν ἀγορὰν τοῦ ὁρᾶσθαι μόνον ἕνεκα ταῦτα πλάττουσιν, οὕτως καὶ ὑμεῖς ἐπὶ θέαν ψιλὴν χειροτονεῖτε τοὺς στρατηγοὺς, οὐ τῶν εἰς τὸν πόλεμον ἔργων ἕνεκα. A.

48, 1. τάλαντα] τὸ τάλαντον ἔχει ξ' μνᾶς, ἡ μνᾶ ρ' δραχμιὰς, ἡ 25 δραχμὴ ἓξ ὀβολοὺς, ὁ δὲ ὀβολὸς ἡ χαλκοῦς, καὶ μέχρι τούτου ἵστατο τούτων ὁ ἀριθμὸς πρῴην παρὰ τοῖς Ἀθηναίοις, νῦν δὲ οὐκέτι

1. περσῶν H.R. προσιὼν A.
4. καὶ ἑτέρους ἐκέλευον] διεκέλευον H.
6. ἐπιτάττωμεν Sauppius. ἐπιτάττομεν libri.
19. στρατηγός R. στρατοῦ A.
26. καὶ om. R.
τούτου ἵστατο om. H.R.
27. ὁ om. S.
παρὰ τοῖς Ἀ.] παρ' ἀ. H.R. Sequentia absunt ab H.R. Est hoc scholion etiam in A., sed ita scriptum ut legi non possit. Scholion brevius est in P. σημείωσαι ἐντεῦθεν ὅτι τὸ μὲν τάλαντον ποιεῖ μνᾶς ξ', ἡ μνᾶ δὲ ρ' δραχμὰς, ἡ δὲ δραχμὴ ὀβολοὺς ἕξ· ὥστε εἶναι τοῦ ταλάντου ὅλας ἓξ (imo ἑξακισχιλίας) δραχμὰς, τῶν δὲ δραχμῶν ὀβολοὺς γ' (sic).

οὐδεὶς σώζει τῶν νῦν εἰς πόσα νομίσματα ἐν συνηθείᾳ τότε ἀνελύετο. H.R.S.

48, 16. ἃ μὲν ἡμεῖς] «ἐντεῦθέν φησι Διονύσιος ὁ Ἁλικαρνασεὺς ἑτέρου λόγου εἶναι ἀρχήν. προοίμιον δὲ, φησὶν, οὐκ ἔχει, ἐπειδὴ δευτερολογία ἐστὶν, ἐν αἷς ὡς ἐπὶ τὸ πλεῖστον οὐκ εἰσὶ προοίμια. B.T. 5 C.F.P. οὐ λέγει δὲ ἀληθῆ. ἐπειδὴ γὰρ ἄνωθεν ὑπέσχετο περὶ πόρου χρημάτων εἰπεῖν, νῦν τοῦτο δεικνύει, καὶ ἔστιν ὥσπερ ἐπίλογος, ὥσπερ ἐποίησε καὶ Ἰσοκράτης ἐν τῷ τοῦ Τραπεζιτικοῦ τέλει κατὰ Λοχίτου αἰκίας ἐπίλογον θείς. F.P.

49, 9. ῥᾳδίως ἔσται] ἅπαντα δηλονότι. P. 10

ἃ μὲν οὖν χρήσεται] κατὰ τὸ τί χρήσομαι τοῖς παροῦσιν ἐστὶ τὸ ἃ χρήσεται τῇ δυνάμει. P.

50, 20. ἀντιδόσεις] τὸ τῆς ἀντιδόσεως ὂν παλαιὸν Ἀθηναίοις τοι-

3. φησι om. B.

3. Διονύσιος ὁ Ἁλικαρνασεὺς] vol. 6. p. 736. De errore Dionysii dixi in annotatione ad p. 48, 16.

4. ἐπειδὴ—προοίμια om. F. Pro ἐπὶ τὸ πλεῖστον in T.C. est ἐπιπλεῖστον.

6. οὐ λέγει δὲ ἀληθῆ] Hæc fortasse Cæcilii observatio est, quem contra alium errorem Dionysii disputare videmus in initio scholiorum ad orationem Olynthiacam secundam.

8. κατὰ] κατὰ τοῦ, deleto τοῦ, F. Post scholion ad p. 48, 16. in B.P. sequuntur scholia duo, ad p. 48, 28. et 50, 8. quorum prius ex Suida s. v. ἐτησίαι, alterum ex eodem s. v. ἀποστολαί est transcriptum levi cum scripturæ diversitate: ἐτησίαι οἱ ἄνεμοι οἱ κατ' ἔτος πνέοντες· πνέουσι δὲ ἐν ἀκμῇ τοῦ θέρους, διότι ὁ ἥλιος μετεωρότερος καὶ ἀπὸ τῶν μεσημβρινῶν τόπων ἀρκτικώτερος γινόμενος λύει τὰ ὑγρὰ τὰ ἐν ταῖς ἄρκτοις· λυόμενα δὲ ταῦτα (δὲ τὰ αὐτὰ P.) ἐξαιροῦται καὶ πνευματοῦται, καὶ ἐκ τούτων γίνονται οἱ ἐτησίαι, καὶ ἀπὸ τῶν ἀρκτῴων τόπων φέρονται ἐπὶ τὴν μεσημβρίαν, ἃ προσπίπτει τοῖς ὑψηλοτέροις ὄρεσι τῆς Αἰθιοπίας, καὶ πολλὰ καὶ ἀθρόα γινόμενα ἀπεργάζονται (ἀπεργάζεται P.) ὑετοὺς, καὶ ἐκ τῶν ὑετῶν τούτων πληθωρεῖται ὁ Νεῖλος τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων. ἐτήσιος (ἐτησίας δὲ P.) ὁ κατ' ἔτος. Alterum: ἀπόστολος ὁ μετὰ στρατιᾶς ἀποστελλόμενος εἰς πόλεμον παρασκευῆς· καὶ ἀποστελλόμενοι οὐ μόνον (μόνοι P.) οἱ πεμπόμενοι ἐκ προσταγμάτων τῶν ἀπολυόντων, ἀλλὰ καὶ οἱ πεμπόμενοι, ἀποδημεῖν μέλλοντες, ἀποστελλόμενοι ἐλέχθησαν. καὶ ἀποστολεῖς οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριήρων ἀποδεδειγμένοι· ἀπόστολοι δὲ αἱ τῶν νεῶν ἐκπομπαί· ἀποστολαὶ δὲ αἱ ἀποπέμψεις, τὰ δῶρα· οὕτω γὰρ ἐν τῷ ὑπὲρ (γὰρ αὐτὸς ὑπὲρ P.) Κτησιφῶντος (p. 262, 18. ubi ἀποστολεύς legitur)· "τῶν δὲ πλοίων "τὰ μὲν συντριβόμενα ταῖς ἀποστο-"λαῖς." (hæc non Demosthenis, sed Diodori verba (13, 67.) esse monuit Toupius.) τουτέστι ταῖς ἀποπέμψεσιν.

13. τὸ τῆς—ἦν] Pro his verbis in H.R. legitur ἀντίδοσις οὕτως ἐγένετο.

παλαιὸν] πάλαι S. a m. sec.

οὗτόν τι ἦν. πολλάκις τις ἐχειροτονεῖτο εἰς λειτουργίαν τινὰ καὶ προεφασίζετο μὴ δύνασθαι ταύτην ὑποφέρειν. ἀνίστατό τις ἀντιδιδοὺς αὐτῷ τὴν ἑαυτοῦ οὐσίαν καὶ φάσκων ὅτι πρόφασις εἴη τὰ παρ' αὐτοῦ λεγόμενα. εἰ δέ φησιν ὅτι οὐ δύναται ἡ αὐτοῦ οὐσία ταυτὶ λειτουργῆσαι, λαβὼν ταύτην ἐγὼ καὶ ἀντιδιδοὺς ἐκείνῳ τὴν ἐμὴν, δύναμαι ποιεῖν. ἐκ τούτου ἠναγκάζετο ἢ δοῦναι τὴν οὐσίαν ἢ λειτουργεῖσθαι. R.S.

51, 3. ἐπιστολάς] ὁ σκοπὸς τῆς ἐπιστολῆς ἐστιν οὗτος· ὁ Φίλιππος ἐπέστειλεν Εὐβοεῦσι συμβουλεύων μὴ δεῖν ἐλπίζειν εἰς τὴν Ἀθηναίων συμμαχίαν, οἳ οὐδὲ αὐτοὺς δύνανται σώζειν. A.H.

52, 19. θαυμάζω] τὸν περὶ Ἀμφίπολιν λέγει πόλεμον· ἀρχὴ γὰρ γεγένηται πολέμου ἡ Ἀμφιπολις. δυσωπεῖ δὲ αὐτοὺς τῇ πολλῇ μεταβολῇ. ἡ μὲν ἀρχὴ περὶ τιμωρίας ἐγένετο, τὸ δὲ τέλος περὶ τοῦ μὴ παθεῖν κακῶς. A.H.R.

52, 22. ἀλλὰ μὴν] ἐκ τοῦ ἀναγκαίου. A.

52, 27. κενὰς] πολιτικῆς δυνάμεως. B.P.

52, 28. ποῖ οὖν] ἀνθυποφορὰ, ἣν λύει στοχασμῷ. A.

53, 7. κενὸν] τὸ λόγοις μόνον γινόμενον, ἄνευ πραγμάτων. B.P.

53, 16. ἀπομίσθων] ἀπόμισθοι καὶ οἱ μὴ πεπληρωμένοι τὸν ὡμολογημένον μισθὸν καὶ οἱ διὰ κακίαν καὶ δειλίαν μὴ ἀξιούμενοι μισθοῦ. B.P. μισθὸν μὴ δεχομένων. οἱ δὲ συκοφάνται, ὑπὲρ ὧν ὁ στρατηγὸς ἐκεῖ πράττει, ἐνταῦθα κατηγοροῦσιν εὐχερῶς. διὰ γὰρ τὸ μὴ παρεῖναι ὑμᾶς καὶ συκοφαντῶν ἀνέχεσθε. ταῦτα πρὸς Κηφισόδοτον αἰνίττεται. A.

54, 3. ὑμῶν δ'] ἐντεῦθεν οἱ ἐπίλογοι. B.P.

54, 10. ὀνειροπολεῖν] φαντάζεσθαι. P.

54, 15. ἀλλ' ἐὰν ἀφέντες] κατά τινας ἐντεῦθεν οἱ ἐπίλογοι. B.P.

54, 16. ὅτι ἐχθρὸς] τὰ τελικὰ κεφάλαια. ἐχθρὸς τὸ ἄδικον·

1. τις om. H.R.

10. οὐδὲ] οὔτε A.H. Notavit Reiskius.

11. τὸν περὶ — γεγένηται] Hæc verba in A. ægre legi possunt, proxima autem πολέμου ἡ Ἀμφίπολις et verbi δυσωπεῖ literæ quinque primæ plane sunt obliterata.

18. γινόμενον] τιμώμενον B.

20. διὰ κακίαν] δι' ἀδικίαν P.

22. ἐνταῦθα] ἐντεῦθεν A. Notavit errorem Reiskius.

23. ὑμᾶς Reiskius. ἡμᾶς A.

28. ἄδικον· ἡμέτερα] ἄδικον δηλοῖ· ἐκ δὲ τοῦ ἡμέτερα P.

ἡμέτερα τὸ ἀσύμφορον· ὕβρικε τὸ ἀπρεπές· καθ' ἡμῶν εὕρηται τὸ ἀναγκαῖον. B.P.

54, 23. οὐ γὰρ ἄττα ποτ' ἔσται] ὑπερβατὸν καθ' ὑπέρθεσιν. B.P.

ἐγὼ μὲν οὖν] ὁ μερικὸς ἐπίλογος. B.P. 5

1. ὕβρικε] ἐκ δὲ τοῦ ὕβρικε P.
καθ'] ἐκ δὲ τοῦ καθ' P.
3. καθ' ὑπέρθεσιν] κατὰ παρένθεσιν P.

V.

ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ.

Ὑπόθεσις τοῦ περὶ τῆς εἰρήνης.

Ὁ Φίλιππος μετὰ τὸ ἀνελεῖν τοὺς Φωκέας ἐν τῇ εἰρήνῃ πάρεδρος Ἀμφικτυόνων ἠβουλήθη γενέσθαι, ὡς λείποντος τοῦ ἑνὸς ἔθνους Ἀμφικτυόνων πρὸς ἀναπλήρωσιν τῶν ιβ΄. τοῦτο ἐψηφίσαντο Θηβαῖοι καὶ Θετταλοὶ καὶ ἄλλοι τινές· ἀναγκαίως οὖν ἐχρῆν καὶ τοὺς Ἀθηναίους τούτοις συμψηφίσασθαι. Ἀμφικτυονία δὲ τόπος ἐν τῇ Ἑλλάδι, κοινὸν τῶν Ἑλλήνων δικαστήριον. ὅτε γὰρ ἠδικοῦντό τινες τῶν Ἑλλήνων, ἀπῄεσαν ἐκεῖ. οὐ γὰρ παρὰ τοὺς ἀδικοῦντας καὶ ἀδικουμένους ἐχρῆν δικάζεσθαι. καὶ πάλιν, ὅτε περὶ κοινοῦ τινος ἐσκέπτοντο, ἐκεῖσε ἐβουλεύοντο. λέγουσι δὲ ὅτι ἐξ ἥρωός τινος ἔσχε τὸ ὄνομα. σκοπούντων οὖν Ἀθηναίων εἰ δεῖ δέξασθαι Φίλιππον εἰς τὴν Ἀμφικτυονίαν, συμβουλεύει Δημοσθένης δεῖν δέχεσθαι, διὰ τὸ μὴ κοινὸν ἄρασθαι πρὸς τοὺς Ἕλληνας πόλεμον. ἦσαν γὰρ ψηφισάμενοι πολλοί, καὶ ἔμελλον συναγωνίσασθαι τῷ Φιλίππῳ ὀργιζόμενοι, ὡς τῆς γνώμης αὐτῶν ἀναιρουμένης. τινὲς δὲ ἐνόθευσαν τοῦτον τὸν λόγον ὡς ἀνομοίαν ἔχοντα ὑπόθεσιν τῆς γνώμης αὐτοῦ, οὐ προσσχόντες ἀκριβῶς τῷ σκοπῷ τοῦ ῥήτορος. ἐπειδὴ γὰρ δοκεῖ ὑπὲρ Φιλίππου λέγειν, ὃ οὐδεπώποτε ὤφθη ποιήσας, ᾠήθησαν εἶναι αὐτοῦ τὸν λόγον ἀλλότριον. ἠγνόησαν δὲ ὡς ἔστι διαφόρως περὶ τοῦ αὐτοῦ χρήσασθαι πράγματος, τῆς προαιρέσεως οὐκ ἀλλαττομένης. οἷον λέγει τις ἐχθρὸν κακῶς καὶ λέγει τις κακῶς φίλον ἐπιτιμῶν· καὶ τὸ μὲν κακῶς ἐπ' ἀμφοῖν, ἡ δὲ γνώμη διάφορος. οὕτω καὶ νῦν ὁ Δημοσθένης πεποίηκεν. λέγειν μὲν γὰρ ὑπὲρ Φιλίππου δοκεῖ, οὐ μετέστη δὲ τῆς

15. ἔχοντα Beckius. ἔχοντος A.

προαιρέσεως, ἀλλὰ διὰ τὸ κοινὸν χρήσιμον οὕτω τὸν λόγον μετεχειρίσατο. τινὲς δὲ πραγματικῆς ἐγγράφου τοῦτον ἀπεφήναντο, λέγοντες ὡς περὶ εἰρήνης συμβουλεύει· ἔγγραφος δὲ ἡ εἰρήνη· ἔγγραφος ἄρα πραγματικὴ ἡ στάσις. φαίνονται δὲ ἀγνοήσαντες ὡς οὐ περὶ τῆς εἰρήνης λέγει νῦν οὐδὲ περὶ ταύτην ἠσχόληται, ἀλλ' ὅτι συμφέρει 5 δέξασθαι αὐτὸν καὶ μὴ πολεμεῖν. ὥστε εἶναι τὴν στάσιν πραγματικὴν ἄγραφον· ψιλὴ γὰρ ἡ παραίνεσις. τὸ δὲ προοίμιον, ἐπειδὴ ἐκ παραδόξων ἄρχεται (παρὰ γὰρ τὴν ἑαυτοῦ καὶ τὴν αὐτῶν γνώμην δοκεῖ λέγειν, εἴ γε περὶ εἰρήνης δοκεῖ λέγειν καὶ τρόπον τινὰ ὑπὲρ Φιλίππου), [οὐκ εὐθὺς ἐκ τῶν πραγμάτων τῆς ἀκολουθίας ἀρξάμενος, 10 ἀλλ' ἐκ ταραχῆς,] οὐκ εὐθὺς τῆς ὑποθέσεως ἄρχεται, ἀλλὰ ταράττει πρῶτον, ἵνα ὡς ἐν τηλικαύτῃ ταραχῇ αὐτὸς συμβουλεύων ὥσπερ ἰατρὸς εὑρεθῇ κατὰ τοὺς λόγους γενέσθαι· δεῖ γὰρ, ὅτε τι παράδοξον μέλλομεν λέγειν, μὴ εὐθὺς ἐκ τοῦ πράγματος ἄρχεσθαι, ἀλλὰ ταράττειν τὸν ἀκροατὴν, ἵνα ῥᾷστον ἀποδέχηται, ὡς ἐν μεγίστῳ 15 τυγχάνων φόβῳ, τοῦ συμβουλεύοντος καὶ ὁπωσοῦν ἔχουσαν τὴν παραίνεσιν. τὸ μὲν οὖν προοίμιον πολλὴν ταραχὴν ἐμποιεῖ τῷ ἀκροατῇ, ὡς ἔφαμεν, διὰ τὴν χρείαν. ἡ δὲ πρότασις διῃρημένη. A.

57, 1. Ὁρῶ] πρότασις.—τὸ προοίμιον ἐκ τοῦ πράγματος καὶ ἐκ τοῦ κατηγοροῦντος. B.F.P. 20

57, 2. πολλὴν δυσκολίαν ἔχοντα] δύσκολος αὐτῷ καὶ χαλεπὴ δοκεῖ τυγχάνειν ἡ παροῦσα ὑπόθεσις· εἰωθὼς γὰρ κατὰ Φιλίππου λέγειν, ἀναγκάζεταί πως τῷ βουλήματι αὐτοῦ καὶ ἄκων συνηγορῆσαι, καὶ πείθειν τὴν πόλιν εἰρήνην ἄγειν αὐτὸς εἰωθὼς συμβουλεύειν τὸν ἀδικοῦντα ἀμύνεσθαι. γέγονε δὲ τοῦτο αὐτῷ οὐ κατὰ προαίρεσιν, 25 ἀλλὰ δι' ἀνάγκην, ἁπάντων τῶν Ἑλλήνων συνεληλυθότων καὶ ἐψηφισμένων Ἀμφικτύονα εἶναι τὸν Φίλιππον. οὓς δεδοικὼς συμβουλεύει τῇ πόλει φέρειν γενναίως διὰ τὸ αὐτῇ συμφέρειν τὸ συμβεβηκὸς Φωκεῦσι καὶ μὴ διὰ τοῦτο ἐναντιοῦσθαι πρὸς Φίλιππον. πρόκειται δὲ αὐτῷ μὴ ἐναντιωθῆναι τῷ δόγματι τῶν Ἀμφικτυόνων, ἐψη- 30

1. μετεχειρίσατο Wolfius. μετεχειρήσατο A.
3. συμβουλεύει Wolfius. συμβουλεύειν A.
10. οὐκ εὐθὺς—ταραχῆς delet Sauppius.
11. ἄρχεται Sauppius. ἀρχόμενος A.
19. τὸ] ἔστι δὲ τὸ P.
καὶ Sauppius. ὡς libri.
23. καὶ add. Par. e Morelii, om. F.P.
28. συμφέρειν F. συμφέρον P.

φισμένων Ἀμφικτύονα εἶναι τὸν Φίλιππον. χρῆται οὖν τῷ δικαίῳ παραινῶν μὴ προτέρους παραβαίνειν εἰρήνην, μηδὲ ὅρκους συγχεῖν· εἶτα γενναιότερον ἐπεξιὼν φόβον αὐτοῖς παρίστησιν ὅτι πρὸς ἅπαντας αὐτοῖς ἔσται τοὺς Ἕλληνας ἐναντιοῦσθαι. F.P.

οὐ μόνον] κατασκευή. B. κατασκευὴ τῆς προτάσεως διῃρημένη καὶ αὕτη. αἱ γὰρ κατασκευαὶ πῇ μὲν διῃρημένως πῇ δὲ διεζευγμένως λέγονται. διὰ τοῦ οὖν λέγειν "οὐ μόνον" μερίζει καὶ δείκνυσιν ὅτι κατ' ἄλλο τι διαιρῶν καὶ οὐχ ὑφ' ἓν λέγει τὴν κατασκευήν. A.R.

προεῖσθαι] οὐ λέγει ὅτι ὑμεῖς προδεδώκατε, ἀλλ' αὐτὰ τὰ πράγματα προδέδονται. R.

57, 4. προὔργου] ἀντὶ τοῦ χρήσιμον καὶ συμφέρον. R.

εὖ λέγειν] εὐλογεῖν. R.

57, 5. κατὰ ταυτὰ] ἐκ παραλλήλου δηλοῖ τὸ ὁμοῦ. R.

57, 6. τὸ συμφέρον] ἀντὶ τοῦ τὸ συμφέρον ὀφείλειν εἶναι πρὸ παντὸς ἔργου. R.

57, 7. δυσκόλου] δευτέρα πρότασις. B.F.P.

57, 10. οἱ μὲν γὰρ ἄλλοι] κατασκευὴ τῆς δευτέρας προτάσεως. B.P.F.B.

57, 12. ἐκ δὲ τούτου] ἐκ τοῦ ἁμαρτάνειν ὑμᾶς. R.

57, 13. παρὰ πάντα] καθ' ὃν ἐγὼ πολιτεύομαι χρόνον. R.

57, 14. εὐδοκιμεῖν] διὰ τὸ δοκεῖν ἀληθῆ λέγειν.

57, 16. ἐκφεύγειν] διὰ τὸ μὴ ποιεῖν ὑμᾶς τὰ δέοντα. R.

οὐ μὴν ἀλλὰ καίπερ] συμπέρασμα τοῦ προοιμίου. B.F.P.

57, 17. πεπεικὼς] καλῶς τὸ οἴομαι ἐπήγαγε τοῦτο. οὐδεὶς γὰρ ἀμφιβάλλοντι ῥήτορι πείθεται. R.

57, 22. ἀκριβῶς δὲ εἰδὼς—παρόντ' ἔσται] προοιμιακὰ νοήματα ταῦτα πρὸ τῆς ὑποθέσεως, οὐ τέλεια προοίμια ἀναιροῦντα τὸ φορτικόν· ἐπειδὴ γὰρ μέλλει ἑαυτὸν ἐγκωμιάζειν. . . . R.

ἀκριβῶς δὲ εἰδὼς] δεύτερον προοίμιον. B.F.P. εἰδὼς τὸ χαλεπὸν τῆς ὑποθέσεως, καὶ ὅτι δυσχερῶς οἱ ἀκούοντες προσήσονται, σύντασιν ποιεῖται τῶν οἰκείων λόγων, ὡς μὴ ἁμαρτανόντων μηδέποτε, μηδὲ

5. κατασκευὴ—αὕτη] Hæc verba perierunt in A.

6. διῃρημένως—διεζευγμένως R. διῃρημένα—διεζευγμένα A.

7. οὖν om. A.

28. πρὸ] πρὸς R.

διαπιπτόντων περὶ τὰς ὑποθέσεις, ὅσα γοῦν συμβουλεύσαντι αὐτῷ μὴ ἐπείσθησαν, ἀλλὰ διήμαρτον, ταῦτα ὑπέμνησεν, ἵν' ἐπιστρέψῃ πρὸς τὴν παροῦσαν ὑπόθεσιν καὶ καταναγκάσῃ πεισθῆναι. F.P. συμφέρον κεφάλαιον. ἡ δὲ σύνταξις οὕτως· ἀκριβῶς δὲ εἰδὼς τῶν λυσιτελούντων ὑπάρχον τοῦτο τὸ πρᾶγμα, οἷον τὸ λέγειν τινὰ καὶ περὶ ἑαυτοῦ 5 καὶ περὶ ὧν εἶπέ ποτε καὶ συνεβούλευσεν, ὅτι τὸ ἐπαινεῖν ἑαυτὸν καὶ τοὺς ἑαυτοῦ λόγους οὕτως ἐγὼ φορτικὸν ἡγοῦμαι ὥστε ἀνάγκην ἔχων νῦν ἐμαυτὸν ἐπαινεῖν ὅμως τοῦτο φεύγω ποιεῖν. R.S.

57, 26. ἀνάγκην] τὸ ἐπαινεῖν ἐμαυτὸν πρῶτον. R.

58, 4. ἔπειθόν τινες ὑμᾶς] εἰς τοὺς ῥήτορας ἀποτείνεται τοὺς 10 ἄλλους τοὺς προδότας. R.

58, 5. Πλουτάρχῳ] Πλούταρχος ἦν Ἐρετρίας τύραννος. τούτῳ ἐπανέστη Κλείταρχος, καὶ ἅμα καὶ οἱ πολῖται συνεπέθεντο. ἔπεμψε πρὸς Ἀθηναίους συμμαχίαν αἰτῶν. ἀντεῖπε Δημοσθένης. μὴ πεισθέντες ἀπέστειλαν. μετεπέμψατο καὶ μισθοφόρους ξένους. διαλυ- 15 σάμενος, ἀπαιτούντων αὐτὸν τῶν ξένων τὸν μισθὸν, αὐτοῖς Ἀθηναίων λογάδας δήσας ἔδωκεν, οἱ δὲ Ἀθηναῖοι ν' τάλαντα πέμψαντες ἐλύσαντο αὐτούς. διὸ καὶ δαπανηρὸν ἐκεῖνον τὸν πόλεμον εἴρηκεν, ἄδοξον δὲ, ὅτι τυράννῳ βοηθεῖν ἤμελλον. A.H.R.

58, 6. δαπανηρὸν] ἀναλωτικὸν πολλῶν χρημάτων. P. 20

58, 15. Νεοπτόλεμον] ὁ Νεοπτόλεμος Σκύριος ἦν καὶ τραγῳδίας ὑπεκρίνατο. θέλει δὲ εἰπεῖν ὅτι οὐκ ἠκούσατε τοῦ Νεοπτολέμου ὥσπερ ἐν θεάτρῳ διὰ τῆς φωνῆς κηλούμενοι. ἐχρῆν δὲ ὑμᾶς τὸ ἐναντίον, εἰ καὶ ἐν θεάτρῳ ἠκούσατε ἀμφοτέρων, μᾶλλον ἐμοὶ προσθέσθαι ὡς παραινοῦντι τὰ χρήσιμα. οὐκοῦν ἐμὸς ὁ τόπος. ἐμὴν εἶναι καὶ 25 τὴν ψῆφον ἐχρῆν. ἐκκλησία γὰρ ἦν. τὸ δὲ θεᾶσθαι παρατηρητέον ἐπὶ τραγῳδῶν· ἀρχαϊσμὸς γάρ. A.H.R.

13. ἐπανέστη] ἐπανεστήκει liber Lessingianus apud Reisk. p. 192.
συνεπέθεντο] αὐτῷ addit Less. συνεπείθοντο R.

15. μετεπέμψατο καὶ μισθοφόρους ξένους Less. (nisi quod μετεπέμψαντο scriptum, quod correxit Sauppius). ἔπεμψε (ἔφθασε H. a m. sec.) διὰ μισθοφόρων ξένων A. H. Post ξένους Less., omisso διαλυσάμενος, pergit οἷς μετὰ τὸν πόλεμον ἀπαιτοῦσι τὸν μισθὸν ἀθηναίων λογάδας δήσας . . . δωκε.

17. ἐλύσαντο] ἔλυσαν H.R.

21. Νεοπτόλεμος] νεοπόλεμος A. et infra νεοπολέμου. Verba Σκύριος—ἠκούσατε obliterata sunt in A.

23. τῆς φωνῆς A. τὴν φωνὴν H.R.

24. ἀμφοτέρων A. ἀμφότερον H. R.

25. τὰ χρήσιμα] τι χρήσιμον A.

27. ἀρχαϊσμὸς γάρ om. A. Spectat

τὸν ὑποκριτὴν] ὑποκριτὰς ἐκάλουν οἱ ἀρχαῖοι τοὺς νῦν τραγῳδοὺς λεγομένους τοὺς ποιητὰς, οἷον τὸν Εὐριπίδην καὶ Ἀριστοφάνην, τοὺς δὲ νῦν ὑποκριτὰς (οὗτοι δὲ ἦσαν δύο), τὸν μὲν δευτεραγωνιστὴν, τὸν δὲ τριταγωνιστὴν, αὐτοὺς δὲ τοὺς ποιητὰς τῶν δραμάτων τραγῳδοὺς καὶ τραγῳδοδιδασκάλους. B.F.P. 5

58, 23. αὐτοὺς ὑμᾶς] τὸ αὐτοὺς ὑμᾶς ἀντὶ τοῦ ὑμᾶς ἁπλῶς νόει. P.

59, 5. ἐξαργυρίσας] διαπράσας. P.

59, 12. Θεσπιὰς καὶ Πλαταιὰς] αἵται Βοιωτῶν αἱ πόλεις. ταύτας ὑπακούειν τοῖς Θηβαίοις μὴ βουλομένας καταλαβόντες ἐν σπον- 10 δαῖς κατέσκαψαν, καὶ τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἐξήλασαν. καὶ τὰ χρήματα σὺν τῇ χώρᾳ αὐτῶν κατενείμαντο. ταῦτα δὲ λέγει τοῦ Αἰσχίνου καθαπτόμενος. A.R.

59, 26. ἐπανοίσω] ἤγουν ἐπανάξω. P.

προσποιήσομαι] ἤγουν ὑποκρινοῦμαι. P. 15

60, 1. ἕτερον δὲ] γενναίως τῷ μέρει τῆς προκατασκευῆς τῷ ἐκ τῆς τῶν οἰκείων λόγων συστάσεως ἐπεξελθὼν ἦλθε καὶ ἐφ' ἑτέραν ῥητορείαν, καὶ ποιεῖται σύστασιν τοῦ οἰκείου προσώπου, ὁποίαν ὁ ῥήτωρ ὁ Περικλῆς παρὰ Θουκυδίδῃ ποιεῖται, ὅτι καθαρὸς παντὸς λήμματος καὶ ἀδωροδοκήτως δημηγορεῖ, καὶ διὰ τοῦτο τὸν λόγον 20

autem hæc observatio ad verba v. 24. quibus etiam Herodianus usus est p. 438. ed. Piers. θεάσασθαι τραγῳδοὺς καὶ κωμῳδοὺς, οὐκ ἀκούειν τῶν κωμῳδῶν καὶ τραγῳδῶν, ὡς Δημοσθένης "οὐ γὰρ ἐν Διονύσων (corr. "Διονύσου) τραγῳδοὺς ἐθεᾶσθε."

1. ὑποκριτὰς ἐ. οἱ ἀ.] οἱ ἀ. ὑποκριτὰς ἐ. F.P.

2. τοὺς ποιητὰς] Confusa scholiastæ verba sic corriguntur a Lambino in ed. Morelii, τοὺς νῦν κωμῳδοὺς καὶ τραγῳδοὺς λεγομένους. οὗτοι δὲ ἦσαν τρεῖς, ὁ μὲν πρωταγωνιστὴς, ὁ δὲ δευτεραγωνιστὴς, ὁ δὲ τριταγωνιστής· αὐτοὺς δ. τ. π. τ. δ. τραγικοὺς καὶ τραγῳδιδασκάλους (imo τραγῳδοδιδασκάλους), οἷον Εὐριπίδην καὶ Ἀριστοφάνην.

5. τραγῳδοδιδασκάλους B.F. τραγῳδιδασκάλους P.

8. διαπράσας] Addit P. σημείωσαι, παρὰ Θουκυδίδῃ ἐξαργυρῶσαι, οὐκ ἐξαργυρίσαι, "οὐδ' ἦν τελευτῶντα τὴν ἑαυ- "τοῦ στρωμνὴν ἐξαργυρῶσαι." Quæ ex Suida sunt transcripta s. v. ἐξαργυρῶσαι, ubi recte οὐδ' ἦν δέῃ. Mox idem P. ad Ὠρωπόν p. 59, 15. adscripsit verba ex deterioribus Suidæ codicibus s. h. v. sumta ἐκ τοῦ Ὥρος—ἀπεβλήθησαν, præmisso ὄνομα τόπου, et addito in fine ὡσαύτως καὶ Ὠρωπία χώρα καὶ Ὠρώπιος ὁ ἐξ αὐτῆς.

9. Βοιωτῶν] βοιωται A. quod Βοιώτιαι esse potest.

10. καταλαβόντες — κατενείμαντο] ἀπολαβόντας — κατέσκαψε — ἀπέκτεινε — ἐξήλασε — κατενείματο A.

19. Θουκυδίδῃ] 2, 60.

ἐλεύθερον ἔχει, ἐνδεικνύμενος ὅτι πανταχοῦ τὸ τῆς πόλεως συμφέρον βούλεται, οὐ πρὸς ἀπέχθειαν, οὐ πρὸς χάριν βλέπων. θαυμάσαι δ' ἄξιον, ὅτι τοιαύτην δημηγορίαν ποιούμενος οὐδαμοῦ τὸ τοῦ Φιλίππου συμφέρον φαίνεται λέγων, μᾶλλον δὲ οὐδὲ ἀφιστάμενος τοῦ θυμοῦ τοῦ πρὸς τὸν Φίλιππον, ἀλλὰ τὸ συμφέρον τῆς πόλεως σκοπῶν καὶ τοῦτο θηρεύων. F.P.

60, 4. προσηρτημένον] ἤγουν προσκεκολλημένον ἐμοί. P.

60, 7. τρυτάνην] τρυτάνη μέν ἐστι τὸ πᾶν ζύγιον, πλάστιγγες δὲ αὐτὰ τὰ πλατέα εἰς ὃ ἐμβάλλομεν τὸ σταθμώμενον. S.

οἴχεται φέρον] πῶς οἴχεται ἐπὶ θάτερα; ἐπιβαρήσαντος τοῦ ἐπικειμένου, οὕτω καὶ τῇ γνώμῃ ἐὰν προσενέγκῃς ἀργύριον, οἴχεται φέρον ἑαυτῷ· οὐκοῦν ἕως μὲν ἀκλινής ἐστιν ὁ λογισμὸς, βλέπει τὰ χρήσιμα, βαρούμενος δὲ τῷ χρυσίῳ πλανᾶται καὶ διασφάλλεται. A.H.R.

60, 10. ἓν—] ἀπὸ τοῦ ἓν μὲν ἔγωγε ἡ ἀρχὴ τοῦ κεφαλαίου· ἔστι δὲ τὸ συμφέρον μετὰ τοῦ δικαίου ἀναμεμιγμένον καὶ τοῦ δυνατοῦ. R.

60, 11. σύνταξιν] φόρους, τέλη. P.

60, 13. ὑπάρχουσαν] πανταχοῦ παρατηρητέον ὅτι λέγων μὴ δεῖν λύειν τὴν εἰρήνην οὐδαμοῦ Ἀμφικτύονα τὸν Φίλιππον ὀνομάζει γίνεσθαι, ἀλλὰ διὰ τοῦ μὴ λύειν κατασκευάζει τοῦτο. καὶ οὕτως λυπεῖ τοὺς Ἀθηναίους καὶ ἀνύει ὃ βούλεται. A.H.R.

60, 18. δεύτερον δὲ] φημὶ δὲ δεῖν κατὰ κοινοῦ. P.

60, 19. ὁρᾶν] σκοπεῖν πῶς οὐ κινήσομεν. P.

60, 27. θορυβήσῃ] ἐπειδὴ ἤμελλον πολεμίους ὄντας τοὺς Θηβαίους ἀκούοντες Ἀθηναῖοι ταράττεσθαι, παρενέβαλε τὸ μὴ θορυβηθῆτε· ἥκιστα γὰρ πολεμοῦσι. ἕτερος γὰρ καθεδεῖται· ἐπικαθεσθήσεται, κρατήσει τῶν ἄθλων, ὁ Φίλιππος. A.H.R.

[61, 3. ἐφεδρεύων] ἐνεδρεύων, ἐπικαθήμενος· καὶ ἐφεδρεία, ἡ ἐπίκληρος παραμονή. ἔφεδρος, ἐλπίζων παραμένειν. P.]

61, 12. οὐκ ἄχρι τῆς ἴσης ἕκαστος ἐστὶν εὔνους] οἷον οὐκ ἐπ'

12. τὰ χρήσιμα] τὸ χρήσιμον A.

19. ὅτι λέγων μὴ] εἶναι λέγει μὴ A.

21. διὰ τοῦ—καὶ] In A. hæ fere literæ supersunt διὰ τὸ μὴ . . . σκευάζεται τοῦτο καὶ . . λυπεῖται ὁ . . . . καὶ.

30. παραμένειν Wolfius. παραμένων P.

30. 31. Ex Suida compilata.

ἴσης βοηθοῦσιν Ἕλληνες καὶ κινδυνεύουσι καὶ ἀδικοῦσιν, ὥστε καὶ κρατεῖν τῶν ἄλλων καὶ σώζεσθαι. οὐχ ὁμοίως γὰρ εὐνοοῦσιν ἡμῖν πρὸς τὸ σωθῆναι καὶ πρὸς τὸ πλεονεκτῆσαι. οἶδα γὰρ ὅτι καὶ οἱ Θηβαῖοι τοὺς μὲν ἐφ' ἡμᾶς ἐρχομένους ἀμυνοῦνται, οὐ μὴν ἐπιστρατεύσουσιν. A.H.R. ψήφου δηλονότι. P. 5

61, 17. τί οὖν ἡγοῦμαι φοβερόν;] ἀντιθέσεως ἐμπιπτούσης, ὅτι ἡμεῖς τοὺς Ἕλληνας οὐδὲν ἠδικήσαμεν, ὥστε πῶς ἂν ἡμῖν πολεμήσαιεν, ταύτην λέλυκεν ἐπαγαγών, εἰ γὰρ Ἀργεῖοι καὶ Μεσσήνιοι καὶ ἑξῆς, τουτέστιν, ἠδίκηνται μὲν ὑφ' ἡμῶν οἱ Ἕλληνες οὐδέν, μνησικακοῦσι δὲ ἄλλως· Ἀργεῖοι μὲν καὶ Μεσσήνιοι καὶ Μεγαλοπολῖται 10 διὰ τὴν πρὸς Λακεδαιμονίους ἐπικηρυκείαν· Θηβαῖοι δέ, ὅτι παρ' ἐκείνων φυγάδας σώζομεν· Θετταλοὶ δέ, ὅτι τοὺς περιλελειμμένους σώζειν ἐπιχειροῦμεν τῶν Φωκέων· Φίλιππος δέ, ὅτι κωλύομεν αὐτὸν κοινωνεῖν τῆς Ἀμφικτυονίας. F.P.

61, 23. ἐπικηρυκείαν] [ἤγουν τὸ κήρυκας ἀποστεῖλαι ἡμᾶς πρὸς 15 Λακεδαιμονίους καὶ φιλίαν ποιήσασθαι. ἐπικηρυκεύω γάρ, τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπω. P. ἐπικηρυκεία φιλία ἡ ἐκ τῶν πολεμίων, τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν. καὶ ἐπικηρυκεύειν τὸ διὰ κήρυκός τινος συνθήκας καὶ πρεσβείας ποιεῖσθαι. συντάσσεται δοτικῇ. B.] φιλίαν, ἐπειδὴ διὰ κηρύκων γίνεται. R. 20

62, 4. ἐπισπασθῶσιν] ἤγουν ἐφελκυσθῶσιν. P.

62, 5. ἑαυτοῖς ἡμῖν] ἀντὶ τοῦ ἡμῖν ἁπλῶς. P. ἢ χωρὶς ἀναγνωστέον, ἑαυτοῖς ἡμῖν πολεμῆσαι, ἵνα τὸ μὲν ἑαυτοῖς συζευχθῇ τῷ συμφέρον, τὸ δὲ ἡμῖν τῷ πολεμῆσαι. P. in var. lect.

62, 6. ἴστε γὰρ δήπου] ἀντέπιπτεν ἀντίθεσις ἀπὸ τῆς ἐργασίας 25 κατὰ τὸ ἀκόλουθον, ὅτι οὐ συμφέρει τοῖς Ἕλλησιν ἡμᾶς ἀπολέσθαι, ἔλυσε δὲ καὶ τοῦτο εἰπών· οὐδὲ γὰρ Θηβαίοις συνέφερεν αὐξηθῆναι τὸν Φίλιππον, οὐδὲ Θετταλοῖς, ἀλλ' ὅμως διὰ τὴν πρὸς Φωκέας φιλονεικίαν ἅπαντα ταῦτα ὑπέμειναν. ὑποψίαν δὲ αὐτοῖς ἐμποιεῖ

4. Θηβαῖοι] θηβαίων A.H.R.

15—20. Seclusi quæ non aliunde quam ex Suidæ glossis quattuor de verbo ἐπικηρυκεύεσθαι et substantivo ἐπικηρυκεία sumta videntur, ejeci vero quæ manifeste ex Suida intulit P. ad p. 61, 24. de verbo ἐκδέχεσθαι (ubi postremis Suidæ verbis ἐπισκεπτέον δὲ τὸ ἐν τῷ ε' Φιλιππικῷ ληφθέν "καὶ—πεπραγμένων" substituit ἐ. δὲ τῷ Δημοσθένει ληφθὲν ἐνταῦθα.) et ad p. 62, 10. de πάροδος et παροδεία. Denique annotatio ad p. 62, 28. ex eodem fonte derivata videtur.

γενησομένου πολέμου, ὅπερ ἀπὸ τῆς λέξεώς ἐστι καταμαθεῖν τῆς ἐπισπασθῶσι. F.P.

62, 18. Φίλιππον τοίνυν] ἀντέπιπτεν ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ· καὶ μὴν οὐ βοηθήσουσι Θηβαῖοι, Φιλίππῳ ὑπόπτως ἔχοντες· οὐδὲ γὰρ ἑκὼν ἔδωκεν αὐτοῖς Ὀρχομενὸν καὶ Κορώνειαν· ἵνα τὸ λεγόμενον ἢ τοιοῦτον· καὶ μὴν οὐ βοηθήσουσι Φιλίππῳ Θηβαῖοι. οὐδὲ γὰρ εὔνως διάκεινται πρὸς αὐτόν· αὕτη γάρ ἐστιν ἡ ἀπὸ τοῦ δυνατοῦ ἀντίθεσις. ταύτην ἔλυσε κατὰ ἀγανάκτησιν, ὡς εὐήθει ἐπιτιμήσας, εἴ τις χρῷτο τούτῳ τῷ λόγῳ· ἐπειδὴ γὰρ τὸ δυνατὸν κατεσκεύασε τοῦ Φιλίππου ἰσχυρὸν ἐξ ἀρχῆς, αὕτη δὲ ἡ ἀντίθεσις ἀνατρέπειν ἐδόκει τὸ σύμπαν, διὰ τοῦτο καὶ ἐρρῶσθαι εἶπε τοῖς χρωμένοις τῷ λόγῳ· μὴ γὰρ εἶναι αὐτὸν ἰσχυρόν. F.P.

[62, 28. Πυλαίας] τὴν σύνοδον Πυλαίαν ἐκάλουν, τὴν μὲν ἐαρινήν, τὴν δὲ μετοπωρινήν, ἐπεὶ ἐν Πύλαις συνήγοντο, ἃς καὶ Θερμοπύλας ἐκάλουν. ἔθυον δὲ Δήμητρι οἱ Πυλαγόραι. P.]

63, 5. τὰ κελευόμενα] ἑτέραν ἔθηκεν ἀντίθεσιν ἀπὸ τοῦ δικαίου καὶ τοῦ δυνατοῦ μικτήν· πεισθῶμεν οὖν τοῖς ἐπιτάγμασιν, φοβούμενοι Φίλιππον καὶ τοὺς Ἕλληνας; ταύτην ἔλυσε κατ' ἀφαίρεσιν, φάσκων μὴ δεῖν μὲν φοβεῖσθαι, οὐ μὴν διὰ τοῦτο τὴν εἰρήνην λύειν· καὶ ἑτέρᾳ λύσει ἀπὸ τοῦ ἐνδόξου, ὅπερ ἐστὶ μέρος τοῦ συμφέροντος, ἵνα μηδὲν ἀνάξιον πράξωμεν ἡμῶν αὐτῶν. τοῦτο δέ ἐστιν, ἣν μὴ δόξωμεν εἶναι φθονεροί, ὅπερ ἀπὸ τοῦ ἐνδόξου ἐστίν· ἣ μὴ δόξωμεν εἶναι ἀνόητοι. εἶτα τῷ δικαίῳ πάλιν· ἡμεῖς Θηβαίους ἔχειν ἐῶμεν Ὠρωπὸν, ὅπερ ἐστὶ μέρος τοῦ δικαίου. πρὸς δὲ τὴν ἀντίθεσιν ἅμα ἐστὶ καὶ ἐπίλογος. ἄρχεται γὰρ ὁ ἐπίλογος ἀπὸ τοῦ· πρὸς δὲ τοὺς θρασέως ὁτιοῦν οἰομένους. F.P.

τὰ κελευόμενα—ποιεῖν] ἀνθυποφορά. φησὶν, ὀφείλομεν πᾶσι τοῖς προσταττομένοις ὑπακούειν ὥσπερ καὶ νῦν. ἡ δὲ ἀνθυποφορὰ ἥττων μὲν ἀντιθέσεως, μείζων δὲ ἀντιπίπτοντος. H.R.

[63, 12. Ὠρωπόν] τόπος, ἐν ᾧ ἀπέβαλε τοὺς ὦπας ὁ Ὥρος. B.]

63, 16. Καρδιανοὺς] Καρδία πόλις Μιλησίων ἄποικος ἐν Χερρονήσῳ, ἥτις τοὔνομα ἔσχεν ἐντεῦθεν. Ἑρμοκράτους τοῦ Μιλησίου

18. ἀφαίρεσιν] ἀναίρεσιν F.
21. ἣν] ἧς ἢ (sic) pr. F.
26. ὁτιοῦν] ἅπαντα F.
32. Ἑρμοκράτης] Ἑρμοχάρης dicitur ab Steph. Byz. s. v. Καρδία, idque fortasse scholiastæ restituendum.

οἰκίζοντος αὐτὴν καὶ θύοντος κόραξ ἁρπάσας τοῦ ἱερείου τὴν καρδίαν ἀφῆκεν εἰς τὴν γῆν. καὶ διὰ τοῦτο κέκληται Καρδία. οὗτοι δὲ οἱ Καρδιανοὶ οὐκ ἐβούλοντο συντελεῖν μετὰ τῶν ἄλλων Χερρονησιτῶν καὶ ὑπακούειν Ἀθηναίοις, ἀλλὰ ἔφησαν ἔξω τῶν ὅρων εἶναι τῶν Ἀθηναίοις προσηκόντων. ἡ γὰρ Χερρόνησος Ἀθηναίων ἦν, κτησα- 5 μένου αὐτὴν Μιλτιάδου τοῦ Κυψέλου. A.H.

63, 17. τὸν Κᾶρα] τὸν τῆς Καρίας λέγει σατράπην τὸν Μαύσωλον. H.R.S.

63, 18. Χίον] Χίος ἡ νῆσος· ὁ ἐν αὐτῇ οἰκῶν Χῖος. P.

63, 19. Βυζαντίους] Βυζάντιόν ἐστιν ἡ νῦν Κωνσταντινούπολις. 10 ἐκλήθη δὲ ἀπὸ Βύζαντός τινος Μεγαρέων ἡγησαμένου ἀποικίας. Μεγαρέων γὰρ ἄποικοι Βυζάντιοι. H.R.S.

63, 24. πρὸς ἅπαντας] τῶν μεγίστων, φησὶ, παρακεχωρηκότες δι' ἐπιεικείας νυνὶ περὶ φαύλων καὶ σκιᾶς πολεμήσομεν; F.P.

1. ἁρπάσας] ἁρπάξας A.H. ut interdum in codicibus scribitur.

10. Βυζάντιόν ἐστιν—ἀπὸ] βυζάντιον ἐκλήθη ἐκ H.R.

VI.

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Β.

65, 1. ὅταν] ἐπιτιμητικὸν τὸ προοίμιον τῆς τῶν Ἀθηναίων ῥαθυμίας· ἔχει δὲ καὶ προσοχήν. B.F.R. τὸ προοίμιον ἀκατάσκευον διὰ τὸ ὁμολογεῖσθαι ὅτι λέγεται κατὰ ἀδικοῦντος. τὸ δὲ συμπέρασμα ἕως τοῦ "χαλεπώτερον εἶναι." τὸ δὲ "αἴτιον δὲ τούτων" αἰτία τοῦ συμπεράσματος καὶ ἐπέκτασις. A.H.R. 5

65, 2. πράττει] πλεονεκτεῖ καὶ ἀδικεῖ. B.P.

λόγους καὶ δικαίους καὶ φιλανθρώπους] δικαίους μέν· κατὰ γὰρ Φιλίππου λέγετε ἀδικοῦντος· φιλανθρώπους δέ· ὅτι ἐλεεῖτε τὸ γένος τὸ Ἑλληνικόν. A.H.R.

66, 6. αἴτιον δὲ] κατασκευή. B.P. κατασκευὴ τῆς προτάσεως. 10 τούτων δὲ λέγει τὸ αἴτιον τὸ δυστυχῶς ἔχειν τὰ πράγματα· πρὸς γὰρ τὸ ἄνω ἔστι. H.R.S.

66, 12. ἔπειθ' ὑμεῖς οἱ καθήμενοι] εἰ γὰρ ἀποδεικνύντων ἡμῶν τὴν ἀδικίαν Φιλίππου οὐδὲν πράττεται, ἀποροῦμεν λοιπὸν τί συμβουλεύσομεν. A.H.R. 15

66, 16. συμβαίνει δὴ] τὸ συμπέρασμα. B.P.

66, 17. εἰκὸς] εἰκός ἐστι τὸ πίστεως ἐχόμενον, ἐοικὸς δὲ τὸ ἐμφερές. B.P.

66, 19. εἰ μὲν οὖν—] τινὲς ἐνόμισαν τοῦτο δεύτερον προοίμιον. οὐκ ἔστι δέ· τῆς γὰρ αὐτῆς ἐννοίας ἐστὶ τοῦ πρώτου προοιμίου, ἀλλὰ 20 μᾶλλον συμπέρασμα τῆς προτάσεως. H.R.S.

2. ἔχει δὲ καὶ προσοχήν om. P.

3. ὅτι λέγεται κατὰ ἀδικοῦντος] Hæc verba obliterata sunt in A.

4. ἕως τοῦ χαλεπώτερον εἶναι H.R. ἐστὶ τὸ χαλεπώτερον, omisso εἶναι, A.

20. πρώτου προοιμίου] πρῶ προοὶ S.

66, 28. πρῶτον—] ἐντεῦθεν τὸ κεφάλαιον ἀπὸ τοῦ συμφέροντος. καὶ τοῦ δικαίου καὶ τοῦ δυνατοῦ μεμιγμένον. R.

67, 7. ἵν' ἐὰν μὲν ἐγὼ δοκῶ] ἐν αἱρέσει αὐτοῖς δίδωσι τὸν πόλεμον, ἐκφυγὼν τὸ ἀποφήνασθαι διὰ τὸ ἄδηλον αὐτοῦ· ἵνα κἂν πταίσῃ ὁ δῆμος αὐτὸν ψηφισάμενος μὴ αἰτιάσηται. A.R. 5

68, 2. καθ' ὑμῶν] σημείωσαι τὴν σύνταξιν. πολλάκις ἀντὶ τῆς ὑπέρ ἐκλαμβάνεται. καὶ γὰρ ὁ Θεολόγος ἐν τῷ πρώτῳ τῶν στηλιτευτικῶν· "κατὰ γὰρ τῶν ἀγωνιζομένων οἱ στέφανοι," ἀντὶ τοῦ ὑπὲρ τῶν ἀγωνιζομένων. B.

68, 18. γλίχονται] ἄγαν ἐπιθυμοῦσι, διὰ τὸ κοσμεῖσθαι τοὺς 10 λόγους αὐτῶν ἐκ τῆς ὑποθέσεως. A.

68, 19. διὸ κἀγὼ παραλείψω] τῇ μὲν ἀληθείᾳ διὰ τὸ μὴ οἰκείως ἔχειν τῇ συμβουλῇ τῶν προγόνων παρεκτείνειν τὰ ἐγκώμια, λέγει δὲ, ὅτι κἀγὼ εἷς εἰμι τῶν ἡττηθέντων τοῖς πράγμασι. A.

68, 22. τοὺς μὲν συστρατεύσαντας] τοὺς Θηβαίους. A. 15

τοὺς δ' οὐκ ἐναντιωθέντας] τοὺς Ἀργείους. A.

69, 4. ἀλλὰ νὴ Δία] ἀντίθεσις ἐκ τοῦ δικαίου· ἥτις δυσχερὴς οὖσα εὐφυῶς ἐλύθη παρὰ τοῦ ῥήτορος. ἦν γὰρ αὕτη ὅτι δικαιότερον αἰτοῦντας Θηβαίους ἤπερ Ἀθηναίους προείλετο· ἐκεῖνοι γὰρ τῶν ἀδίκων, οὗτοι δὲ ὑπὲρ τῶν ἄλλων Ἑλλήνων φροντίζουσιν. λύει οὖν ἐκ 20 τοῦ ὁμοίου, ὅτι, εἰ διὰ τοῦτο προκρίνει τοὺς Θηβαίους, πῶς τοῖς Λακεδαιμονίοις ἀφίστασθαι κελεύει τοῦ ἰδίου χωρίου; καίτοι οὕτως ἂν ἐκ τοῦ ὁμοίου ἔδοξε τοῦ δικαίου κατὰ τὸ ἀληθὲς φροντίζειν. H.R.S.

69, 9. ὁ γὰρ Μεσσήνην] μετὰ τὰ Λευκτρικὰ Θηβαῖοι τοὺς 25 Μεσσηνίους, τοὺς τῶν Λακεδαιμονίων συμμάχους, ἀπέσπασαν, ὅπως ἔχοιεν εἰς τὸν κατ' αὐτῶν πόλεμον. καὶ ὁ Φίλιππος οὖν συναιρόμενος τοῖς Θηβαίοις τοὺς Λακεδαιμονίους κελεύει ἀποστῆναι τῶν Μεσσηνίων, καίπερ ὄντος ἰδίου τοῖς Λακεδαιμονίοις τοῦ κτήματος. τὸ δὲ "καλῶς" συντρέχει, ἵνα γελοιότερον λύσῃ τὸ δοκοῦν ἰσχυρὸν τυγχά- 30 νειν. A.H.

69, 10. Ὀρχομενὸν] οἱ Ὀρχομένιοι καὶ οἱ Κορώνειαν οἰκοῦντες

5. αὐτὸν ψ. μὴ αἰτιάσηται Sauppius. ἑαυτὸν ψ. αἰσχύνεται A.R. ἑαυτὸν ψ. αἰτιάσηται Wolfius, quod ipsum quoque verum esse potest.

26. τοὺς om. H.

σωζομένων τῶν Φωκέων ἐλεύθεροι καθ' ἑαυτοὺς ἦσαν. ἀπολωλότων Φωκέων δέδωκε τοῖς Θηβαίοις ὁ Φίλιππος τὴν Κορώνειαν καὶ τὸν Ὀρχομενὸν, οὐ κατὰ τὸ δίκαιον. H.R.

69, 14. τῶν Θετταλῶν ἱππέων καὶ τῶν Θηβαίων ὁπλιτῶν] ἄγαν γὰρ οἱ μὲν Θετταλοὶ ἱππόται εἰσὶν ἄριστοι, οἱ δὲ Θηβαῖοι ὁπλῖται γενναιότατοι. παρὰ γνώμην οὖν φησὶ διὰ τὴν ἀνάγκην πεποίηκε ταῦτα. H.R.

69, 16. ὑπόπτως] οὐκοῦν ἔχθραν καὶ ὑποψίαν ἔχει κατ' αὐτῶν, ὡς βιασθεὶς ὑπ' αὐτῶν. A.H.R.

69, 18. Ἐλάτειαν] λέγουσιν οὖν τινες ὅτι καὶ τὴν Ἐλάτειαν τειχιεῖ Φίλιππος πρὸς τὸν κατὰ Θηβαίων πόλεμον. R. Ἐλάτεια μεταξὺ Θηβαίων καὶ τῆς Φωκέων κτήσεως κεῖται. ἔχει δὲ ἐπιτηδείως πρὸς τὴν ἐπιβουλήν. H.R.

70, 25. ἃ καὶ πρὸς Μεσσηνίους] κατὰ πρεσβείαν ἐξελθὼν πρὸς Ἀργείους ὁ Δημοσθένης συνεβούλευσεν· οὐ πεισθέντες αὐτῷ ἐβλάβησαν τὰ μέγιστα. βούλεται οὖν εἰπεῖν τὴν δημηγορίαν αὐτοῦ, ἵνα πείσῃ τοὺς Ἀθηναίους δι' ὧν ἤδη τὰ συμφέροντα συνεβούλευσεν, οἷς Ἀργεῖοι πεισθέντες προὐδόθησαν. A.H.

70, 28. ἀντεποιοῦντο] ἀντείχοντο. P.

70, 29. Ποτίδαιαν δ' ἐδίδου] Ποτίδαιαν ἐκπολιορκήσας ὑπ' Ἀθηναίων φρουρουμένην τοὺς Ἀθηναίων φρουροὺς ἀπέστειλεν εἰς αὐτοὺς, νέμων μέρος τι χάριτος καὶ Ἀθηναίων δήμῳ. τὴν δὲ πόλιν ἐξανδραποδισάμενος καὶ ἄψας Ὀλυνθίοις ἀστυγείτοσιν οὖσι νέμεσθαι τὰς κτήσεις ἔδωκε. Less.

71, 11. Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου] ταῦτα μὲν ἦν αὐτῶν, εἶχε δὲ αὐτὰ ἀποσπάσας, εἶτα ἔδωκε, πρὸς τὸ ἀπατῆσαι αὐτοὺς, ἵνα δόξῃ φίλος εἶναι. A.H.R.

71, 28. οὐδὲν δεινὸν μὴ πάθητε] οὐκ ἔστι τὸ τῶν δύο ἀρνήσεων ἐνταῦθα μίαν συγκατάθεσιν ποιοῦν, ὥσπερ ἀλλαχοῦ, ἀλλὰ ἰδίωμα Ἀττικὸν τὸ εἶναι πολλὰς ἀρνήσεις ἐφεξῆς. A.H.R.

16. τὴν δημηγορίαν] τὰς δημηγορίας H.

25. ταῦτα μὲν ἦν αὐτῶν] Hæc obliterata in A.

26. αὐτὰ] αὐτῶν A.

28. οὐκ ἔστι—ἐνταῦθα] οὐκ ἔστι τοῦτο δύο ἀρνήσεις ἐν ταὐτῷ A.

29. ἰδίωμα Ἀττικὸν Sauppius. ἰδιώματα ἀττικὰ libri.

72, 4. πολέμου] τοῦ ἀπὸ τῶν Λακεδαιμονίων δηλονότι. P.

74, 25. οὐδένα γὰρ βουλοίμην] ὥστε φείδομαι καὶ τῶν προδοτῶν διὰ τὴν πόλιν. A.

74, 26. δίκαιος] ἄξιος. P.

1. πολέμου—δηλονότι] Præcedit in P. scholion ad p. 71, 14. παραιρήσεσθαι] ἀφαιρήσεσθαι. Θουκυδίδης· διέφθαρον σφᾶς αὐτοὺς, οἱ μὲν ἀπὸ κλινῶν σπάρτας, οἱ δ' ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, τουτέστιν ἀφαιρήματα, ἀπήγχοντο. καὶ παραιρούμενος ἀντὶ τοῦ ἀφαιρούμενος· ὁ δὲ ἐξόπισθεν πλέων παραιρούμενος φθάνει τῷ δρόμῳ. Quæ ex duabus Suidæ glossis sunt composita.

VII.

ΠΕΡΙ ΑΛΟΝΝΗΣΟΥ.

76, 1. ἄνδρες Ἀθηναῖοι] τὸ προοίμιον σχετλιαστικόν. Ἄλλως. τὸ προοίμιον κατὰ τὸν Ἑρμογένην ἐκ τῶν ἔξωθεν ἐμφαινομένων. οὐ γὰρ δεῖ διὰ τὰς τοῦ Φιλίππου αἰτίας κωλύεσθαι τοὺς συμβούλους ὑπὲρ τῶν συμφερόντων λέγειν. B.F.P. στάσις ἄγραφος πραγματική. B.P. δεῖ βαρέως ἀναγινώσκειν τὸ προοίμιον ὡς δυσφοροῦντος τοῦ ῥήτορος ἐπὶ τοῖς γράμμασι Φιλίππου καὶ λέγοντος ὥσπερ ἐν ἤθει πρὸς τοὺς Ἀθηναίους. H.R.S.

αἱ αἰτίαι] τὸ .... τῶν λεγομένων οἷον λέγει. αἱ αἰτίαι Ἀττικῶς προαναπέμπει τὸν τόνον. καὶ ὅταν μὲν ἐπὶ τῶν αὐτῶν μόνων τῶν αἰτιῶν λέγηται, προπαροξύνεται· ὅταν δὲ ἐπὶ πραγμάτων ἢ πόλεων, παροξύνεται. τοῦτο δέ φησιν ἐπειδὴ τοῦτο μετὰ τῶν ἄλλων ἐμέμψατο Φίλιππος, ὅτι οὐ δεῖ ὑμᾶς πιστεύειν τοῖς μισοῦσί με παρ' ὑμῖν καὶ διαβάλλουσιν. H.R.S.

οὐκ ἔστιν ὅπως] πρότασις. B.P.

76, 4. δεινὸν γὰρ ἂν εἴη] κατασκευή. B. ἐντεῦθεν ἡ κατασκευή· ἔοικε δὲ ταῦτα πρὸς τὰ Περσικὰ ἔχειν τὴν ἀναφοράν. διὸ καὶ φθάνει τὸ δεινὸν ἂν εἴη. οἷον· οὐκ ἐφοβήθησαν αὐτοῦ Δαρείου τὰ γράμματα οὐδ' ἃ ἐπέστελλε Ξέρξης, ἀλλ' ἀνῄρουν τοὺς ἥκοντας. A.R.

4. στάσις] στάσις δὲ P.

8. αἱ αἰτίαι] Addidi hoc lemma. In H.R.S. hoc scholion sine lemmate positum cohæret cum præcedente. Verba ὥσπερ ἐν ἤθει πρὸς τοὺς ἀθηναίους τὸ resecta sunt in S. in quo post Ἀθηναίους obscuri quidam supersunt ductus literarum, quarum postremæ διαλέγει respondent ei quod ex H.R. posuimus οἷον λέγει, quamvis corruptum. De accentu Attico αἱ αἴτιαι vid. Arcad. p. 133, 10. Joann. Alex. p. 16, 2.

ἀττικῶς S., ut videtur. ἀττικὸν H.R.

9. τόνον] τόπον R.

τῶν αὐτῶν—αἰτιῶν] Hæc quoque non integra.

17. ἐφοβήθησαν] ἐφοβήθην R.

18. οὐδ' addidit Wolfius.

ἥκοντας] ἕλληνας R.

77, 1. παρρησίαν] ἣν οὐκ ἀνεῖλον αἱ παρὰ Ξέρξου καὶ Δαρείου, ὧν οἱ διακομισταὶ ἀνῃροῦντο. Less.

77, 2. ἐγὼ δ' ὑμῖν] προκατασκευὴ ἤτοι προέκθεσις τῶν κεφαλαίων. B.F.P. ὡς ἐπαύσατο τοῦ προοιμίου, ἦλθεν ἐπὶ τὴν ὑπόθεσιν, πρὸς τὴν χρείαν βραχὺ προοίμιον ἐργασάμενος. A.H.R. συμπέρασμα. ἀπ' αὐτοῦ εὐθὺς εἰσβάλλει ἐπὶ τὸ δίκαιον. H.R.S.

77, 4. ὕστερον δὲ περὶ ὧν οἱ πρέσβεις λέγουσιν] ἐκτὸς γὰρ τῆς ἐπιστολῆς ἔσθ' ὅτε προστάττουσι τοῖς πρέσβεσι· καὶ πρὸς ταῦτ' οὖν ἐπαγγέλλεται λέγειν. A.H.R.

77, 6. Φίλιππος γὰρ] πρώτη εἰσαγωγὴ τοῦ κεφαλαίου ἐπὶ τοὺς ἀγῶνας ἀπὸ προτάσεως. B.F.P.

Ἀλοννήσου] ταύτην τὴν νῆσον οὖσαν περὶ τὴν Θρᾴκην Ἀθηναίων ὑπήκοον Σώστρατος λῃστὴς ἐσφετερίσατο· πρὸς ὃν Φίλιππος πολεμήσας ἀπέσπασεν. Ἀθηναῖοι ἔπεμψαν πρέσβεις ἀπαιτοῦντες ὡς ἰδίαν. ἔφησε Φίλιππος, εἰ μὲν βούλονται ὡς δωρεὰν λαμβάνειν, διδόναι· εἰ δὲ μή, οὐκ ἀποδιδόναι. A.H.

77, 9. ἔλεγε δὲ] ὑποφορά, ὁ τοῦ ἐναντίου λόγος. B.F.P.

77, 12. τοῦτον δὲ τὸν λόγον] τρίτη ἀντιπρότασις· ἡ τῆς λύσεως γὰρ ἐπαγγελία. B.F.P.

77, 13. οὐ χαλεπόν ἐστιν] σημείωσαι ὅτι πάντα τὰ τῆς ἐπιστολῆς τῇ διανοίᾳ λύει ὁ ῥήτωρ· πᾶν γὰρ ῥητὸν τῇ διανοίᾳ λύεται. B. F.P.

ἀφελέσθαι] ἐνταῦθα ἡ τοῦ κεφαλαίου εἰσαγωγὴ ἐκ τῶν τεσσάρων πεπλήρωται, προτάσεως, ὑποφορᾶς, ἀντιπροτάσεως, λύσεως. B. F.P.

77, 14. ἅπαντες γὰρ οἱ λῃσταὶ] τετάρτη λύσις, ἐκ τῆς τῶν ἐπιχειρημάτων κατασκευῆς. B.F.P.

77, 16. ὁ δὴ τοὺς λῃστὰς τιμωρησάμενος] καθ' ὑπόθεσιν, ἐκ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. B.F.P.

4. ὡς ὧδε A.
τοῦ προοιμίου] τὸ προοίμιον A.
5. ἐργασάμενος] ἐργαζόμενος R.
6. εὐθὺς om. H.R.
19. γὰρ om. F.P.
20. σημείωσαι om. B.
21. ῥητὸν τῇ] ῥητὸν καὶ B. Ceterum hoc scholion in F.P. adscriptum est verbis ἀλλὰ μὴν οὐδ' p. 77, 29.
26. τετάρτη et τῆς om. P.

78, 29. ἐφέσιμον] ἔφεσις ἡ ἔγκλησις ἡ ἀπὸ σμικροῦ εἰς μεῖζον κριτήριον προκαλουμένη. B.F.P.

79, 3. περὶ Ποτίδαιαν] ἔναγχος λαβὼν τὴν Ποτίδαιαν καὶ πολλοὺς τῶν ἐνοικούντων ἀδικήσας. ἵνα τοίνυν μὴ ἐγκαλῶσιν αὐτῷ, πέπομφε περὶ τῶν συμβόλων, δι' ὧν σπείσεσθαι ἤθελεν, ἵνα διὰ τῶν σπονδῶν λύσῃ τὰ ἐγκλήματα. A.H.R.

79, 4. οὐδὲν ἐνεκαλεῖτε αὐτῷ ὡς ἀδικούμενοι] σπεισάμενοι αὐτῷ περὶ τῶν συμβόλων, ὡς μηδὲν ἀδικούμενοι δηλονότι· οὐ γὰρ ἂν ἐσπείσασθε. A.H.R.

79, 17. σύμβολα] σύμβολα λέγει τὰς δίκας τὰς περὶ τὰ συμβόλαια τῶν ἐμπόρων. B.P.F.

79, 19. ἐφ' ἡμῖν γὰρ ἦν ἡ Μακεδονία] ἀπὸ τῶν Πελοποννησιακῶν ἔλαβεν, ὅτι περὶ Θρᾴκην εἶχόν τινα χωρία, ἀφ' ὧν καὶ φόρους ἐλάμβανον. συνῆψαν οὖν τῇ Θρᾴκῃ καὶ τὴν Μακεδονίαν πλησίον οὖσαν. ἦσαν γὰρ φίλοι τότε, νῦν δὲ πόλεμος ἐπίκειται. A.R.

80, 3. περὶ δὲ τῶν λῃστῶν] ἐπὶ ἄλλο κεφάλαιον μεταβαίνει τῆς ἐπιστολῆς. H.R.

80, 11. διαφθείρειν] τὸ διαφθείρειν ἢ λόγοις ἢ χρήμασι. A.

80, 12. καὶ μὴ μόνον τοὺς φυγάδας τοὺς παρ' ἑαυτοῦ εἰς Θάσον κεκομικέναι] ἐλεγχθέντες γάρ τινες τῶν Θασίων, ὡς μέλλουσι Φιλίππῳ προδιδόναι τὰ πράγματα, ἐφυγαδεύθησαν ἐκ τῶν πολιτῶν. τούτους ὁ Φίλιππος πείσας τοὺς περὶ τὸν Χάρητα κατήγαγεν. B. F.P. τὸ δὲ τοὺς παρ' ἑαυτοῦ ἀντὶ τοῦ τοὺς τὰ αὐτοῦ φρονοῦντας. F.P.

80, 17. καίτοι οὔ φασι] ἀντίθεσις στοχαστικὴ, ὅτι οὐ βουλήσεται ἄρχειν τῆς θαλάττης. R.S.

80, 19. κατασκευάζεται] ἀντὶ τοῦ κατασκευασθῆναι ποιεῖ· κυρίως γὰρ ἐπὶ μὲν τοῦ δημιουργοῦ λέγομεν κατασκευάζει, ἐπὶ δὲ τοῦ τὰ

3. τὴν om. H.

5. συμβόλων] συμβολῶν A. hic et infra.

11. ἐμπόρων] Sequitur in B. σύμβολα, τὰς συνθήκας, ἃς ἐν ἀλλήλαις αἱ πόλεις θέμεναι τάττουσι τοῖς πολίταις, ὥστε διδόναι καὶ λαμβάνειν τὰ δίκαια πολλάκις. quæ ex Harpocratione vel Suida sunt transcripta, qui post τὰ δίκαια pergunt πολλάκις ἐν τῷ ζ' Φιλιππικῶν Δημοσθένης.

12. ἀπὸ—Θρᾴκην] Hæc in A. ita sunt detrita ut vix aliquot syllabæ agnosci possint.

16. μεταβαίνει] μέτεισι H.

25. βουλήσεται] βούλεται R.

28. κατασκευάζει] κατασκευάζειν F. P.

ἀναλώματα παρέχοντος κατασκευάζεται. B.F.P. κυρίως γὰρ ὁ μὲν τεχνίτης κατασκευάζει, ὁ δὲ παρέχων τὰ ἀναλώματα κατασκευάζεται. A.R.

νεωσοίκους οἰκοδομεῖται] οἴκους γὰρ ἐποίουν εἰς τὸν αἰγιαλόν, ἵνα ἐκεῖσε νεωλκῶσι καὶ μὴ διαφθείρωνται τὰ πλοῖα ἢ ὑπὸ ὄμβρου ἢ ὑπὸ καύματος. διὸ νεὼς οἶκοι καλοῦνται. ἰστέον δὲ ὅτι δύο λέξεις εἰσὶ καὶ οὐχ ὥς τινες ὑφ' ἓν ἀναγινώσκουσι. γενικὴ δὲ οὖσα τῆς νεὼς ἀκίνητος μένει. ἀεὶ γὰρ πλαγία πτῶσις εὑρισκομένη μετ' εὐθείας ἀκίνητος μένει. H.R.S.

80, 22. ὧν οὐδὲν προτιμᾷ] ἀντὶ τοῦ ὧν οὐδὲν φροντίζει. B.

80, 26. οἳ οὐκ αἰσχύνονται] κατατρέχει τῶν φιλιππιζόντων. A.

81, 4. ἑκατέρους ἔχειν] ὁ Φιλοκράτης ἐν τῷ ψηφίσματι γέγραφεν ἑκατέρους ἃ ἔχουσιν ἔχειν, χαριζόμενος Φιλίππῳ· πολλὰ γὰρ ἀλλότρια ἡρπάκει. συνέντες Ἀθηναῖοι τοῦτο ἔπεμψαν ἐπανορθώσασθαι τὴν εἰρήνην, ὥστε ἔχειν ἑκατέρους τὰ ἑαυτῶν. A.

81, 24. εὐδοκίμησεν ὁ Πύθων] ὥσπερ νῦν μεμφόμενος τοὺς ῥήτορας ἔγραψε Φίλιππος, οὕτω καὶ ὁ Πύθων τότε τοὺς συμβούλους δημηγορῶν. ἐπαινεῖ δὲ τὸν Πύθωνα, ὅτι εὐδοκίμησε κατὰ τοὺς λόγους τότε (ἦν γὰρ ῥήτωρ ἄριστος), καὶ ἐπειδὴ συμφέρει αὐτῷ· δι' αὐτοῦ γὰρ ἐλέγχει τὸν Φίλιππον ψευδόμενον. A.H.R.

82, 17. Πύθωνα] ἐπηγγέλλετο γὰρ ποιεῖν τὰ δέοντα καὶ ἐπανορθοῦσθαι τὴν εἰρήνην. A.

82, 18. ἔλεγε δὲ] ἐπίκρισις. B.P.

82, 22. τῷ Φιλοκράτους ψηφίσματι] τὸ γὰρ Φιλοκράτους ψήφισμα εἶχεν ἑκατέρους ἃ ἔχουσιν ἔχειν. εἶχε δὲ Ἀμφίπολιν ὁ Φίλιππος. οὐκοῦν ἀπώλλυον διὰ τοῦ ψηφίσματος ταύτην. A.

83, 20. ἐκπολιορκήσας] πολιορκῆσαι τὸ τοὺς πολεμίους περικαθέζεσθαι τὴν πόλιν ἐπὶ πολύ, ἵνα τοὺς ἔνδον διαφθείροντες λιμῷ οὕτως ἀναγκάσωσιν ἐκδοῦναι ἑαυτούς. ἐκπολιορκῆσαι δὲ τὸ ἀπὸ τῆς πολλῆς καὶ πάνυ πολιορκίας δεσπότας γενέσθαι τῶν πολιορκουμένων. H. R.S.

1. κατασκευάζεται] κατασκευάζεσθαι P., non F.

2. παρέχων] παρασχὼν A.

5. διαφθείρωνται] δὴ φθείρωνται libri.

13. ἔχουσιν ἔχειν Wolfius. ἔχουσι, omisso ἔχειν, A.

17. ἔγραψε—συμβούλους] Hæc partim amputata in A. In H. est τοῖς συμβούλοις.

27. πολιορκῆσαι] πολιόρκημα H.R. Fort. πολιορκῆσαι μὲν—.

84, 22. ἵνα δὴ αὐτόνομοι ὦσιν] σημείωσαι· εἰρωνικόν. B. κατ' εἰρωνείαν λέγει τὸ ἵνα. ἰδοὺ γὰρ τυραννοῦνται τοῖς ὅπλοις. ὁμολογεῖ τοῦτο λόγῳ· τοῖς ἔργοις τἀναντία πράττει. τὰς γὰρ Φερὰς ἐχειρώσατο. A.H.R.

τὰς δ' ἐν Κασσωπίᾳ] αὗται αἱ πόλεις ἐν Ἀχαΐᾳ εἰσὶν ἐντὸς Πε- 5
λοποννήσου. A.

84, 25. Ἀλεξάνδρῳ] τῷ Μολοττῷ, ἀδελφῷ τῆς Ὀλυμπιάδος. Less.

σφόδρα γε] καὶ τοῦτο εἰρωνικόν. B.P.

84, 27. περὶ δὲ τῶν ὑποσχέσεων] ἄλλο κεφάλαιον τῆς ἐπιστολῆς. 10
ταύτας δὲ λέγει τὰς ὑποσχέσεις δι' ἃς καὶ ἡ τρίτη πρεσβεία ἐγένετο. H.R.S.

85, 20. ὡς ἔοικε] διὰ τὸ πιθανὸν πρόσκειται τὸ ὡς ἔοικεν· ὅτι ὡς φαίνεται ἔξω τῆς οἰκουμένης ὑμῖν δωρήσεται. δεῖξον, φησί, ξένην οἰκουμένην τῷ Φιλίππῳ, καὶ τότε δωρεὰν ἕξεις ἀμάρτυρον. A.H.R. 15

85, 22. ἄλλο κεφάλαιον τῆς ἐπιστολῆς. τῆς δὲ εἰρήνης ἤδη γενομένης καὶ μήπω καὶ αὐτοῦ δόντος τοὺς ὅρκους, ἐν τῷ μεταξὺ ἔλαβε χωρία τινὰ τῶν Ἀθηναίων ἐν τῇ Θράκῃ· ἅπερ ἐπιφέρει πείσας τὸν Αἰσχίνην βραδῦναι ἐν τῇ ὁδῷ. H.R.S.

85, 27. ὥσπερ δὲ ταῦτα ἴσμεν] πάρισον. B.P. 20

86, 6. τὸν πρόξενον] πρόξενός ἐστιν ὁ προστάτης ἐν τῇ ἑαυτοῦ πόλει ἄλλης πόλεως. A.H.R.Y.

86, 14. Ἀπολλωνίδῃ τῷ Καρδιανῷ] Καρδία ὄνομα πόλεως, ὥς φησιν Ἡρόδοτος. κεῖται δέ, ὥς φησι Θεόπομπος ἐν τῇ πρώτῃ τῶν Ἑλληνικῶν, τῆς Χερσονήσου κατὰ μέλανα καλούμενον πόντον. δύο 25
δὲ ἐγένοντο ἐπίσημοι Ἀπολλωνίδαι, οὗτος ὁ προδότης καὶ ἄλλος τις Ὀλύνθιος, οὗ μέλλει μνησθῆναι ἐν τοῖς ἑξῆς ὡς εὔνου περὶ τὴν πόλιν καὶ μισοφιλίππου. H.R.S.

86, 15. Ἀγορᾶς] τόπος τῆς Χερρονήσου, καὶ μέχρι τούτου Φίλιππος ὁρίζεται τοῖς Ἀθηναίοις εἶναι Χερρόνησον. τὴν προσηγορίαν 30

11. ταύτας] ταύτης B.
δὲ] γὰρ S.
14. ὑμῖν] ἡμῖν H.R.
22. ἄλλης πόλεως] ἄλλων πόλεων H.
24. Ἡρόδοτος] 6, 33. et alibi.
θεόπομπος S. θεόπεμπτος ceteri.
25. Ἑλληνικῶν] ἑλλήνων libri.
27. ἐν τοῖς ἑξῆς] Vid. p. 125, 15. 128, 9.
29. Χερρονήσου] Simplici ρ scriptum in A. et mox iterum.

ἔλαβεν ὁ τόπος ἐκ τοῦ εἶναι ὅριον καὶ μέτρον τῆς χώρας. A.H. R.Y.

86, 22. Πτελεοῦ καὶ Λευκῆς] πόλεων, οὐ δένδρων ὀνόματα. A.

86, 23. ἀμμορίης] κατὰ στέρησιν τοῦ μορίου. B.P. ἀντὶ τοῦ ὁ Ζεὺς ὁ τῆς ἀμορίας, ὁ μετέχων τῶν δύο ὅρων ὁμοῦ τῶν τῆς Χερρονή- 5 σου καὶ τῆς Θρᾴκης. διὰ γὰρ τοῦτο ἀμορίαν αὐτὸν ἐκάλεσεν. S.

87, 7. ἐγκτήματα] κτῆμα ἐγκτήματος διαφέρει. κτῆμα μὲν γάρ ἐστι κυρίως, ὅταν τις ἐν οἰκείᾳ γῇ κτήσαιτό τι χωρίον, ἔγκτημα δὲ, ὅταν ἐν ἀλλοτρίᾳ γῇ τις κτήσαιτό τι χωρίον, ὥσπερ καὶ Φωκεῖς καὶ Θετταλοὶ ἐδικάζοντο περὶ τοῦ ἱεροῦ, καὶ Καρδιανοὶ, ὅτι ἡμετέρα ἐστὶν 10 ἡ γῆ. B.F.Y.P.

87, 9. Κάλλιππον Παιανιέα] ῥήτωρ ἦν Ἀθηναῖος. B.

87, 12. παραγραφικῶς λύει ἀπὸ χρόνου. S.

87, 22. ἆρ' οὐ μεγάλα] σημείωσαι· εἰρωνικόν. B.

87, 23. καὶ ταύτην—] κατὰ χλευασίαν ἀναγνωστέον. B.F.P. 15

87, 25. ἐκεῖνος μὲν] ἐντεῦθεν ὁ ἐπίλογος. B.F.P.

4. μορίου] μόρου B.

5. ἀμορίας] In versu ipso ἀμμορίης scriptum in S., qui hos versus omisit in textu, sed habet in summo margine.

Χερρονήσου] χερονήσου S.

7. ἐγκτήματος] ἐγκτήματι B.

8. κυρίως addidi ex Y.

9. κτήσαιτο] Imo κτήσηται hic et infra. Et sic P.

10. ἡμετέρα] ὑμετέρα B.

13. Sequitur in B. (ad p. 87, 14.) διαδικάζεσθαι· ὀνειδίζειν, ἐλέγχειν. διαδικασία δέ ἐστιν—αὐτούς. Quæ ex duabus Suidæ glossis sunt composita.

VIII.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ.

Ἐν τούτῳ τῷ λόγῳ καταφέρεται μὲν τῶν ῥητόρων, ὑπεραπολογεῖται τοῦ Διοπείθους, συμβουλεύει κινῆσαι τὸν κατὰ Φιλίππου πόλεμον. κεφάλαια δὲ τὸ συμφέρον καὶ τὸ δυνατὸν συγγράφει. S.

Τὸ προοίμιον ἀπὸ συστάσεως τοῦ οἰκείου προσώπου. ἐπεὶ γὰρ τοῦ μὲν κατηγορεῖ, τοῦ ἑτέρου δὲ ὑπεραπολογεῖται, τὴν ὑποψίαν ἀπο- 5 κρούεται τῆς τε ἔχθρας καὶ τῆς εὐνοίας διὰ τῆς πρὸς ἑτέρους εἰσηγήσεως.—τινὲς ἐνόμισαν τὸν λόγον δικανικοῦ εἴδους, λέγοντες ὅτι ἀπολογίαν ἔχει Διοπείθους καὶ κατηγορίαν Φιλίππου. ὁ δὲ Ἐπιφάνιος ὁ τεχνικὸς συμβουλευτικοῦ λέγει αὐτὸν εἴδους εἶναι, ἐπειδή, φησί, τῆς κατηγορίας πλείονα τὴν συμβουλὴν ἔχει. τὸ δὲ ἀληθέ- 10 στερον οὕτως· εἰ ἦν παρεστηκὼς ὅ τε κατηγορούμενος καὶ ὁ διώκων, καλῶς ἂν ὡς ἐν δικαστηρίῳ καὶ κρίσει αὐτῶν ὄντων ἐλέγομεν εἶναι τὸν λόγον εἴδους δικανικοῦ· ἀλλ' ἐπειδὴ οὔτε δικαστήριον ἦν οὔτε Διοπείθης παρῆν οὐδὲ Φίλιππος, ἀλλ' ὁ ῥήτωρ προσκοπῶν οὔτε τὴν ἀπολογίαν Διοπείθους οὔτε τὴν κατηγορίαν Φιλίππου, ἀλλὰ τῆς 15 πόλεως τὸ συμφέρον συνεβούλευσε, καλῶς ἂν τὸν λόγον εἴποιμεν εἴδους εἶναι συμβουλευτικοῦ. ἔστι δὲ τὸ προοίμιον ἐξ ἐπιτιμήσεως τῶν κατὰ Διοπείθους λεγόντων. εὔνοιαν δὲ τὸ προοίμιον ἀπεργάζεται. δύο δὲ ὄντων εὐνοίας τόπων, ἢ ἑαυτὸν συστῆσαι ἢ τὸν ἀντίδικον δια-

3. συγγράφει] Literæ tres primæ evanuerunt in S.

4. τὸ π. ἀπὸ συστάσεως τοῦ B.Y. τὸ π. ἀπὸ εὐνοίας, ἀπὸ συστάσεως τοῦ P. ἀπ' εὐνοίας τὸ π. τοῦ F.

5. ἑτέρου addidi ex Y.

9. λέγει α. εἴδους Y. α. εἴδους λέγει ceteri.

13. ἀλλ' ἐπειδὴ] ἐπειδὴ δὲ Par. η. Morelii.

14. οὐδὲ Φ.—οὔτε τὴν ἀ. Sauppius. οὔτε φ.—οὐ τὴν ἀ. B.

16. ἂν τὸν—συμβουλευτικοῦ] ἂν λόγος λέγοιτο συμβουλευτικὸς Par. η.

18. εὔνοιαν] ἔννοιαν B. et mox ἐννοίας.

βαλεῖν, ἀπὸ κοινότητος αὐτὸ ἔλαβε· διὰ δὲ τοῦ λέγειν "ἄλλως τε "καὶ περὶ τῶν κοινῶν" προσοχὴν τίκτει τοῖς ἀκούουσιν. B.F.Y.P. οὗτος ὁ Διοπείθης πατὴρ ἦν Μενάνδρου τοῦ κωμικοῦ. ὁ δὲ Μένανδρος φίλος ἦν Δημοσθένους, δι' ὃν ὑπὲρ Διοπείθους βουλεύεται. B.F. R.P.

Argum. 88, 5. κληρούχους] γεωργοὺς παροίκους. κληροῦχοι γὰρ καλοῦνται καὶ οἱ ἀποστελλόμενοι πάροικοι καὶ ὁ κληρουχῶν καὶ μερίζων αὐτοῖς τὴν γῆν. R.

90, 2. μήτε πρὸς ἔχθραν] διὰ τὸν Διοπείθην λέγει. τὸ πρὸς χάριν διὰ Φίλιππον. A.R.

90, 6. ἐπειδὴ δ' ἔνιοι] ἔνιοι συμπέρασμα· ὁ δὲ Ἑρμογένης ἀνταπόδοσιν λέγει αὐτό. B.F.Y.P. ἡ εἰσβολή· ὅτι καὶ μάλιστα πρὸς τὸ συμφέρον χρὴ δημηγορεῖν. A. ἡ κατασκευὴ ὅτι καὶ μάλιστα πρὸς τὸ συμφέρον δεῖ δημηγορεῖν. R.

90, 10. ἡ μὲν οὖν σπουδὴ] τοῦτο τὸ δεύτερον προοίμιον ἐκ τοῦ πράγματος. B.Y. δεύτερον προοίμιον ἐκ διαβολῆς τῶν φιλιππιζόντων· ἔστι δὲ ἐκ τῶν πραγμάτων. F.R.P.

90, 14. ἐγὼ δ' ὅσα] κατασκευή. B. προκατασκευή. P.

90, 18. περὶ τούτων] συμπέρασμα. P.

90, 23. τὴν ταχίστην] ἀντὶ τοῦ ταχέως. P.

91, 3. Πολλὰ δὲ] εἰσβάλλει εἰς τὸ κεφάλαιον τὸ συμφέρον. A.R.

12. λέγει αὐτό] αὐτὸ λέγει P.

15. τοῦτο τὸ om. B.

16. φιλιππιζόντων] προδοτῶν R. qui om. sequentia.

21. εἰσβάλλει—συμφέρον] εἰσβολὴ ἐπὶ τὸ συμφέρον κεφάλαιον P. In sequentibus usque ad finem orationis P. et partim etiam B. scholia plura habent non ab antiquis Demosthenis interpretibus accepta, sed ex Suidæ Lexico compilata. Sunt ea hæc, ad p. 91, 10. συσκευάζεται] συσκευάζεσθαι σημαίνει τὸ ἐπιφέρεσθαι. τὸ συσκευάζεσθαι, τὸ παρὰ τὴν ὁδὸν εὐτρεπίζεσθαι· συσκευάζειν δὲ, τὸ λόγῳ ἐπιβουλεύειν, ἐξ οὗ καὶ συσκευὴ ἡ ἐπιβουλή. P. ad p. 91, 15. κληροῦχοι ἐκαλοῦντο οὓς Ἀθηναῖοι ἔπεμπον εἰς (ἐπὶ B.) τὰς πόλεις ἃς ἔλαβον ἑκάστοις διανεμοῦντας (ἃς ἐλάμβανον, κλήρους ἑκάστοις διανεμοῦντας B.) οὕτως καὶ Ἰσοκράτης ἐν πανηγυρικῷ. ἐνταῦθα δὲ κληρουχικὰ ἂν λέγοι τὰ τῶν ἐκπεμφθέντων εἰς ἑτέρας χώρας, ἥντινα δήποτε κατὰ κληρουχίαν. πῶς γάρ; οὐ γὰρ οἷόν τε τὸν μὲν ἐπιδημοῦντα Ἀθήνῃσι τριηραρχεῖν. Ἡρόδοτος δὲ κληρούχους λέγει τοὺς γεωργούς. (οὕτως—γεωργοὺς om. P.) B.P. ad p. 93, 18. εἰσφρήσεσθαι] πολὺ τοὔνομα παρὰ τοῖς ῥήτορσιν, ἀντὶ τοῦ εἰσάξειν καὶ εἰσδέξεσθαι. P. ad p. 94, 2. ἅπαξ] ἀντὶ τοῦ δι' ὅλου, ὁλοσχερῶς, παντελῶς καὶ ἅπαξ ἐλάλησεν ὁ θεὸς, ἀντὶ τοῦ ἀποφαντικῶς ἢ παντελῶς· τὸ γὰρ ἅπαξ οὐκ ἐπὶ ἀριθμοῦ, ἀλλ' ἐπὶ πάντως ἐσομένου. εἰσάπαξ, ἀντὶ τοῦ διὰ

91, 11. ἕτοιμα] ἐμπαράσκευα. P.

91, 15. τοὺς κληρούχους] γεωργοὺς παροίκους· κληροῦχοι γὰρ καλοῦνται καὶ οἱ ἀποστελλόμενοι πάροικοι, καὶ ὁ κληρουχῶν καὶ μερίζων αὐτοῖς τὴν γῆν. F.P. οὐκ εἶπε τοὺς στρατιώτας τοὺς μετὰ Διοπείθους, ἀλλὰ τοὺς κληρούχους, οἵτινες εἰρηνικοί εἰσι. F.Y.P.

91, 26. ἀπέχηται] ἤγουν πολέμῳ οὐχ ἅπτηται. P.

92, 8. ἀλλὰ νὴ Δία] ἄλλο μέρος τοῦ δικαίου, ὅτι οἱ ξένοι μετὰ Διοπείθους περικόπτοντες τὰ πλοῖα καὶ βλάπτοντες ἀδικοῦσιν. A.R.

[93, 19. ἐτησίας] ἐτήσιος ὁ κατ' ἔτος· καὶ ἐτησίαι οἱ ἄνεμοι οἱ κατ' ἔτος πνέοντες, οὕστινας ἐτησίας Δημοσθένης φησίν. P.]

φθάσῃ] προλάβῃ. P.

94, 4. ἀλλ' ἐνθένδε βοηθήσομεν] ἀντιστοχαστικὸν καὶ περὶ μέλλοντος καὶ ἀδήλου πράγματος. P.

ἂν δ' ὑπὸ τῶν πνευμάτων] ἀντίθεσις στοχαστική. F.P.

94, 6. τούτου] περὶ μέλλοντος καὶ ἀδήλου πράγματος. F.P.

94, 7. ὥραν τοῦ ἔτους] τοῦ θέρους. P.

94, 12. Χαλκίδα] Χαλκὶς πόλις Εὐβοίας. P.

94, 13. Ὠρεὸν] πόλις καὶ αὕτη τῆς Εὐβοίας. P.

94, 19. βασκαίνειν] οὐ φθονεῖν, ἀλλὰ μέμφεσθαι καὶ συκοφαντεῖν. δύο γὰρ σημαίνει τὸ βασκαίνειν παρὰ τοῖς παλαιοῖς. F. Y.P.

μιᾶς φορᾶς. καθάπαξ δὲ, ἀντὶ τοῦ παντελῶς, συλλήβδην. λέγεται καὶ καθάπαν· καθάπαν γε μὴν αὐτοὺς ἐκπολεμεῖν οὐκ ἔδοξεν. ἀπαξάπαντα, ἀντὶ τοῦ ἀπὸ μικροῦ ἕως μεγάλου. ἀπαξάπαντες, ἀντὶ τοῦ ὁμοῦ πάντες. καὶ ἀπαξαπλῶς, ἀντὶ τοῦ ὡς εἰπεῖν. σημαίνει δὲ τὸ ἅπαξ, οὐδὲν πλέον προσκείμενον. P. ad p. 94, 19. βασκαίνειν] post verba τοῖς παλαιοῖς, quibus scholion antiquum finitur, οὕτω καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος, καὶ ἐν τοῖς ἑξῆς· βάσκανον δὲ καὶ κακόηθες οὐδέν ἐστι πολίτευμα ἐμὸν, φησὶν, ἀντὶ τοῦ φιλαίτιον καὶ συκοφαντικόν. ὅτι τὸ βάσκανος ἁπλῶς ἐπὶ λοιδορίας τιθέασιν· οὐ ψεύδη, καίπερ βάσκανος οὖσα. P. ad p. 94, 27. Suidæ gl. διαβάλλειν ab initio usque ad Ὠξὺν ποταμὸν, ἤγουν διαπεραῖν. P. ad p. 95, 8. συντάξεις] συντάξεις ὁ Δημοσθένης ἔλεγεν ἑκάστους φόρους. P. ad p. 95, 19. τῶν κοινῶν et ἀφέξεσθαι Suidæ glossas Κοινόν· τὸ ἀκάθαρτον—φωνὴ τοῦ κήρυκος. P. et ἀφέξει· ἀφέξω, ἀποκωλύσω· ἀφέξομαι· ἀποστήσομαι, παύσομαι. P. ad p. 96, 1. 8. 11. 97, 7. Suidæ glossæ τιμῶμαι, ἔμπορος, λῆμα, εἰσαγγελία in P. Porro ad p. 97, 16. 98, 10. 98, 11. 98, 23. 99, 1. 99, 25. Suidæ glossæ de v. παρελθεῖν tres, δημαγωγεῖ, χαρίζεσθαι, Εὔριτος, πολιτεία, in P.

4. τοὺς Y. δὲ F.P.

21. μέμφεσθαι] αἰτιᾶσθαι καὶ μέμφεσθαι P.

94, 22. εἰ γάρ τις] ἀποστροφὴ πρὸς Φίλιππον. P.

94, 25. εὐσθενεῖν] εὐτυχεῖν καὶ φιλεῖσθαι παρ' ὑμῶν. F.Y.P.

94, 28. διασπασθῆναι] ἤγουν συντριβῆναι, κατακλασθῆναι. P.

95, 4. ἐξετάσαι] κρίνειν πῶς ἔχει τὰ πράγματα. Y.

95, 6. οὔτε χρήματα] σημείωσαι, κατὰ κῶλον ἐπαναφορὰ τὸ οὔτε. B.P. 5

95, 12. τὰ ἡμέτερα αὐτῶν πράττειν] ἀντὶ τοῦ ἡσυχάζειν καὶ μὴ πολυπραγμονεῖν περὶ ἀρχῆς καὶ ἡγεμονίας τῶν Ἑλλήνων. F.Y.P.

95, 13. λέγοντας] οἷον τοὺς λέγοντας ὅτι ἔθος ἐστὶ τῇ πόλει καὶ τοῖς προγόνοις ἡμῶν τὸ σώζειν τοὺς κινδυνεύοντας, καὶ προΐστασθαι τῆς Ἑλλάδος, καὶ ἐναντιοῦσθαι τυράννοις· ἐν δὲ τοῖς ἔργοις τοῖς ἐναντιουμένοις ἐκείνοις τοῖς λέγουσιν ὡς ὅτι δεῖ προκινδυνεύειν τῶν Ἑλλήνων συναγωνιζόμεθα. F.Y.P. 10

95, 18. εἰ γὰρ μήτε εἰσοίσετε] κατὰ κῶλον καὶ κόμμα ἐπαναφορά. B.F.Y.P. 15

95, 27. ἐνίους μαθεῖν δεῖ] καὶ περὶ τούτων προκατηγορούντων ἀκροᾶσθαι τί ἄν τις λέγοι, ἔνιοι φανερῶς, ἢ οἱ μέν, ἢ τινές. P.

95, 29. πάντες ὅσοι πώποτε] σημείωσαι ὑπερβατὸν κατὰ παρένθεσιν, ὅ ἐστιν ἐπεμβολή. B.F.Y.P.

96, 1. ἢ ἐγὼ πάσχειν] τὸ ἤ ἀντὶ τοῦ ἐπεί· ἐπεὶ εἰ μὴ οὕτως ἔχει τὸ πρᾶγμα ὡς λέγω, προτιμῶμαι. F.Y.P. 20

96, 4. ἡ ἐπαναστροφὴ σχῆμα τοῦ κάλλους ποιητικόν, ἀλλὰ τοῦ κομματικοῦ. R.

96, 6. καὶ διδόασιν] ὑπερβατὸν κατὰ ἔννοιαν, μέσον ἔχον τὴν αἰτίαν. B.F.Y.P. 25

96, 9. παραπέμπεσθαι] οἱονεὶ προπέμπεσθαι καὶ σώζεσθαι. F. Y.P.

96, 10. τὰ τοιαῦτα] ἀντὶ τοῦ διὰ ταῦτα. Y.

96, 13. πόθεν γὰρ οἴεσθε] ὑπερβατὸν καθ' ὑπέρθεσιν. B.F.Y.P.

96, 16. ἐκ τοῦ οὐρανοῦ] σχετλιάζοντος τὸ ῥῆμα. F.Y.P. 30

96, 18. διάγει] οὐ τρυφᾷ, ἀλλὰ μόλις διατρέφεται. F.Y.P.

5. σημείωσαι om. Y.

12. ὡς ὅτι Y. Aberat ὡς. Vid. annot. ad schol. p. 11, 20.

18. σημείωσαι ὑπερβατὸν] ὑπερβατὸν δέ ἐστι Y., in quo hæc notatio scholio proximo est subjecta post προτιμῶμαι.

96, 22. τοῦτ' εἰσὶν οἱ λόγοι] ἀντὶ τοῦ εἰς τοῦτο συντείνουσιν οἱ λόγοι. F.Y.P.

μέλλει πολιορκεῖν] καθ' ὁμοιότητα λέξεως, δεύτερον εἶδος τῆς κατὰ λέξιν δριμύτητος, μέλλει καὶ μέλει. B.F.Y.P.

96, 28. πινάκιον] εἰς ὃ γράφονται τὰ ἐγκλήματα κατὰ τῶν εἰσ- 5 αγγελλομένων. B.

97, 3. ὑπερβολὴ μανίας] καὶ γὰρ τῆς μεγίστης ἀνοίας ἔργον τὸ κατὰ τῶν ἰδίων πολιτῶν στρατιώτας τρέφειν. F.Y.P.

97, 7. εἰσαγγελία] ἐμφανισμὸς, μήνυσις. B.F.Y.P.

97, 15. θορυβεῖτε] ἀντὶ τοῦ συντίθεσθε αὐτῷ ὡς ἀληθεύοντι. B. 10 F.Y.P.

97, 22. αἴτιον δὲ] ὑπερβατὸν κατὰ παρένθεσιν. B.F.Y.P.

97, 23. παρεσκευάκασιν] προσώπου ὑποβολὴ τὸ σχῆμα. F.Y.P.

98, 16. παρείκατε] οἱ Βοιωτοὶ τὸ η εἰς τὸ ει τρέπουσι. Y.

98, 25. ἀποληφθέντος] ἤγουν ἀπογενομένου καὶ ἀποκρατηθέν- 15 τος. P.

98, 27. ἀλλ' ἐκεῖνος] τὸ σχῆμα ἀντίθετον. οἷον ὑμεῖς οἶκοι, ἐκεῖνος ἀποδημῶν. F.Y.P.

99, 1. κατέστησε] ἐν τῇ Ἐρετρίᾳ Κλείταρχον· ἐν τῷ Ὠρεῷ Φιλιστίδην. F.Y.P. 20

99, 2. ἐπὶ Σκιάθῳ] Σκίαθος νῆσος πλησίον Εὐβοίας, ὑπήκοος Ἀθηναίων. F.Y.P.

99, 12. ποιεῖτε] τὸ ῥαθυμεῖν καὶ ἀργεῖν. Y.

99, 19. ἐδάφει] τῇ γῇ. P.

3. εἶδος τῆς] εἶδος καὶ B. Ceterum conf. Hermogen. vol. iii. p. 325, 15. ed. Walz. ab Sauppio citatum.

9. μήνυσις] Sequitur in B P. scholion ad p. 97, 8. ex Harpocratione et Suida s. v. Πάραλος compilatum Πάραλος μία τῶν παρ' Ἀθηναίοις πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριήρων, ἀπό τινος ἥρως τοὔνομα λαβοῦσα. πάραλος (Πάραλος—πάραλος om. P.) ἡ Σαλαμινία· αὕτται ἱεραὶ τριήρεις δημόσιαι, ἐπὶ τὰς (ἐπὶ γὰρ τὰς P.) τῆς πόλεως χρείας πεμπόμεναι καὶ ταχυναυτοῦσαι. ἡ μὲν ὑπηρετοῦσα εἰς τὰ θεωρικὰ, ἡ δὲ εἰς τὰ δημόσια (ἡ μὲν—δημόσια om. P.) πάραλοι δὲ, οἱ (καὶ πάραλοι, οἵ τε P.) ἐν τῇ νηῒ τῇ παράλῳ πλέοντες, καὶ οἱ τὴν παράλιον τῆς Ἀττικῆς κατοικοῦντες, ὥσπερ ἕτεροι πεδιάσιοι καὶ διάκριοι. παράλογος (sic) δὲ τριήρης ἱερὰ καλεῖται, ἥτις διηνεκῶς ταῖς ἐπειγούσαις χρείαις ὑπηρέτει· ὁπότε δὲ ἐκ τῆς ἀλλοδαπῆς μεταπέμψασθαι στρατηγὸν ἠβούλοντο, ὥσπερ Ἀλκιβιάδην ἀπὸ Σικελίας, τῇ παράλῳ ἐχρῶντο. λέγεται δὲ ἡ αὐτή ποτε καὶ Σαλαμινία· ὕστερον δὲ ἄλλαι δύο προσεγένοντο αὐταῖς, Ἀντιγονίς τε καὶ Δημητριάς. (ὥσπερ ἕτεροι—Δημητριάς om. P.)

19. τῷ om. Y.

100, 3. *τὰ νῦν βεβιασμένα*] *τὰ ἔθνη τὰ νῦν ὑπ' αὐτοῦ κατεχόμενα.* F.Y.P.

100, 5. *ἀρχὴν*] *τὴν τυραννικὴν, οὐ τὴν ἔννομον δηλονότι.* F. Y.P.

100, 11. *οὐ κακῶς*] *σημείωσαι· ἐπίκρισις.* B.P. 5

100, 18. *καὶ ὅπου τις*] *πάλιν εἰς Διοπείθην αἰνίττεται, ὅτι ἐν τῇ Θρᾴκῃ αὐτὸν ἀμυνεῖται.* F.Y.P.

100, 22. *Δρογγίλον καὶ Καβύλην*] *χωρία Θρᾳκικὰ εὐτελῆ περὶ τὸν Στρυμόνα καὶ τὴν Ἀμφίπολιν.* F.Y.P.

100, 23. *ἐξαιρεῖ*] *ἀντὶ τοῦ ἐκβάλλει, ἀφανίζει.* P. 10

100, 27. *τῶν ἀργυρίων*] *τὸ Λαύριον φησί· τόπος γάρ ἐστιν ἐν Ἀθήναις, ἔνθα ἄργυρος τίκτεται.* F.Y.P.

100, 28. *μελινῶν*] *τὴν κέγχρον φησίν· ἄλλοι δὲ ὅμοιον κέγχρῳ.* F.Y.

100, 29. *σιροῖς*] *τοὺς θησαυροὺς σιροὺς ἐκάλουν οἱ Θρᾷκες καὶ* 15 *οἱ Λίβυες ἃ νῦν φοσσία ἰδιωτικῶς.* F.Y.P. *τὰ κατάγεια. Θεόπομπος καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ, σιροὶ κριθῶν. οἶμαι δὲ λέγειν αὐτὸν φοσσία.* B.

1. *αὐτοῦ*] *αὐτῷ* P.
3. *δηλονότι* addidi ex Y.
5. *σημείωσαι* om. P.
7. *αὐτὸν*] *ἐκεῖνον* P.
9. In B. est scholion ad nomen proximum *Μάστειραν*] *σκόπει δὲ μήποτε γραπτέον Βάστειραν, ἢ Πίστειραν, ἢ Ἐπίμαστον. ταύτας γὰρ τὰς πολιτείας εὑρίσκομεν παρὰ Ἀναξιμένει ἐν ζ' τῶν περὶ Φίλιππον, Μάστειραν δὲ οὐδαμοῦ.* Quæ ex Suida sunt transscripta, qui debet Harpocrationi. Tum in P. ad p. 100, 26. et 29. excerpta ex Suidæ glossis *νεώρια* et *μελίνη*.
11. *ἐστιν* om. Y.
13. *μελινῶν*] *μελίνων* duplici accentu F. *μελίνων* Y. a m. pr., *μελινῶν* a sec. In B. in fine proximi scholii post *φοσσία* leguntur verba huc spectantia *ἢ τὴν κέγχρον, ἄλλοι δὲ ὅμοιον κέγχρων.*
15. *τοὺς θησαυροὺς σιροὺς* F.Y. In P. hæc sic ex Suida s. v. *σιρός* sunt interpolata *σιρὸς ὁ λάκκος. τοὺς θησαυροὺς καὶ τὰ ὀρύγματα ἐν οἷς κατετίθεντο τὰ σπέρματα. σιροὺς*—.
καὶ οἱ Λίβυες om. F.
16. *ἰδιωτικῶς* om. Y. Mox P. iterum excerpta ex Suidæ glossis intulit ad *βαράθρῳ* (101, 1.), *ἀνήκεστον* (101, 5.), *ἀποθέσθαι* (101, 6.), *ταμίας* (101, 14.), *πραγματείας* (101, 22.), *πρόησθε* (101, 29.), *ἀναβάλλουσι* (102, 27.), *καταλαμβάνοντα* (103, 19.), *διαδικασία* (103, 29.), *Καρδίαν* (104, 3.), *ἀνοητότατος* (104, 5.), *πράγματα* (104, 20.), *ἀποτυμπανίσαι* (104, 24. ap. Suid. s. v. *τυμπανίζεται*), *ὑπηγάγετο* (105, 7. s. v. *ὑπάγουσιν*), *Δορίσκον*, *Σέρριον* et *Κερσοβλέπτην* (105, 15.), *ἐπιτείχισμα* (106, 3.), *βδελυρός* (106, 23.), *ἀναιδής* (ibid.), *ἰταμῶς* (106, 24.), *ἀνδρία* (106, 28.). Quæ qui cum Suida comparare operæ pretium ducet, tempus perdet.

101, 12. βοηθείαις] ταῖς μερικαῖς καὶ κατὰ καιροὺς γινομέναις στρατείαις. S.Y.

101, 20. εἰ δέ τῳ δοκεῖ] ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ. F.Y.P.

102, 11. ποῖ] ἀντὶ τοῦ ἕως ποῦ. P. ὅμοιον τῷ "ποῖ μενεῖς ῥᾴθυμος" ἀντὶ τοῦ μέχρι τίνος. Y.

ἀναδυόμεθα] ἀντὶ τοῦ χωριζόμεθα τοῦ πράττειν καὶ ἐκφεύγομεν τοὺς πόνους. ἀπὸ μεταφορᾶς τῶν ὑποζυγίων τῶν ἀποδυομένων καὶ φευγόντων ὑποδῦναι τὸν ζυγόν. Y.

102, 21. οὔτε λέγειν ἄξιον] συμφώνως τῷ Θουκυδίδῃ· ὃ καὶ λόγῳ ἐνδοιασθῆναι αἰσχρὸν τῷ Πελοποννήσῳ. F.Y.P.

102, 22. καταπολιτεύονται] καθ' ὑμῶν. P.

102, 26. τινὲς] ὁ Δημοσθένης· οὕτως γὰρ ἔλεγον τινές. Y.

102, 27. ἀναβάλλουσι] ἀναβάλλεσθαι καὶ ὑπερτίθεσθαι ποιοῦσιν. F.Y.P.

103, 2. ἐπὶ πολλῷ] κακῷ δηλονότι. Less.

103, 3. τούτων] τῶν ἡμῖν συμβεβηκότων κακῶν. Less.

103, 10. κωλύειν] τὸ ὑπερβατόν, ἵνα ᾖ, καὶ κωλύειν τὸ διαρπασθῆναι τὰ χρήματα, διὰ τὸ τοῦ φύλακάς τινας τάξαι δι' ὧν σωθήσεται. F.Y.P.

103, 12. αὐτὸ τοῦτο] ἀντὶ τοῦ καὶ κατὰ τοῦτο. Y.P.

εἰ τὰ μὲν χρήματα] ἀντίθετον τὸ σχῆμα, ἐκεῖ χρήματα, ἐνταῦθα τὴν Ἑλλάδα. κἀκεῖ ἀδήλως εἰ διαρπασθήσεται· ἐνταῦθα δὲ φανερῶς· κἀκεῖ μόριον, ἐνταῦθα πᾶσαν. F.Y.P.

103, 29. ἡ διαδικασία] τὸ φιλονεικεῖν καὶ διαμφισβητεῖν λόγοις· διαδικασία οὖν ἡ φιλονεικία. κυρίως δὲ διαδικασία ἐστὶν ἡ ἐπὶ χρημάτων ἀμφισβήτησις· ἐνταῦθα δὲ κατεχρήσατο. F.Y.P.

104, 24. ἀποτυμπανίσαι] ἀνηλεῶς τινα φονεῦσαι. B.

105, 6. Ποτίδαιαν] τὴν Κασάνδρειαν. Y.P.

105, 7. τὴν Βοιωτίαν] διὰ τοῦ περιποιῆσαι αὐτοῖς Ὀρχομενὸν καὶ

1. γινομέναις S. In Y. hoc proximumque scholion a m. recentiore scripta sunt.
4. ποῖ μ. ῥ.] Soph. Electr. 958.
9. Θουκυδίδῃ] I, 122.
18. διὰ τὸ] διὰ τοῦ P.
20. καὶ κατὰ] διὰ P.
24. τὸ φιλονεικεῖν—οὖν om. B. Eorum loco ἡ πρὸς ἀλλήλους ἔρις habet P.
25. ἡ ἐπὶ χρημάτων Sauppius. ἐπιχειρημάτων libri. ἡ περὶ κτημάτων dixit schol. Aeschinis p. 74, 19.
27. τινα Sauppius τι B.

Κορώνειαν· οὐκ ἔχοντες γὰρ καὶ ταῦτα ὑπακούοντα μετὰ τῶν Βοιωτῶν ἐδόκουν μὴ πάσης ἄρχειν Βοιωτίας. F.Y.P.

105, 18. προσφέρεται] προστίθεται. P.

105, 22. οὐκ ἦν ἀσφαλὲς] σχῆμα τὸ περὶ ἐπιμελείας καὶ κάλλους, τὸ λεγόμενον ἡ κατὰ κῶλον ἐπαναφορά. B.Y. 5

105, 27. τοὺς τυράννους] τοὺς Ἀλευάδας. B.Y.

106, 22. μαλακός] δειλός. P.

107, 1. ὅστις δ' ὑπὲρ] ὃ λέγει τοιοῦτόν ἐστιν. ὁ τὰ ῥᾷστα βουλόμενος λέγειν ὑπὸ τοῦ λογισμοῦ κινεῖται, ἵνα τι κερδάνῃ. ὁ δὲ τὰ βέλτιστα καὶ μὴ τὰ ταῖς τῶν πολλῶν ἀκοαῖς ἥδιστα, ἐκεῖνος τῇ τύχῃ 10 ἑαυτὸν ἐκδίδωσι, κἂν εἴ τι ἄρα ἐπ' αὐτῷ συμβῇ. ποιεῖ οὖν κρείττονα τὴν τύχην ἤπερ τὸν λογισμόν. ἀντὶ τοῦ πλείω ἑαυτὸν ἐκδίδωσι τῇ τύχῃ ἤπερ τῷ λογισμῷ. Less.

107, 15. οὐδὲν ἂν τούτων εἴποιμι] τὸ σχῆμα κατὰ παράλειψιν. Y. 15

107, 16. τῶν τοιούτων] οἷα οὗτοι οἱ ῥήτορες. Less.

107, 20. προήχθην] διεγέρθην. Less.

107, 28. τὸ βέλτιστον ἀεὶ] οὕτως τὸ ὀρθόν· ἐπ' ἐκεῖνο μὲν γὰρ ἡ φύσις αὐτὴ βαδιεῖται. Y.

108, 1. ἐπὶ τοῦτο] τὸ βέλτιστον. P. 20

108, 2. προάγεσθαι] ἀντὶ τοῦ προάγειν· παθητικὸν ἀντὶ ἐνεργητικοῦ. F.Y.P.

108, 19. τούτων] ἤγουν ἐκ τοῦ ἐκεῖνον εἰπεῖν καὶ ὑμᾶς πρᾶξαι. P.

108, 23. τι τῶν τότε] τὸ ἐκβαλεῖν τοὺς Θηβαίους ἐκ τῆς 25 νήσου. P.

108, 27. ἐν κεφαλαίῳ] ἀνακεφαλαίωσις. B.P. ἐν συντόμῳ λόγῳ. Less.

109, 4. παρὰ πάντα] πάντα ὅσα ἂν δύνωνται τῇ πόλει. S.

4. τὸ] τοῦ P. Sauppius correxit σχῆμα τῶν ὑπὲρ ἐπιμελείας—. Fortasse scribendum σχῆμα περιποιητικὸν ἐ. καὶ κάλλους. Sic σχῆμα τοῦ κάλλους ποιητικὸν dixit schol. ad p. 96, 4.

IX.

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Γ.

110, 1. πολλῶν, ὦ ἄνδρες] τοπικὴν καταδρομὴν ἔχει Φιλίππου τὸ προοίμιον· σχῆμα τοῦ ἐκ πλαγιασμοῦ τέμνοντος τὸν λόγον. F.Y.P. πρότασις. Ἄλλως. τὸ προοίμιον ἐκ τοῦ κατηγορουμένου. καταδρομὴν γὰρ ἔχει Φιλίππου, καὶ ἔχει καὶ ἐπιτίμησιν. ἔστι δὲ καὶ τόπος εὐνοίας. B.Y. 5

110, 2. ὀλίγου δεῖν] παρὰ μικρὸν καὶ σχεδὸν εἰπεῖν· οὐδὲ γὰρ ἀεὶ περὶ Φιλίππου ἐκκλησιάζουσιν, ἀλλὰ καὶ περὶ ἄλλων πραγμάτων. διὸ ἐκόλασεν αὐτό. R.

110, 5. καὶ πάντων] κατασκευή. B.F.Y.P.

φησάντων] ἀντὶ τοῦ ψηφισαμένων. B.F.Y.P. 10

110, 7. τῆς ὕβρεως] οὐκ εἶπεν ἀδικίας ἢ πλεονεξίας, ἀλλ' ὕβρεως· ὃ παρ' Ἀθηναίοις οὐδὲ τοῖς δούλοις ἀνεκτόν. B.F.Y.P.

110, 9. προειμένα] δηλονότι κακίᾳ προδεδομένα. R.S.

110, 10. εἰ καὶ λέγειν] πρότασις B. δεύτερον προοίμιον ἐκ τοῦ ἐναντίου· τὸ δὲ σχῆμα ὡς ἐν ὑποθέσει. B.F.Y.P. 15

110, 14. πολλὰ οὖν ἴσως] αἰτία τῆς προτάσεως. F.Y.P. κατασκευή. B.F.Y.P.

110, 18. ὧν τινὲς] τῶν προδοτῶν οἱ ἀναισχυντότεροι. F.Y.P.

110, 22. ἕτεροι δὲ] τοὺς κατηγόρους Διοπείθους αἰνίττεται. F.Y.P. 20

111, 2. αἱ δὲ τοιαῦται] συμπέρασμα τοῦ προοιμίου. B.F.Y.P.

111, 4. ἀξιῶ δ' ὑμᾶς] εἰσβολὴ ἐντεῦθεν ἐπὶ τὸ συμφέρον· τὸ δὲ

3. κατηγορουμένου Sauppius. κατηγόρου libri.
4. ἔχει καὶ Y. Aberat καί.
5. εὐνοίας Y. ἐννοίας B.
13. κακίᾳ] κακίας R.S. Solum προδεδομένα est in B.F.Y.P.
15. ὑποθέσει] ἐνταῦθα δὲ πρότασις add. P.
16. κατασκευή] ἡ κατασκευή P.
21. τοῦ προοιμίου om. B.

σχῆμα προδιόρθωσις. F.Y.P. τρίτον προοίμιον, μᾶλλον δὲ εἰσβολὴ τῶν ἀγώνων, καὶ προθεραπεία. B.Y.

ἀξιῶ] ἀντὶ τοῦ ἄξιον νομίζω. Y.

111, 14. ἐξεληλάκατε] τὴν παρρησίαν.

111, 18. εἰ μὲν οὖν καὶ νῦν] ἐντεῦθεν τὸ συμπέρασμα. ἄλλοι δὲ εἰσβολὴν τῶν ἀγώνων ἀπὸ τοῦ εἰ μὲν οὖν. B.F.Y.P.

112, 5. εἰ μὲν οὖν ἅπαντες] εἰσβολὴ τῶν ἀγώνων. ἀρχὴ δὲ τοῦ συμφέροντος. B.F.Y.P.

112, 9. ἀτόπως] πονηρῶς καὶ κακῶς τὴν γνώμην. B.F.Y.P.

112, 10. ἔνιοι] τῶν ἀκροατῶν. P.

112, 29. εἰ δέ τις ταύτην] ἀντιπίπτον λύει. ἀπαρίθμησις τὸ σχῆμα. F.Y.P.

114, 25. προρρήσεως] ἐκ προαγορεύσεως φανερᾶς. F.Y.P.

115, 4. σκευωρούμενον] κατὰ μικρὸν ὑφαντοποιούμενον. S.

115, 7. εἰ μὴ] τὸ κατὰ συστροφὴν σχῆμα. F.Y.P. ἐκ παρονομασίας· δριμεῖα λέξις. B.F.Y.P.

115, 9. ὁ γὰρ οἷς] περίοδος κατ' εὐθεῖαν. B.F.Y.P.

115, 12. τίσιν οὖν ὑμεῖς] ἀντὶ τοῦ διὰ τίνων· εἰ μὴ διὰ τούτων φησὶ τῶν ἀναγκαίων ἡγεῖσθαι κινδυνεύειν. Y.

115, 16. εἶτα τὸν] δριμεῖα λέξις. B.F.Y.

115, 19. ἀλλ' ἀφ' ἧς ἡμέρας] ἀνέμνησεν αὐτοὺς λυπηροῦ διηγήματος. F.Y.P.

116, 6. τετυφῶσθαι] μεμηνέναι· ἀπὸ Τυφωέως τοῦ ἀντάραντος πόλεμον πρὸς τοὺς θεούς· μανίας γὰρ τοῦτο σημεῖον· ὅθεν καὶ τετυφωμένον ἄνθρωπον καλοῦμεν τὸν ἀλαζόνα καὶ μεῖζον ἢ προσῆκε φρονοῦντα. τινὲς δὲ τὸ τετυφῶσθαι ἀπὸ τοῦ τύφειν, ὅ ἐστι σκοτοῦσθαι τοὺς ὀφθαλμοὺς ἀπὸ καπνοῦ· σκοτοῦται δὲ καὶ ὁ ἀνούστατος τὴν διάνοιαν. F.Y.P. ἐξηχεῖσθαι καὶ μαίνεσθαι. S.

116, 29. μᾶλλον δὲ] καλῶς προσέθηκε τὴν ἐπιδιόρθωσιν· οὐδὲ γὰρ οἱ νῦν Ἀθηναῖοι ἐποίησαν ἃ ἐπιφέρει. F.Y.P.

117, 16. ἐπιπολάζει] ἀντὶ τοῦ πλεονάζει τοῖς ἀδικήμασιν. ἀπὸ

1. τρίτον (litera Γ expressum in Y.) om. B.

6. ἀπὸ τοῦ (codex τὸ) εἰ μὲν οὖν Y. φασίν F.P. Verba ἄλλοι δὲ—φασίν (vel ἀπὸ τοῦ εἰ μὲν οὖν) om. B.

7. ἀρχὴ δὲ τ. σ. om. B.

23. τυφωέως Y. τυφῶνος ceteri.

29. προσέθηκε τὴν ἐπιδιόρθωσιν] ἡ ἐπιδιόρθωσις Y.

μεταφορᾶς τοῦ πλεονάζοντος ὕδατος, ὅταν ὑπεραίρηται καὶ ὑπερεκχῆται πλέον τοῦ μέτρου. Y.P.

117, 18. τούτων] ὧν ὁ Φίλιππος ποιεῖ. P.

117, 21. ἐῶ] παράλειψις μηδὲν ἧττον λέγουσα. Less.

117, 25. τὰς πόλεις] ὧν ἦρχέ ποτε Ἀχιλλεὺς καὶ Φιλοκτήτης, Πρωτεσίλαος, Ποδαλείριος. F.Y.P.

118, 3. καὶ οὐ γράφει μὲν ταῦτα] ὅρα τὴν τῶν σχημάτων ποικιλίαν. B.P.

118, 5. τὸ σχῆμα ἐπιτροχασμός. R.S.

118, 11. διορωρύγμεθα] κατεσκάμμεθα, λεληστεύμεθα. S.

118, 23. ἀλλ' οὖν] ἤγουν ὅμως. P.

119, 3. Ἡράκλεις] ἐπίφθεγμα θαυμαστικόν· τὸ δὲ Ἥρακλες κλητικῆς πτώσεως. R.

119, 10. καίτοι τί τῆς] πνεῦμα. B.

119, 21. εἰς Πορθμὸν] Πορθμὸς ἐπίνειον τῆς Ἐρετρίας· ὁμωνύμως δὲ ἐκλήθη τῷ πελάγει τῷ μεταξὺ αὐτοῦ καὶ Ἀθηνῶν. F.Y.P.

120, 1. Ναύπακτον] Ναύπακτος ἐκλήθη ἀπὸ τοῦ τοὺς Ἡρακλείδας μέλλοντας κατελθεῖν ἐπὶ τὴν Πελοπόννησον ἐκεῖ πήξασθαι καὶ κατασκευάσαι τὰς ναῦς. Ἐχῖνος δὲ πόλις, Θηβαίων μὲν ἄποικος, πλησίον δὲ Θετταλίας, ἀπὸ Ἐχίνου ἑνὸς τῶν Σπαρτῶν. F.Y.P.

120, 18. λελύμανται] τοῦτο καὶ τὰ Ῥωμαίων ἐλυμήνατο πράγματα· καὶ εἰ μὴ παύσεται, οἴχοιτ' ἂν πάντη καὶ διαφθαρείη, μᾶλλον δ' ἤδη διέφθαρται. H.R.S.

121, 5. ἐκπέπραται] ὥσπερ νῦν πρίαται ὁ Φίλιππος παρὰ τῶν λεγόντων καὶ τῶν στρατηγούντων. Less.

ἐπίτασιν τὴν ἐκ πρόθεσιν ἔχει, ἀντὶ τοῦ σφόδρα καὶ πάνυ πέπραται. H.R.

121, 8. ζῆλος] ἀντὶ τοῦ μακαρίζεται, φησίν, ὁ προδότης. ἐπὶ γὰρ τοῦ φθόνου ζηλοτυπία λέγεται. H.R.

γέλως] ἀντὶ τοῦ γελᾶται ὡσπερεὶ μωρὸς, ἂν ὁμολογήσῃ ὅτι ἔλαβέ τι παρὰ τῶν πολεμίων. H.R.

1. ὑπερεκχῆται] Sic ἐκχῆται apud Galen. vol. 10. p. 526. ed. Chart.

7. ποικιλίαν] Sequitur in B. (ad p. 119, 2.) glossa ex Suida sumpta ὑποβολιμαῖοι οἱ ὑποβαλλόμενοι καὶ εἰσποιητοὶ ἐπὶ τῶν χαμαιρριφῶν παιδίων, ἅπερ ἑαυτῶν ἀποβάλλουσιν αἱ γυναῖκες.

19. δὲ om. P.

21. τοῦτο] ταῦτα R.

καὶ om. R.H.

26. πέπραται] πέπρακται H.R.

121, 9. ἄν τις τούτοις ἐπιτιμᾷ] μισεῖται παρ' ἡμῖν ὁ ἐπιτιμῶν τῷ προδότῃ ὡς κωλύων τὸν γέλωτα. H.R.

121, 28. ἄτιμος] ἄτιμον ἐνταῦθα λέγει οὐ τὸν μὴ μετέχοντα τιμῆς, ἀλλὰ τὸν ἀτιμώρητον, ἵνα, ἐάν τις αὐτὸν φονεύσῃ, μηδεμία τιμωρία γένηται ὑπὲρ αὐτοῦ τελευτήσαντος κατὰ τοῦ φονεύσαντος αὐτόν. H.R.Y. Less.

122, 6. τί τὸ ἀξίωμα] ἀντὶ τοῦ διὰ τί ταῦτα ἠξίουν ποιεῖν. H.R.

122, 15. ὑπὲρ ὧν ἂν] ὑπὲρ τίνων πραγμάτων δικάζεσθαι παρέχονται φόνου δίκας ἐὰν φονεύσῃ. ἔστι γάρ τινα πράγματα ἔνθα ὁ ποιήσας οὐ τιμωρεῖται. Less.

122, 16. εὐαγὲς] εὐσεβές· ἅγος γὰρ ἐκ τοῦ ἐναντίου τὸ ἀκάθαρτον. Less.

ἄτιμος] ἀτιμώρητος. Y.P.

122, 23. δωροδοκοῦντας] ἐπὶ τῶν δεχομένων δῶρα λέγεται ἡ λέξις, οὐκέτι μέντοι καὶ ἐπὶ τῶν παρεχόντων· ἔστι γὰρ δωροδόκος οἱονεὶ δωροδόχος τις ὤν. H.Q.A.H.

στηλίτας] στηλίτας ἐποίουν τοὺς δωροδοκοῦντας, ἀντὶ τοῦ ἐνέγραφον αὐτοὺς ἐν ταῖς στήλαις. A.Y. Less. τοῦτο δέ ἐστιν· ἐποίουν δημοσίας αὐτῶν τὰς τιμωρίας διὰ τῶν γραμμάτων ὧν ἔγραφον ἐν ταῖς στήλαις. A.

123, 16. τὴν ὡραίαν αὐτὴν] κατὰ τὸν καιρὸν τοῦ θέρους. B.

123, 20. ἀρχαίως] οὐ παλαιῶς, ἀλλ' ἀφελῶς καὶ χωρὶς πανουργίας. Y.P.

πολιτικῶς] δικαίως, μὴ χρήμασιν ὠνούμενοι τὰ πράγματα. F.Y.P.

124, 8. ἐκτραχηλισθῆναι] ἐκ τραχήλων ἐκπεσεῖν, τῶν ἐλπίδων ἐκπεσεῖν. B.F.Y.

124, 28. ἐκ πλείστου] πόρρωθεν. P.

ὧν] τῶν προδοτῶν. Y.P.

4. τὸν ἀτιμώρητον] ὁ ἀτιμώρητος Less., omissis verbis præcedentibus ἄτιμον—ἀλλά. Scholion totum Y. habet a m. recentiore.

9. δικάζεσθαι Sauppius. φόνου δικάζεσθαι Less.

11. οὐ Sauppius. φόνου Less.

16. οὐκέτι H. οὐκ ἔστι A.

27. ἐκ] Præcedit in B. τὸ τοὺς τραχήλους συγκλασθῆναι, quod ex Suida illatum

125, 18. ἀπαλλαγέντος] ἀπελαθέντος. P.

126, 24. οὕτω δ' ἀθλίως διέκειντο] τῷ φόβῳ. σημείωσαι δὲ ὑπόστασιν. P. σημείωσαι, ὑπόστασις. B.

126, 26. διασκευασάμενοι] τὴν σκευὴν ἀναλαβόντες. F.Y.P.

126, 29. οἱ μὲν] μερισμὸς καὶ ὑπομερισμὸς τὸ σχῆμα. F.Y.P. 5

127, 1. ἄρχουσι καὶ τυραννοῦσι—Εὐφραῖον] ἀντὶ τοῦ τῶν τότε σωζόντων ἑαυτοὺς καὶ τὸν Εὐφραῖον. Y.

127, 14. οἱ δ' οὐδὲν] οἱ μὴ πρὸς χάριν λέγοντες. F.P.

127, 18. οἱ δ' ἐξ] οἷς προσῆσαν ἀπέχθειαι. F.P.

127, 28. τεθνάναι γὰρ] κατὰ κῶλον ἐπαναφορά. B.F.Y. 10

128, 4. καλὴν] κατ' εἰρωνείαν. F.Y.P.

129, 20. ἐπισχεῖν] βραδύνειν. F.P.

4. ἀναλαβόντες Y. ἀναβαλόντες F.P.

X.

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Δ.

131, 1. ΚΑΙ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει] ἠγνοήκασιν οἱ πρὸ ἡμῶν ἐξηγησάμενοι καὶ διελόντες τὸν δέκατον λόγον ὅτι πρός τινα ἐξαίφνης ἀπαγγελίαν ἤκουσαν ἐκ τῆς Θρᾴκης δυσχερῆ ποιεῖται ὁ Δημοσθένης τὸν λόγον· ὅθεν αὐτῷ καὶ πρὸς σπουδὴν, διὰ τὴν χρείαν τὴν παροῦσαν, τότε ἐκπεφώνηται ὁ λόγος. καὶ τοῦτο αἴτιον γέγονε τοῦ μὴ σκεψάμενον ἴδιον σκέμμα ἐπὶ τῇ ὑποθέσει ταύτῃ, τότε παρελθεῖν τῶν καιρῶν μὴ ἐνδιδόντων αὐτῷ. δῆλος γάρ ἐστι Φίλιππος ἐπαμύνων Καρδιανοῖς, Διοπείθους αὐτοῖς ἐπιόντος. δι' ὃ τῶν μεταξὺ τόπων μέμνηται ὡς ἀμφισβητουμένων ἐν τῷ ἑβδόμῳ. εἴρηκε δὲ ἐν τῷ ὀγδόῳ. ἀλλ' εἰ δεῖ τεκμαίρεσθαι ἐκ τῆς ἐπιστολῆς ἧς ἔπεμψε πρὸς ὑμᾶς, ἀμυνεῖσθαί φησι τοὺς ἐν Χερρονήσῳ. κοινότητος δὲ οὔσης πολλῆς ἐν τοῖς πράγμασι, τῷ πρὸς Φίλιππον γίγνεσθαι τὸν λόγον ἀδικοῦντα καὶ παραβεβηκότα τὴν εἰρήνην, ἐξ ἑτοίμου μὲν τὰ πολλὰ ἐκ τῶν ἤδη εἰρημένων λόγων λαμβάνει, ὅμως δὲ τοῖς παροῦσιν ὡς οἰκειότατα αὐτὰ ἐφαρμόζει. πόθεν δέ ἐστι Φίλιππος καταφανὴς Καρδιανοῖς ἐπαμύνων, καὶ τἆλλα περὶ τὴν Θρᾴκην λυμαινόμενος ἅπαντα λυπεῖ

3. ἀπαγγελίαν Wolfius. ἐπαγγελίαν libri.

6. τοῦ μὴ—παρελθεῖν Wolfius. τὸ μὴ σκ. ἴδιον σκ. ἐπὶ τῇ ὑποθέσει τοῦ τε παρελθεῖν ταύτῃ libri.

9. δι' ὃ—ἀμφισβητουμένων] διὰ τὸν μεταξὺ τόπον μέμνηται ὡς ἀμφισβητούμενος libri. "Fortassis: διὸ τῶν "μεταξὺ τόπων μέμνηται ὡς ἀμφισβη-"τουμένων, etsi ne sic quidem quid "sibi velit intelligo: nisi quod in "Chersonesitana ὑποθετικῶς loqui-"tur: Si opem feret: hic, κατ-"ηγορικῶς, Eum opem tulisse." WOLF.

13. τῷ πρὸς Wolfius. τὸ πρὸς libri.

17. ἐπαμύνων T. βεβοηθηκέναι (sic) C. βεβοηθηκέναι V.

τἆλλα περὶ (κατὰ Wolfius) τὴν Θ. λυμαινόμενος (vel λυμηνάμενος) Wolfius. πολλὰ περὶ τὴν Θ. ἀμυνόμενος libri.

λυπεῖ Wolfius. λυπεῖν libri.

τὸν δῆμον; ἐξ ὧν ὁ ῥήτωρ φησίν· εὐθὺς γὰρ ἐν τῇ ἀρχῇ τοῦτο ἐπισημαίνεται λέγων, "ἣν προσαγγελθῇ τι νεώτερον." καὶ "ἡ μὲν οὖν "ἀσέλγεια καὶ ἡ πλεονεξία τοσαύτη τὸ πλῆθος ἐστὶν, ὅσην ἀκούετε." καὶ μεσοῦντος ἤδη πάλιν τοῦ λόγου προστίθησι, "πρὶν ἂν, ὥσπερ "νῦν, αὐτὰ παρῇ τὰ πράγματα." καὶ ταῦτα μέν ἐστιν ἅπαντα δηλωτικὰ τοῦ ἀπηγγέλθαι τι· τοῦ δὲ ὅτι βοηθεῖ Καρδιανοῖς, ἐβοήθει. ταῦτα γὰρ ἅπαντα δηλωτικὰ σαφῶς τῆς ὑποθέσεως. φασὶ δὲ οἱ αὐτοὶ, Ἀλέξανδρος καὶ Διόσκορος καὶ Ζήνων ὁ πολυθρύλητος, τὸ συμφέρον κεφάλαιον μόνον ἐξειργάσθαι κατὰ τὸν λόγον. δοκοῦσι δὲ σφόδρα ἠγνοηκέναι τῶν κεφαλαίων τὴν φύσιν. ἔχει γὰρ καὶ τὸ δυνατὸν ὁ λόγος, καὶ τοῦτο διπλοῦν· ἔχει δὲ καὶ τὸ νόμιμον καὶ τὸ δίκαιον, ὡς αὐτή γε ἡ διαίρεσις καὶ τάξις ῥηθεῖσα δείξει. σκοπὸς δὲ Δημοσθένει συγκροτῆσαι καὶ αὐξῆσαι τὴν Διοπείθους δύναμιν, τοῦ καιροῦ πλείστην παρρησίαν ἐνδιδόντος, μετὰ μέντοι γε τοῦ φυλάττεσθαι τὸ προσκορὲς, ἵνα μὴ δοκῇ χάριτι λέγειν. σκοπὸς δὲ καὶ παροξῦναι τὸν δῆμον· δέδοικε γὰρ μὴ τρέψωνται ἐπὶ διαλλαγὰς καὶ πρεσβείας περὶ τούτου· τυχεῖν δὲ προῄρηται τοῦ γράψαι αὐτοὺς περὶ τοῦ πολέμου ψήφισμα· σκοπὸς δὲ καὶ πεῖσαι τοὺς ἀκούοντας πρεσβεύσασθαι πρὸς τὸν Μῆδον περὶ χρημάτων καὶ προσλαβέσθαι τὴν βασιλέως εὔνοιαν. καὶ πρὸς μὲν οὖν τὰ κατὰ τὸν Διοπείθην, ὥστε συμμάχεσθαι τοῦ στρατηγοῦ τὴν δύναμιν, καὶ πρὸς τὸ μὴ δεῖν αὐτὸν Δημοσθένην ἀναγκασθῆναι γράψαι περὶ πολέμου ψήφισμα, ἀντέθηκεν ἀγωνιστικώτατα τὴν παράβασιν τῆς εἰρήνης καὶ τοὺς ὅρκους συγκεχυμένους. ὧν ἀποδειχθέντων καιρὸν εἵληφε πεῖσαί τε καὶ καταναγκάσαι τοὺς ἀκούοντας συνέχειν καὶ αὔξειν τὴν Διοπείθους δύναμιν καὶ τὸ καθ' ἑαυτὸν περιττὸν ἀπέφηνεν ὄν. εἰ γὰρ φανερὸς ὁ Φίλιππος

2. ἣν] ἢ libri. Correctum ex Demosthene p. 131, 9.
4. προστίθησι] p. 139, 2.
6. ἀπηγγέλθαι T.C. ἐπηγγέλθαι V.
ὅτι βοηθεῖ Καρδιανοῖς, ἐβοήθει] Verbo βοηθεῖν probare studet opem tulisse Cardianis Philippum. WOLF.
8. διόσκορος T.C.P. διόκορος V.
Ζήνων Wolfius. ζήλων libri.
10. φύσιν Wolfius. λύσιν libri.
12. τάξις T.C. τάξις ἡ V.
17. τυχεῖν δὲ προῄρηται τοῦ Wolfius. τυχεῖν δὲ ὡς εἴρηται τὸ C.V. τυχεῖν δὲ ὡς οἴονται τὸ T.D.
21. συμμάχεσθαι] συμμένειν Wolfius.
23. τὴν π. τῆς εἰρήνης T.C. τὴν εἰρήνης π. V.
24. καιρὸν—τοὺς Wolfius. καιρὸν εἰληφέναι καταναγκάσαι τε τοὺς libri. Wolfii emendationem confirmat quod inferius legitur συμπείσῃ καὶ καταναγκάσῃ τὸν ἀκροατήν.
26. ὄν Wolfius. ἐν αὐτῷ libri.

παραβεβηκὼς τὴν εἰρήνην, πῶς δίκαιός ἐστιν αὐτὸς ἀναγκασθῆναι γράψαι περὶ πολέμου ψήφισμα; πλὴν εἰ μὴ βούλοιντο πρόφασιν ζητεῖν συκοφαντίας πρὸς αὐτὸν οἱ ταῦτα λέγοντες. καὶ τὰ μὲν δύο τοῦτον διῳκήσατο τὸν τρόπον· περὶ δὲ τῆς πρεσβείας (χρήματα γὰρ αὐτοῖς τέως παρ' ἐκείνου συμπορίσασθαι βούλεται) τὴν ἔνδειαν συν- 5 ίστησι τὴν ὑπάρχουσαν τῇ πόλει. χρῆναι γὰρ τὰ νῦν ὄντα χρήματα διαδίδοσθαι τῷ δήμῳ καὶ καταναλίσκεσθαι, ὡς ἔθος, εἰς τὰς θεωρίας, καὶ μὴ ἀφαιρεῖσθαι τὰ ἐκ τοῦ δημοσίου διδόμενα· μηδὲ μὴν παρὰ τῶν πλουσίων γίγνεσθαι τοὺς πόρους συκοφαντουμένων τε καὶ δημευομένων ἀδίκως. ὧν ῥηθέντων τοῖς ἀκούουσι πρὸς ἡδονὴν (οὐδενὸς γὰρ 10 οὕτω μετεποιοῦντο ὡς τοῦ νέμεσθαι τὰ κοινὰ) καιρὸν εἴληφε συμβουλεῦσαι αὐτοῖς αἰτεῖν παρὰ βασιλέως χρήματα, ὡς ἀλλαχόθεν μὴ ὑπαρχούσης εὐπορίας τῇ πόλει. ἡ μὲν οὖν σύμπασα διοίκησις καὶ ἔννοια καὶ σκοπὸς οὗτός ἐστι τῷ ῥήτορι. ὅντινα τῶν πρὸ ἡμῶν οὐδε- νὸς εἴδότος, ὅσον ἐμέ γε εἰδέναι, ᾠήθησαν ἐμπεπτωκέναι τὸ περὶ τῶν 15 θεωρικῶν ζήτημα τῆς παρούσης ὑποθέσεως ἀλλότριον. τὸ δὲ οὐχ οὕτως ἔχον πέφηνεν οὐδὲ φανήσεταί ποτε. καλὸν δὲ ἀναλαβόντας εἰπεῖν τὴν τάξιν καὶ τὴν διαίρεσιν ᾗ κέχρηται ὁ ῥήτωρ, ἵνα τὴν διοίκησιν αὐτοῦ καὶ τὴν οἰκονομίαν θαυμάσωμεν. ἄξιον δὲ καὶ πρὸ τῆς διαιρέσεως καὶ τὴν ἐξαγγελίαν θαυμάσαι ᾗ κέχρηται. καὶ γάρ ἐστι 20 πῇ μὲν λαμπρά, πῇ δὲ παθητικὴ, πῇ δὲ ἠθικῶς προῆκται. καὶ τὸ μὲν πραγματικὸν ἐπιδέδεικται πολλαχοῦ· συνάπτει δὲ τὰς ἰδέας ταύτας πολλάκις ἀλλήλαις, ἅτε τῆς χρείας καταναγκαζούσης αὐτὸν καὶ προσαγούσης ἐπὶ πολλὰ τὴν ῥῆσιν. ἔχει δὲ οὕτως αὐτῷ τὰ τῆς ῥήσεως καὶ τάξεως. τὸ παράνομον εὐθὺς ἐν τῷ προοιμίῳ κατὰ πρό- 25 ληψιν ἐμφανίζει λέγων· "οὐκ ὀλίγων δὲ ὄντων ἁμαρτημάτων, οὐδὲ "ἐκ μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν φαύλως ταῦτ' ἔχει." ἐλέ-

8. δημοσίου Wolfius. πολέμου libri.

12. ὡς ἀλλαχόθεν μὴ T.P. ὡς οὐκ ἀλλαχόθεν C.V.

15. ὅσον ἐμέ γε εἰδέναι Wolfius. ὡς ἐμέ γε εἰπεῖν libri.

16. ἀλλότριον Wolfius. ἄλλο τρίτον libri.

17. ἔχον T.C. ἔχειν V.
πέφηνεν] πέφυκεν C.
οὐδὲ C. οὔτε T.V.

19. πρὸ τῆς om. C.

20. ἐξαγγελίαν] ἀπαγγελίαν Wolfius.
θαυμάσαι] προθαυμάσαι C.

22. ἐπιδέδεικται] ἀποδέδεικται C.

24. προσαγούσης] προαγαγούσης C.
ῥῆσιν] χρῆσιν V.
οὕτως αὐτῷ τὰ τῆς ῥήσεως (sic Wolfius: χρήσεως C.V.) καὶ τάξεως] οὕτω τὰ τῆς τάξεως T.

27. ἐλέγομεν] λέγομεν V.

γομεν γὰρ δεῖν ἐκ τῶν κεφαλαίων τὰ προοίμια λαμβάνειν. καὶ μέγεθος δὲ περιτίθησι τῇ ὑποθέσει ἀναγκαίως, ἵνα μᾶλλον συμπείσῃ καὶ καταναγκάσῃ τὸν ἀκροατὴν προσδέξασθαι τὴν παραίνεσιν. οὐ γὰρ ἂν ἄλλως πεισθείη κατακοῦσαι τῆς γνώμης, μὴ διατεθεὶς ὅτι μεγάλη ἐστὶν ἡ ὑπόθεσις καὶ σπουδῆς ἀξία περὶ ἧς ὁ λόγος. τὸ δὲ 5 σπουδαῖα ῥηθὲν τό τε δεῖν θᾶττον ἐπαμύνειν καὶ σπουδῆς μεγάλης ἀξιοῦν, ἅτε τῆς οἰκείας χώρας αὐτῶν πολεμουμένης, σημαίνει. καὶ τὸ ἀναγκαῖα δὲ, ὅτι οὐ ῥᾳθυμητέον, ὡς ἔθος. οὐ γὰρ περὶ ἀλλοτρίων, ἀλλὰ περὶ οἰκείων ἡμῖν ὁ φόβος καὶ ὅθεν οὐκ ὀλίγαι οὐδὲ μικραὶ πρόσοδοι τῇ πόλει. καὶ δοκοῦσα ἡ ἐπιβολὴ κοινῶς ἔχειν ἰδιωτάτη 10 πέφηνε. καὶ ταῦτα μὲν περὶ τοῦ προτέρου. διὰ δὲ τῆς ἐπιβολῆς τοῦ δευτέρου τὸ αὐτὸ νόμιμον παραβεβασμένον ὁμοίως καὶ φανερώτερον ἐνδείκνυται λέγων· "ἡ μὲν οὖν ἀσέλγεια καὶ πλεονεξία, ᾗ πρὸς "ἅπαντας ἀνθρώπους Φίλιππος χρῆται," καθέστηκε φανερὰ καὶ πρόδηλος, ὡς καὶ ὑμεῖς ἀκούετε· καὶ ὅτι οὐ δεῖ θαρρεῖν καὶ ἐπανα- 15 παυέσθαι τοῖς τῶν ῥητόρων λόγοις, ὡς δυναμένοις παῦσαι. T.C.V.

καὶ σπουδαῖα] τοῦ ὄντος τμητικοῦ λόγου καὶ δοκοῦντος εἶναι τοῦτο τὸ σχῆμα. F.Y.P.

131, 3. περὶ αὐτῶν] τῶν προσαγγελθέντων. Less.

131, 11. ἡ μὲν οὖν ἀσέλγεια] δεύτερον προοίμιον. F.Y.P. 20

131, 15. καὶ γὰρ εἰ μηδ'] κατασκευή. P.

καὶ γὰρ εἰ μηδ' ἀφ' ἑνός] ἄχρι μὲν οὖν τούτου προελήλυθεν ἡ ἔννοια τοῦ δευτέρου προοιμίου. δοκεῖ δέ μοι βαθύτατα καὶ δεινότατα προαναιρεῖν ὑπόνοιαν ἤδη τοῦ μὴ αὐτοὺς ὑπονοῆσαι ὅτι οἷόν τέ ἐστι διὰ πρεσβείας καταπαῦσαι τὰ τοιαῦτα διαπραττόμενον. ὅθεν καὶ 25 ἐδεήθη τῆς τοιαύτης ἐννοίας, ὅτι οὐ λόγων ἀλλὰ ἔργων δεῖ. καὶ πεποίηκεν ἡμῖν τὴν ὑπόνοιαν ταύτην ἔτι φανερωτέραν δι' ὧν μετὰ τὰ προοίμια εἴργασται· ἅπερ ὁμοίως οὐδένες τῶν πρὸ ἡμῶν κατιδεῖν ἠδυνήθησαν. πῶς οὖν ἄρχεται εὐθὺς μετὰ τὸ προοίμιον τὸ δεύτερον,

3. προσδέξασθαι T. προσδέξεσθαι V. εἰσδέξασθαι C.
7. σημαίνει T.C. σημαίνειν V.
10. ἐπιβολὴ P. ἐπιβουλὴ libri.
11. διὰ T.C. περὶ V.
ἐπιβολῆς T.C. ἐπιβουλῆς V.
17. τοῦτο om. F.P.
22. οὖν add. T.C.P., om. V.
24. τοῦ μὴ Wolfius. τοῦ μὴ ὑπάρχοντος libri.
25. διαπραττόμενον T.C.P. πραττόμενον V. Intelligendum autem τὸν Φίλιππον, quod Wolfius addebat post καταπαῦσαι.
28. ἅπερ] ὅπερ Wolfius.

καὶ τίνας ποιεῖται λόγους εἰς τοῦτο συντείνοντας, εἰς τὸ μὴ δεῖν πρεσβείᾳ χρήσασθαι, μηδὲ θαρρεῖν ὅτι ῥήτορος λόγος δύναται πεῖσαι Φίλιππον περὶ τῆς παύσεως τῶν ἀδικημάτων, ἄξιον κατιδεῖν. T. C.V.

131, 17. ἡμεῖς οὐδαμῶς πώποτε, ὅπου περὶ τῶν δικαίων εἰπεῖν, 5 ἐδέησεν ἡττήθημεν, οὐδὲ ἀδικεῖν ἐδόξαμεν] ἐπειδὴ γὰρ ἡ ἀγγελία γέγονεν ὅτι Φίλιππος ἀδικεῖ καὶ ἐπαμύνει Καρδιανοῖς, εἰκότως ὑπενόησεν ὅτι ἐνδέχεται αὐτοὺς ὄντας φύσει ῥᾳθύμους ἐπί τινα πρεσβείαν τρέψασθαι. ταύτην τοίνυν τὴν ὑπόνοιαν ἀναιρεῖ τῷ ἀδυνάτῳ κεφαλαίῳ, συνιστὰς ἀδύνατον ἐκ λόγων ἐπισχεῖν τὴν πλεονεξίαν 10 Φιλίππου. καὶ τούτου τὰ δύο μέρη ἐξείργασται κατὰ ἀντεξέτασιν, οἷον, τί μὲν δύνανται λόγοι, τί δὲ ἔργα ἰσχύει; καὶ ὅτι Ἀθηναῖοι μὲν χρώμενοι λόγοις οὐδὲν ἑαυτοὺς ὠφέλησαν οὐδὲ ἐκείνους ὑπὲρ ὧν τοὺς λόγους λέγουσιν, οἱ προδόται δὲ οἱ τὰ ἐκείνου διοικοῦντες, τῇ δυνάμει τοῦ Φιλίππου χρώμενοι, κατορθοῦσι μόνοι καὶ δύνανται 15 ἅπαντα. οὕτω μὲν οὖν τὸ πρῶτον μέρος τοῦ λόγου προελήλυθεν ἔχον τὸ ἀδύνατον κατὰ ἀντεξέτασιν· ἐν ᾧ ἀποδείκνυσιν ἀδυνάτως ἔχοντας τοὺς λόγους ταῦτα κατορθοῦν, ἃ κατορθοῦσθαι τοῖς ἔργοις πέφυκε. διῴκηται μὲν οὖν διὰ τούτου τοῦ μέρους τρία· ἓν μέν, ὃ καὶ μέγιστόν ἐστι, τὸ μὴ δεῖν ἐννοεῖν πρεσβείαν, δύο δὲ ἐπὶ τούτῳ πάλιν· ἓν 20 μέν, ὅτι οὐ δεῖ αὐτὸν καταναγκασθῆναι γράψαι, ἕτερον δέ, προκατασκευῆς δύναμιν ἔχον, ὅτι ἐὰν αὐτοὶ μὴ θέλωσι πράττειν, ἐπὶ τίσιν ἀκούουσι; μεθ' ὃ δὴ καὶ τὸ συμφέρον ἐξείργασται ἀπὸ ταύτης τῆς λέξεως "εἶτ' οἶμαι (δεῖ γὰρ ὡς ἐγὼ κρίνω τἀληθῆ λέγειν) οὕτω διαβεβλήμεθα." ἐντεῦθεν γὰρ τὴν ἔκβασιν ἐξετάζει, τί ἀποβέβηκεν 25 Ἀθηναίοις ἀεὶ θαρροῦσι τοῖς λόγοις. εἶτα εὐλαβούμενος μὴ καὶ νῦν ὁμοίως ῥᾳθυμήσωσι καὶ τὰ ἀπηγγελμένα ἐν φαύλῳ ποιήσωσιν, ὑπο-

1. τοῦτο] αὐτὸ T. τοῦτο αὐτὸ C. μὴ δεῖν] μηδεὶς T.C.
7. γέγονεν ὅτι C. ut Wolfius. γέγονε τὸ ὅτι T.V.
8. ὑπενόησεν] ἐπενόησεν T. ἐπενόησεν C.V.
9. τρέψασθαι] πέμψασθαι C.
11. τούτου τὰ δύο Wolfius. τοῦτο δύο libri.
18. τοῖς ἔργοις addidit Wolfius.
19. διῴκηται] διῴκηκε Wolfius. μὲν om. T.P. τρία addidit Wolfius.
22. τίσιν Wolfius. τοῖς libri.
23. τῆς λέξεως] p. 133, 2.
25. τί ἀποβέβηκεν Wolfius. ἀποβέβληκεν, omisso τί, libri.
27. καὶ τὰ Wolfius. μὴ καὶ τὰ libri.

μιμνήσκει τόπων ἀπολωλότων διὰ ῥᾳθυμίαν καὶ ὑπεροψίαν καὶ ἀμέλειαν, ἃ δὴ φοβούμενος καταριθμεῖται ὅσων καὶ πρότερον ὑπεριδόντες ὅσα ἀπεστέρηνται. καὶ λέγει δὲ ἀπὸ τῆς λέξεως ταύτης ἀρξάμενος· "ὁρᾶτε Σέρριον καὶ Δορίσκον· ταῦτα γὰρ πρῶτον ὠλιγωρήθη "μετὰ τὴν εἰρήνην· ταῦτα ἀπώλεσε Θρᾴκην καὶ Κερσοβλέπτην" καὶ ὅσα ἑξῆς, οὐκοῦν ταῦτα ἀμφότερα ἤδη διῴκηται· τὸ μὴ δεῖν πρεσβείαις χρήσασθαι καὶ δεῖν μιμήσασθαι Φίλιππον ἔργοις μᾶλλον ἢ λόγοις τὰ πράγματα χειρούμενον· καὶ τὸ τρίτον, τὸ μὴ δεῖν ὑπεριδεῖν ὡς μικροῦ τινὸς ὄντος τοῦ νυνὶ συμβεβηκότος καὶ ἀπηγγελμένου, ἐπείπερ εἰώθασιν οὐ μικραῖς ζημίαις οὐδὲ φαύλαις βλάβαις περιπίπτειν ὑπερορῶντες ἑκάστοτε τῶν ἁλισκομένων. εἰς δὲ τὸ αὐτὸ τοῦτο συντείνει τὸ μὴ δεῖν ῥᾳθυμεῖν μηδ' οἴεσθαι διὰ πρεσβείας παύσασθαι τὸν Φίλιππον, καὶ ἄλλο ὅπερ αὐτὸς ἐπισημαίνεται εἰπών· "ἀλλ' ἵνα τοῦθ' ὑμῖν δείξω, ὅτι οὐ στήσεται πάντας ἀνθρώπους "ἀδικῶν, τὰ δ' ὑφ' αὑτὸν ποιούμενος Φίλιππος, εἰ μή τις αὐτὸν "κωλύσει." οἱ μὲν οὖν αὖ τὸ δίκαιον εἶναι κεφάλαιον, οἱ δὲ πρὸς ἔλεγχον εἰλῆφθαι τῆς ῥᾳθυμίας αὐτῶν. δῆλον δ' ὅτι ὀρθῶς εἴρηται τοῦ ἀσυμφόρου εἶναι. τὸ μὲν οὖν πρῶτον μέρος τοῦ λόγου προελήλυθεν ἄχρι τούτου, ἀπὸ μὲν τοῦ δυνατοῦ πᾶν ἐπιχειρηθὲν, κατασκευασθὲν δὲ τῷ συμφέροντι περὶ τοῦ μήτε δεῖν πρεσβείαν πέμπεσθαι μήτε ῥᾳθυμεῖν τῶν ἀπαγγελλομένων, ἔργοις τε προθέσθαι κωλῦσαι μᾶλλον ἢ λόγοις. τοῦτο δὲ τὸ κεφάλαιον ἠγνόησαν ὁμοίως οἱ πρὸ ἡμῶν εἰς τὸν λόγον θεωρίας καὶ διαιρέσεις συγγράψαντες. μετὰ ταῦτα τὸ νόμιμον εἰσήγαγε, τῷ αὐτῷ θεωρήματι χρησάμενος ᾧπερ

1. ὑπεροψίαν Wolfius. ὑποψίαν libri.
4. ὁρᾶτε] p. 133, 15.
6. τὸ μὴ] τὸ μήτε libri.
7. καὶ δεῖν] δεῖν om. T.C.
9. ὡς Wolfius. οὐ libri.
10. οὐ Wolfius. οὐδὲ libri.
13. καὶ om. C.
ἄλλο T.P. ἄλλο τε C.V. ἄλλο τι Wolfius, addens "etiamsi ἄλλο τι "legam, non satis placet."
εἰπών] p. 134, 2.
15. τὰ—κωλύσει om. C.
16. οἱ μὲν—οἱ δὲ] εἰ μὲν—εἰ δὲ T. C. Pro αὐτὸ scripsi αὖ τό.
17. εἰλῆφθαι (addito etiam φασι) Wolfius. εἴληπται libri.
δῆλον δ' ὅτι Wolfius. δηλονότι libri.
18. τὸ μὲν Wolfius. τοῦτο μὲν libri.
19. τούτου] τοῦδε C.
20. πέμπεσθαι T. πέμπειν C.V.
21. ῥᾳθυμεῖν] περὶ addit C. Idem mox ἐπηγγελμένων, et προθέσθαι pro προσθέσθαι, quod est in T.V. προθέσθαι aut προαιρεῖσθαι conjecerat Wolfius.
24. ᾧπερ Wolfius. ὥσπερ libri, quod defendi potest; sed illud probabilius.

καὶ ἐν τῷ ὀγδόῳ· καὶ τοιαύτῃ δὲ ἑρμηνείᾳ καὶ διδασκαλίᾳ χρῆται. T.C.V.

132, 3. δεῖ] ἤγουν ἐλλείπει. P.

132, 8. παρέρχεται] νικᾷ, ἀπὸ μεταφορᾶς τῶν δρομέων. Y.P.

132, 22. πᾶσιν] ἤγουν ἐν πᾶσιν. P. 5

133, 8. τοῦ χάριν] συμπέρασμα τοῦ προοιμίου, καὶ εἰσβολὴ ἐπὶ τὸ συμφέρον. F.Y.P.

133, 22. ἐπετείχισεν] καθ' ὑμῶν εἰργάσατο. Less.

133, 26. Ἀντρῶνας] πόλις Εὐβοίας πληθυντικῶς λεγομένη. Ὅμηρος ἑνικῶς "Ἀγχίαλόν τ' Ἀντρῶνα ἰδὲ Πτελεὸν λεχεποίην." 10 F.Y.P.

134, 5. εἰσὶ δέ τινες οἳ, πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν πραγμάτων λόγους, εὐθὺς εἰώθασιν ἐρωτᾶν τί χρὴ ποιεῖν] ἐντεῦθεν μέν ἐστιν εἰσβολὴ τοῦ νομίμου κατὰ ἀντίθεσιν· σεσόφισται δὲ ἡ ἀντίθεσις αὐτῷ κατὰ παράλειψιν. ἐλλείπει γὰρ τῷ, τί οὖν χρὴ ποιεῖν, τὸ, 15 εἰρήνης οὔσης. ἐσιώπησε δὲ τοῦτο τὸ μέρος ὡς ἰσχυρόν· ἐνεφάνισε δὲ αὐτὸ διὰ τῆς λύσεως. πῶς δὲ ἔλυσε; καὶ πόθεν χρὴ θηρεῦσαι τὴν ἀντίθεσιν; ἐξ ὧν εἶπεν ἐπαγαγών, "πρῶτον μὲν, ὦ Ἀθηναῖοι, τοῦτο "παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ "καὶ τὴν εἰρήνην λέλυκε." ταῦτα γὰρ ἐπήνεγκε, μὴ τοιαύτης οὔσης 20 τῆς ἀντιθέσεως, ὅτι εἰρήνη ἐστὶν, ἀλλ' ἵνα λάβῃ τοὺς ἀκροατὰς συνομολογοῦντας ὅτι παραβέβασται ἡ εἰρήνη· διὰ τοῦτο τῇ ἐρωτήσει σοφιστικωτέρᾳ κέχρηται, ὡς ἂν ἑτοίμων ὄντων τῶν ἀκροατῶν ποιεῖν τὰ δέοντα. καίτοι γε, οὐκ ἄλλο τι δεῖ γνῶναι αὐτοὺς ἢ τὸ παραβεβάσθαι τὴν εἰρήνην, ὅπερ ἐστὶ πρὸς τὸ κεκρυμμένον μέρος 25 τῆς ἀντιθέσεως. τοιοῦτον δέ ἐστιν αὐτῷ θεώρημα καὶ ἐν τῷ ὑπὲρ Διοπείθους λόγῳ. ἤδη δὲ προδιοικεῖται διὰ τοῦ νομίμου κεφαλαίου τὸ δεῖν συνέχειν τὴν Διοπείθους δύναμιν. διὰ τοῦτο γὰρ καὶ

1. δὲ] γὰρ V.

5. Ad p. 133, 1. in B. adscripta est Suidæ glossa μανδραγόρας ὑπνωτικὸς καρπὸς ἢ λήθης ποιητικός. καὶ μανδραγορίζω. et in Less. βοτάνης (βοτάνιον) ὑπνωτικὸν καὶ λήθην ποιητικόν.

8. ὑμῶν Sauppius. ἡμῶν Less.

9. πόλις] πόλις ἦν P.

10. Ὅμηρος] Il. B, 697.

17. πῶς δὲ Wolfius pro πῶς γάρ.

18. πρῶτον] p. 134, 10.

μὲν, ὦ Ἀθηναῖοι T.C.P. εὐθὺς V.

24. δεῖ add. T.C.P. om. V.

25. παραβεβάσθαι] παρασκευᾶσθαι V.

27. τοῦ post νομίμου add. T.P.

προηρώτησεν ἐν σχήματι, τί οὖν χρὴ ποιεῖν; ἵνα ἀποδειχθείσης τῆς εἰρήνης διὰ μέσου παραβεβασμένης, ἐπενέγκῃ πρὸς τὸ, τί χρὴ ποιεῖν; ὅτι δεῖ συνέχειν τὴν Διοπείθους δύναμιν. πρὸς τοῦτο γάρ ἐστιν αὐτοῦ ἡ σύμπασα σπουδή. ἐν δὲ τῷ μεταξὺ καί τινας ὑπονοίας λύει καὶ ἐκ τῆς ἐργασίας ἀνακυπτούσας ὑποφορὰς θεραπεύει. 5 συνίστησι δὲ τὸ νόμιμον πρῶτον μὲν ἐκ δυοῖν· ἐξ ἑνὸς μὲν, ὅτι ἀναγκαίως τὴν ἀντιτεταγμένην ἐλευθερίαν καὶ πολιτείαν τυραννίδι βούλεται καταλῦσαι, εἰδὼς μὴ ἄλλως συστησομένην τὴν βασιλείαν, εἰ μὴ καθαιρεθείη ἡ πολιτεία· ἐξ ἑτέρου δὲ, ὅτι παρ' οὐδέσιν εὑρίσκει τοσούτων ἀγαθῶν ὑπερβολὴν ὅσην παρ' Ἀθηναίοις, ὥστε ἀναγκαίως 10 καὶ διὰ ταῦτα πολεμεῖν τῇ πόλει. ἀμφότερα δὲ τὰ ἐπιχειρήματα τοῦ ἀναγκαίου· τὸ δὲ ἀναγκαῖον ἀπὸ τῆς γνώμης καὶ τοῦ ἀκολούθου. εἶτ' ἐπειδήπερ ἐργαζομένῳ αὐτῷ τὸ ἀναγκαῖον, ἐξ οὗ συμβαίνει μισεῖσθαι τὴν πόλιν ὑπὸ Φιλίππου, καὶ λέγοντι ὅτι καταφεύξονται γὰρ ἐφ' ὑμᾶς οἱ βεβιασμένοι, ἀντέπεσεν ἰδίως πρὸς τοῦτο ἐκ τῆς 15 ἐργασίας ὅτι καὶ τίς ἂν ἕλοιτο δουλείαν ἀντὶ δουλείας ἀλλάξασθαι καὶ μὴ στέργειν τὴν ἅπαξ ὑπάρξασαν; ἔλυσεν εἰπών· "ἐστὲ γὰρ "ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες." οὐ τοῦτο γάρ ἐστιν ἀντίθεσις, ἀλλ' ἀντιπῖπτον ἀπὸ τῆς προτέρας ἐννοίας. εἶτα πάλιν ἐπανέλαβε τὴν αὐτὴν ἔννοιαν καὶ ἀνήγαγεν εἰς 20 ἑτέραν ἀρχὴν εἰπών· "πρῶτον μὲν δὴ τοῦτο δεῖ ἐχθρὸν ὑπειληφέναι "τῆς πολιτείας καὶ τῆς δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον." ἐπεὶ γὰρ ἰσχυρὸς ὁ περὶ τῆς εἰρήνης λόγος, ἀναγκαίως πρὸς αὐτὸν συνεχῶς ἀγωνίζεται, τουτέστιν, οὐ δεῖ κηλεῖσθαι τῷ τῆς εἰρήνης ὀνόματι· φύσει γὰρ εἶναι πολέμιον Φίλιππον. ἀνήγαγε δὲ ἐπὶ ταύτην πάλιν 25 τὴν ἀρχήν· πρῶτον μὲν, ὡς ἔφην, ἵνα γενναίως πρὸς αὐτὴν ἀγωνίσηται· εἶτα, ἐπειδὴ εἶχε καὶ δευτέρᾳ λύσει χρήσασθαι, παρεχούσῃ

1. ἀποδειχθείσης τῆς εἰρήνης διὰ T.P. ἀποδειχθῇ εἰρήνης οὔσης διὰ C.V. "τὸ "διὰ μέσου accipio ἀντὶ τοῦ μεταξὺ, "τουτέστι, μετὰ τὰς σπονδὰς καὶ συν-"θήκας." WOLF.
5. θεραπεύει Wolfius pro θαυμάζει.
6. δυοῖν] δυεῖν T.
11. τῇ πόλει] τὴν πόλιν C.
17. εἰπών] p. 135, 4.
20. αὐτὴν om. V.
21. πρῶτον] p. 135, 11.
δὴ τοῦτο δεῖ T. δεῖ C. δὴ δεῖ V.
22. ἐκεῖνον] τε ἐκεῖνον T.V. τε ἐκεῖνον om. C.
23. αὐτὸν] αὐτὸ T.C.
24. οὐ] ὅτι οὐ Wolfius.
κηλεῖσθαι T.C.P. καλεῖσθαι V.
25. ταύτην] ταῦτα V.
27. παρεχούσῃ] παρασχούσῃ V.

ἀντεξέτασιν τῶν ὑπαρχόντων Ἀθηναίοις ἀγαθῶν καὶ τῶν ἐπὶ Θρᾴκης φαύλων καὶ μικρῶν καὶ γλίσχρων, πάλιν ἐκαινοποίησε τὴν ἀντίθεσιν· μιᾷ μὲν, ὅτι ἀναγκαίως πολεμεῖ τῇ δημοκρατίᾳ καὶ πολιτείᾳ ἀντικειμένῃ τῇ τυραννίδι. ταύτῃ δὲ τῇ λύσει ἐχρήσατο πρὸς τὴν ἑτέραν θέσιν τῆς ἀντιθέσεως. τῇ δὲ δευτέρᾳ λύσει τῇ περιεχούσῃ τὴν ἀν- 5 τεξέτασιν νῦν μέλλει κεχρῆσθαι πρὸς τὴν δευτέραν ἀντίθεσιν. ἐκ τούτου τοίνυν τοῦ νομίμου κεφαλαίου λελυμένου μᾶλλον τῷ δικαίῳ, ἀντέπεσεν ἀναγκαίως ἀντίθεσις πάλιν ἀπὸ τοῦ νομίμου· οὐκοῦν εἰ πέπεισαι παραβεβάσθαι τὴν εἰρήνην, Δημόσθενες, γράψον περὶ πολέμου ψήφισμα· ταύτην ἔλυσεν ἐνστάσει, ἥτις ἔνστασίς ἐστιν 10 ἀπὸ τοῦ δικαίου· οὐ γὰρ δίκαιόν φησιν ἀδικεῖσθαι ὑφ' ἡμῶν τὸν προῃρημένον ὑμῖν τὰ βέλτιστα συμβουλεύειν· εἶτα ἐκ παραδείγματος ἑτέραν πορίζεται λύσιν, ὅτι οὐδὲ ἄλλοτέ ποτε οὐδενὸς γράψαντος Φίλιππος ἀδικεῖ, καὶ πρῶτα, καὶ δεύτερα, καὶ τρίτα, καὶ νυνὶ δὲ Καρδιανοῖς βοηθεῖ, ὁμοῦ καὶ ἐπισημαινόμενος τὴν αἰτίαν δι' ἣν ὁ 15 λόγος· ὅτι γὰρ ἀπήγγελται Φίλιππος Καρδιανοῖς βοηθεῖν, εὔδηλον ὅτι ὁ δῆμος τετάρακται. εἶτα τρίτη λύσις, ὅτι ὑμεῖς ἐχειροτονήσατε τὸν πόλεμον, ὅτι ἐξ οὗ χρόνου τὸν Διοπείθην ἀπεστείλατε, κατακεχειροτονήκατε πόλεμον· ὥστε περιττὸν περὶ τῶν ἐγνωσμένων γράφειν. εἶτα ὥσπερ ἀπαλλαγεὶς τῶν λύσεων ἐπιλογίζεται, ὑποτιθέμενος ὃν 20 δεῖ τρόπον πολεμεῖν. ἔθος δὲ αὐτῷ πληροῦντι κεφάλαιον καὶ ἐν μέσοις λόγοις ἐπιλογίζεσθαι. λέγει δὲ δεῖν ἀμύνασθαι, ὅταν ἄρχηται ἐκεῖνος, προσποιούμενος ὑποθετικοῦ λοιπὸν ἅπτεσθαι λόγου ἀπὸ τρόπου· οὐκ ἔστι γὰρ ἄρχεσθαι πολέμου τὸν ἀμυνόμενον, ἵνα φαίνηται λύων τὴν εἰρήνην ὁ Φίλιππος, οὐχ ἡ πόλις. ὁμοίως δὲ κἀνταῦθα τοῦ 25 πραγματικοῦ ἅπτεσθαι δοκεῖ. οἷδε γὰρ καὶ ἐν ἐπιλόγοις ἀνύειν τι τῶν συνεκτικῶν καὶ συναγωνιζομένων. φεύγει δ' οὖν οὐδὲν ἧττον κάν-

4. δὲ om. V.
6. ἀντίθεσιν Wolfius pro θέσιν. λύσιν C.
8. ἀντέπεσεν ἀναγκαίως ἀντιθέσεις πάλιν T.C.P. ἀντέπεσεν ἀναγκαίω, πάλιν ἀντιθέσει (sic) V. Correxit Wolfius.
11. οὐ γὰρ δίκαιον T.C. (οὐ in καὶ mutato a m. rec. in T.) οὐ γὰρ δικαίως V.
13. ἑτέραν addidi ex T.C.
15. ὁμοῦ] ὁμοῦ δὲ V.
16. λόγος] δῆμος C.
βοηθεῖν] βοηθῶν Wolfius.
18. κατακεχειροτονήκατε margo P. καχειροτονήκατε (sic) T.C. κεχειροτονήκατε P. κατεχειροτονήκατε V.
22. ἀμύνασθαι] ἀμύνεσθαι C.
25. τὴν εἰρήνην addidit Wolfius.
26. ἀνύειν] ἀκούειν V.
27. συναγωνιζομένων Wolfius pro ἀγωνίζεσθαι.

ταῦθα τὸ γράψαι, καὶ ἐπισημαίνεται τὴν ὑπόθεσιν, δι' ἣν ὁ λόγος ἐρρέθη. εἰπὼν γὰρ τοῖς μὲν ἀμυνομένοις ἤδη χρήματα καὶ τὰ ἄλλα ὅσων δέονται διδόντες, ἐσήμαινεν ὅτι ἔφοδος γέγονε Φιλίππου καὶ ἀμύνεται αὐτὸν Διοπείθης. ἀπὸ δὲ τῆς προτρεπτικῆς ταύτης τοῦ δεῖν εἰσφέρειν καὶ κατασκευάζεσθαι στράτευμα καὶ τριήρεις τα- 5 χείας δῆλός ἐστι μεταβὰς ἐπί τινα ἑτέραν λογικὴν ἔννοιαν ἀπὸ τοῦ συμφέροντος, καὶ τῷ αἰσχρῷ ἐνταῦθα προσχρώμενος, δεικνὺς ὅσην αἰσχύνην ὀφλήσουσι καὶ γέλωτα ῥαθυμήσαντες· εἶτα ἀπὸ τῆς κρίσεως τοῦ πολεμίου Φιλίππου, ὅτι ἐκεῖνος οὐδὲν ἄλλο τι ἂν εὔξαιτο ποιεῖν τὴν πόλιν. πληρώσας δὲ τὸν ἐπίλογον ἄρχεται τοῦ δυνατοῦ, 10 ἀνενεγκὼν ἐπὶ ἀρχὴν ἀρχαιοτέραν τὸν λόγον, ἀπὸ τῆς λέξεως ταύτης τὴν ἀρχὴν ποιησάμενος· "οὐδὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν "πραγμάτων ἐξ ἀρχῆς ἐνεστήσασθε οὐδὲ κατεσκευάσασθε ὀρθῶς." εἰ δὲ καὶ συμπαρομαρτεῖ τῇ ἐργασίᾳ τοῦ κεφαλαίου τούτου, λέγω τοῦ δυνατοῦ, τὸ συμφέρον, καὶ συνιοεῖται τοῖς λεγομένοις, οὐδὲν θαυ- 15 μαστόν· σύνηθες γὰρ αὐτῷ τὰ κεφάλαια πλέκειν. ὅτι δὲ τῷ δυνατῷ μᾶλλον προσκεχώρηκε δῆλον ἐκ τῶν ἐχομένων· εὐθὺς γὰρ ἔλυσε καὶ ἀνθυποφορὰν, οὐ θεὶς μὲν αὐτὴν ἐκ τοῦ φανεροῦ, δηλώσας δὲ διὰ τῶν λύσεων· Ἀλλὰ δυνησόμεθα βοηθείαις χρώμενοι κωλύειν ἐκεῖνον. ἐπειδὴ γὰρ πρὸ βραχέος ἐχρήσατο ἐν τῷ τέλει τῆς λύσεως τῆς τοῦ 20 νομίμου ἀντιθέσεως, τῆς λεγούσης δεῖν αὐτὸν γράφειν περὶ πολέμου ψήφισμα, προτροπῇ τινὶ ἐπιλογικῇ, λέγων δεῖν κατασκευάζεσθαι στράτευμα καὶ ὁπλίτας καὶ ἱππέας καὶ τριήρεις, διὰ τοῦτο καὶ προέλαβεν ἐκ τῆς εἰσβολῆς τὴν λύσιν. καὶ νῦν ὁμοίως φανερώτερον πρὸς τὴν αὐτὴν ἀπομάχεται λέγων, "οὐκ ἔνεστι βοηθείαις χρωμένους οὐ 25 "δέον τι πρᾶξαι." καὶ ἄλλας δὲ ὑπονοίας ἔλυσε, μὴ διαφθείρηται τὰ χρήματα, μὴ μάτην ἀναλωθῇ, δι' ὧν εἶπε δεῖν ταμίας καθι-

2. μὲν om. V.
3. δέονται] δέον C.
5. δεῖν] δεῖσ (sic) T. δεῖ C.
6. ἑτέραν λογικὴν ἔννοιαν T.P. ἑτερολογίαν C. et duplici λ V.
7. ἐνταῦθα] κἀνταῦθα C.V.
8. ὀφλήσουσι Wolfius pro ὀφείλουσι.
9. ἄλλο τι om. C.
12. οὐδὲν] p. 137, 1.
17. προσκ—] προκ— C.
18. δηλώσας δὲ διὰ T. δηλώσας δὲ ἐκ C. δηλώσει δὲ ἐκ V.
20. λύσεως τῆς τοῦ] χρήσεως τοῦ C.
22. λέγων] p. 137, 6.
25. οὐ δέον τι T.P. ἐν δέοντι V.
26. ἄλλας] ἄλλως T.P.
διαφθείρηται Wolfius pro διαφθείρῃ et mox καθιστάναι pro καθεστάναι.

BODLEIAN LIBRARY

στάναι καὶ λόγους λαμβάνειν παρὰ τῶν στρατηγῶν. μετὰ ταῦτα πάλιν ἀπὸ τοῦ δυνατοῦ ἀντέπεσεν ἀντίθεσις, Ἀλλὰ χαλεπὰ καὶ ἐργώδη λέγεις, Δημόσθενες· εἶναι δὲ αὐτὴν τοῦ δυνατοῦ φαμὲν διὰ τὸ πραγματείας εἰπεῖν καὶ πόνους. σχεδὸν γὰρ τὸ μὴ ῥᾴδιον εἶναι τὸ πρᾶγμα σημαίνει, οὐ μὴν ἀπήλλακται τοῦ μετέχειν καὶ τοῦ 5 συμφέροντος· καὶ τοῦτο δείκνυται σαφῶς ἐκ τῶν λύσεων. καὶ ἔστιν ἡ ἀντίθεσις, "Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πόνων "πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλ' ὀρθῶς δοκεῖ." ταύτην ἔλυσε τῷ συμφέροντι, δείξας ἐργωδέστερα καὶ χαλεπώτερα τὰ συμβησόμενα, εἰ μὴ τοὺς μικροὺς τούτους καὶ τοὺς ὀλίγους ἐθελήσαιεν 10 ὑπομεῖναι πόνους. καὶ ἄλλο δέ τι μέρος λύει τῆς αὐτῆς ἀντιθέσεως, ὅπερ οὐ τέθεικεν ἐκ τοῦ προφανοῦς, ὥσπερ ἐν τῷ Διοπείθους, ἔκρυψε δὲ, διότι οὐκ ἦν εὐπρόσωπος οὐδὲ πιθανὸς οὐδὲ δυνατὸς ὁ περὶ τούτου λόγος. τίς γὰρ ὑπὲρ ἀλλοτρίων εἵλετο κινδυνεύειν καὶ δαπανᾶν; αἱ μέντοι γε λύσεις ἔχουσαι μεθ' ἑαυτῶν τὸ ἀναγκαῖον τῶν ἔργων καὶ 15 κεραννῦσαι τὴν πρότασιν, εἰκότως τὴν παρρησίαν τῷ συμβούλῳ παρέχουσιν. ἐχρήσατο γοῦν Θουκυδιδείῳ λύσει, ᾗπερ ὁ Λέσβιος χρώμενος φαίνεται, ὅτι τῷ μὲν δοκεῖν ὑπὲρ ἄλλων, τῇ δὲ ἀληθείᾳ ὑπὲρ ἡμῶν τὰ γινόμενα. καὶ ἡ λύσις ἐναργής· "εἰ μὲν γάρ ἐστί τις "ἐγγυητὴς ἡμῖν θεῶν, οὐ γὰρ ἀνθρώπων γε οὐδείς." καὶ πάλιν προϊὼν 20 ὁ λόγος φησίν· "εἰ δὲ πρόϊσμεν ἅπαντες ὅτι ὅσῳ ἂν πλειόνων "ἐάσωμεν ἐκεῖνον γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυρο-"τέρῳ χρησόμεθα ἐχθρῷ." ἐπὶ τούτοις ἀντέπεσεν ἀπὸ τῆς ἐργασίας τοῦ συμφέροντος ὑπόνοιά τις τοῦ ἀναγκαίου πάλιν· Ἀλλ' ὅταν ἀνάγκη γένηται καὶ ἐφ' ἡμᾶς ἔλθῃ Φίλιππος, σὺ φῆς; τοῦτο γὰρ 25 κατεσκευάζετο, ὅτι καὶ γὰρ ἐὰν πάντας λάβῃ, ἐφ' ἡμᾶς ἥξει, τότε αὐτὸν ἀμυνούμεθα. οὐ μὴν οὕτως αὐτὴν ἔθηκε προφανῶς, ἀλλ' ἀντὶ τῆς ἀφίξεως καὶ τοῦ ἐλθεῖν εἶπεν, ὅταν ἀναγκαῖον ᾖ. τὸ γὰρ ἀναγ-

3. τοῦ δυνατοῦ φαμὲν διὰ τὸ Wolfius pro τοῦ φαμὲν δή τι.
7. εἰ] p. 137, 22.
8. ταύτην] καὶ ταύτην V.
11. δέ T.C. δή V.
12. τέθεικεν ἐκ τοῦ] τέθηκεν αὐτοῦ V.
13. διότι] δὴ ὅτι T.P.
19. ἡμῶν] ἡμῶν T. ὑμῶν C.
εἰ] p. 137, 27.
24. τοῦ addidit Wolfius.
ἀναγκαίου] ἀναγκαία C.
25. ἐφ' ἡμᾶς om. V.
ἔλθῃ P. ἔλθοι T.C.V.
27. αὐτὴν ἔθηκε] ἔδειξε C., omisso αὐτήν.

καῖον δυνάται κοινὸν εἶναι καὶ τῆς ἐφόδου καὶ τῶν νυνὶ καθεστηκότων. ἵν' οὖν ἀφορμὴ γένηται αὐτῷ μᾶλλον προτρέψασθαι, οὕτω τὴν ἀντίθεσιν μετεχειρίσατο. πληρώσας δὲ τὸ συμφέρον τοῦτο ὁ ἀντεπήγαγεν εἰς λύσιν τῆς ἀντιθέσεως, προοιμιάζεται λοιπὸν ὑπὲρ τοῦ ἄλλου μέρους τοῦ δυνατοῦ. σκοπὸς γὰρ αὐτῷ λοιπὸν ἐντεῦθεν διαλεχθῆναι περὶ τῆς πρὸς βασιλέα πρεσβείας. πάλαι δὲ προδιῳκήσατο ἑαυτῷ τὴν περὶ τούτου πειθώ. ἀφ' οὗ γὰρ ἤρξατο συμβουλεύειν αὐτοῖς καὶ διαλέγεσθαι περὶ τοῦ δεῖν εἰσφέρειν καὶ κατασκευάζεσθαι στράτευμα καὶ τριήρεις καὶ ἵππους καὶ ὅσα τοιαῦτα, δῆλος ἦν λοιπὸν διὰ τὴν τῶν χρημάτων εἰσφορὰν, καὶ ἕτερον δι' ἑτέρου προανύων. ἀλλ' ἐκεῖ μὲν τῷ δοκεῖν ἁπλούστερον συνεβούλευεν αὐτοῖς παρασκευάζεσθαι· προκατασκευάζει δὲ οὐδὲν ἧττον ἑαυτῷ τὴν ἀνάγκην τοῦ πεισθῆναι αὐτοὺς περὶ τῆς πρὸς βασιλέα πρεσβείας. τί γὰρ ἦν ὑπόλοιπον ποιεῖν τοὺς ἀναγκαζομένους μὲν παρέχειν, μὴ ἔχοντας δὲ, ἢ πειθέσθαι τῷ ὑποδεικνύντι πόρον ἄλυτον καὶ ἀζήμιον τοῖς πολίταις; ἐντεῦθεν ὁμοίως ἐρρητόρευσεν ἐκ τῆς λέξεως ταύτης τὴν ἐπιβολὴν ποιησάμενος· "Τὸ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ τοιαῦτα "ὀκνηρῶς διακεῖσθαι." αὕτη μέν ἐστιν ἡ εἰσβολὴ τοῦ λόγου τοῦ περὶ τῆς πρεσβείας. ῥητορεύει δὲ διὰ τοῦ προοιμίου αἰτιώμενος ὅτι μὴ βούλονται ἀκούειν περὶ ὧν ἂν λέγῃ, προκαταλαμβάνων ἑαυτῷ τὸν ἀκροατὴν καὶ ἀναγκάζων πειθαρχεῖν οἷς ἂν αὐτὸς συμβουλεύοι. εἶτα καὶ προσέπλεξε τούτῳ ὅτι δεῖ παρασκευάζεσθαι αὐτοὺς, ἵνα ἀντιπεσόντος ὅτι καὶ πῶς δυνατὸν παρασκευάζεσθαι, μὴ ὑπαρχόντων χρημάτων, εὐχερῶς ὁ περὶ τοῦ βασιλέως εἰσέλθῃ λόγος. καὶ τῷ βουλομένῳ δὲ κατανοεῖν πλείονα τούτων ἔγκειται τῇ ῥητορείᾳ τοῦ προοιμίου τούτου τοῦ κεφαλαίου· ὑποδείγματος δ' ἕνεκεν ἀπόχρη μοι καὶ ταῦτα. λῆξιν δὲ ἔλαβε τουτὶ τὸ προοίμιον εἰς ταύτην τὴν λέξιν· "τοῦτ' ἤδη

3. μετεχειρίσατο] μετεχειρήσατο V. τοῦτο om. V.
9. ἦν (ἐστὶ C.) λοιπὸν διὰ τὴν] ἦν μὲν ἐπὶ τὴν Wolfius.
10. δι'—προανύων] πρὸ—ἀνύων C.
13. περὶ om. V.
17. τὸ] p. 138, 23.
18. τοῦ om. V.
20. ἑαυτῷ] ἑαυτοῦ V.
21. ἂν om. C.
αὐτὸς] οὗτος T.V.
συμβουλεύοι] συμβουλεύει C.
22. ὅτι δεῖ Wolfius pro τὸ μηδέ.
25. προοιμίου—μοι καὶ Wolfius pro προοιμίου τοῦ (τοῦ omittit V.) κεφαλαίου ὑποδείγματος δεινὰ καὶ ἀπόχρημα καί. Idem aliam addit conjecturam τοῦ προοιμίου. κεφαλαιώδους δ' ὑποδείγματος ἕνεκα etc.
27. εἰς Wolfius pro ὡς.

"πᾶσαν ἐπιδέχεται κατηγορίαν·" εἶτα προκατασκευῇ μετὰ τοῦτο χρῆται· "ὑμεῖς τοίνυν οὔτ' ἀκούειν πρὶν ἂν, ὥσπερ νῦν, αὐτὰ παρῇ "τὰ πράγματα, οὔτε βουλεύεσθαι περὶ οὐδενὸς εἰώθατε ἐφ' ἡσυ- "χίας." ταῦτα γάρ ἐστι προδιοικουμένου καὶ προκατασκευάζοντος, δεῖν ἀνέχεσθαι λέγοντος καὶ συμβουλεύοντος περὶ τῆς πρεσβείας τῆς πρὸς τὸν Μῆδον. τὸ καταπλήττειν δὲ αὐτοὺς, ἀπροαιρέτως ἔχοντας παρασκευάζεσθαι, τῆς αὐτῆς ἔχεται ῥητορείας. ὅσῳ γὰρ ἂν ἐνδείξηται μᾶλλον μήτε παρασκευαζομένους μήτε πράττειν ἐθέλοντας, τοσούτῳ τὴν αἰτίαν τούτων φανερωτέραν κατασκευάζει, λέγω τὴν τῶν χρημάτων ἔνδειαν, ἵν' ὁ περὶ βασιλέως ἀκόλουθος λόγος τὴν ἀρχὴν ἐντεῦθεν λάβῃ. ἡ δὲ ἐπιβολὴ αὐτῆς τῆς εἰσηγήσεως μετὰ τὴν προκατασκευήν· "ὃ δὴ λοιπόν ἐστι, καὶ πάλαι μὲν ἔδει, δια- "φεύγει δὲ οὐδὲ νῦν, τοῦτο ἐρῶ." εἶτα αὐτὸς ἑαυτῷ τὴν ἀντίθεσιν φανερῶς συνομολογεῖ, ἵνα ὁ λόγος εὐπρόσωπον ἀρχὴν καὶ εἰσβολὴν προσήκουσαν λάβῃ. τίς οὖν ἡ συνομολογία; "οὐδενὸς τῶν πάντων "οὕτως ὡς χρημάτων δεῖ τῇ πόλει πρὸς τὰ νῦν ἐπιόντα πράγματα." ὃ γὰρ ἀντέθηκεν αὐτῷ ὁ ἀκροατὴς, τοῦτο προλαβὼν ὡμολόγησεν αὐτός. ἐνδείκνυται γὰρ καὶ τὴν ἀνάγκην καὶ τὴν χρείαν, καὶ περὶ τῶν μελλόντων ἐκφοβεῖ, ἵνα ἀνάγκη μείζων γένηται, καὶ ἐκπλαγεὶς τῷ τε μεγέθει τῶν τότε ὄντων καὶ τῇ προσδοκίᾳ τῶν μελλόντων ὁ ἀκροατὴς ταύτην οὖσαν μόνην καταδέξηται τὴν παραμυθίαν· φημὶ δὲ τὴν πρὸς βασιλέα πρεσβείαν. εἶτα καὶ ἐπειδήπερ ἔμελλεν ἀντιπίπτειν αὐτῷ πρὸς τοῦτον τὸν λόγον ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ· Ἀλλ' ἀδύνατόν ἐστιν ὑπόπτως ἔχοντα πρὸς ἡμᾶς τὸν βασιλέα πεισθῆναι· πρὸς ταύτην ἵσταται ἐξ ἀρχῆς, λέγων ὅτι, Οὐ παρ' ἡμῶν ταῦτα ἀκούσεται βασιλεὺς πρώτων, ἀλλὰ μάλιστα μὲν παρὰ τῶν σατραπῶν, εἶτα δὲ καὶ παρὰ τομίου τοῦ εὐνούχου, ὃν νῦν ἀνάσπαστον ἐποιήσατο, ἄρχοντα Ἀταρνέως, μαθὼν αὐτὸν συμπράττειν Φιλίππῳ κατὰ τῆς βασιλέως ἀρχῆς, ὥστε τὴν ἡμετέραν πρεσβείαν καιρὸν

6. τὸ addidit Wolfius.
7. ἐνδείξηται] δείξηται V.
8. μᾶλλον et mox τοσούτῳ addidit Wolfius.
9. λέγω δὲ Wolfius.
12. ὃ δὴ] p. 139, 16.
20. τε om. C.V.
21. ταύτην T. ταύτῃ C. ἐν ταύτῃ V.
22. δὲ Wolfius pro γάρ.
25. παρ'] γὰρ C.
26. πρώτων] πρῶτον V.
27. εἶτα] ἔπειτα C.
τομίου T.C. Legebatur ταμίου. Desideratur nomen proprium.
ἀνάσπαστον] ἀνάρπαστον Wolfius.

λοιπὸν ἔχειν. οὐκοῦν τὴν ἀντίθεσιν διὰ τούτου φαίνεται λύων, καὶ συνιστὰς ὅτι δυνατὸν πεισθῆναι τὸν βασιλέα· πεισθήσεται δὲ τοῖς λογισμοῖς τοῦ συμφέροντος. φαίνεται δὲ Δημοσθένης οὐ τὸ συμφέρον αὐτὸ κατασκευάζων, ἀλλὰ τὸ δυνατὸν διὰ τῶν τοῦ συμφέροντος λογισμῶν. δυνήσεται γὰρ ἡμῖν, φησί, πεισθῆναι βασιλεὺς δεδι- 5 δαγμένος τὰ συμφέροντα καὶ παρ' ὑμῶν ἀκουσόμενος. μετὰ ταῦτα τέθεικεν ἐκ τοῦ φανεροῦ τὴν ἀντίθεσιν λέγων· "καὶ τὴν ἀβελτερίαν "ἀπόθεσθε δι' ἣν πολλάκις ἠλαττώθητε, ὁ δὴ βάρβαρος καὶ κοινὸς "πᾶσιν ἐχθρὸς, καὶ πάντα τὰ τοιαῦτα." καὶ ἡ λύσις· Οὐκ ἔστι πρὸς ἡμᾶς πολέμιος, συνεπηνώρθωσε γάρ ποτε τῇ πόλει τὰ πράγ- 10 ματα, τὴν διὰ Κόνωνος ναυμαχίαν λέγων. πληρώσας δὲ τὸν περὶ τοῦ βασιλέως λόγον, ὃς ἦν περὶ δυνατοῦ καὶ χρημάτων, ἐπισυνῆψεν ἀναγκαίως καὶ ἀκολούθως τὸν περὶ τῆς πολιτείας λόγον, πρόφασιν δῆθεν καὶ ἀφορμὴν λαβὼν εὐπρόσωπον τὴν καθεστῶσαν νυνὶ ταραχὴν, ἵνα ἀνέλῃ τὴν ὑπόνοιαν ἐκείνην, Ἀλλ' ἀρκέσει ἡμῖν τὰ τῆς πόλεως χρή- 15 ματα, ὥστε μὴ δεῖσθαι τῆς παρὰ βασιλέως δόσεως· καὶ ἵνα, τῆς ἐν τῇ πόλει ἀφορμῆς ἀναλισκομένης, ἅπασι τοῖς πολίταις ἡ παρὰ τοῦ βασιλέως αἴτησις εὔλογος φαίνηται. ἀλλ' οἱ πρὸ ἡμῶν διελόντες οὐκ εἶδον τοῦτο καθάπαξ. βουλόμενος τοίνυν ἀνελεῖν τὴν ἀντίθεσιν αὐτὸς εἰσηγεῖται δῆθεν μὴ δεῖν ἀφαιρεῖσθαι τὰ θεωρικὰ τοὺς δημό- 20 τας, εἴτε Εὐβούλου τετελευτηκότος, πρὸς ὃν εἶχε φιλονείκως περὶ τῶν θεωρικῶν, εἴτε τὸν σκοπὸν τὸν ἑαυτοῦ συμπεραίνων, ἵνα παντα-χόθεν συνελάσῃ καὶ καταναγκάσῃ καταδέχεσθαι τὸν περὶ τῆς πρεσ-βείας τῆς πρὸς βασιλέα λόγον. διμερὴς δέ ἐστιν ὁ περὶ τῆς πολι-τείας λόγος. ἐπειδὴ γὰρ διχόθεν ἦσαν πόροι, οἱ μὲν ἐκ τῶν δικαστη- 25 ρίων δημευομένων τῶν εὐπόρων, οἱ δὲ ἐξ ἄλλων ἀφορμῶν καὶ προσόδων λιμένων καὶ ἔργων ἀργυρείων καὶ συμμάχων, βουλόμενος καὶ πλου-σίους ἀρέσασθαι καὶ πένητας οἰκειώσασθαι, ἵνα συμψήφους λάβῃ περὶ τῆς πρὸς τὸν βασιλέα πρεσβείας, διὰ τοῦτο διαλέγεται δῆθεν περὶ ὁμονοίας αὐτοῖς εἶναι τὸν λόγον καὶ τοῦ συμφέροντος, παραινῶν 30

1. ἔχειν Wolfius pro οὐκ ἔχειν.
6. ἀκούσομενος] Legebatur ἀκουόμενος.
7. λέγων] p. 140, 9.
ἀβελτερίαν] ἀβελτηρίαν libri.
8. ὁ δὴ T.C. καὶ δὴ V.
15. ὑπόνοιαν] ὑπόθεσιν C.
16. δεῖσθαι—δόσεως] δεῖσθαι τῆς ἐν πόλει δόσεως παρὰ βασιλέως. V.
21. τετελευτηκότος] τελευτήσαντος C.
23. συνελάσῃ] συγκλύσῃ V.
25. πόροι T. a m. sec., ut Wolfius. πάρος C.V. παρ' οἷς pr. T.
27. καὶ πλουσίους] δὲ πλουσίους C.V.

μήτε τοὺς κεκτημένους τὰς οὐσίας ἀδικεῖσθαι ὑπὸ τῶν δικαζόντων δημευομένους κατὰ λόγον, μήτε τοὺς καταδεεῖς καταβοᾶσθαι παρὰ τῶν δυνατῶν ὡς διανεμομένους εἰς τὰς θεωρίας τὰ στρατιωτικά. ἐὰν γὰρ τῶν πόρων τούτων καὶ τῶν προσόδων παύσωνται τῶν παρὰ τῶν εὐπόρων, τὰ δὲ τῆς πόλεως ἀναλίσκωνται εἰς τοὺς δήμους, τίς ἔσται 5 λοιπὸν ἔτι ἀφορμὴ τῇ πόλει, πλὴν τῆς εἰς βασιλέα ἐλπίδος; διὰ ταῦτα οὕτως αὐτῷ τὸ μέρος ἐρρητόρευται τοῦτο τοῦ λόγου. τὰ γὰρ ἐν τούτοις ἀσαφῆ οἱ ἐξηγηταὶ παραστήσουσι. T.C.V.

Πλήρώσας τοίνυν τὴν περὶ τούτων παραίνεσιν καὶ ῥητορεύσας ὡς ἐδείκνυμεν, μετέβη λοιπὸν ἐπὶ τὸ πέμπτον μέρος τοῦ λόγου ἐντεῦθεν 10 ἀρξάμενος· "ὡς μὲν οὖν εἴποι τις ἄν, ἃ παρ' ἑκατέρων εἶναι δεῖ, "ταῦτ' ἴσως ἐστί·" βάσιν μὲν καὶ συμπέρασμα τῶν προειρημένων τὴν διάνοιαν ταύτην ποιούμενος, καταρχόμενος δὲ ἐκ τοῦ μερισμοῦ πάλιν τῆς ἐννοίας τῷ ἑξῆς. ἔστι δὲ τὸ νυνὶ κατασκευαζόμενον κεφάλαιον τὸ συμφέρον ἐξ ἀντιθέσεως, ἣν οὐκ ἔθηκε μὲν, ἐνδείκνυται δὲ 15 διὰ τῆς μάχης. εἰς δύο δὲ μέρη διῄρηται τοῦτο τὸ πέμπτον μέρος· εἰς ἓν μὲν, ὃ περιέχει τὴν λύσιν τῆς ἀντιθέσεως, εἰς ἕτερον δὲ, τὸ κατὰ τοὺς ῥήτορας. τίς οὖν ἡ ἀντίθεσις ἀπὸ τῶν εἰρημένων κεκίνηται; ἐπειδὴ πολύν τινα λόγον περὶ τῆς πρὸς βασιλέα πρεσβείας πεποίηται, ἀντέπεσεν ἐκ τούτου· Καὶ τί ἂν ἡμᾶς ὠφελήσειε τὰ 20 τοσαῦτα χρήματα, καὶ εἰς τίνα χρείαν δεησόμεθα τοῦ βασιλέως; λύων τοίνυν ταύτην τὴν ἀντίθεσιν ἐξ ἐπιτιμήσεως δείκνυται ὅτι χρὴ προεστάναι τῶν Ἑλλήνων καὶ τὴν αὐτὴν τάξιν ἀναλαβεῖν, ἥνπερ εἶχον οἱ πατέρες ἡμῶν καὶ πρόγονοι, τὴν χρείαν ἐνδεικνύμενος εἰς ἣν

2. δημευομένους κατὰ λόγον] κατὰ λόγον videtur redundare: nisi forte placeat οὐ κατὰ λόγον, τουτέστιν, ἀδίκως, aut, κ̄ἆτα λέγων. WOLF.
μήτε] Legebatur μηδέ.
3. ἐὰν γὰρ] ἐὰν δὲ C. ἐκ δὲ V.
4. προσόδων Wolfius pro προσόδων μέν.
παύσωνται T. παύσονται C.V.
τῶν Wolfius. αἃ T.V., quod recte habere potest si verbum aliquod, velut εἰσφέρονται, addatur. ἢ C.
5. τὰ δὲ Wolfius pro ἃ δέ.
ἀναλίσκωνται] ἀναλίσκωνται T.C.V.
τοὺς δήμους] τὸν δῆμον C.
7. τοῦτο] τούτου C.
τὰ γὰρ] τὰ δ' Wolfius.
8. παραστήσουσι] Hic desinit C.
11. ὡς] p. 143, 8.
12. καὶ T. οὐ V. ἢ Wolfius.
συμπέρασμα P. συμπεράσασαν V.
14. τῆς ἐννοίας τῷ ἑξῆς] Quod sequitur non satis placet, quia non satis intelligo, nec quicquam melius occurrit. WOLF.
16. μέρη διῄρηται T.P. μερίζει V.
21. δεησόμεθα] δεηθησόμεθα T.P.
23. προεστάναι Wolfius. προϊστάναι T.P. προϊστάνειν V.

δεήσονται τῶν χρημάτων· τὸ γὰρ μὴ ἄρχειν φησὶν αἰτίαν εἶναι τῶν παρόντων πραγμάτων καὶ τῆς ταραχῆς, καὶ τὸ μὴ προεστάναι αὐτοὺς τῶν Ἑλληνικῶν. οὐκοῦν διὰ τούτων συνίστησιν ὅτι τὴν λύσιν τῆς ἀντιθέσεως ἐξεργάζεται, ἐνδεικνύμενος ποῖ χρήσιμα γενήσεται αὐτοῖς τὰ χρήματα, καὶ ὅτι διὰ τὸ μὴ προστατεῖν αὐτοὺς τῶν Ἑλλήνων 5 παρῆλθεν ἐπὶ τὰ πράγματα Φίλιππος· ὅθεν εὐδαίμων καὶ μέγας. ἅπερ ἐστὶ πάντα συστατικὰ τῆς χρησιμωτάτης χρείας τῶν παρὰ βασιλέως δωρεῶν. τὸ δὲ ἕτερον μέρος, ὅ ἐστι πρὸς τοὺς ῥήτορας, τοιοῦτόν ἐστι. δέδοικε σφόδρα τὴν παρὰ τῶν ἀντιπολιτευομένων ἀντιλογίαν, καὶ εἰδὼς τὴν ἀντίστασιν κινεῖ μὲν πρὸ τῆς δημηγορίας 10 τόδε τὸ μέρος, τὸν δὲ πρὸς αὐτοὺς λόγον τρίχα διῄρηκεν. εἰς ἓν μὲν δὴ οὖν μέμφεται ὅτι κωλύουσιν ἀεὶ τὸν πρὸς Φίλιππον πόλεμον· εἰς ἕτερον δὲ, ὅτι διαβάλλουσι τὸν Δημοσθένην, ὡς πολεμοποιόν· εἰς τρίτον δὲ, ὅτι μὴ συγχωροῦσι τῷ βασιλεῖ τὴν πόλιν εὐεργετεῖν· ἐνδεικνύμενος ὡς ὅσα ἂν αὐτοὶ ποιῶσι καὶ λέγωσι, λύοντες τὴν πρὸς 15 βασιλέα πρεσβείαν καὶ τὸν πόλεμον τὸν πρὸς Φίλιππον, χάριτι καὶ μισθῷ κωλύουσιν. ἐπεὶ πόθεν ἄλλοθεν ηὔξηνται; εἶτα ἀποστροφῇ χρησάμενος πρὸς ἕνα τινὰ τῶν προδοτῶν Ἀριστομήδη ἐλεγκτικῶς διαλέγεται, δι' ἑνὸς ἀνδρὸς πρὸς ἅπαντας τὸν σκοπὸν τοῦ λόγου γυμνὸν καὶ φανερὸν καθιστὰς τοῖς ἀκούουσιν. ἐπειδὴ γὰρ οἱ ἀποτρέ- 20 ποντες αὐτοὺς πέμπειν πρὸς βασιλέα καὶ πολεμεῖν Φιλίππῳ δῆλοί εἰσιν ἐπὶ χάριτι μὲν συμβουλεύοντες, τὸ δὲ ἀξίωμα καθαιροῦντες τῆς πόλεως, διὰ τοῦτο φοβούμενος ταύτην τὴν παρ' ἐκείνων ἀντιλογίαν ἠρώτησε τὸν Ἀριστομήδην διὰ τί αὐτὸς μὲν φιλοτιμίας μεταποιεῖται, μὴ συγχωρεῖ δὲ τῇ πόλει τὴν δόξαν τὴν τῶν προγόνων διαφυ- 25 λάττειν καὶ κληρονομεῖν τῆς εὐκλείας καὶ διαδέχεσθαι τὰς τῶν ἔργων λαμπρότητας. ὁ μὲν οὖν σκοπὸς οὗτός ἐστιν· εἴπωμεν δὲ, ὅπως μετακεχείρισται. μετὰ τοίνυν τὴν λύσιν τῆς ἀντιθέσεως ἐπι-

7. συστατικὰ] ἐνστατικὰ V., quod non codicis vitium esse videtur, sed error male legentis.

παρὰ Wolfius pro περί.

10. πρὸ τῆς] πρὸς τοὺς τῆς T.

14. τῷ βασιλεῖ (i. e. regi Persarum) Wolfius pro τῷ Φιλίππῳ.

18. Ἀριστομήδη] Sic p. 150, 7. Ἀριστόμηδες, ut in codicibus quibusdam scriptum pro Ἀριστόδημε. Verum nomen est Aristodemi, idque hic quoque restituendum cum Wolfio, quum infra Ἀριστόδημον legatur.

22. μὲν om. V.

25. προγόνων T. προδοτῶν V.

26. διαδέχεσθαι] ἀναδέχεσθαι V.

συνῆψε τὸ χρειῶδες τοῦ βασιλέως, καὶ ὅτι ἀναγκαία ἡ πρὸς ἐκεῖνον φιλία, εἴπερ τοῖς ἄλλοις ἅπασιν Ἕλλησιν εὐνοϊκῶς διαλέγεται, ἡμῖν δὲ ἀπεχθάνεται βασιλεύς. καὶ ἀνάγκην μεγίστην καὶ πίστιν πεποίηται διὰ τοῦ δεῖξαι ἐν οἵᾳ ταραχῇ καθέστηκε τὰ τῶν Ἑλλήνων, ὡς εἶναι χρείαν τῇ πόλει τῆς παρ' ἐκείνου ἐπικουρίας διὰ τὰ καθεστηκότα. ἣν βουλόμενος πιστώσασθαι ηὔξησε τὴν ταραχὴν τὴν Ἑλληνικήν· εἶτα ἀπὸ τούτου μετεβίβασε τὸν λόγον πρὸς τοὺς ἐπὶ χάριτι πολιτευομένους. διαιρεῖ δὲ δίχα καὶ τὴν τῶν ῥητόρων ποιότητα, καὶ ἀντιθέσεις κεκίνηκε πρὸς διαβολὴν τῆς ποιότητος αὐτῶν διαφόρους, ἐνδεικνύμενος δι' αὐτῶν οἷα εἰώθασι λέγειν καὶ ὅτι σύνηθες αὐτοῖς κωλύειν τῶν πράξεων τὴν πόλιν, φοβούμενος μὴ περὶ τῆς πρεσβείας τῆς πρὸς βασιλέα ἀντείπωσι, καὶ τοὺς λόγους αὐτῶν ὑποτεμνόμενος καὶ ἀπίστους αὐτοὺς καθιστὰς ὡς διὰ Φίλιππον ἅπαντα πολιτευομένους πρὸς χάριν. ἔθηκεν οὖν ἀντίθεσιν πρώτην τείνουσαν εἰς αὐτοὺς τὴν ἀπὸ τοῦ συμφέροντος, ὅτι εἰώθασι μὲν λέγειν ὡς ἀγαθὸν ἡ εἰρήνη καὶ τὸ τρέφειν δύναμιν μεγάλην ὡς χαλεπόν· διὰ δὲ τῶν δύο μερῶν τούτων τῆς ἀντιθέσεως ἐνδείκνυται ὅτι καὶ τὴν εἰρήνην ἄγειν δεῖν φασὶ καὶ οὔτε πρὸς Φίλιππον πολεμεῖν οὔτε πρὸς βασιλέα πέμπειν· μὴ γὰρ εἶναι χρείαν χρημάτων μηδὲ τοῦ τρέφειν δύναμιν. οὕτω πλέον τι ἐν τῇ παρούσῃ ἀντιθέσει· ἣν ἔλυσε τῇ τῶν λόγων τῶν ἐκ τῶν ἄλλων ὑποθέσεων μεταγωγῇ. μετήγαγε μὲν γὰρ ταῦτα ἀπὸ τοῦ ὑπὲρ Διοπείθους λόγου. πλέον δέ τι αὐτῶν καὶ ἴδιον μᾶλλον ἐπὶ τῆς παρούσης ὑποθέσεως ἐξεργάζεται. τοῦτο δέ ἐστι τὸ βούλεσθαι τοὺς ῥήτορας κωλύειν τὴν πρὸς βασιλέα πρεσβείαν· ἧς ἡ λύσις μεταληπτικὴ, ὅτι εἰ καὶ χαλεπὰ ταῦτα, χαλεπώτερα πεισόμεθα, ἂν ταῦτα μὴ ἐθέλωμεν ποιεῖν. καὶ ἑτέραν ἀντέθηκεν, ὅτι πολεμοποιὸς Δημοσθένης· ἣν ἔστι μὲν εἰπεῖν ἀπὸ τοῦ νομίμου, ἔστι δὲ εἰπεῖν ἀπὸ τοῦ συμφέροντος ἔλυσεν εἰπών· Καὶ πρὸ τοῦ ἐμὲ εἰπεῖν πολλὰ Φίλιππος εἶχε τῆς πόλεως, καὶ νῦν εἰς Καρδιανοὺς πέπομφε βοήθειαν· ἐνδεικνύμενος κἀνταῦθα τὴν αἰτίαν τῆς ὑποθέσεως, καὶ ὅτι ἀπήγγελται αὐτοῖς Φίλιππος πεπομφέναι βοήθειαν Καρδιανοῖς. καὶ τρίτην ἀντί-

2. διαλέγεται] διάκειται Wolfius.
4. διὰ add. Wolfius.
8. δὲ Wolfius pro γάρ.
12. καὶ add. Wolfius.
15. μὲν Wolfius pro δέ.
20. ἀντιθέσει Wolfius pro ὑποθέσει.
28. πρὸ τοῦ ἐμὲ Wolfius pro πᾶν ἐμέ.
29. Καρδιανοὺς] Καρδίαν Wolfius.

θεσιν· Ἀλλ' οὐ προηγόρευκεν ὁ Φίλιππος ἡμῖν τὸν πόλεμον· ἣν ἔλυσε συνήθως, Οὐδὲ γὰρ Φεραίοις, οὐδὲ Ὀλυνθίοις, οὐδὲ Ἐρετριεῦσιν, οὐδὲ ἄλλοις πώποτε οὐδέσι προεῖπεν. εἶτα τῷ ἀναγκαίῳ κέχρηται, ἐκ διαφορᾶς αὐτὸς συνιστὰς ὅτι οὐ περὶ τῶν ἴσων αὐτοῖς καὶ τοῖς ἄλλοις ἔστιν ὁ κίνδυνος, ἵνα κἀκείνην τὴν ὑπόνοιαν ἀνέλῃ· Εἴ τινες εἶεν ἀπράγμονες καὶ στέργοντες τὴν δουλείαν, ὅτι οὐ περὶ δουλείας αὐτοῖς ἐστιν ὁ ἀγών, ἀλλὰ περὶ παντελοῦς διαφθορᾶς καὶ ὁλοσχεροῦς ἀναστάσεως καὶ ἀναιρέσεως. ἄρχι μὲν οὖν τούτων τὰ πραγματικώτερα πρὸς τοὺς ἐπὶ χάριτι πολιτευομένους ῥήτοράς ἐστιν αὐτῷ· τὸ δὲ ἐντεῦθεν εἰσέβαλεν εἰς παρέκβασιν, διαβολὴν ὁμοίως ἔχουσαν τῶν δωροδόκων ῥητόρων, ὅτι δι' αὐτοὺς Φίλιππος οὐκ εὖ ποιεῖ τὴν πόλιν, καὶ ταῦτα Ὀλυνθίους εὖ ποιήσας καὶ Θετταλοὺς καὶ Θηβαίους, ἵνα προκαταλαβὼν ταῖς διαβολαῖς ἐκβάλῃ τὴν ἀντιλογίαν ὁμοίως, ἣν δέδοικεν αὐτοὺς ποιησομένους, καὶ δι' ἣν ἐδεήθη τούτων πάντων τῶν λόγων· καὶ ταύτην καθίστησι φανεράν, ὡς ἔφην, διὰ τῶν ἐλέγχων ὧν πρὸς Ἀριστόδημον ποιεῖται. ταῦτα δὲ συντείνει σύμπαντα πρὸς τὴν λύσιν τῆς ἀντιθέσεως. ἐπειδὴ γὰρ ἀντέπεσε, Καὶ διὰ τί δεησόμεθα καὶ εἰς ποίαν χρείαν τοῦ βασιλέως; διέβαλε τοὺς ῥήτορας λέγων σύνηθες εἶναι λέγειν αὐτοῖς ταῦτα ἐξ ὧν κωλύουσι τὴν πόλιν. ταῦτα γὰρ περὶ Φιλίππου λέγειν εἰώθασιν, ἐπεὶ τίνος ἕνεκεν αὐτοὶ τὴν ἡσυχίαν οὐκ ἄγουσιν, ἀλλὰ τῇ πόλει συμβουλεύουσι μὴ προεστάναι τῶν Ἑλλήνων· τῇ μὲν γὰρ ἀνάγκην ὑπεῖναι προστατεῖν τοῦ κοινοῦ γένους, τοῖς δὲ ῥήτορσιν οὐδεμίαν ἀνάγκην εἶναι φιλοτιμίαν περιεργάζεσθαι. T.V.

134, 15. οὐδενὶ μέντοι μᾶλλον] εἰς τὸν περὶ τῶν ἐν Χερρονήσῳ κεῖνται. B.

134, 18. ἐξ ἀνάγκης] ἀναγκαίως. P.

135, 7. τοῖς ἄρχουσι βουλομένοις] ἀντὶ τοῦ ἄρχειν, ὡς ἐν τῷ τέλει τοῦ περὶ Συντάξεως λόγου· "ὑμᾶς οὖν ὑπάρξαι δεῖ χρηστὰ "βουλομένους, καὶ πάντα ἕξει καλῶς," ἀντὶ τοῦ δεῖ χρηστὰ βούλεσθαι. ἢ ἵνα λείπῃ τὸ εἶναι. B.Y.

137, 7. τὸ δ' οὐχ οὕτως ἔχει] ἀπ' ἐντεῦθεν ἕως τοῦ ἑτέρου ἀστε-

14. ποιησομένους T.P. πολεμισομένους V.
19. εἶναι om. V.
20. περὶ] ὑπὲρ Wolfius.
22. ἀνάγκην Wolfius pro ἀνάγκῃ.

ρίσκου, τοῦ λόγου τοῦ περὶ τῶν ἐν Χερρονήσῳ ἐπιγραφέντος ἐστίν. B.

138, 26. *πολλοῦ δεῖ*] *μὴ ἔχειν ὀρθῶς.* P.

139, 16. *ὃ δὴ λοιπὸν*] *μετέρχεται ἐπὶ τὸ δυνατὸν κεφάλαιον.* F.Y.P.

141, 24. *ἀξιῶ*]*ἀντὶ τοῦ ἄξιον νομίζω.* B.

141, 29. *τῆς κακώσεως*] *κάκωσις ὄνομα δίκης κατὰ τῶν ἀτιμαζόντων τοὺς γονεῖς.* F.Y.P.

142, 6. *οὐχ ὅπως*] *ἤγουν οὐ μόνον.* P.

142, 26. *ἑτέραν*] *αἰτίαν.* P.

143, 23. *ἕτερος*] *ὁ Φίλιππος.* P.

143, 29. *ἔρημον*] *ὡς ἔρμαιον ἢ θησαυρὸν ἐπ' ἐρημίας εὑρὼν, μηδενὸς μήτε προϊσταμένου μήτε φυλάττοντος.* F.Y.P.

145, 1. *ἄπιστος*] *ἀντὶ τοῦ μηδετέρους φιλῶν.* F.Y.P.

145, 2. *τοῖς ἑτέροις*] *τοῖς νικήσασιν.* P.

145, 6. *ἥκιστα*] *πάνυ.* B.P.

145, 24. *ἀχθεσθῆναι*] *διὰ μίσους γενέσθαι.* Less.

145, 27. *κεκλημένοι*] *ἀπατώμενοι.* Less.

145, 28. *ἕτεροι*] *οἱ προδόται καὶ ὁ Φίλιππος.* Y.P.

146, 2. *παραθεὶς*] *εἰς σύγκρισιν ποιήσας.* Less.

147, 19. *Ὠρείταις*] *ἀπὸ τόπου τοῦ Ὠρεοῦ.* B.

150, 5. *καίτοι*] *ἕως ὧδε τὰ περὶ τῶν ἐν Χερρονήσῳ ἐκ τοῦ προτέρου ἀστερίσκου.* B.

150, 7. *Ἀριστόδημε*] *προδότης ἦν οὗτος.* P.

φιλαίτιον] *Ἰσοκράτης ἐπὶ τοῦ φιλοῦντος ἄλλους αἰτιᾶσθαι, νῦν δὲ ἐπὶ τοῦ εἰωθότος αἰτίας καὶ κατηγορίας ὑπομένειν παρὰ τῶν ἄλλων.* F.Y.P.

150, 28. *σοὶ μὲν γὰρ*] *σημείωσαι, κύκλος.* B.F.Y.P.

1. *ἐπιγραφέντος*] *ἐπιγράφοντος* B. Notavit vitium Reiskius. Vid. ad p. 150, 5.

25. *Ἰσοκράτης*] p. 9. A.

28. *σημείωσαι* om. P. Ceterum omisi quæ in B. ad p. 143, 14. 145, 16. ex Suida s. v. *ὑπόθεσις* et *ἀρχεῖα* sunt adscripta.

XI.

ΠΡΟΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ ΤΗΝ ΦΙΛΙΠΠΟΥ.

152, 1. ΟΤΙ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλεμον] Σηλυβρίαν ἐπολιόρκει Φίλιππος, πόλιν τῶν ἐπὶ Θρᾴκης· Ἀθηναῖοι δὲ ἀπέστειλαν ἐν τῷ καιρῷ τούτῳ σιτηγήσοντα αὐτοῖς πλοῖα· καὶ ὑπονοήσας Φίλιππος μὴ ἐπὶ σιτηγίᾳ πεπομφέναι τὰ πλοῖα, ἀλλ' ἐπὶ συμμαχίᾳ 5 Σηλυβριανῶν, ἔλαβε ταῦτα τὰ πλοῖα, καὶ γέγραφεν Ἀθηναίοις ἐπιστολὴν, αἰτιώμενος ὅτι βοηθοῖεν Σηλυβριανοῖς οὐ συμπεριειλημμένοις ταῖς συνθήκαις, καὶ παρ' αὐτοῖς εἶναι τὸ λελύσθαι τὴν εἰρήνην, ἀπειλῶν τε ἀμυνεῖσθαι αὐτοὺς παντὶ σθένει. ταύτης τῆς ἐπιστολῆς ἀναγνωσθείσης ὁ Δημοσθένης προτρέπει φανερῶς ἐπὶ τὸν πόλεμον, 10 ὡς τοῦ Φιλίππου δεδωκότος τὸ σύνθημα.· ἔοικε δὲ προτροπῇ τινι ἐπὶ στρατοπέδου λεγομένῃ μᾶλλον ἢ δημηγορίᾳ. καὶ περιέχει κεφάλαια τρία· τὸ δίκαιον, τὸ συμφέρον, τὸ δυνατόν. καὶ λαμβάνει τὸ μὲν δίκαιον εἰς κατασκευὴν τοῦ δυνατοῦ· τὸ δὲ δυνατὸν καινοτέρᾳ μεθόδῳ μετακεχείρισται καὶ ἀγωνιστικωτέρῳ τρόπῳ συμπέπλεκται· οὐ γὰρ 15 ἰδίᾳ μὲν περὶ τῆς πόλεως εἴρηκεν, ἰδίᾳ δὲ περὶ Φιλίππου, ἀλλ' εἰς ταὐτὸν ἤνωκε καὶ συνήγαγεν ἄμφω τὰ μέρη τοῦ δυνατοῦ, καὶ τοιαύτῃ μεθόδῳ περὶ τοῦτο κέχρηται, περιττότερόν τι νῦν ἢ ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν προσεξευρὼν καὶ διδοὺς χρῆσιν ἀμφοτέρων τῶν μεθό-

2. Σηλυβρίαν ἐπολιόρκει] Hujus nulla fit mentio in superiore epistola: nisi forte illud de interclusa Hellespontiaca navigatione eo pertineat. WOLF.

5. σιτηγίαν T.C.
συμμαχίαν T., non C.
7. βοηθοῖεν Wolfius pro βοηθεῖεν.
8. καὶ om. C.
αὐτοὺς T.

δων. ἐκεῖ μὲν γὰρ ἦν ἑκάτερον καὶ λόγος περὶ ἑκάστου κεχωρισμένος ἁπλῶς, ἐνταῦθα δὲ διπλοῦν τὸ εἶδος, κατὰ τὸ αὐτὸ συμπεπλεγμένων τῶν δύο δυνατῶν, καὶ λέλυκεν ἐν αὐτῷ ἀνθυποφορὰν καὶ ἀντίθεσιν· τὴν μὲν ἀπὸ τῆς ἐργασίας κατασκευὴν καὶ ἀπόδειξιν ὡς ἐξ ὁμολογουμένων εἰλημμένην, ὡς παραβεβηκότος τὴν εἰρήνην Φιλίππου· 5 ἑτέραν δὲ τοῦ δυνατοῦ κατασκευάζοντος, ὡς χρὴ μηδαμῶς ὀρρωδεῖν τὸν πόλεμον. εἰσέβαλε δὲ μετὰ τὸ προοίμιον εἰς τὴν ἐργασίαν τοῦ νομίμου κεφαλαίου· ὃ δὴ καὶ λαμβάνει πρὸς ἀπόδειξιν τοῦ δυνατοῦ ἀπὸ ταύτης τῆς λέξεως στοχαστικῶς "πρῶτον μὲν γὰρ εἰκὸς, ὦ "ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς μεγίστους ἡμῖν ὑπάρχειν συμμάχους 10 "καὶ βοηθούς." τοῦτο δὲ ὑπάρχει κατασκευὴ τοῦ δυνατοῦ ἀπὸ τοῦ νομίμου λαμβάνουσα τὴν σύστασιν, ὥστε τὸ μὲν δυνατὸν εἶναι τὸ κατασκευαζόμενον, διὰ δὲ τοῦ νομίμου τὰς ἀποδείξεις αὐτοῦ συμπεραίνεσθαι. νόμιμον δέ ἐστι τὸ ἔγγραφον δίκαιον. παρατηρητέον δὲ κἀκεῖνο, ὅτι αἱ αὐταὶ ἀποδείξεις εἰσὶ πολλαχοῦ τοῦ τε δυνατοῦ 15 Φιλίππου καὶ τοῦ τῶν Ἀθηναίων, πῇ μὲν μεμιγμέναι, πῇ δὲ κεχωρισμέναι. ἡ πρώτη γοῦν ἔννοια διπλῆ καὶ τὴν καθαίρεσιν παριστῶσα τοῦ Φιλίππου δυνατοῦ καὶ τὴν αὔξησιν τοῦ τῶν Ἀθηναίων δυνατοῦ. ἡ δὲ δευτέρα ἔννοια, ἧς ἡ ἀρχὴ "ἔπειθ' οἷς πρότερον ηὐξήθη φενακίζων "ἀεὶ τινὰς καὶ μεγάλα ἐπαγγειλάμενος εὐεργετήσειν" μέχρι τοῦ 20 "ἅπαντας ὑφορᾶσθαι καὶ διαβεβλῆσθαι πρὸς αὐτόν," μᾶλλον μὲν ἔχει τὴν ἀπόδειξιν τῆς καθαιρέσεως τοῦ δυνατοῦ τοῦ Μακεδόνος, συνθεωρεῖται δὲ καὶ τὸ δυνατὸν τῶν Ἀθηναίων. ἡ δὲ τρίτη ἔννοια, "ἔτι τοίνυν, οὐ γὰρ σμικρὸν, οἱ κατὰ τὴν Ἀσίαν σατράπαι," τοῖν δυοῖν ἐστιν ἀποδεικτικὴ, πλέον μὲν ἔχουσα τὸ ἀποδεικτικὸν τοῦ δυνα- 25 τοῦ τῶν Ἀθηναίων, συνθεωρουμένην δὲ καὶ τὴν τοῦ Φιλίππου καθαίρεσιν. ἡ δὲ τετάρτη ἔννοια, "πρὸς τοίνυν τούτοις τηλικούτοις οὖσιν οὐκ "ἐρῶ μέν," εἴληπται καὶ αὐτὴ ἀπὸ τοῦ ἀδίκου πρὸς τὴν αὐτὴν κατα-

1. ἑκάτερα C.
λόγος] λόγοις V.
κεχωρισμένος C. ut Wolfius. συγκεχωρισμένος T.V.
3. αὐτῷ Wolfius pro ἑαυτῷ.
5. εἰλημμένην Wolfius pro εἰλημμένος.
9. ταύτης om. V.
πρῶτον] p. 153, 1.
15. πολλαχοῦ] πανταχοῦ C.
τοῦ τε δυνατοῦ Wolfius pro τοῦτο δὲ τοῦ (τοῦ δὲ τοῦ C.) δυνατοῦ. Idem addidit καὶ τοῦ τῶν Ἀθηναίων.
20. εὐεργετήσειν Wolfius pro εὐεργέτησε.
21. αὐτὸν] ἑαυτὸν V.
24. ἔτι] p. 153, 20.
27. πρὸς] p. 154, 3.

σκευὴν τῆς καθαιρέσεως Φιλίππου καὶ συστάσεως τῆς τῶν Ἀθηναίων ῥώμης. ἡ δὲ πέμπτη ἔννοια, "καὶ πολλάκις εὑρίσκω λογιζόμενος," μονομερῶς καθαιρετικὴ τοῦ δυνατοῦ Φιλίππου, ἡ περὶ τῆς οἰκείας ἀρχῆς αὐτοῦ, ὑπὲρ ἧς τὸ θεώρημα ἡμῖν εἴρηται ἐν τῷ δευτέρῳ· δι' ἣν αἰτίαν εἴρηκεν αὐτὴν ἐν μὲν προσθήκης μέρει ῥοπὴν ἔχειν, αὐτὴν δὲ καθ' αὑτὴν ἀσθενῆ· τοῦτο γὰρ τεκμήριον τῆς ἀσθενείας αὐτῆς ἐστιν, αὐτὸ τὸ μετὰ πολλῶν μὲν τολμᾶν, κατὰ μόνας δὲ μὴ τολμᾶν στρατεύεσθαι. πρὸς τοῦτο ἀντέπεσεν ἀπὸ τῆς ἐργασίας αὐτῷ, Ἀλλ' εἰκὸς χαίροντας Μακεδόνας τοῖς γινομένοις προθύμως συμπράττειν Φιλίππῳ· τοῦτο ἔλυσεν εἰπών· "μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, "τοῖς αὐτοῖς χαίρειν τούς τε ἄρχοντας τε καὶ τοὺς ἀρχομένους." ἕκτη, ἡ περὶ τῶν ἡγεμόνων τῶν ξένων, καὶ αὐτὴ καθαιρετικὴ τοῦ δυνατοῦ Φιλίππου. εἶτα ἐπειδήπερ παράδοξον ἔννοιαν εἶπε, καὶ διὰ τοῦτο σχεδὸν ἀπίθανον ἐν τῷ περὶ τῶν ξένων λόγῳ, ὅτι τὰ μάλιστα σκορακίζονται, αὐτὸς ἑαυτοῦ ἐλάβετο καὶ ᾔσθετο τῆς παραδόξου ἐννοίας. ἔλυσε γοῦν εὐθέως εἰπών· "καὶ τούτοις οὐδ' ἂν εἷς εὖ "φρονῶν ἀπιστήσειε·" καὶ ἐπάγει διὰ τῶν ἑξῆς τὴν αἰτίαν. πρὸς ταῦτα τοίνυν ἅπαντα τὰ προειρημένα περὶ τοῦ δυνατοῦ ἀνθυποφορά τις ἀντέπεσε· "πῶς οὖν, εἴπερ ἔστι τὰ τοιαῦτα, πιστῶς ἤδη πολὺν "χρόνον αὐτῷ παραμένουσιν;" ἐκ γὰρ τῶν εἰρημένων ἁπάντων πρὸς καθαίρεσιν ἠθροίσθη τις αὐτῷ δόξα ἀπιθανότητος, ὅτι εἰ ταῦτα ἦν ἀληθῆ, πάντως ἂν ἀπέστησαν. αὐτὸς δὲ καὶ ταύτην ἔλυσεν εἰπὼν ὅτι "τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς τοιούτοις." ἄλλη ἀντίθεσις πρὸς τὸ δυνατὸν ἀντέπεσεν. ἐπειδὴ γὰρ πάντα τὰ μέρη τῆς δυνάμεως καθεῖλεν, ἐλείπετο δὲ τὸ ἀπὸ τῆς τύχης, ἐξ ἀντιθέσεως τοῦτ' ἔλαβεν· "εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον "ὁρῶν εὐτυχοῦντα φοβερὸν εἶναι καὶ δυσπολέμητον νομίζει." πρὸς

1. τῆς κ.] τὴν κ. C. τῶν om. T.C.
2. καὶ (καὶ om. V.)] p. 154, 13.
3. ἡ] ἢ Wolfius.
5. αὐτὴν—ἀσθενῆ] αὐτὴ—ἀσθενὴς C.
7. αὐτὸ om. C. Proximum τολμᾶν add. Wolfius.
10. εἰπών] p. 154, 23.
11. τούς τε ἄρχοντας habent T.C. P. om. V. Pro eo Φίλιππόν τε Wolfius ex p. 154, 24.
15. ἐλάβετο T. ἀπελάβετο C. ἐπελάβετο V.
16. καὶ τούτοις] p. 155, 15.
19. πῶς] p. 155, 20.
23. ἄλλη] ἄλλη τις V.
25. ἐλείπετο (vel ἐλύπει) Wolfius pro ἔλειπε (ἔλιπε C.).
τύχης Wolfius pro ψυχῆς.
26. τοῦτ' add. Wolfius.
εἰ] p. 156, 7.

δὲ τοῦτο καὶ διὰ τοῦτο ἐγύμνασε καὶ οὐ καθεῖλεν, ἐπειδὴ πλεῖστα αὐτῷ συμβάλλεται· προκατασκευὴν γὰρ τοῦ δυνατοῦ τῶν Ἀθηναίων ἔχει. καὶ ἡ κατασκευὴ δὲ τῆς ἀντιθέσεως οὐκ ἔστιν αὐξητικὴ τοῦ δυνατοῦ τοῦ Φιλίππου, ἀλλ' αὐτῆς τῆς δυνάμεως τῆς τύχης ἐστὶν αὐξητικὴ καὶ τῆς παρὰ τοῦ δαιμονίου ῥοπῆς. διὰ τοῦτο δὲ τὴν τύχην ἠύξησε καὶ τὴν παρ' ἐκείνης ῥοπὴν, ἵνα μᾶλλον τὸ τῶν Ἀθηναίων δυνατὸν αὔξησιν λάβῃ· ὅσῳ γὰρ ἂν αὐξηθῇ τὰ τῆς τύχης καὶ ὅσῳ ἂν ἀποδειχθῇ μετὰ τῶν Ἀθηναίων ἡ τύχη, τοσούτῳ μᾶλλον καὶ τὸ τῶν Ἀθηναίων δυνατὸν ἰσχυρότερον φανεῖται. πρὸς τοῦτον οὖν τὸν περὶ τῆς τύχης λόγον, ἐν ᾧ ἀποδείκνυται ὅτι ἡ Ἀθηναίων πόλις εὐτυχεστέρα, ἀντέπεσεν ἀνθυποφορά· "τί ποτ' οὖν ἐκεῖνος ἐν τῷ "προτέρῳ πολέμῳ πλείῳ κατώρθωσεν ἡμῶν;" ταύτην ἔλυσε τῷ συμφέροντι, τῆς ῥαθυμίας κατηγορῶν καὶ τῆς δεινῆς ἀργίας καὶ ἐκλύσεως, ἣν ἐπιδείκνυνται ἐν τοῖς πράγμασι μέλλοντες καὶ καθήμενοι καὶ ψηφιζόμενοι καὶ πυνθανόμενοι. εἶτα ἐτρέψατο ἐπὶ τὸ αἰσχρὸν καὶ τὸ ἄδοξον μέρος τοῦ συμφέροντος, εἰ δὲ βούλει τοῦ ἀσυμφόρου· "καίτοι τί γένοιτ' ἂν νεώτερον ἢ Μακεδὼν ἀνὴρ κατα- "φρονῶν Ἀθηναίων καὶ τολμῶν ἐπιστολὰς πέμπειν τοιαύτας οἵας "ἠκούσατε μικρῷ πρότερον." εἶτα ἐπάνεισιν ἐπὶ τὸ δυνατὸν, πάλιν τιθεὶς τὴν πρώτην λύσιν τῆς ἀνθυποφορᾶς, καὶ τὴν αἰτίαν ἀποδίδωσι δι' ἣν ἐκεῖνος μὲν κατορθοῖ, ἡ πόλις δὲ οὐδαμῶς· καὶ τόπον ποιεῖται κατὰ τῶν ῥητόρων, ἐνδεικνύμενος ὅτι διὰ τούτους ἐκεῖνος κατορθοῖ· ἡ πόλις δὲ οὐδὲν τῶν ἐκείνου πραγμάτων στασιάζειν παρασκευάζει. εἶτα πληρώσας τὰς λύσεις τῆς ἀνθυποφορᾶς, ἃς εἴληφεν ἐκ τοῦ συμφέροντος καὶ τοῦ δυνατοῦ, καὶ εὐλαβηθεὶς μὴ πάλιν ἐπὶ τὴν εἰρήνην δράμωσιν Ἀθηναῖοι, καὶ πρεσβείαις πειράσωνται διαλῦσαι τὰ παρακεκινημένα, ὑπετέμετο καὶ ταύτην τὴν ἔννοιαν εἰπών· "ὦν, ὦ "ἄνδρες Ἀθηναῖοι, χρὴ λαβόντας ἔννοιαν, καὶ λογισαμένους ὅτι "οὐδὲ ἐφ' ἡμῖν ἐστι τὸ φάσκειν ἄγειν εἰρήνην· ἤδη γὰρ ἐκεῖνος καὶ

1. ἐγύμνασε Wolfius pro ἐγύμνωσε.
9. φανεῖται] φαίνεται, superscripto φανεῖται, T. φαίνεται C.
πρὸς T.C. καὶ πρὸς V.
10. ἐν ᾧ add. Wolfius.
11. τί ποτ'] p. 156, 22.
14. τοῖς πράγμασι] τῷ πράγματι V.
17. καίτοι] p. 157, 1.
20. τιθεὶς add. Wolfius.
27. ὦν] p. 157, 17.
29. γὰρ—Φίλιππος] γάρ ἐστιν ὁ φίλιππος προηγορευκώς C.

" προηγόρευκεν ὁ Φίλιππος τὸν πόλεμον καὶ τοῖς ἔργοις ἐξενήνοχε." ταῦτα γάρ ἐστιν ἀπομαχομένου πρὸς ἐκείνην τὴν ἔννοιαν, ὅτι ἴσως οὐδέπω λέλυται ἡ εἰρήνη, καὶ δυνατόν ἐστι διαλῦσαι τὰς ὑποψίας ταύτας. ἐπήγαγε δὲ πάλιν τὸ δυνατὸν εἰπὼν " μηδενὸς μὲν φείδε- " σθαι μήτε τῶν δημοσίων μήτε τῶν ἰδίων." εἶτα ἑτέραν πάλιν ἐπὶ τούτοις ἐπιλογικὴν ὑπόνοιαν ἀνήρηκεν· Ἀλλὰ δυνησόμεθα διὰ τῶν ξένων αὐτὸν ἀμύνασθαι. ταύτην μὴ θεὶς ἔλυσεν εἰπών· " μὴ γὰρ " ὑπολάβῃ τις ὑμῶν δι' ὧν ἐγένετο τὰ πράγματα χείρω τῆς πόλεως, " διὰ τούτων αὐτὰ πάλιν ἀναλήψεσθαι." καὶ ἕτερον ἐν ᾧ καὶ τὴν ἀντίθεσιν ἐπεσημήνατο· " μηδὲ νομίσητε, ῥᾳθυμούντων ὑμῶν ὥσπερ " πρότερον, ἑτέρους ὑπὲρ τῶν ὑμετέρων ἀγωνιεῖσθαι προθύμως." τοῦτο γάρ ἐστιν ἐνδεικτικὸν τῆς ἀντιθέσεως ὅτι ἀλλὰ δυνησόμεθα διὰ τῶν ξένων ἀδικοῦντα αὐτὸν κωλῦσαι· ἣν ἐκ προλήψεως ἔλυσε, καὶ ἐπισημαινόμενος πάλιν οὐδὲν ἧττον λύει, καὶ συνάπτει τοὺς ἐπιλόγους ἀπὸ τοῦ αἰσχροῦ ἐπιχειρῶν, ἀπὸ τῆς τῶν προγόνων κρίσεως, ἀπὸ τῆς τοῦ πολεμίου κρίσεως, ἀπὸ τῆς ποιότητος τῆς πόλεως, ἀπὸ τοῦ μεγέθους τῶν ἔργων καὶ τῶν κατορθωμάτων τῶν προγονικῶν, ἅπερ ἂν εἴη τοῦ ἐνδόξου. καὶ ταῦτα μὲν ἀπὸ τοῦ συμφέροντος εἰς τὸν ἐπίλογον· ὁ γὰρ τοῦ αἰσχροῦ καὶ τοῦ ἐνδόξου καὶ τοῦ πρέποντος τόπος καὶ τοῦ καλοῦ ἴδιος ἂν εἴη τοῦ συμφέροντος. εἶτα ἀπὸ τοῦ δυνατοῦ πάλιν ἐπιλογίζεται " χρῆναι πάντας παρασκευάζεσθαι μὲν " πρὸς τὸν πόλεμον, παρακαλεῖν δὲ τοὺς Ἕλληνας μὴ λόγοις, ἀλλ' " ἔργοις." εἶτ' ἐπειδήπερ ἀντέπεσεν, Ἀλλὰ πολλάκις παρακαλέσαντες οὐκ ἐπείσαμεν, ἔλυσε καὶ τοῦτο εἰπὼν αὐτοὺς αἰτίους εἶναι, πρεσβευομένους μὲν καὶ τηνάλλως λέγοντας, δεικνύντας δὲ πράξεως μηδὲν ἔργον· εἰωθέναι δὲ ἅπαντας τοῖς ἔργοις μᾶλλον ἢ τοῖς λόγοις προσέχειν, καὶ μάλιστα τῶν ἐξηπατηκότων λόγοις πολλάκις. T. C.V.

152, 1. Ὅτι μὲν] μεστὸν παραμυθίας τὸ προοίμιον. F.Y.P.

152, 3. ὑμῖν] καλῶς τὸ ὑμῖν, ὡς ἂν εἰ ἔλεγεν, ἐμοὶ γὰρ καὶ πάλαι φανερὸν ἦν. F.Y.P.

3. οὐδέπω] οὐδέποτε C.
5. πάλιν om. T.
7. μὴ] p. 157, 54.
9. καὶ τὴν T.C. καὶ om. V.
10. ῥᾳθυμούντων] ἀθυμούντων libri.
13. κωλῦσαι] ἀμύνασθαι C.
15. τοῦ αἰσχροῦ] τῶν αἰσχρῶν V.
21. χρῆναι] p. 158, 12.

ἐπειδὴ] κατασκευὴ τῆς προτάσεως. F.Y.P.

152, 4. Ἅλον] Ἅλος καὶ Φάρσαλος δύο πόλεις Θετταλικαί· αὗται πρὸς ἑαυτὰς ἐστασίαζον. καὶ οἱ μὲν Ἅλιοι τοῖς Ἀθηναίοις φίλοι ὑπῆρχον, οἱ δὲ Φαρσάλιοι τῷ Φιλίππῳ. χειρωσάμενος δὲ τοὺς Ἁλίους Φίλιππος παρέδωκε τοῖς Φαρσαλίοις τοῖς φίλοις αὐτοῦ. 5 ἰστέον δὲ ὅτι βουλόμενος εἰπεῖν ὁ ῥήτωρ ἅπερ ἠδίκησεν αὐτοὺς ὁ Φίλιππος μετὰ τὴν εἰρήνην, οὐ κατὰ τάξιν κέκριται, ἀλλ' ἀδιαφόρως· πρῶτον γὰρ ἐγένετο τὸ κατὰ Θρᾴκην, εἶτα τὰ περὶ Ἅλου καὶ Φαρσάλου, καὶ ὕστερον τὸ περὶ Φωκέας. F.Y.P.

152, 6. αἰτίας οὐκ οὔσας] οἷον περὶ Διοπείθους, λέγων ὅτι ἀδικεῖ 10 τὴν εἰρήνην πολεμῶν, καὶ περὶ Φωκέων, ὅτι ἱερόσυλοί εἰσι, καὶ περὶ Ἁλίων, ὅτι τοὺς Φαρσαλίους ἀδικοῦσι. F.Y.P.

152, 7. τῷ μὲν] συμπέρασμα τοῦ προοιμίου. εὐθὺς δὲ ἀπ' αὐτοῦ εἰσβολὴ τοῦ δυνατοῦ κεφαλαίου. F.Y.P.

152, 9. ὀρρωδεῖν] τὸ φοβεῖσθαι· εἴρηται δὲ ἀπὸ τοῦ ὀρροῦ καὶ 15 τοῦ δέους· ὀρρὸς δὲ λέγεται ἡ πυγὴ τῶν ὀρνίθων· ὅθεν καὶ ὀρροπύγιον. ἐπειδὴ οὖν συμβαίνει ταῖς ὄρνισιν ἐν τῷ φοβεῖσθαι ἀποπατεῖν καὶ τὸν ὀρρὸν ὑπὸ τοῦ δέους ἐπείγεσθαι πρὸς τὸ ἀφοδεῦσαι, διὰ τοῦτο εἴρηται τὸ φοβεῖσθαι ὀρρωδεῖν. λέγεται δὲ καὶ ἀρρωδεῖν. Y.

153, 2. τοὺς θεοὺς] οὐκ ἔχων δεῖξαι δύναμιν ὑπάρχουσαν ἐπὶ 20 τοὺς θεοὺς καταφεύγει, λέγων αὐτοὺς συμμαχεῖν Ἀθηναίοις διὰ τὸ μισεῖν Φίλιππον. εἶτα ἐπειδὴ ἄδηλον ἦν εἰ ἐμίσουν αὐτόν, ἐπήγαγε τὴν ἐπιορκίαν, κατασκευάζων ἐκ τούτων ὡς τοῖς τοιούτοις πολέμιοι ἀεὶ καθεστᾶσιν οἱ θεοί. F.Y.P.

153, 8. Περινθίων] Πέρινθος πόλις Θρᾴκης, ἥτις νῦν καλεῖται 25 Ἡράκλεια, οὐ πολὺ ἀπέχουσα τοῦ Βυζαντίου· διὸ εὐθὺς συνῆψε τούτοις τὸ Βυζάντιον. F.Y.P.

153, 12. ὑποπτεύεται] ἐπειδὴ ἐδόκουν τέως εἶναι φίλοι οἱ Θη-

2. Ἅλος in Y. hic et infra sine spiritu.
δύο addidi ex Y.
3. τοῖς om. P.
5. αὐτοῦ] αὐτοῦ Y.
6. ἡ. αὐτοὺς] αὐτοὺς ἡ. F.P.
7. κέκριται] κέχρηται F.Y.
8. τὰ] τὴν Y.P.
13. εὐθὺς δὲ ἀπ' αὐτοῦ om. F.P. qui lemma ponunt ὅτι δὲ χρὴ (152, 9.) ante εἰσβολή.
26. πολὺ] πολὺν Y.
τούτοις hoc loco Y., post Βυζάντιον F.P.

βαῖοι, ὑποψίαν ἐπ' αὐτῶν εἶπεν· ἡ δὲ ὑποψία πόλεμον πάλιν ὠδίνει κατὰ γνώμην. F.Y.P.

153, 13. Νίκαιαν] ἰστέον ὅτι πολὺ ἀφέστηκε τῶν Θηβαίων αὕτη· ἐν γὰρ ταῖς Πύλαις κεῖται. καλεῖ δὲ αὐτὴν Θηβαίων, ἐπειδὴ ἄποικος ἦν αὐτῶν. F.Y.P.

κατέχων] ὡς ἐπὶ τυράννου ἡ λέξις. F.P.

157, 17. ὦν, ὦ ἄνδρες Ἀθηναῖοι] ἐπίλογος. F.P.

XII.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

159, 11. τιρίστασιν] τιρίστασιν οἶμαι τὴν περίστασιν λέγει. B.P.

1. τιρίστασιν—λέγει] Indocti annotatio grammatici, qui Τιρίστασιν, quod est Thraciæ oppidum, ex περίστασιν corruptum putavit. Porro in B. Suidæ gl. ὑπόγυιον adscripta est ad p. 161, 29.

XIII.

ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ.

166, 1. ΠΕΡΙ μὲν τοῦ παρόντος ἀργυρίου καὶ ἂν ἕνεκα τὴν ἐκκλησίαν ποιεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι] ὁ περὶ συντάξεως λόγος οὐκ ἔχει προφανῆ τὸν χρόνον, εἰκάσειε δ' ἄν τις αὐτὸν εἰρῆσθαι πρὸ τῶν Φιλιππικῶν, ἀφεστηκότων μὲν ἤδη τῶν συμμάχων, Ῥοδίων δὲ ὀλιγαρχουμένων. ὥστε ὅσοι συντάττουσιν αὐτὸν τοῖς Φιλιππικοῖς, 5 ἠγνοήκασι παντελῶς ὅτι τῶν Φιλιππικῶν ἐστὶ προγενέστερος. ἔοικε δέ τις Εὐβούλου νενικηκέναι γνώμη τὰ στρατιωτικὰ θεωρικὰ γενέσθαι. μεθ' ἣν ἐπιχειροτονίαν οὐκέτι μὲν ἀντιλέγειν δύναται τῷ λαμβάνειν, συντρέχων δὲ ταῖς διανομαῖς εἰσηγεῖται δεῖν τὴν ἐκκλησίαν γενέσθαι, καὶ ἐν ἐκείνῃ κυρῶσαι ἅπερ ἀξιοῖ καὶ αὐτός. ἀξιοῖ δὲ 10 προστεθῆναι τῷ λαμβάνειν τάξιν τοῦ πράττειν τινὰ τὰ δέοντα. οὐκ ἔστι δὲ ἡ περὶ τούτου προκειμένη συμβουλὴ νῦν ἐντελής, ἀλλ' εἰσήγησις μόνη καὶ προτροπὴ τισὶν ἐν ἑτέρᾳ ἐκκλησίᾳ τὴν τάξιν κυρώσουσιν. ἀξιοῖ δὲ καὶ τοὺς καιροὺς διαταχθῆναι, τόν τε τοῦ πολέμου καὶ τὸν τῆς εἰρήνης· καὶ τὰ κεφάλαια δὲ περὶ ὧν αὐτοὺς δεῖ βου- 15 λεύσασθαι προτίθησι νῦν καὶ προαναφωνεῖ. τὸ δὲ σύμπαν ἐστὶν ὥστε διὰ παντὸς μὲν λαμβάνειν αὐτούς, λαμβάνοντας δὲ, ὡς ἔφη μηδενὸς τῶν πρακτέων ῥᾳθυμεῖν ὅτου καιρὸς εἴη. ἐπειδὴ γὰρ οὐκ ἔσχεν ἀντειπεῖν κρατούσῃ Εὐβούλου τῇ γνώμῃ περὶ τοῦ λαμβάνειν, ἦλθε λοιπὸν ἐφ' ἑτέραν ὁδὸν δι' ἧς προστίθησι καὶ αὐτὸς τὴν 20 ἑαυτοῦ γνώμην, τὸ δεῖν πράττειν δι' αὐτῆς εἰσηγούμενος. καὶ ἡ μὲν

15. αὐτοὺς δεῖ βουλεύσασθαι] δεῖ βουλεύεσθαι αὐτοὺς V. Tum προτίθησι Wolfius pro προστίθησι.

18. ῥᾳθυμεῖν cum genitivo constructum offendit Wolfium, qui ἀμελεῖν posuit.

19. κρατούσῃ (λοιπὸν addunt T.C.) — γνώμῃ] κρατούσης εὐβούλου τῆς γνώμης V.

21. τὸ δεῖν] τί δεῖ Wolfius dubitanter.

ὑπόθεσις καὶ ὁ σκοπὸς τοῦ λόγου τοῦτον ἔχει τὸν τρόπον, οὔτε δὲ περὶ πολέμου πρόκειται συμβουλή τις οὔτε περὶ τοῦ δεῖν ἄγειν εἰρήνην ἡ σκέψις πάνυ, ἀλλ' ἔστιν, ὡς ἔφην, εἰσήγησις ἀξιοῦντος προστιθέναι τῇ κεκρατηκυίᾳ γνώμῃ περὶ τοῦ λαμβάνειν τὸ πράττειν τὰ δέοντα, χρωμένους ἀφορμῇ ταύτῃ. παρὰ τῶν τῆς πόλεως Εὐβούλου μικρὰ δεδωκότος καὶ πρὸς χρόνον ῥητὸν τῶν πανηγύρεων, οὗτος καὶ διὰ παντὸς δίδωσι καὶ πλείονα, εἰ μόνον ἐθέλοιεν διὰ τοῦτο λαμβάνειν, ἵνα καὶ τὰ δέοντα πράττοιεν. τὸ δὲ πρῶτον κεφάλαιον τοῦ λόγου, εἰ μὲν ἐντελῆ τὴν ἐργασίαν εἶχε τοῦ πῶς χρὴ λαμβάνειν πεζοὺς καὶ ἱππέας καὶ τριηρίτας, καὶ πότε καὶ πῶς δεῖ συντετάχθαι, ἀπεφήνατο ἄν τις εἰκότως, θαρρῶν εἶναι τὸ δυνατόν· ἐπεὶ δὲ οὐ περὶ τούτων νῦν ὁ λόγος ἐστὶν, ἀλλ' ἁπλῆ τις εἰσήγησις περὶ τοῦ καταδέξασθαι λόγον περὶ τούτων καὶ προθεῖναι γνώμην τῷ βουλομένῳ, εἰκότως ἄν τις ἀποφήναιτο τοῦ συμφέροντος εἶναι. ὅθεν δὴ τὸ συμφέρον ἀποφαντικῶς φαμὲν τὸν λόγον ἔχειν κατὰ τὸ πρῶτον κεφάλαιον, εἰσηγουμένου τοῦ ῥήτορος συμφέρον εἶναι περὶ τῆς παρασκευῆς βουλεύεσθαι, ὡς περιεκτικὸν μὲν εἶναι τὸ συμφέρον, περιεχόμενον δὲ τὸ δυνατόν· πάντες γὰρ οἱ περὶ τοῦ δυνατοῦ λόγοι καὶ πᾶσαι δὲ αἱ ἀποδείξεις ἀπὸ τοῦ συμφέροντος ἔχουσι τὰς κατασκευάς. ἀρκτέον δὲ λέγειν ἄνωθεν. τὸ τοίνυν προοίμιον ἐρρητόρευται αὐτῷ κατὰ τὸν τρόπον τοῦ ὑπὲρ Μεγαλοπολιτῶν καὶ περὶ τῶν ἐν Χερρονήσῳ στρατιωτῶν· καὶ γὰρ ἐν ἐκείνοις προστιθέμενος θατέρῳ μέρει προσποιεῖται μηδετέρῳ συναγορεύειν, ἀλλ' ἀεὶ τὸ μέσον ζητεῖν. τοῦτο δέ ἐστι τὸ τῆς πόλεως συμφέρον· εἰ γὰρ μήτε τοῖσδε μήτε ἐκείνοις συναγορεύειν ἐπαγγέλλεται, δῆλον ὅτι τοῦ κοινῇ λυσιτελοῦντος εἵνεκα παρεληλυθὼς ἐπὶ τὸ βῆμα φανήσεται. ὅθεν δὴ καὶ τοῖς ἀποτρέπουσι προστίθεται· οὐχ ἁπλῶς δὲ προστίθεται, ἀλλὰ μετὰ τοῦ ἀποδεικνύναι τοῦτο λυσιτελοῦν τῇ πόλει καὶ χρήσιμον.

2. περὶ π. Wolfius. Aberat περί.
οὔτε] Legebatur οὐδέ.
3. ἡ σκέψις om. C.V.
5. χρωμένους] χρωμένη V.
παρὰ Wolfius pro περί.
τῶν om. T.
6. οὗτος] οὕτω C.V. αὐτὸς Wolfius.
10. δεῖ συντετάχθαι] διασυντετάχθαι T.
11. ἀπεφήνατο] ἀπεφήναιτο (sic) V.
δυνατὸν] δύναμιν V.
13. τούτων—βουλομένῳ supra post συντετάχθαι habet C.
14. ἀποφήναιτο] ἀποφαίνεται V.
18. περὶ in marg. habet T., om. C.V.
τοῦ δυνατοῦ] τοῦ συμφέροντος C.V.
19. δὲ om. C.V.
21. τὸν om. C.V.
25. ἐπαγγέλλεται] βούλεται C.V.

ὅσοι μὲν γὰρ θατέρῳ μέρει συνίστανται αὐτοῦ τοῦ μέρους τὸ λυσιτελὲς μόνον ζητοῦντες, οὗτοι παντελῶς δοκοῦσιν ἀμελεῖν τοῦ κοινῇ συμφέροντος εἰρημένου, ὅπερ κἀν τούτῳ καὶ ἐν ἐκείνοις διαπραττόμενος φαίνεται. τοιοῦτόν ἐστι τὸ λεγόμενον παρ' αὐτοῦ κατ' Αἰσχίνου ἐν τῷ περὶ τῆς παραπρεσβείας λόγῳ, ὅτι βουλευομένης τῆς πόλεως τὸ περὶ τοῦ πότερον δεῖ Φίλιππον Ἀμφικτύονα ἐγγράφειν, ἢ μή, ὁ μὲν Αἰσχίνης οὐδὲν τῶν συμφερόντων οὐδὲ τῶν βλαπτόντων τὴν πόλιν σκοπουμένος οὕτω συνηγόρει τῷ Μακεδόνι, δηλονότι ἐγκωμιάζων, ἢ καὶ φοβῶν τοὺς ἀκούοντας, ἢ τὸ δίκαιον προτείνων, ὅτι ἄτοπον τῶν ἄλλων ἄξιον αὐτὸν νομιζόντων ἡμᾶς μόνους ἀνθίστασθαι. ὁ δὲ Δημοσθένης εἰς τὴν αὐτὴν ὑπόθεσιν καθεὶς τὸ μὲν εἰπεῖν τι περὶ Φιλίππου καλὸν, ἢ αἰσχρὸν, ἤ τι τοιοῦτον οἷον Αἰσχίνης, παντελῶς ἀπέχεται, αὐτὸ δὲ τὸ τῆς πόλεως συμφέρον σκοπούμενος ἀπέδειξεν ὡς ἀλυσιτελὲς ἐναντιοῦσθαι τῇ τῶν Ἑλλήνων γνώμῃ. εἰ μὲν οὖν κἀνταῦθα τὰς γνώμας τὰς τῶν ἀπόρων ἀποδεξάμενος ἐποιεῖτο τὸν λόγον, εἰκότως ἄν τις αὐτὸν ἔφη τῆς ἐκείνων μερίδος ἀκριβῶς εἶναι. ἐπειδὴ δὲ τὸ μὲν κατ' ἐκείνους σιωπᾷ, φησὶ δὲ συμφέρειν τῇ πόλει τὸ τοὺς λαμβάνοντας καὶ ποιεῖν τι τῶν δεόντων, εἰκότως ἂν δοκοίη τοῦ μὲν χαρίζεσθαι τοῖς διανεμομένοις καθεστηκέναι πόρρω, τοῦ δὲ τῇ πόλει λυσιτελοῦντος ἀντέχεσθαι. καὶ ταῦτα λέγων τοῖς ἀπόροις οὐ ταὐτὰ λέγειν δοκεῖ. οἱ μὲν γὰρ ὡς ἴδιον συμφέρον ἢ βλάβος ἐγύμναζον, ὁ δὲ τὸ κατ' ἐκείνους παρεὶς τὸ τῇ πόλει συμφέρον εἰσηγεῖσθαι κατεπαγγέλλεται. εἰδὼς δὲ ἑαυτῷ τὸν λόγον ἐπικίνδυνον ὄντα καὶ σφαλερὸν, τῷ τοὺς ἀκούοντας μὴ ῥᾳδίως παραδέχεσθαι ταύτην τὴν γνώμην, ἠθικῶς εἰσηγεῖται, ἀξιῶν ἐκκλησίαν ἀποδοῦναι περὶ τούτου, ἵνα καὶ λέγῃ καὶ λέγων δοκῇ μὴ λέγειν. ᾗ μὲν γὰρ οὐκ ἀποφαίνεται, πόρρω καθέστηκε τοῦ προσκρούειν· ᾗ δὲ οὐ

1. θατέρῳ μέρει σ.] θάτερον σ. C. V.
2. μόνον om. C.V.
3. εἰρημένου om. Wolfius.
κἀν] ἐν V.
5. βουλευομένης] βουλομένης C.V.
6. τὸ om. C.V.
10. ἡμᾶς] ὑμᾶς C.V.
11. καθεὶς] ἑαυτὸν καθεὶς Wolfius. Non opus.
15. ἀπόρων] εὐπόρων T.C.P.
19. δοκοίη] δοκείη C. δοκῇ V.
διανεμομένοις Wolfius pro δυναμένοις.
21. ἀπόροις Wolfius pro εὐπόροις.
ταὐτὰ] ταῦτα V.
ὡς om. C.V.
24. τῷ] Legebatur τό.
26. καὶ λέγῃ—λέγειν Wolfius pro καὶ λέγων λέγῃ καὶ δοκῇ μὴ λέγειν.
ᾗ—ᾗ Wolfius. εἰ—ᾗ T. εἶ (sic a pr. m.; ᾗς a sec.)—ᾗ C. εἰ—εἰ V.

σεσίγηκε, ταύτῃ παρῄνεσεν. ἀπαλλαγεὶς δὲ τοῦ προοιμίου τὸν σκοπὸν ἀθρόως εἶπε, τῆς εἰσηγήσεως ἐντεῦθεν ἀρξάμενος· "ἐγὼ δὲ φημὶ "δεῖν (καί μοι μὴ θορυβήσητε ἐφ' ᾧ μέλλω λέγειν)." καὶ ἔστι τοῦτο τοῦ συμφέροντος κεφαλαίου ἐπιβολή. εἶτα ἀντέπεσεν εὐθὺς τῇ ἐπιβολῇ, καὶ τίνος ἕνεκα βουλευσόμεθα περὶ παρασκευῆς πολέμου καὶ συντάξεως; ἵν' οὖν τὸ λυποῦν διαλύσῃ, ἀπέδωκε τὴν αἰτίαν εὐθὺς εἰπών· "ἵνα, ὦ Ἀθηναῖοι, τῶν ἀγαθῶν τὰς ἐλπίδας δι' ὑμῶν αὐτῶν "ἔχητε, καὶ μὴ τὸν δεῖνα πυνθάνησθε τί πράττει·" ἀντὶ τοῦ, ἵνα στρατευόμενοι τῶν ἀγαθῶν μεταλαμβάνητε. καὶ αἱ κατασκευαὶ μὲν ἀπὸ τοῦ δυνατοῦ· οὐ μὴν τὸ δυνατόν ἐστι κεφάλαιον, ἀλλ' ἔστι τὸ συμφέρον, ὡς ἔφαμεν. ὅτι γὰρ χρὴ περὶ τοῦ δυνατοῦ βουλεύσασθαι, τοῦτο αὐτοῖς ὑποτίθεται, ὡς τὴν μὲν παροῦσαν ὑποθήκην τοῦ συμφέροντος εἶναι, τὸ δὲ γενησόμενον περὶ τούτων ὧν κρίνουσι τοῦ δυνατοῦ. εἶτα ὑπόνοιαν εὐθὺς ἄλλην ἀναιρεῖ, ὅτι ἀλλ' ἀρκέσει τῶν ξένων ἡ δύναμις, ἐπαγαγὼν πρὸς αὐτὴν τηλαυγῶς, "στρατεύεσθαι δὲ ἑαυτοὺς καὶ "μηδενὶ τούτου παραχωρεῖν." καὶ ἕτερον, ὅτι δεῖ "τὴν δύναμιν τῆς "πόλεως οἰκείαν εἶναι κατεσκευασμένην." καὶ τὴν αἰτίαν εὐθὺς προστίθησι δι' ἣν ἀναγκαῖον εἶναι τῆς πόλεως τὴν δύναμιν· "ἵνα "εὐπορῆτε" φησὶ "καὶ τὰ δέοντα ποιῆτε." εἶτα καταλέγει τὰ συμφέροντα, ὅσα συμβήσεται στρατευομένων αὐτῶν. εἶτα πάλιν διαιρεῖ δίχα τὴν αἰτίαν καὶ τὴν ἀνάγκην τοῦ δεῖν αὐτοὺς στρατεύεσθαι, πρῶτον μὲν εἰς τοὺς ξένους καὶ τοὺς στρατηγούς, ἵνα μὴ κακῶς ποιῶσι τοὺς συμμάχους, μηδὲ αὐτοὶ παρ' ὑμῖν κρίνωνται· εἰς ἕτερον δὲ, ἵνα τῶν Ἑλλήνων ἄρχητε, φησίν· οὐ γὰρ οἷόν τε εἶναι τῆς μὲν ἡγεμονίας ἀντιποιεῖσθαι, μηδαμῶς δὲ δύναμιν οἰκείαν ἐκπέμπειν. εἶθ', ἵνα δείξῃ ὅτι πολλὰ ἄτοπα παρὰ τὴν ἀπουσίαν αὐτῶν συμβαίνει, τὰς συμφορὰς καταριθμεῖται τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων, Μυτιληναίων καὶ Ῥοδίων, ὧν ἀναγκαῖόν φησιν αὐτοὺς προεστάναι. εἶτα ἐπειδήπερ ἐμνημόνευσε Ῥοδίων, ἔλαβεν ἀντιπῖπτον

2. ἐγὼ] p. 167, 4.
7. Ἀθηναῖοι] ἄνδρες ἀθηναῖοι V.
8. πράττει] πράττειν C.V.
11. ὡς ἔφαμεν] ὥς φαμεν C.V.
14. τῶν ξένων] τοῦ ξένου V.
15. στρατεύεσθαι] p. 167, 18.
21. τοῦ δ. α. σ. om. C.V.
22. πρῶτον] εἰπὼν πρῶτον C.V.
ξένους καὶ τοὺς om. V.
23. ὑμῖν] ἡμῖν V.
28. καὶ om. T.C.
ὧν] καὶ V.
φησὶν αὐτοὺς om. C.V., qui pro eo habent αὐτοῖς.

ἐκ τῆς ἐργασίας· Ἀλλ' ἐχθροί γε ἡμῖν Ῥοδιοι, φαίη τις ἄν, φανήσονται. εἰ μὲν οὖν πρὸς ὅλον τὸ κεφάλαιον, ἢ πρὸς τὸ πλεῖστον μέρος, οὕτως ἀνθυπήγαγεν· Ἀλλ' οὐδὲν ἡμῖν προσῆκε προΐστασθαι τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων· λελυπήκασι γὰρ ἡμᾶς ἀποστάντες· ἀντίθεσις ἂν ἦν ἀπὸ τοῦ συμφέροντος, πρὸς ἅπαν ἀνθισταμένη τὸ κεφάλαιον· ἐπειδὴ δὲ εἰδικῶς περὶ Ῥοδίων εἴρηται, ἀντιπίπτον αὐτὸ χρὴ νομίζειν εἶναι. σκοπὸς δὲ αὐτῷ καὶ τοὺς Ῥοδίους ἐλευθερῶσαι. διόπερ προαναφωνεῖ καὶ προδιοικεῖται τὸν λόγον. ὅτι δ' οὖν οὐκ ἔστιν ἀντίθεσις, δῆλον αὐτίκα. οὐδὲ ἐπέμεινε τῇ λύσει, ἀναδραμὼν εὐθὺς πάλιν ἐπὶ τὸν περὶ συντάξεως λόγον. δοκοῦσι δὲ μάλιστα ὑπὸ Ῥοδίων ἠδικῆσθαι, ἰσχυσάντων τε κατὰ θάλατταν καὶ πεισάντων τοὺς ἄλλους ἀποστῆναι συμμάχους. μετὰ ταῦτα ἐπήγαγεν ὅτι διελέχθη καὶ περὶ τούτων πολλάκις, πρὸς ὅπερ ἔοικεν ἀντιπεσεῖν ὑπόνοιά τις αὐτῷ τοῦ ἀσυμφόρου, ὅτι οὐ λυσιτελεῖ γὰρ ἡ συμβούλευσις, καὶ διὰ τοῦτο οὐ πεισόμεθα. ὅθεν καὶ ἐπήνεγκε δυσχεραίνων· "Ὁ δή μοι πάντων πλείστην ἀθυμίαν παρέσχεν, ἅπαντ' ἐρῶ πρὸς "ὑμᾶς καὶ οὐκ ἀποτρέψομαι, ὅτι, πολλῶν καὶ μεγάλων καὶ καλῶν "ὄντων ὧν συμβουλεύω, τῶν μὲν ἄλλων οὐδενὸς οὐδεὶς μέμνηται, "τοῖν δυοῖν δ' ὀβολοῖν πάντες·" αἰνιττόμενος ὅτι πρὸς τὴν αὐτοῦ βουλὴν δυσχεραίνουσι, μᾶλλον δὲ οὐδὲ ἐθέλουσι μεμνῆσθαι, λαμβάνειν μὲν ἐσπουδακότας, πράττειν δέ τι τῶν ἀναγκαίων οὐ προαιρουμένους. εἶτα συγκρίνει τὴν ἑαυτοῦ συμβουλὴν, ὡς ἐν συμφέροντι κεφαλαίῳ πρὸς τὸ ἀπὸ τῶν διαδόσεων καὶ διανομῶν κέρδος, ὁμοῦ μὲν κάλλος ἀμύθητον προστιθεὶς τῷ λόγῳ, ὁμοῦ δὲ αὔξων ἐκ τῆς συγκρίσεως τὴν εἰσήγησιν. πάρεστι δὲ οὐδὲν ἧττον ἐκ τῶν λεγομένων ἀθρῆσαι ὅτι πρὸς ἀντιπίπτοντα ἀπήντηκε τὸν λόγον, ὅτι ἀρκέσει τὸ λαμβάνειν μόνον· σὺ δὲ ἐργώδη καὶ ἀσύμφορα συμβουλεύεις.

1. φαίη τις ἄν om. C.V.
3. ἡμῖν] ὑμῖν V. et infra ὑμᾶς.
6. εἰδικῶς] ἰδικῶς T.
11. ἠδικῆσθαι] ἀδικεῖσθαι V.
13. διελέχθη] διειλέχθη T.C.
15. ἐπήνεγκε] ἐπήγαγε V. Est p. 168, 26.
16. πάντων π. ἀ. παρέσχεν] π. ἀ. ἁπάντων παρέσχηκεν V.
ἅπαντ' (in T. ἃ πάντ' scriptum) addidi ex T.C.
17. ἀποτρέψομαι] ἀποκρύψομαι V.
20. λαμβάνειν] λαμβάνει V.
23. διαδόσεων] ἀντιδόσεων C.V.
καὶ om. C.V.
25. οὐδὲν ἧττον post λεγομένων C. V.
26. ἀντιπίπτοντα ἀπήντηκε] ἀντιπίπτον ἀπήντησε C.

μετὰ ταῦτ' ἄλλην ὑπόνοιαν ἀνῄρηκε τοιαύτην· Ἀλλ' ὅταν ἀνάγκη γένηται καὶ χρεία τούτων, τότε περὶ παρασκευῆς βουλευσόμεθα. ταύτην οὐκ ἔθηκε μέν, ἔλυσε δὲ ἐπενεγκών· "ἂν μὲν ὑμεῖς νῦν "πεισθῆτε τούτων καιρὸν εἶναι, ὅταν αὐτῶν εἰς χρείαν ἔλθητε, ἕτοιμα "ὑπάρξει· ἐὰν δ' ἀκαιρίαν ἡγησάμενοι παρίδητε, ὅταν δέῃ χρῆσθαι, 5 "τότε ἀναγκασθήσεσθε παρασκευάζεσθαι." ἄχρι μὲν δὴ τούτου πεπλήρωται αὐτῷ τὸ κεφάλαιον τῆς εἰσηγήσεως, ὃ διὰ τοῦ συμφέροντος συμπεραίνεται. εἰσβάλλει δὲ λοιπὸν εἰς δίκαιον, σύγκρισιν ἔχον τῶν ἑαυτοῦ πολιτευμάτων καὶ τῶν ἀντιτεταγμένων καὶ ἀντιπολιτευομένων αὐτῷ ὡς ἐν παρεκβάσει, βουλόμενος δι' αὐτῆς συστῆσαι 10 ὅτι ἄριστα συμβεβούλευκε. καὶ γὰρ καὶ ἐν τῷ κατὰ Μειδίου λόγῳ, βουλόμενος αὐξῆσαι τὴν κατηγορίαν ταῖς κατὰ Μειδίου διαβολαῖς, πλείονας ἀνήλωκε λόγους ἐν τῇ παρεκβάσει ἢ τοῖς ἀγωνιστικοῖς. οὑτωσὶ δὲ κἀνταῦθα, βουλόμενος συστῆσαι τὴν εἰσήγησιν, διαβάλλει τὰς τῶν ἄλλων ῥητόρων πολιτείας ὡς πονηράς. καὶ δίχα διαιρεῖ 15 τὸν περὶ ἐκείνων λόγον· εἰς ἓν μὲν ὅτι περὶ μικρὰ καὶ φαῦλα διατελοῦσι σπουδάζοντες, εἰς ἕτερον δὲ ὅτι πεπείκασι τὴν πόλιν νομίζειν ἐν τοῖς δικαστηρίοις τὴν σωτηρίαν τῆς δημοκρατίας εἶναι. οὗτοι δὲ ἦσαν οἱ τοῖς εὐπόροις ἐπιβουλεύοντες καὶ τὰς οὐσίας αὐτῶν δημεύεσθαι παρασκευάζοντες. τούτων δὲ ἁπάντων κατηγορήσας ὡς κακῶς 20 πολιτευομένων συνίστησι τὴν ἑαυτοῦ πολιτείαν, καὶ περὶ οἷα καὶ τίνα ἐσπούδακεν αὐτὸς, ὅτι περὶ μεγάλων ἀκούειν συνεθίζει τὸν δῆμον, συνιστὰς διὰ τούτων ὅτι μόνος καὶ μάλιστα πολιτευόμενος αὐτὸς τυγχάνει, τάχα πρὸς τὸν Εὔβουλον διὰ τούτων ἀποτεινόμενος καὶ τὴν ἑαυτοῦ πολιτείαν πρὸς τὴν ἐκείνου συγκρίνων καὶ δεικνὺς πολλῷ τῷ μέσῳ 25 διαφέρουσαν τὴν ἑαυτοῦ· καὶ οὐ πρὸς τὸν Εὔβουλον μόνον, ἀλλὰ καὶ πρὸς ἅπαντας ὅσοι τὴν αὐτὴν ἐκείνῳ πολιτείαν ἀνῄρηνται. εἶτα καὶ τὴν αἰτίαν προστίθησι δι' ἣν ἐκεῖνοι μὲν τοῦτον τὸν τρόπον, αὐτὸς δὲ οὐ τὸν αὐτὸν πολιτεύεται. ταῦτα δὲ ἂν εἴη σύστασις ποιότητος, ἢ

1. ἀ. γένηται καὶ χ. τ.] ἀ. τ. καὶ χ. γένοιτο C.V.
2. τότε] ποτὲ T.C.
3. ἐπενεγκών] p. 169, 13.
ἂν μὲν—ἂν δ' T.C. ἐὰν μὲν—ἐὰν δι' (sic) V.
4. εἶναι] εἶναι νομίσαντες V.
6. παρασκευάζεσθαι et δὴ om. V.
9. ἔχων Wolfius pro ἔχων.
καὶ ἀντιπολιτευομένων om. V.
10. παρεκβάσει] παραβάσει C.V.
11. συμβεβούλευκε] συμβουλεύεται C.V.
20. ὡς add. Wolfius.

θεωρεῖται περὶ τὸ δίκαιον. διὸ προσποιεῖται ταῦτα λέγειν χαλεπαίνων καὶ ἀχθόμενος ὅτι νενίκηκεν ἀλυσιτελὴς Εὐβούλου γνώμη, διδοῦσα τὰ κοινὰ τῷ δήμῳ σχολάζοντι καὶ εἰς ῥαθυμίαν ἐκκαλουμένη μᾶλλον. ὅθεν καὶ ἡ ἀντεξέτασις ἑτέρα γίνεται τῆς τῶν προγόνων πολιτείας, ἣν διῴκουν ἄνδρες ἀγαθοὶ οἷος αὐτὸς, καὶ τῆς νυνὶ καθεστηκυίας, εἰς οἷα 5 οἱ δημαγωγοῦντες ἐπὶ τοῦ παρόντος προήχασι τὴν πόλιν. εἰκότως δὲ πλεῖστος ὁ περὶ τούτων λόγος· ἐπειδὴ γὰρ ὁρᾷ τὴν πολιτείαν καινοτομουμένην, εἰκότως πλεῖστα περὶ τῆς πολιτείας διαλέγεται, τῇ μὲν ἐπαινῶν, τῇ δὲ μεμφόμενος, μονονουχὶ τὸν Περικλέα μιμούμενος. πρῶτος γὰρ ἐκεῖνος ἔταξε μισθοφορὰν καὶ ἔδωκε τῷ δήμῳ στρατευο- 10 μένῳ· καὶ αὐτὸς δὲ βούλεται διδόναι, καὶ προκαλεῖται πράττειν ἃ δεῖ. δύο τοίνυν εἰσὶν ἐν τῇ παρεκβάσει μέγισται συγκρίσεις ἤτοι ἀντεξετάσεις, μία μὲν τῆς ἑαυτοῦ πολιτείας πρὸς τὴν τῶν ἀντιπολιτευομένων, ἑτέρα δὲ τῆς ὅλης πολιτείας τῆς νῦν πρὸς τὴν πάλαι. ταύτην δὲ δίχα διαιρεῖ, εἴς τε τὰς νῦν καθεστηκυίας τιμὰς τῶν 15 στρατηγῶν καὶ εἰς τὰς τῶν προτέρων. καὶ τὸ ἄλλο εἶδος τῆς πολιτείας ἅπαν καὶ αὐτὸ εἰς τρία διῄρηκε, εἰς τὸ κοινὸν τῆς πόλεως, εἰς τὰ ἴδια αὐτῶν τῶν δημαγωγῶν. πᾶσαν τοίνυν, ὡς ἔφαμεν, τὴν πολιτείαν ἀντεξετάζει τὴν τῶν προγόνων, καὶ πρῶτον μὲν τὸν αὐτὸν τρόπον ὅνπερ ἐν τῷ κατὰ Ἀριστοκράτους. τοῦτο δὲ τὸ μέρος ἔχεται 20 τοῦ περὶ τῶν ῥητόρων λόγου. δείκνυσι γὰρ ὅπως ἐκεῖνοι μὲν συμμέτρως ἐτίμων τοὺς τότε στρατηγοὺς, ὅπως δὲ οἱ νῦν πολιτευόμενοι τοὺς νυνὶ στρατηγοὺς, ὅτι μὴ στρατεύεται ἡ πόλις, οὐδένα ὅρον οὐδὲ μέτρον ὁρίζοντες, ἀεὶ δὲ προσβολὰς προστιθέντες. εἰ δὲ ὁ δῆμος ἐστρατεύετο, οὐκ ἂν οὕτως ὑπερβαλλόντως τοὺς στρατηγοῦντας ἐθαύ- 25 μαζε. μετὰ ταῦτα ἐπὶ δεύτερον μέρος τῆς αὐτῆς ἔρχεται, συγκρίνων τὴν παροῦσαν σύμπασαν τῇ παλαιᾷ συμπάσῃ. διαιρεῖ δ' τὴν πολι-

1. λέγειν Wolfius pro καὶ λέγει.
6. προήχασι Wolfius pro προσήχασι.
12. ἤτοι ἀντεξετάσεις om. C.V.
16. στρατηγῶν] στρατιωτῶν C.V.
17. ἅπαν Wolfius pro ἅπαν ὥσπερ.
τῆς πόλεως] εἰς τὰ κατὰ τὴν πόλιν add. Wolfius.
εἰς τὰ ἴδια αὐτῶν τῶν T. εἰς τὸ ἴδιον τῶν C.V.
18. ἔφαμεν] εἴπομεν C.V.
19. πρῶτον T.C. πρώτην V. τὴν πρώτην Wolfius.
23. νυνὶ add. Wolfius.
24. προσβολὰς] ὑπερβολὰς Wolfius.
26. δεύτερον] τὸ δεύτερον V.
27. διαιρεῖ] διαιρεῖται C.V.

τείαν εἰς τρία, καθάπερ ἐν τῷ τρίτῳ τῶν Ὀλυνθιακῶν· εἰς τὸ κατὰ τοὺς Ἕλληνας, ὅπως μὲν αὐτῶν προειστήκεισαν οἱ πρόγονοι, ὅπως δὲ οἱ νῦν· εἰς τὸ κατὰ τὴν πόλιν, ὅπως ἐκεῖνοι μὲν οἰκοδομήμασι καὶ ἱερῶν κατασκευαῖς πᾶσαν ἐκόσμησαν, οἱ δὲ νῦν κρήνας καὶ λήρους κατασκευάζουσιν· εἰς τρίτον, ὃ περιέχει τοῦ βίου τῶν πολιτευομένων ἀντεξέτασιν, ὅπως μὲν ἐν τοῖς ἰδίοις ἐκεῖνοι μέτριοι καὶ δημοτικοὶ τὰς οἰκίας ὁμοίως τοῖς ἀπόροις κατεσκευασμένοι, ὅπως δὲ οἱ νῦν μεγαλοπρεπεῖς καὶ ὑπερβαλλούσας τινὰς τῶν δημοσίων οἰκοδομημάτων. καὶ τὴν αἰτίαν προστίθησιν, ὅτι οἱ μὲν ἐφείδοντο τῶν κοινῶν, οἱ δὲ τὰ τῆς πόλεως νοσφίζονται, διὰ τούτων ἔπαινον ἑαυτῷ κατασκευάζων, καὶ ὅτι ἄμεινον ἐκείνων πολιτευόμενος ἀεὶ τὸ κοινῇ συμφέρον, οὐ τὸ ἰδίᾳ κερδαίνειν ὁρᾷ. εἶτα τούτων ἀπαλλαττόμενος ἀνακεφαλαιοῦται ἀπὸ τοῦ ἐνδόξου, ὅτι πρέπον Ἀθηναίοις ἄρχειν· ἀπὸ τοῦ αἰσχροῦ, ὅτι αἰσχρὸν προέσθαι τοὺς φίλους καὶ τοὺς συμμάχους· ἀπὸ τοῦ ἀναγκαίου, ὅτι οὐχ οἷόν τε προεστηκότας τῶν Ἑλλήνων ἀναχωρεῖν τῆς τάξεως· ἀπὸ τοῦ ἐναντίου, ὅτι ἡμεῖς τοῦ καλοὺς καὶ πονηροὺς εἶναι τοὺς πολιτευομένους αἴτιοι, λέγειν αὐτοὺς τὸ πρὸς ἡδονὴν συνεθίζοντες. ὡς δὲ συντόμως εἰπεῖν, τριμερὴς ὁ περὶ συντάξεως λόγος, κατὰ τὴν πρώτην τῶν μερῶν τομήν. καὶ ἓν μὲν αὐτοῦ μέρος ἐστὶ περιεκτικὸν τοῦ συμφέροντος· ἐν ᾧ ποιεῖται εἰσήγησιν περὶ τοῦ δύναμιν κατασκευάσαι τῇ πόλει. ἐν δὲ τούτῳ τὸ μὲν συμφέρον φαμὲν εἶναι τὸ προηγούμενον, περιεχόμενον δὲ τὸ δυνατόν. δεύτερον μέρος ἐστὶ τοῦ λόγου παρέκβασις τὸ δίκαιον περιέχουσα, ἐν ᾧ μέμψις καὶ κατηγορία τῶν κακῶς πολιτευομένων ῥητόρων, ὅτι συνεθίζουσι τὴν πόλιν ἀργεῖν καὶ τὰ οὐ δέοντα πράττειν, ἀλλὰ ξένοις ἐπιτρέπειν καὶ στρατηγοῖς ὀλίγοις τῶν πραγμάτων τὰ ἀναγκαιότατα, καὶ δέον προεστάναι τῶν Ἑλλήνων τὴν πόλιν κωλύουσιν· ἐν ᾧ καὶ ἀντεξετάσεις

4. πᾶσαν om. C.V.
ἐκόσμησαν Wolfius. ἐνόμισαν T.C. ἐνόμησαν V.
λήρους] λήνους T.
6. ἀντεξέτασιν] ἐξέτασιν C.V.
ὅπως Wolfius pro οἷοι.
δημοτικοὶ] πολιτικοὶ C.V.
7. ὁμοίως] ὁμοίας V.
11. ὅτι—ὁρᾷ] ὅστις—ἰρᾷν C.V.
14. προέσθαι] προέσθαι τοὺς ἀθηναίους V. προέσθαι τοῖς ἀθηναίοις C.
15. ὅτι] ὅπως V.
16. ἐναντίου] αἰτίου T.
ἡμεῖς τοῦ καλοὺς] ὑμεῖς τοῦ κακοὺς T. ἡμεῖς τοὺς καλοὺς C.
21. δύναμιν—τῇ πόλει] δυνατοῦ—τὴν πόλιν V.
25. ἀργεῖν T.C. ἀργόν V.
καὶ τὰ οὐ δέοντα T. καὶ μὴ τὰ δέοντα C.V.
26. τῶν π. τὰ Wolfius pro τὰ τῶν π.
27. ἀντεξετάσεις] ἀντεξέτασις V.

τῆς ἑαυτοῦ πολιτείας πρὸς τὴν ἐκείνων εἰσήγησιν· ἃ καὶ κατασκευαστικὰ τυγχάνει τοῦ δεῖν πεισθῆναι οἷς αὐτὸς εἰσηγεῖται, ἀλλὰ μὴ οἷς αὐτοὶ λέγουσι. τὸ τρίτον μέρος τοῦ λόγου δευτέρα παρέκβασις περιεκτικὴ τοῦ συμφέροντος· ἐν ᾧ τῆς παρούσης πολιτείας ἀντεξέτασιν πρὸς τὴν παλαιὰν ποιεῖται, ἀποδεικνὺς πολλῷ διαφέρουσαν τὴν ἀρχαίαν τῆς νυνὶ καθεστηκυίας. καὶ τὸ μὲν πρῶτον μέρος καλῶς ἔχει λέγειν περιεκτικὸν εἶναι τοῦ κεφαλαίου τῆς εἰσηγήσεως, τὸ δὲ δεύτερον παρέκβασιν, καὶ τὸ τρίτον δὲ καὶ αὐτὸ παρέκβασιν μὲν εἶναι, διαφέρουσαν δὲ τῆς προτέρας· ὥστε δύο παρεκβάσεις ἔχειν τὸν λόγον, μίαν μὲν περιεκτικὴν τῆς ἀντεξετάσεως τῶν ἀντιδημαγωγούντων, αὐτοῦ τε λέγω Δημοσθένους καὶ τῶν πρὸς ἐκεῖνον, δευτέραν δὲ τῆς καθεστηκυίας πολιτείας πρὸς τὴν παλαιὰν πολιτείαν ἣν διήρηκε. τὰ τελευταῖα δὲ τοῦ λόγου ἀνακεφαλαίωσιν ἔχει συντετμημένην εἰς ἃ πρὸ βραχέος διαιροῦντες τὸν λόγον κατετέμομεν τὰ ἐπιχειρήματα, καταριθμούμενοι καὶ ὑποδεικνύντες ὅθεν εἴληπται τῶν τόπων ἕκαστος. T.C.V.

170, 6. τὸν ὀπισθόδομον] οἶκος ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα, ἢ ἐν τῇ ἀκροπόλει τόπος, ἔνθα τὸ δημόσιον ἀργύριον ἀπέκειτο καὶ ὁ φόρος. F.Y.

173, 6. πενέσταις] πενέσται παρὰ Θετταλοῖς καλοῦνται, ὅπερ παρὰ Λακεδαιμονίοις οἱ Εἵλωτες· καλοῦνται δὲ καὶ Θετταλικέται. F.Y.R.P.

173, 16. φθόρους ἀνθρώπους] φθορᾶς ἀξίους. B.P.

174, 17. ἀλλὰ νὴ Δία] σημείωσαι· ταῦτα ἐκ τοῦ τρίτου τῶν Ὀλυνθιακῶν. B.

174, 22. ἀκολούθους] παραπλησίους. P.

176, 23. πεπολίτευσθε] ἀνενδεῶς προέστητε. F.Y.P.

176, 28. βουλομένους] ἀντὶ τοῦ βούλεσθαι, ἢ λείπει τὸ εἶναι. B.F.Y.

3. τὸ add. Wolfius.
9. προτέρας] πρώτης V.
13. συντετμ. Wolfius pro τετμ.
15. ὅθεν—ἕκαστος] ὅθεν τόπον εἴληπται ἕκαστον C.V.
18. ἐν τῇ—φόρος] Hæc sunt etiam in B.
21. Θετταλικέται] Scribendum Θετταλίκται. Nam hæc vera nominis forma est, quod ostendit Bernhardyus ad Suidæ gl. πενέσται, ex qua compilata quæ in B. adscripta sunt: ὑπηκόοις, ἢ δούλοις, ἤτοι θητεύουσιν· ἀπὸ τοῦ εἶναι μενέσται καὶ παραφθαρὲν ἐκλήθη πενέσται. Ex eodem fonte (s. v. ὀργάς) petita quæ in B. leguntur ad p. 175, 25.

XIV.

ΠΕΡΙ ΤΩΝ ΣΥΜΜΟΡΙΩΝ.

178, 1. Οἱ μὲν ἐπαινοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς προγόνους ἡμῶν] ὁ περὶ τῶν Συμμοριῶν λόγος πρόδηλον ἔχει τὴν ὑπόθεσιν. πέπεισται γὰρ ὁ δῆμος παρασκευάζεσθαι βασιλέα νῦν ἐπὶ τὴν Ἑλλάδα καὶ μέλλειν ἐπιέναι ὅσον οὐδέπω· διὸ καὶ παρώξυνται καὶ προαπαντᾶν αὐτῷ περὶ τὴν Λυδίαν κέκρικε καὶ τοῦ πολέμου κατάρ- 5 χειν ἤδη. Δημοσθένης δὲ σκοπὸν μὲν ἔχει κωλῦσαι καὶ τὴν ὁρμὴν ἀποτρέψαι. δεδοικὼς δὲ τοῦ δήμου τὴν ῥοπὴν—χαλεπὸν γὰρ ἦν ἀνθίστασθαι ζέοντι—, οὐδὲ φανερῶς ἀποτρέπειν καὶ συντρέχειν δοκῶν τῇ γνώμῃ κωλύει. πῶς δὴ τοῦτο ποιεῖ; προστάττει παρασκευάζεσθαι καὶ ἄνευ τῶν Ἑλλήνων μὴ ἐπιχειρεῖν, ἵνα τῷ μὲν συμβουλεύειν 10 παρασκευάζεσθαι δοκῇ συντρέχειν, τῷ δὲ ἄνευ τῶν Ἑλλήνων μὴ κινεῖσθαι λαμπρῶς ἀποτρέπειν, ὥστε τῆς τῆς δεινότητος μεθόδου μετέχειν πως τὸν λόγον. καὶ σχήματος τοιοῦτόν ἐστιν εἶδος καὶ παρὰ Θουκυδίδῃ ἐν τῇ κατ' Ἀρχίδαμον δημηγορίᾳ τῇ πρώτῃ· καὶ γὰρ κἀκεῖνος δοκῶν ἐπὶ τὸν πόλεμον προτρέπειν οὐδὲν ἧττον ἀνθίσταται. τοι- 15 οῦτον δὲ εἶδος παρὰ τοῖς νεωτέροις οὐκ ἄν τις εὕροι, διὰ τὸ τὴν ὑπερβολὴν τῆς δεινότητος τῶν παλαιῶν μὴ ῥᾳδίως ὑποπίπτειν μιμήσει. δύο οὖν σχήματα παραδεδώκασιν ἡμῖν κρυπτῶν λόγων Δημοσθένης καὶ Θουκυδίδης—οὗτοι γὰρ ἐπὶ δεινότητι τῶν ἄλλων διήνεγκαν—· ἓν μὲν τοῦτο, ὃ προειρήκαμεν, ἐν ᾧ δοκῶν τις συντρέχειν 20 κωλύει, καὶ ἔστι πρὸς μίμησιν δυσχερέστατον· δέδωκε δὲ ἰδίᾳ Θουκυδίδης καὶ ἕτερον, ὃ ἀντικρύς ἐστιν ἀπὸ τοῦ ἐναντίου, οἷον τὸ ἐν τῇ δημηγορίᾳ Νικίου. καὶ γὰρ ἐν ἐκείνῃ συμβουλεύων καὶ προτρέπων

4. μέλλειν—παρόξυνται Wolfius pro μέλλει—παροξύνεται.

5. κέκρικε T. κέκριται C.V.

12. τῆς τῆς δ. μεθόδου Wolfius pro τῇ τῆς δ. μεθόδῳ.

20. τις Wolfius pro τι.

δῆθεν πλεῖν ἐπὶ τὴν Σικελίαν τῷ μεγέθει τῆς παρασκευῆς τοὐναντίον ἐργάζεται. ἐκεῖ μὲν οὖν ὅλον τὸ εἶδος τοιοῦτόν ἐστι διὰ τοῦ ἐναντίου, ἐν ᾧ μεγάλα αἰτῶν οὐκ ἐᾷ τὴν ἔξοδον γίνεσθαι· ἐνταῦθα δὲ συντρέχειν δοκῶν καὶ μεταβιβάζων τὴν διάνοιαν τῶν ἀκροατῶν ἐπὶ παρασκευῆς πρόνοιαν καὶ ἐπιμέλειαν τῶν δικαίων μεθόδῳ τὴν ἀποτροπὴν διὰ τῆς τοιαύτης μελλήσεως καὶ ἤθους καὶ ἐπιμελείας ἐργάζεται, οἷόν ἐστι καὶ τὸ εἶδος τοῦ λόγου, ὡς ἔφην, καὶ τοῦ τῆς Ἀρχιδάμου δημηγορίας. κέχρηται δὲ διαιρέσει μερῶν τοιαύτῃ. ἓν μὲν πεποίηται προοίμιον, οὐδεμίαν ὁμοιότητα διόλου ἔχον πρὸς τὸ τοῦ Θουκυδίδου προοίμιον, ὡς τῶν πρὸ ἡμῶν τινὲς ᾠήθησαν, ὀλίγας δέ τινας προτάσεις ὁμοίας μόνας, κατασκευὰς δὲ οὐχ ὁμοίας, οὐδὲ τὰς αὐτάς· ὥστε πάνυ πολὺ διεστάναι τὴν ὅλην ἔννοιαν τῆς ἐννοίας καὶ τὴν διοίκησιν ἐκείνης τῆς διοικήσεως. ἐπαινεῖ δὲ Δημοσθένης οὐ τὰς πράξεις, ἀλλὰ τὰς ἀρετάς, αἰνιττόμενος τοῖς ἀκούουσιν ὅτι δι' εὐβουλίαν ἐκεῖνοι πάντα κατώρθωσαν, ἐνάγων τοὺς ἀκούοντας ἀσφαλέστερον βουλεύσασθαι πρὸ τῶν ἔργων. τὸ κεφάλαιον εὐθύς ἐστι τὸ συμφέρον, ἔχον ταύτην τὴν ἀρχήν· "ἐγὼ νομίζω κοινὸν ἁπάντων "ἐχθρὸν εἶναι τῶν Ἑλλήνων βασιλέα." ἡ δὲ πρότασις ἀπὸ τοῦ δικαίου, ὅτι ἄδικος περὶ τοὺς Ἕλληνας βασιλεύς. τοῦτο δέ ἐστι συντρέχοντος δῆθεν τῇ γνώμῃ τῶν παροξυνόντων. T.C.V.

178, 24. οὐ μὴν διὰ ταῦτα] κατὰ βραχὺ τὸ συμφέρον κατασκευάζει τῷ δικαίῳ καὶ τῷ δυνατῷ, μᾶλλον δὲ τὸ ἀσύμφορον τῷ ἀδυνάτῳ. εἰώθασι δὲ καὶ τοῖς ἐναντίοις ὀνόμασιν ἀδιαφόρως ἐπὶ τούτων χρῆσθαι οἱ τεχνικοί, καὶ τὸ ἀσύμφορον συμφέρον ὀνομάζειν, καὶ τὸ ἄδικον δίκαιον, ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν. ἐπανέλθωμεν οὖν ἐπὶ τὴν διαίρεσιν. οὐ συμφέρει πρώτους ὑμᾶς ἐπιθέσθαι τοῖς πράγμασι, διὰ τὸ μὴ ἔχειν δύναμιν καὶ διὰ τὸ τοὺς Ἕλληνας πρὸς ἐκεῖνον μᾶλλον βλέπειν ἢ πρὸς ὑμᾶς. οὐκ ἀπέχεται δὲ οὐδὲ τοῦ δικαίου ἐν τῇ κατασκευῇ τοῦ συμφέροντος. ἀξιοῖ γὰρ τὸν πόλεμον δίκαιον γενέσθαι—τοῦτο δέ ἐστι τὸ νόμιμον—, καὶ τὸ μὴ δεῖν παραβαίνειν

6. ἐργάζεται C. ἐργάζεσθαι T.V.
17. ἐγὼ] p. 178, 22.
21. κατασκευάζει C.V. παρασκευάζει T.
25. οὖν C.V. γοῦν T.
26. ὑμᾶς C.V. ἡμᾶς T.
29. ἀξιοῖ γὰρ τὸν πόλεμον] ἄξιοι (non ἄξια, quod ex Par. α affert Morelius) γὰρ τοῦ πολέμου T.C., consentientibus D.G.

αὐτοὺς συνθήκας πρότερον. οὐ μὴν ἐπεξέρχεται τοῦτο σφόδρα, διὰ τὸ εὐλαβεῖσθαι τὴν συμβησομένην ὑπόνοιαν. ᾠήθη γὰρ ἄν τις αὐτὸν χαριζόμενον βασιλεῖ πειρᾶσθαι δεικνύναι μὴ παραβεβηκότα τὰς πρὸς τοὺς Ἕλληνας γεγενημένας αὐτῷ συνθήκας. ἐνδιατρίβει δὲ τῷ δυνατῷ μᾶλλον, οὐδὲν ἧττον ἐμφανίζων καὶ διὰ τούτου τὸ δίκαιον, τὸ 5 μέντοι γε συμφέρον, ὡς ἔφην, διὰ τούτων ἁπάντων παραινῶν. τὸ γὰρ "εἰ γένοιτο ἐναργές τι καὶ σαφὲς ὡς βασιλεὺς ἐπιβουλεύει τοῖς "Ἕλλησι, τότε καὶ συμμαχήσουσι καὶ ὁμονοήσουσι" δεῖγμα τοῦ μήτε παραβεβηκέναι τὰς συνθήκας τὸν βασιλέα μήτε τοὺς Ἕλληνας ἂν ἐθελῆσαι τοῖς Ἀθηναίοις συνεπαμύνειν· ὧν τὸ μέν ἐστι περὶ τὰς συν- 10 θήκας καὶ τὸ νόμιμον, τὸ δὲ κατὰ τὴν συμμαχίαν, ὅπερ ἐστὶ τοῦ δυνατοῦ· καὶ ὅτι τοὐναντίον πολεμήσουσιν ἡμῖν μετ' ἐκείνου οἱ Ἕλληνες, εἰ προαπεχθησόμεθα ἡμεῖς. καὶ τὸ σύμπαν δὲ στοχαστικῶς. οὐ γὰρ ἀποφαίνεται ὄντως ἐπιβουλεύειν τὸν βασιλέα τοῖς Ἕλλησιν, ἀλλ', ἐπειδὴ πέπεισται ὁ δῆμος καὶ ἄντικρυς παρρησιάζεσθαι οὐ δύναται, 15 καθ' ὑπόθεσιν καὶ αὐτὸς ἀπολαμβάνει λέγων, "εἰ ἄρα ἐγχειρεῖν "διέγνωκε τοῖς Ἕλλησι βασιλεύς," τῷ δισταγμῷ τὴν προθυμίαν παύων καὶ καταπαύων τὴν ὀργὴν τῇ μεσότητι· ἐν ᾧ καὶ τὴν τῶν Ἑλλήνων ἐξετάζει γνώμην, ἣν νῦν ἔχουσι, μὴ πιστεύοντες βασιλέα στρατεύειν ἐπὶ τὴν Ἑλλάδα. οὕτω μὲν οὖν διῴκηται τὸ συμφέρον 20 αὐτῷ ἀπὸ τοῦ δυνατοῦ καὶ τοῦ δικαίου πάσας ἔχον τὰς κατασκευάς, ὡς προηγούμενον μὲν εἶναι τὸ συμφέρον, ἐμπεριεχόμενον δὲ τὸ δίκαιον καὶ τὸ δυνατόν. πέρας δ' οὖν ἐπιθεὶς ταῖς οἰκείαις πίστεσι λαμβάνει πρὸς τὸ κεφάλαιον τὴν ἀντίθεσιν τοῦ συμφέροντος, ὁμογενῆ τῷ κεφαλαίῳ μεθοδεύσας αὐτήν, οὐχ ὡς ἀντίθεσιν, ἀλλ' ὡς ἐπιτίμησιν πρὸς 25 τοὺς ῥήτορας. τί δέ φησιν; "τοῖς δὲ θρασυνομένοις καὶ σφόδρα "πολεμεῖν κελεύουσιν ἐκεῖνο λέγω." αὕτη ἐστὶν ἡ ἀντίθεσις. βου-

1. αὐτοὺς συνθήκας πρότερον] αὐτοὺς τοὺς πρότερον συνθήκας C. αὐτοὺς τὰς πρώτας συνθήκας V.

2. ὑπόνοιαν] αἰσχύνην C.V.

ᾠήθη] οἰηθείη Wolfius.

ἄν τις T.C.D.G. αὐτὸς V.

5. τούτου Wolfius pro τοῦτο.

6. παραινῶν] παραινεῖ Wolfius.

7. εἰ γένοιτο] p. 179, 7.

8. τότε καὶ Wolfius pro τότε, εἰ μή.

δεῖγμα C.V. δείγματα T.

10. συνεπαμύνειν Wolfius pro συνέπειν.

ὧν τὸ—τοὐναντίον] Fortassis ὧν τὸ μὲν περὶ τὰς συνθήκας τὸ δίκαιον ἔχει καὶ τὸ νόμιμον· τὸ δὲ κατὰ τὴν συμμαχίαν ἐστὶ τοῦ δυνατοῦ καὶ τοὐναντίου, ὅτι—. WOLF.

15. παρρησιάζεσθαι] παρασκευάζεσθαι C.V.

26. τοῖς] p. 180. 5.

λόμενος δὲ αὐτὴν μὴ πραγματικὴν ποιῆσαι μηδ' ἰσχὺν αὐτῇ περιθεῖναι διαβάλλει αὐτὴν ἐν τῇ θέσει καὶ πρὸς τοὺς ῥήτορας τὸν λόγον ποιεῖται, ὡς νῦν μὲν θρασυνομένους, τότε δ' ἐν τοῖς κινδύνοις ἀποδειλιῶντας, τῷ μὲν δοκεῖν πρὸς τοὺς ῥήτορας λέγων, τῇ δ' ἀληθείᾳ πρὸς τὸν ἀκροατὴν αἰνιττόμενος ὅτι οὐ δεῖ θρασύνεσθαι, ἵνα μὴ μεταγνῶσιν ἐν τοῖς ἔργοις γενόμενοι. εἶτα ἑτέρᾳ λύσει κέχρηται τῇ ἀπὸ τοῦ δυνατοῦ. μερίζει δὲ τὸ δυνατὸν εἰς τὸ χαλεπὸν, ὅτι δυσχερὲς ἐν τοῖς ἐκείνου τόποις πολεμεῖν, τοῦ τριήρεις τοσαύτας καὶ χρημάτων πλῆθος καὶ ἐπικαίρους τόπους κεκτημένου· τῷ δὲ ῥᾳδίῳ, ὅτι εὔκολος ἡμῖν ὁ πρὸς ἐκεῖνον ἔσται πόλεμος, εἰ αὐτὸς ἐπέλθοι τῶν Ἑλλήνων κοινῇ συναγωνιζομένων. εἶτα τῷ συμφέροντι πάλιν, ὅτι "διὰ ταῦτα "τοίνυν παραινῶ μὴ προτέρους ἀνελέσθαι τὸν πρὸς ἐκεῖνον πόλεμον, "ἀλλὰ παρασκευάζεσθαι." πάλιν ἐκ τῆς ἐργασίας ἀντέπεσε πρὸς τοῦτο τὸ ἐπιχείρημα ὅτι, Ἀλλ' ἐὰν παρασκευαζώμεθα, οὐδὲν ἧττον δόξομεν αἱρεῖσθαι πόλεμον· ἐξ οὗ συνάγεται τὸ δεινὸν, εἰ δεῖ στρατεύεσθαι συγκαλέσαντας τοὺς Ἕλληνας. τοῦτο τὸ ἀντιπῖπτον οὐκ ἔθηκε μὲν ἐκ τοῦ προφανοῦς, ἔλυσε δὲ φανερῶς, εἰπών· "εἰ μὲν οὖν "ἕτερός τις τρόπος ἦν δυνάμεως, ᾧ τοὺς βαρβάρους οἷόν τε ἦν ἀμύ-"νασθαι, ἕτερος δέ τις ᾧ τοὺς Ἕλληνας, εἰκότως ἂν ἴσως φανεροὶ "πρὸς ἐκεῖνον ἐγιγνόμεθα ἀντιταττόμενοι·" τουτέστιν, εἰ παρασκευαζόμεθα ἡμεῖς, οὐκ ἤδη δῆλον ἔσται ὅτι πρὸς βασιλέα τὴν παρασκευὴν συγκροτοῦμεν, ὥστε οὐ δόξομεν ἄρχειν πολέμου. εἶτα ἐπὶ τὴν ἑξῆς ἀντίθεσιν τὴν ἀπὸ τοῦ συμφέροντος, ἄλλο μέρος ἐνταῦθα λύων. τοῦτο δέ ἐστι, Καὶ νῦν μὲν συγκαλοῦμεν τοὺς Ἕλληνας. τὸ μὲν οὖν συμφέρειν πολεμεῖν ἔλυσεν ἤδη, τὸ δὲ συγκαλοῦμεν τοὺς Ἕλληνας ἐντεῦθεν ἄρχεται λύειν. τοῦτο δὲ τὸ μέρος τῆς ἀντιθέσεως μὴ θεὶς ἀνακαλύπτει

2. διαβάλλει αὐτὴν ἐν τῇ θέσει] Si mendum non subest, videtur hoc velle: Eum ita proponere objectionem, ut parum illi tribuat. WOLF.

7. ὅτι δυσχερὲς add. Wolfius.

8. τοῦ Wolfius pro τό. Idem mox κεκτημένου ex conjectura addidit, et τῷ δὲ ῥᾳδίῳ in τό τε ῥᾴδιον mutavit, quod sane exspectes post præcedens εἰς τὸ χαλεπόν· sed non attendit dativum qui est in proximis verbis εἶτα τῷ συμφέροντι. Vitium igitur non in his dativis, qui apti sunt verbo λύει vel κέχρηται, sed in superioribus verbis non integris quærendum videtur.

9. εὔκολος Wolfius pro εὐκόλως.

10. αὐτὸς T. ἐκεῖνος C.V.

11. διὰ] p. 180, 21.

15. εἰ] ἢ T.C.

17. ἔθηκε μὲν T.C.D.G. ἔθηκεν, omisso μὲν, V.

εἰ] p. 180, 24.

αὐτὸ τῇ λύσει. τί γάρ φησι; "καὶ νῦν μὲν συγκαλεῖτε πρὸς ὑμᾶς "αὐτοὺς τοὺς Ἕλληνας· ἐὰν δὲ ἃ κελεύουσιν οὗτοι μὴ ποιῆτε" τουτέστιν, ἂν περὶ τῆς ἡγεμονίας ἡμῖν ἀμφισβητῶσιν, ὡς κοινοῦ τοῦ πολέμου τυγχάνοντος, πῶς προσδέξεσθε τὴν ἀμφισβήτησιν; εἶτα ἑτέρᾳ λύσει τῇ ἀπὸ τοῦ καιροῦ, ὅτι ἐπειδὰν αὐτὸς ἐπιστῇ βασιλεὺς, τότε ἑκόντες αὐτοὶ προθυμήσονται· καὶ ἀπὸ τῆς δυνάμεως τῆς πόλεως, ὅτι Οὐκ ἔστιν ὅστις ὁρῶν ὑμᾶς μεγίστην δύναμιν ἔχοντας οὐ μεθ' ὑμῶν ἀξιώσει τετάχθαι. ἓν μὲν δὴ τοῦτο μέρος τοῦ λόγου πεπλήρωται περιεκτικὸν τοῦ συμφέροντος· οὗ τὸ μέν ἐστι προηγούμενον, τὸ δὲ δεύτερον· προηγεῖται μὲν γὰρ ἐξ ἀρχῆς Δημοσθένους γνώμη, αὐτὸς δὲ ὡς οἰκείαν εἰσηγεῖται, φάσκων ἀσύμφορον κατεπείγουσαν ἐπὶ τὸν πόλεμον. πέρας δὲ τούτοις ἐπιθεὶς τοῖς μέρεσι τοῦ συμφέροντος, ὃ πολλὴν μίξιν ἔχει καὶ κοινωνίαν, τὸ μὲν πρὸ τῆς ἀντιθέσεως πρὸς τὸ δυνατὸν καὶ δίκαιον, τὸ δὲ μετὰ τὴν ἀντίθεσιν πρὸς τὸ δυνατὸν εἰλημμένον πρὸς ἀναίρεσιν τῆς ἀντιθέσεως. μεταβαίνει λοιπὸν ἐπ' αὐτὸ καθαρῶς τὸ δυνατὸν, κατασκευὴν ἔχον τῆς παρασκευῆς τῆς πόλεως. προοιμιάζεται δὲ πρὸ τοῦ κεφαλαίου, ἐνδεικνύμενος τὴν ἀκρίβειαν καὶ τὴν χρείαν μεθ' ὅσης ἐργασίας καὶ πόνων ἐξεῦρεν, ἵνα προτρέψηται διὰ τῶν προοιμιακῶν τούτων τὸν ἀκροατὴν προσδέξασθαι ὡς κάλλιστα καὶ ἐντελέστατα τὸν λόγον ἐξευρημένον. καὶ ἔστιν ἀρχὴ τοῦ προοιμίου, "ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, "ταῦτά τε καὶ τὰ παραπλήσια τούτοις," τῆς μὲν ἐπιβολῆς τοῦ προοιμίου συμπέρασμα τῶν προειρημένων ἐχούσης, ἀρχὴν δὲ τῶν μελλόντων· λήγει δὲ εἰς ταύτην τὴν ἔννοιαν, "οἶμαι δὲ δεῖν ἀκού-"σαντας ὑμᾶς αὐτὴν, ἂν ὑμῖν ἀρέσῃ, ψηφίσασθαι." μετὰ δὲ τὸ πέρας τοῦ προοιμίου προκατασκευῇ κέχρηται πρὸς αὐτὸ τὸ κεφάλαιον.

1. καὶ] p. 181, 5.

6. τότε ἑκόντες] ὅτε ἑκόντες T.C. εἰτεκόντες V. ex quo Wolfius fecit εἰθ' ἑκόντες.

11. γνώμη] γνώμην T., omisso proximo δέ.

αὐτὸς δὲ ὡς οἰκείαν εἰσηγεῖται] Si est γνώμη Δημοσθένους, utique οἰκεία est. Quare quorsum ista pertineant divinent sagaciores. Est totus hic locus ita salebrosus, ut nulla mihi emendationis conjectura satisfaciat. Sed ego ineptus, qui de re parvi momenti tantopere laborem? Quanti enim sunt τὰ τεχνικὰ ταῦτα; ὧν καὶ παντελῶς ἂν διεφθαρμένων μηδὲν ἂν κάκιον οἰκοῖτο ἡ Σπάρτη. WOLF.

ἀσύμφορον] σύμφορον T.

15. εἰλημμένον T. εἰρημένον C.V.

19. ἐξεῦρεν Wolfius pro ἐξευρεῖν.

21. ἐγὼ] p. 181, 24.

ἐπειδὴ γὰρ οἶδε χαλεπὰ συμβουλεύσων καὶ τοῖς εὐπόροις διὰ τὰς εἰσφορὰς καὶ τοῖς τριηράρχαις διὰ τὴν λειτουργίαν, πρόθυμον τὸν ἀκροατὴν πρὸς τὰς πράξεις καὶ εὔνουν πρὸς τὸν λόγον ἑαυτῷ κατασκευάζει· καὶ ἔστι μὲν ἀρχὴ τῆς προκατασκευῆς, "ἔστι τοίνυν "πρῶτον μὲν τῆς παρασκευῆς, ὦ ἄνδρες Ἀθηναῖοι·" πέρας δὲ, 5 "αὐτὸς μὲν ἕκαστος οὐδὲν ποιήσων, τὸν δὲ πλησίον πράξοντα, οὐδὲν "πώποτε ὑμῖν ἐγένετο." εἰσβάλλει τοίνυν εἰς αὐτὸ τὸ κεφάλαιον ἐκ ταύτης τῆς λέξεως, "ἐχόντων δὲ ὑμῶν οὕτω καὶ παρωξυμμένων τοὺς "διακοσίους καὶ χιλίους ἀναπληρῶσαί φημι χρῆναι καὶ ποιῆσαι "δισχιλίους." διαιρεῖ τοίνυν τὸν τῆς παρασκευῆς λόγον κεφαλαιωδῶς 10 εἰς τρία· πρῶτον μὲν εἰς τριηράρχους καὶ τὴν οὐσίαν αὐτῶν καὶ τὰς τριήρεις· εἶτα καὶ εἰς τὴν οὐσίαν πάντων τῶν οἰκούντων τὴν πόλιν, ἀφ' ἧς δεῖ τὰ ἀναλώματα γίνεσθαι· τρίτον δὲ εἰς τὸν τόπον καὶ τοὺς νεωσοίκους, οὓς δεῖ κατασκευασθῆναι ταῖς τριήρεσι. διαιρεῖ δὲ τούτων ἕκαστον εἰς ναῦς ἑκατὸν μόνας, εἰ κουφότερος εἴη ὁ πόλεμος· καὶ τὴν 15 τριήρη παρεχέτωσαν δώδεκα ἄνδρες· δωδεκάκις γὰρ ἑκατὸν χίλια καὶ διακόσια. εἰ δὲ ὀλίγῳ βαρύτερος ὁ πόλεμος γένοιτο καὶ μέσως ἔχων παρασκευῆς ἥκοι ὁ βασιλεὺς, διακοσίας παρεχέτωσαν τριήρεις οἱ χίλιοι καὶ διακόσιοι τριηράρχαι, ὡς παρέχειν ἓξ ἄνδρας τὴν τριήρη· καὶ ὑπομένειν ἀνάγκη βαρύτερον τὸ λειτούργημα. εἰ δὲ πολλῷ 20 πλείονος παρασκευῆς τῇ πόλει γένοιτο χρεία καὶ βασιλεὺς ἔλθοι πλείονι ῥώμῃ παρεσκευασμένος, τοὺς τέσσαρας ἄνδρας παρέχειν δεῖ, φησὶ, μίαν ναῦν· τετράκις γὰρ τριακόσια χίλια καὶ διακόσια· τούτους δὲ τριηραρχεῖν παρέχοντας τῇ πόλει τριήρη μίαν τοὺς τέσσαρας. καὶ ὁ μὲν λόγος ὁ περὶ τῶν τριηραρχῶν καὶ τῶν νεῶν οὗτός 25 ἐστι. τὴν δὲ οὐσίαν τῶν χιλίων διακοσίων τριηραρχῶν φησι τετιμῆσθαι ταλάντων ἑξακισχιλίων. τὰ τοίνυν ἑξακισχίλια τάλαντα διαιρεῖ εἰς ἑκατὸν μέρη κατὰ ἑξήκοντα τάλαντα· ἑξηκοντάκις γὰρ ἑκατὸν ἑξακισχίλια· ἵνα, ἐὰν μὲν κουφότερος ὁ πόλεμος γένηται, δύνωνται

2. τριηράρχαις T.C.D. τριηράρχοις G.V. Prioris formæ genitivus τριηραρχῶν est paullo inferius.

πρόθυμον τὸν ἀκροατὴν πρὸς Wolfius pro καὶ θυμὸν πρὸς, quod est in libris omnibus omisso τὸν ἀκροατήν.

3. εὔνουν] εὔνουν καὶ T.

κατασκευάζει Wolfius pro κατασκευάζων.

4. ἔστι] p. 182, 1.

6. πράξοντα V. πράξαντα codices.

15. εἰς om. T.

ἑκατὸν add. Wolfius.

28. κατὰ Wolfius pro καὶ τά.

29. ὁ πόλεμος add. Wolfius. Sic supra εἰ κουφότερος εἴη ὁ πόλεμος.

τριηραρχεῖν δώδεκα εἰς μίαν ναῦν, οὐσίαν κεκτημένοι ταλάντων ἑξήκοντα, εἰ δὲ βαρύτερος ὀλίγῳ γένοιτο, τριηραρχῶσι τῆς συμμορίας τέσσαρες ἄνδρες τῆς μιᾶς νεώς, οὐσίαν κεκτημένοι ταλάντων εἴκοσι. καὶ ὁ μὲν περὶ τῶν τριηραρχῶν καὶ τῆς οὐσίας αὐτῶν καὶ τριήρων λόγος ἐνταῦθα τὸ πέρας εἴληφε. τὸν δὲ περὶ τῶν πληρωμάτων τού- 5
των διεῖλε τὸν τρόπον τοῦτον· δέκα τῶν Ἀθηναίων εἰσὶ φυλαί· τριήρεις τοίνυν τριάκοντα ἑκάστῃ προσνέμει φυλῇ· δεκάκις γὰρ τριάκοντα τριακόσια· διαιρεῖ δὲ τὰς τριάκοντα ταύτας τριήρεις ὁμοῦ τρίχα κατὰ δέκα, καὶ τὴν φυλὴν εἰς μέρη τρία, καὶ ἀξιοῖ τὸ τρίτον μέρος τῆς φυλῆς, τουτέστι τὴν τριττύν, πληροῦν τὰς δέκα τριήρεις 10
εἰς τὰς τοῦ πολέμου χρείας. ἔτι δ' εἰσηγεῖται τριάκοντα νεωσοίκους κατὰ φυλὴν ἑκάστην κατασκευασθῆναι ἐν τῷ Πειραιεῖ, ὡς δύνασθαι τὴν μίαν ναῦν ἐν ἑκάστῳ νεωσοίκῳ σώζεσθαι. λοιπόν ἐστιν εἰπεῖν περὶ τοῦ τρίτου μέρους τῆς παρασκευῆς· τοῦτο δέ ἐστιν ἡ εἰσφορὰ καὶ ὁ μισθὸς τῶν στρατευομένων· ἥντινα εἰσφορὰν δεῖ γενέσθαι 15
παρὰ πάντων τῶν κεκτημένων οὐσίας κατὰ τὴν πόλιν. τὸν τοίνυν ὑπὲρ τούτου λόγον ὑπερτίθεται νῦν καὶ ἀξιοῖ μὴ γυμνάζειν περὶ τούτου μηδὲν, ἕως ἂν ὄντως ἐνστῇ ὁ βασιλέως πόλεμος· μὴ γὰρ συμφέρειν νῦν ζητεῖν, ἵνα οἱ τὰς οὐσίας ἔχοντες μὴ ἀρνήσωνται. ταῦτα μὲν οὖν ἐστιν ἃ περὶ τοῦ δυνατοῦ τοῦ τῆς πόλεως διείλεκται. 20
εἴληφε μέντοι τὸν περὶ τῶν χρημάτων λόγον ἐξ ἀντιθέσεως, ζητοῦντος τοῦ ἀκροατοῦ τὴν εὐπορίαν ἐκ τοῦ παραχρῆμα· λαμβάνοντός τε τοῦ ῥήτορος ἐξ ἀντιθέσεως τὸ κεφάλαιον, Καὶ πόθεν ἡμῖν ἔσται τὰ χρήματα φατὲ, καὶ λέγε φανερῶς τὸν πόρον. ὁ δὲ ἔλυσεν, ὡς ἔφαμεν, ἀξιῶν μὴ νῦν ζητεῖν, εἰς δὲ τὸν μέλλοντα χρόνον ὑπερτί- 25
θεσθαι τὴν περὶ τούτων ἐπίσκεψιν· τότε γὰρ ἔσεσθαι τὸν πόρον, ἐπειδὰν ἥκῃ βασιλεύς. εἶτα ἐπήνεγκεν ἐπιχείρημα ἐπὶ τούτοις, ὅτι εἰ ταύτην τὴν δύναμιν παρασκευασόμεθα, μᾶλλον αὐτὸν ἀμυνούμεθα ἢ οἱ πατέρες, διότι ἡμεῖς μὲν νῦν κεκτήμεθα τριακοσίας τριήρεις

2. Verba τριηραρχῶσι τῆς συμμορίας (pro quibus in V. est τριηραρ cum spatio vacuo literarum χῶσι τῆς συμμορίας capace), addidit P. Pro his in T.C.G. est σύμνης (sic) τῆς συμμορίας, in D. ποιηραρχῶσι (sic) τῆς cum aliquot literarum lacuna. "εἰ δὲ βαρύτερος ὀλίγῳ γένοιτο] locus "mutilus, qui sic fortasse expleri "queat ex auctoris ipsius sententia: τριήραρχοι γένωνται ἐξ ἄνδρες "οὐσίαν κεκτημένοι τριάκοντα ταλάν- "των. εἰ δὲ βαρύτατος, τέσσαρες ἄν- "δρες etc." WOLF.

19. συμφέρειν C.V. συμφέρει T.

μόνοι, τὸ δὲ παλαιὸν διακοσίας πάντες οἱ Ἕλληνες. πεπλήρωκε τὸν λόγον πάντα τὸν περὶ τοῦ δυνατοῦ τῆς πόλεως. ἐντελῆ δὲ τὴν ἐργασίαν τοῦ κεφαλαίου διδοὺς οὐ μόνον τὸ δυνατὸν ἐξετάζει τῆς πόλεως, ἀλλὰ καὶ τὸ ἀντικείμενον. μεταβαίνει τοίνυν ἐπὶ τὸ τοῦ βασιλέως δυνατόν· τοῦτο δὲ κατὰ ἀντίθεσιν λαμβάνει. Ἀλλὰ χρή- 5 ματα, φησὶν, ἐπάξεται βασιλεύς· πολλὰ γὰρ περιβέβληται· τοῦτο τέως μέρος πρῶτον αὐτῆς τιθείς· δεῖ γὰρ αὐτῇ προστεθῆναι τίνος ἕνεκα φοβοῦνται τὰ βασιλέως χρήματα. τέως δ' ἐμέρισεν, ἵνα εὐπετὴς αὐτῷ πρὸς τὴν λύσιν γένηται. λύει τοίνυν αὐτὴν ἐκ συγκρίσεως, εἰπὼν τὸ μὲν ἐκείνου ῥᾳδίως ἀναλωθήσεσθαι καὶ μηδαμόθεν 10 ἕξειν ἐπικουρίαν, Ἀθηναίους δὲ ἐκ τῆς χώρας κατὰ μέρος λαμβάνοντας μηδέποτε τῶν ἀναγκαίων ἀπορήσειν· καὶ τοῦτο εἶναι τὸ μέγιστον, τὸ κρατοῦντας τῆς οἰκείας χώρας καὶ τὰς ἀφορμὰς ἐκ ταύτης λαμβάνοντας αὐτῷ πολεμεῖν. ἑτέραν ἀντίθεσιν ἔλαβεν ἀκόλουθον τῇ προειρημένῃ, μᾶλλον δὲ μέρος οὖσαν ἔλαβε τῆς πρὸ 15 αὐτῆς, Ἀλλὰ δέος μὴ πολὺ μισθοφορικὸν ἐκ τῶν Ἑλληνικῶν χρήματα ἔχων βασιλεὺς ἀθροίσῃ. δίχα δὲ ταύτην διαιρεῖ· καὶ τὸ μὲν πρότερον μέρος ἔλυσεν, ὡς ἤδη δέδεικται, τὸ δὲ δεύτερον ἐντεῦθεν ἄρχεται, "καὶ μὴν οὐδ' ὅ τινες δεδίασι·" λύει δὲ μεταληπτικῶς· Εἰ μὲν ἐφ' ἑτέρους στρατεύοιτο βασιλεὺς, ὑπακοῦσαι ἂν τοὺς τῶν 20 Ἑλλήνων μισθοφόρους· εἰ δ' ἐπὶ τὴν Ἑλλάδα, οὐχ ὑπακούσεσθαι. εἶτα ἑτέρᾳ μεταλήψει ἀπὸ τῆς τοῦ βασιλέως γνώμης, Ὅτι οὐδὲ ἐκείνῳ συμφέρει διὰ τῶν ξένων κρατῆσαι· παρασκευάσει γὰρ αὐτοὺς καταφρονεῖν τῆς αὐτοῦ δυνάμεως. τρίτην ἀντίθεσιν ἔλαβεν ἐκ τοῦ αὐτοῦ δυνατοῦ καὶ τῶν συμβησομένων αὐτοῖς πλεονεκτημάτων, εἰ 25 ἀναμείναιεν αὐτὸν εἰς τὴν Ἑλλάδα ἐλθεῖν. ἔστιν οὖν ἡ τρίτη, Ἀλλὰ δέος μὴ Θηβαῖοι, δεῦρο τοῦ βασιλέως ἐλθόντος, τῆς ἐκείνου γένωνται γνώμης· ταύτην ἔλυσεν ἐνστάσει, εἰπὼν μὴ ἂν ἐθελῆσαι Θηβαίους μετ' ἐκείνου γενέσθαι, καὶ μεταλήψει, Ἀλλὰ μᾶλλον ἂν εὔξασθαι

1. πεπλήρωκε] καὶ οὕτω πεπλήρωκε Wolfius.
3. διδοὺς] τιθεὶς Wolfius.
14. αὐτῷ Wolfius pro αὐτόν.
ἑτέραν] τοίνυν add. Wolfius.
17. βασιλεὺς Wolfius. βασιλεὺς πολλοὺς μισθοφόρους ἑλλήνων libri.
καὶ (aut οὖν post τὸ μὲν) add. Wolfius.
19. καὶ μὴν—δεδίασι add. Wolfius.
23. ἐκείνῳ C.V. ἐκεῖνον V.
25. αὐτοῖς Wolfius. αὐτοῖς C. αὐτῷ T.V.
29. μετ' V. μήτε T.C.D.G.

τοῖς θεοῖς καιρὸν γενέσθαι ἀπολογήσασθαι ὑπὲρ ὧν πρότερον ἥμαρτον ἢ πάλιν ἐπαντλῆσαι ταῖς προτέραις αἰτίαις καὶ δευτέρας διαβολάς. τρίτη λύσις, Εἰ δὲ καὶ Θηβαῖοι μετ' ἐκείνου γενήσονται, ἀλλ' οὖν γε οἱ τῶν Θηβαίων ἐχθροὶ μετὰ τῶν Ἑλλήνων ἔσονται. εἶτα ἐπισφραγισάμενος καὶ τῷ δικαίῳ καὶ τῷ συμφέροντι καὶ τῷ δυνατῷ· δικαίῳ 5 μὲν, ὅτι οὐ δεῖ προτέρους κατάρχειν, δυνατῷ δὲ, ὅτι περιγενήσονται τῶν προδοτῶν, Θηβαίων λέγει καὶ Ἀργείων καὶ τῶν μισθοφόρων· συμφέροντι δὲ, ὅτι οὐ χρὴ προτέρους ὑπαχθῆναι τὸν πόλεμον ἐκφέρειν. μετέβη λοιπὸν ἐπὶ τὴν τῶν Ἑλλήνων ποιότητα· Ἀλλὰ δέος μὴ καταπλαγέντες οἱ Ἕλληνες τὸν πόλεμον, ἐπελθόντος βασιλέως, πρόωνται τὴν 10 Ἑλλάδα· ταύτην ἔλυσεν ἐνστάσει· εἶτα κατεσκεύασε μεταληπτικῶς ὅτι, ἕως μὲν αὐτὸν κοινὸν ἐχθρὸν ἐνόμιζον, πολλῶν ἀγαθῶν ἐγένοντο κύριοι, ἀφ' οὗ δὲ φίλον αὐτὸν ᾠήθησαν, πάντα πεπόνθασι τὰ ἀνήκεστα. τὸ, Οὐκοῦν καλὸν μὲν αὐτοὺς φαίη τις ἂν, αὐτὴν ἔλαβεν ἐξ ἀκολουθίας τὴν ἀντίθεσιν· εἶτα μὴ θεὶς αὐτὴν ἔλυσεν εἰπὼν, Μὴ νῦν 15 καλῶμεν ὅτε οὐχ ὑπακούσονται, μὴ νῦν πολεμῶμεν ὅτε οὐ δυνησόμεθα. εἶτα ἐπισυνῆψε καὶ ἕτερον μέρος τοῦ συμφέροντος, ὅτι, Ὑπὲρ ἡμῶν τὸ τὸν βασιλέα στρατεῦσαι δεῦρο· οὕτω γὰρ ἂν διαλλαγεῖεν ἀλλήλοις οἱ Ἕλληνες. ἐπὶ τούτοις ἐπήγαγε τοὺς ἐπιλόγους ἀνακεφαλαίωσιν ἔχοντας· πρῶτον μὲν ἀπὸ τοῦ δικαίου, ἐν ᾧ τὸ μὴ παρα- 20 βαίνειν τοὺς ἑαυτῶν ὅρκους, μὴ συγχέειν συνθήκας προτέρους, καὶ δεῖν ἀμύνεσθαι βασιλέα μόνον ἐπιόντα, ἀλλὰ μὴ στρατεύεσθαι ἐπὶ τὴν ἐκείνου χώραν· περὶ τῆς παρασκευῆς, ὅπως ἂν εὐτρεπεῖς γένοιντο ἔργῳ μᾶλλον ἢ λόγῳ ἐξειπεῖν, ὅπως ἄξια ἔσται τὰ ἔργα τῶν προγονικῶν πράξεων, μὴ τοῖς λόγοις προσέχειν, ἀλλὰ τοῖς ἔργοις ἀσφαλῶς 25 παρασκευάζεσθαι. αὕτη δὲ ἡ ἔννοια πλείστην ἔχει συγγένειαν πρὸς τὴν ἐν τῷ προοιμίῳ. ἐπὶ τούτοις καταστρέφει τὸν λόγον. T.C.V.

178, 1. ΠΕΡΙ ΣΥΜΜΟΡΙΩΝ] Συμμορία λειτουργιῶν σύνταγμα παρὰ τοῖς Ἀττικοῖς. B.Y.

10. τὸν πόλεμον] τῷ πολέμῳ C.V.

14. τὸ, Οὐκοῦν—ἔλαβεν] Hæc verba quid sibi velint non perspicio. WOLF.

οὐκοῦν V. οὐκοῦν οὖν (sic) T.C.D.G.

καλὸν] καλῶν T. solus.

16. ὅτε—ὅτε Wolfius pro ὅτι—ὅτι.

21. καὶ δεῖν Wolfius pro περὶ τοῦ δεῖν.

22. μόνον T.C.D.G. κώνονα V.

23. εὐτρεπεῖς γένοιντο Wolfius pro εὐπρεπὴς γένοιτο.

28. λειτουργιῶν] τὸ τῶν λειτουργιῶν rec. Y.

29. παρὰ τοῖς Ἀττικοῖς om. B.

178, 8. τῆς ὑπειλημμένης] τῆς κεκριμένης. B.P.

179, 11. προαπεχθησόμεθα] προμισηθῶμεν. Y.

182, 1. ἔστι τοίνυν] ἀρχὴ τῆς παρασκευῆς. F.Y.P.

182, 2. ἀρχὴ τῆς προκατασκευῆς. R.

182, 11. ἐχόντων] πέρας τῆς προκατασκευῆς καὶ εἰσβολῆς τῶν κεφαλαίων. F.Y.R.P. 5

182, 15. ἐπικλήρων] ἐπίκληρος ἡ ἐπὶ τῇ οὐσίᾳ ὅλῃ καθεσθεῖσα, κἂν μήπω ἐκδοθῇ. B.F.Y.P.

τῶν κληρουχικῶν] τῶν γεωργῶν. B.P.

τῶν κοινωνικῶν] τῶν δημίων. P. τῶν δημοσίων. B. 10

182, 27. πεντεκαιδεκαναίαν] μερίδας δηλονότι κατὰ πέντε καὶ δέκα, ὡς γίνεσθαι ἑβδομήκοντα πέντε ναῦς. Less.

188, 13. εἶθ' ὃν ἡ τύχη] περίοδος κατὰ αἰτιατικὴν πτῶσιν. B.Y.

2. προμισηθῶμεν] Accedat lexicis.

5. πέρας τῆς π. καὶ om. F.P.

τῶν κεφαλαίων] τοῦ κεφαλαίου R.

10. τῶν δημοσίων] Sequuntur in B. duo scholia ad p. 182, 19. et 184, 14. quorum prius exscriptum ex Suida s. v. συμμορία, alterum ex eodem s. v. ἱππεῖς adumbratum hoc modo, Σόλων τοῖς Ἀθηναίοις τοὺς νόμους γράψας εἰς τέτταρα τέλη τὸ πᾶν πλῆθος αὐτῶν ἔταξε τῶν κατὰ τὰς οὐσίας τιμημάτων, εἰς πεντακοσιομεδίμνους, εἰς ἱππέας, εἰς ζευγίτας, εἰς θῆτας. καὶ τοὺς μὲν πεντακοσιομεδίμνους, διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα, οὕτως ὠνόμαζον, καὶ ἦσαν εὔποροι. οἱ δὲ ἱππεῖς μέχρι τ' μέτρων ἐγεώργουν· ἕκαστος δ' ἔτρεφεν ἵππον· ὅθεν καὶ τὰς θυσίας, ἃς αὐτοὶ πέμπουσιν ταῖς πομπαῖς, ἐκάλουν ἱππάδας· ἐξῆν δὲ αὐτοῖς ἐπί τι μὲν καὶ κομᾶν. ἦσαν δὲ οἱ θῆτες παρ' αὐτοῖς, οἷς οὐκ ἐφεῖτο ἄρχειν, ἢ δικάζειν, ἢ ἐκκλησιάζειν, μόνως ἵν' ἔκ τε τοῦ δικαστικοῦ καὶ τοῦ ἐκκλησιαστικοῦ τρέφωντο.

XV.

ΥΠΕΡ ΤΗΣ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ.

190, 1. ΟΙΜΑΙ δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβουλευόντων] συνεμάχουν Ἀθηναίοις ποτὲ οἱ νησιῶται καὶ οἱ τὴν παραλίαν οἰκοῦντες ἄχρι τοῦ Βυζαντίου, ἀλλ' ἀποστάντες ἐπολέμησαν Ἀθηναίοις, καὶ μηκυνομένου τοῦ πολέμου ἠναγκάσθησαν εἰς συνθήκας ἐλθεῖν πρὸς αὐτοὺς οἱ Ἀθηναῖοι, ὥστε αὐτονόμους εἶναι καὶ ἐλευθέρους. μετὰ ταῦτα βασιλέως γνώμῃ βοηθούσης Ἀρτεμισίας τοῖς κατὰ τὴν Ῥόδον εὐπόροις, ἐπιτίθενται τῷ δήμῳ οἱ δυνατοί. κατέφυγεν οὖν ὁ δῆμος ἐπὶ τὴν Ἀθηναίων πόλιν ἀξιῶν ἐλευθερίας τυχεῖν. Δημοσθένης παραινεῖ βοηθεῖν τῷ δήμῳ Ῥοδίων. εἰ δέ τις ἄλλος Ἀθηναίους ἐλύπησεν ἐν τῷ συμμαχικῷ πολέμῳ καὶ τὴν ἀπόστασιν εἰργάσατο, μᾶλλον πέφηνεν ὁ Ῥοδίων δῆμος. διόπερ πρὸς αὐτοὺς ἔοικε χαλεπαίνειν ἐξαιρέτως ἡ πόλις. χαλεπὸς οὖν ὁ λόγος τῷ συμβούλῳ, λέγοντι ὑπὲρ ἀνδρῶν ἀφεστηκότων καὶ λελυπηκότων πολλὰ τὴν πόλιν. καὶ οὐ τοῦτο μόνον λυπεῖ τὸν δημηγόρον, ἀλλὰ καὶ ὁ παρὰ τοῦ βασιλέως φόβος· δοκεῖ γὰρ οὐ μικρὸν οὐδὲ ἀκίνδυνον εἶναι τὸ προσκρούειν βασιλεῖ, σχεδὸν κατειληφότι τὴν νῆσον διὰ τῶν εὐπόρων. πρὸς ἑκάτερον οὖν τούτων ἀντέθηκεν ἰσχυρότατα δύο· πρὸς

6. οἱ add. Wolfius.

8. οἱ δυνατοὶ] καὶ ἄρχουσι τῆς (τοῖς V.) Ῥοδίων πόλεως οἱ τὰς οὐσίας κεκτημένοι vulgo addita om. F.Y.R.

οὖν om. T.C.V.

9. ἐλευθερίας] ὑπὲρ ἐλευθερίας F.Y.R., omisso τυχεῖν.

10. δέ F.Y. καί T.C.V.

13. ἡ πόλις] μάλιστα γὰρ αὐτοὶ τυγχάνουσι τὴν ἀπόστασιν εἰργασμένοι. κατὰ πάντα τοίνυν vulgo addita om. F.Y.R. His deletis ego ex iisdem codicibus οὖν addidi post χαλεπός.

18. εὐπόρων] Addebatur εἰς γὰρ ἐκεῖνον ἀνήκει τὰ πράγματα, quod abest ab Y.

μὲν τὴν τῶν Ῥοδίων ἀπιστίαν τὴν μεγαλοφροσύνην τῆς πόλεως καὶ τὸ σύνηθες εἶναι βοηθεῖν τοῖς ἀδικουμένοις τῶν Ἑλλήνων, διότι πάντες εἰς αὐτοὺς ἀποβλέψουσιν, εἰ τοῦτο ποιήσειαν· πρὸς δὲ τὸν παρὰ τοῦ βασιλέως φόβον τὸ δίκαιον καὶ τὸ δυνατὸν ἀντέθηκε καὶ τρίτον τὸ συμφέρον· δυνατὸν μὲν, ὅτι κακῶς πράττοντος τοῦ βασι- 5 λέως περὶ τὴν Αἴγυπτον καὶ ἡττωμένου οὔτε Ἀρτεμισία βοηθήσει τοῖς ὀλιγαρχοῦσι Ῥοδίων οὔτε αὐτὸς ὁ βασιλεύς· δίκαιον δ', ὅτι οὐκ ἂν μεταποιήσαιτο βασιλεὺς τῶν μὴ προσηκόντων αὐτῷ· Ἕλληνές τε γάρ εἰσι Ῥόδιοι καὶ οὐ μεμερισμένοι τὴν βασιλέως ἀρχήν· τὸ συμφέρον δὲ, ὅτι οὐδὲ περιορᾶν δέοι, κἂν μεταποιῆται 10 ὁ βασιλεὺς τῶν Ῥοδίων· σύμβολον γάρ ἐστι τὸ γιγνόμενον τοῦ μὴ μόνον Ῥοδίων ἐπιθυμεῖν ἐκεῖνον, ἀλλὰ καὶ πάντων Ἑλλήνων. οὕτω μὲν οὖν διῃρηκε τὸν λόγον, καὶ τὰ πράγματα ταύτην ἔχει τὴν φύσιν· ὅπως δὲ ἕκαστον τούτων διῴκηκε καὶ ὃν τρόπον μετεχειρίσατο, ἀρκτέον λέγειν ἄνωθεν ἐκ προοιμίου τὴν ἀρχὴν ποιησάμενον. F.Y.V. 15

οἶμαι δεῖν ὑμᾶς] τὴν εὐλάβειαν, ἣν ἔχει πρὸς τὴν ὑπόθεσιν, διὰ τῆς ἐπιβολῆς ἐνδείκνυται· οὐ γὰρ ἔχει παρρησίαν εἰπεῖν ὑπὲρ ἀνδρῶν δοκούντων πολλὰ καὶ μεγάλα τὸν δῆμον ἠδικηκέναι, διὰ δὲ τῆς ἑξῆς ἐννοίας τοῦ αὐτοῦ προοιμίου προκαταλαμβάνει τὸν ἀκροατὴν καὶ βούλεται λαβεῖν ὁμολογοῦντα ὅτι ποιήσει τὰ συμβουλευόμενα· 20 ὥστ' αὐτὸ διοικεῖσθαι διὰ τῶν δύο ἐννοιῶν τό τε ἀνασχέσθαι λέγοντος καὶ τὸ πεισθῆναι τοῖς λεγομένοις ἅμα καὶ πρᾶξαι. F.Y.V.

191, 4. ἔστι μὲν οὖν ἓν ὧν ἐγὼ νομίζω] ἡ ἐπιβολὴ τοῦ δευτέρου προοιμίου. ἵνα δὲ μὴ δοκῇ χάριτι λέγειν ὑπὲρ Ῥοδίων, κατηγόρησεν αὐτῶν καὶ κατέδραμεν, οὐχ ὡς παροξῦναι, ἀλλ' εἰς εὔνοιαν τὸν 25 ἀκροατὴν ἐκκαλέσασθαι βουλόμενος. ἔχει δὲ τὸ δεύτερον προοίμιον

4. τοῦ βασιλέως—τοῦ βασιλέως—ὁ βασιλεὺς] Tres articulos om. F., tertium tantum om. Y.

9. οὐ addidit Wolfius. Idem εἰς τήν. Conf. p. 237, 22.

10. δέοι] δέει Y.

μεταποιῆται] ἀντιποιεῖσθαι dixit Demosthenes, quod magis placet. WOLF.

11. ὁ om. F.Y.

τοῦ] τὸ F.Y.

12. οὕτω—ποιησάμενον om. F.Y.: habent T.C.V.

19. προκαταλαμβάνει] προκαταλαμβάνεται R.Y., non F.

20. ὅτι P. pro εἴ τι.

21. ὥστ' αὐτὸ Wolfius pro ὡς ταυτὸ, quod ὡς ταὐτὰ scriptum in F.Y.

26. βουλόμενος om. R.Y., habet F.

προκατασκευὴν τοῦ κεφαλαίου· τὴν γὰρ δύναμιν ἐπισημαίνεται τῶν μελλόντων ῥηθήσεσθαι, τὴν δόξαν καὶ τὴν εὔκλειαν, ἣν ἕξουσι διὰ τῆς πράξεως ταύτης, ἀπολογησάμενοι πρὸς τοὺς διαβάλλειν αὐτοὺς εἰωθότας. ταῦτα μὲν οὖν ἐν τοῖς προοιμίοις διῴκηται. ἀρχὴ δὲ τοῦ συμφέροντος κεφαλαίου, "ᾐτιάσαντο μὲν γάρ—." κατεσκεύασται δὲ τῷ δικαίῳ ἤτοι ἀδίκῳ τὸ συμφέρον, ὅτι ἀδικούντων καὶ πλεονεκτούντων δόξαν εἴχομεν· διόπερ καὶ ἀπέστησαν ἡμῶν οἱ σύμμαχοι. ἵνα δὲ μὴ δοκῇ κατηγορεῖν τῆς πόλεως αὐτὸς, ἀνήνεγκε τὴν βλασφημίαν ἐπὶ Μαύσωλον, ἵνα καὶ ὑπὲρ τῆς πόλεως ἀπολογῆται ὡς ψευδῶς διαβαλλομένης καὶ ὑπὲρ τῶν Ῥοδίων ὡς ἠπατημένων· ὁ γὰρ ταῦτα πλασάμενος καὶ πείσας ἀποστῆναι ἐκεῖνος ἦν. οὕτω τὸ δίκαιον προτείνας ἦλθεν ἐπὶ τὸ συμφέρον, οὗπερ ἦν ἡ πρότασις· συμφέρει ὑμῖν ἀπολύσασθαι τὰς καθ' ὑμῶν διαβολὰς αὐτοῖς τοῖς ἔργοις. εἴληπται τοίνυν τὸ κεφάλαιον ἀπὸ τοῦ συμφέροντος, τὴν κατασκευὴν ἔχοντος ἀπὸ τοῦ δικαίου, καὶ καταστρέφει εἰς τὸ ἔνδοξον, ὅτι πρέπον ἐστὶν ἔχειν τὴν εὐδοξίαν ἐκ τοιούτων ἔργων τῇ πόλει. πρὸς δὲ τοῦτο ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ κεφαλαίου, Ἀλλὰ δεδοίκαμεν βασιλέα. ταύτην ἔλυσεν ὁμογενῶς ἐκ τοῦ αὐτοῦ κεφαλαίου τοῦ δυνατοῦ, καὶ πρῶτον ἀπὸ τοῦ μαχομένου κατὰ τὴν θέσιν αὐτῆς εὐθὺς, ὅτι Οὐ τῶν αὐτῶν ἐστι λόγων συμβουλεύειν τῇ πόλει βοηθεῖν Αἰγυπτίοις ἀφεστηκόσι τοῦ βασιλέως καὶ φοβεῖσθαι βασιλέα ὑπὲρ Ῥοδίων. καὶ ἡ προσθήκη τῆς αἰτίας, ὅτι Οἱ μὲν Ἕλληνες, οἱ δέ εἰσιν ἐν τῇ ἀρχῇ ἐκείνου μεμερισμένοι. δευτέρα λύσις, ὅτι Ὑπὲρ μὲν τῶν οἰκείων πολεμήσειεν ἂν βασιλεὺς, ὑπὲρ δὲ τῶν Ἑλλήνων οὔ. τρίτη λύσις, Εἰ μὲν οὖν ἐγνώκατε ἀδικούμενοι παραχωρεῖν ὧν ἀδικεῖ τοὺς Ἕλληνας βασιλεὺς, οὐκ ἐπαινῶ τὴν γνώμην· εἰ δὲ πᾶν ὁτιοῦν ὑπομένειν, μηδὲ νῦν ὀκνεῖτε. εἶτα ἐκ παραδείγματος, ὅτι καὶ Σάμον ἐλευθερώσαντος Τιμοθέου κατειλημμένην ὑπὸ Κυπροθέμιδος, οὐκ ἠγανάκτησε βασιλεύς. F.Y.V.

193, 14. ὅτι δ' οὐδ' ἐναντιωθῆναι] ἄλλη ἀντίθεσις ἀπὸ τοῦ αὐτοῦ δυνατοῦ· Ἀλλ' Ἀρτεμισία ἡμῖν ἐναντιωθήσεται. Ἀρτεμισία δὲ

5. ᾐτιάσαντο] p. 191, 11.
10. ὡς ante ἠπατημένων add. Wolfius.
13. ὑμῖν] ἡμῖν F.
ὑμῶν] ἡμῶν F.Y.
18. ἐκ τοῦ αὐτοῦ κεφαλαίου] ἀπὸ τοῦ κεφαλαίου F.
20. οὐ τῶν αὐτῶν] p. 191, 25.
τῇ πόλει] λέγειν add. F.Y.
27. ὅτι καὶ Σάμον] p. 193, 3.

Μαυσώλου μὲν γέγονεν ἀδελφὴ καὶ γαμετή, Καρίας δὲ ἐβασίλευε, φίλια δὲ ἔπραττε βασιλεῖ, διὰ τὸ οἰκεῖον συμφέρον αὐτὸν θεραπεύουσα, καὶ ἄρχουσα μὲν τῶν οἰκείων, οὐδὲν δὲ ἧττον φυλαττομένη βασιλεῖ προσκρούειν, ἔστι δ' ὅτε αὐτῷ συλλαμβανομένη. λείπει δὲ τῇ ἀντιθέσει κατασκευή. ἔδει γὰρ καὶ τὴν αἰτίαν προσθεῖναι, δι' ἣν 5 Ἀρτεμισία οὐ συγχωρήσει· ἀλλ', ἵνα μὴ χαλεπωτέρα γένηται πρὸς τὴν λύσιν, τὴν κατασκευὴν παραλιπὼν τὴν μὲν πρότασιν ἔθηκε μόνην, τὴν δὲ κατασκευὴν ταῖς λύσεσι συμπλέξας ἀσθενεστέραν ἐποίησεν. λύει δὲ τῷ δυνατῷ καὶ τῷ συμφέροντι. καὶ τῷ μὲν δυνατῷ κατὰ μερισμόν· Εἰ μὲν εὖ πράττοι βασιλεὺς κατ' Αἴγυπτον, βοη- 10 θήσειν· μὴ γὰρ εἶναι ἀνόητον ὥσπερ ἐπιτείχισμα κατασκευάσαι τῆς οἰκείας ἀρχῆς. εἰ δὲ καὶ βοηθήσειε, φαύλως καὶ οὐ πολλῇ τῇ ῥώμῃ, ἀλλ' ἄχρι τοῦ δοκεῖν διὰ βασιλέα. οὕτω μὲν οὖν ἀπὸ τοῦ δυνατοῦ τὴν ἀντίθεσιν ἔλυσεν· ἀπὸ δὲ τοῦ συμφέροντος στοχαστικῶς· Οὐκ οἶδα μὲν εἰ βοηθήσει βασιλεύς, συμφέρει δ' οὖν τῇ πόλει γνῶναι 15 πότερον ἀντιποιεῖται Ῥοδίων, ἢ οὔ. εἰ γὰρ ἀντιποιοῖτο τῆς νήσου, δῆλον ὅτι καὶ πάντων τῶν Ἑλλήνων. F.Y.V. ἄχρι μὲν οὖν τούτου διηγώνισται πρὸς τὰς ἀπὸ τοῦ συμφέροντος ἀντιθέσεις· λοιπὸν δὲ ἐπὶ τὸ δυσμεταχείριστον ἐληλύθει· ὁ γὰρ τὸν ἀπ' αὐτῆς τῆς ποιότητος τῶν Ῥοδίων κατηγορίαν περιέχοντα . . . . . ὅτι ἀπέστησαν. καὶ 20 ζητήσειεν ἄν τις τί δήποτε, ὄντος τοῦ προηγουμένου καὶ περὶ οὗ μάλιστά ἐστιν ἡ σύμπασα ζήτησις, εἰ δεῖ βοηθῆσαι τοῖς ἀδικήσασι τὴν πόλιν, οὗτος αὖ τὸ τοῦ συμφέροντος κεφάλαιον προέταξε, καὶ δεύτερον τὸ δυνατόν· εἶτα εἰ βοηθήσει βασιλεὺς καὶ ἡ Ἀρτεμισία. τὸ δὲ θεώρημα φανερόν· ἐπειδὴ γὰρ ἔνδοξον τὸ πρόσωπον καὶ παρρη- 25 σιάζεσθαι ὑπὲρ τῶν ἀνδρῶν οὐ δύναται πολλὴν ἐχόντων διαβολήν, εἰκότως τὸν ἀκροατὴν καταλαμβάνει καὶ τῷ συμφέροντι καὶ τῷ ἀναγκαίῳ, τουτέστι τῷ φόβῳ τῷ παρὰ βασιλέως, ἵνα τῷ μὲν συμ-

2. φίλια H.R. φιλία F. φιλίᾳ Y.
7. μὲν om. F.Y.
8. μόνην] μόνον F.
9. τῷ ante συμφέροντι om. F.Y., habet R.
10. Εἰ μὲν—] p. 193, 19.
πράττοι Y. πράττει F.
14. Οὐκ οἶδα μὲν] p. 194, 3.
17. τῶν om. Y.
20. Post περιέχοντα indicavi lacunam, quam obscuravit Wolfius sic hæc scribens ἐλήλυθεν, τὸ ἀπ' αὐτῆς—περιέχον.
22. εἰ δεῖ βοηθῆσαι V. ἡ διαβοηθῆσαι T.C.
ἀδικήσασι] ἀδικήμασι T.C.
23. αὖ τὸ] Legebatur αὐτό.
25. ἔνδοξον] ἄδοξον Wolfius.

φέροντι ἐπαχθεὶς διὰ τὴν εὔκλειαν, τῷ δὲ καταπλαγεὶς, τῷ ἀναγκαίῳ, ἐὰν ἐπιβουλεύῃ τοῖς Ἕλλησι βασιλεὺς, ὑπέρθηται μὲν τὸ μνησικακῆσαι τὰ νῦν, βοηθήσῃ δὲ διὰ τὸ ἑαυτῷ χρήσιμον, τοῦ συμφέροντος ὀρεγόμενος καὶ φόβων καὶ κινδύνων ἀπαλλακτικῶς ἔχοντες αἱρεῖσθαι καὶ τοῖς λελυπηκόσι βοηθεῖν διὰ τὰ ἀναγκαιότατα αὐτά. δι' ἣν μὲν 5 οὖν αἰτίαν ἐνήλλαξε τὴν θέσιν τῶν κεφαλαίων ἀκήκοας· διαιρεῖ δὲ αὐτὸ τὸ δίκαιον κεφάλαιον οὐ μικρᾷ τινι καὶ φαύλῃ ῥητορείᾳ, οὐδὲ τῇ τυχούσῃ οἰκονομίᾳ κέχρηται. T.C.V.

194, 12. ὁρῶ γὰρ αὐτοὺς—] κατατείνει πολλὴν κατηγορίαν τῶν Ῥοδίων ἀξιοπιστίας εἵνεκα· πάνυ γὰρ συμβάλλεται πρὸς πειθὼ τὸ 10 πρὸς ἡδονὴν ἐν τοῖς τοιούτοις διαλέγεσθαι. δι' ἡδονῆς δὲ αὐτοῖς ἐστι τὸ κακῶς ἀκούειν Ῥοδίους. μέμνηται δὲ Ῥοδίων δῆθεν κακῶς, ἐνδεικνύμενος μήτε πρὸς χάριν μήτε δι' εὔνοιαν λέγειν, ἵνα τοὺς ἀκροατὰς ἀρέσηται νῦν μὲν ἐνδεικνύμενος μισεῖν τοὺς λελυπηκότας τὴν πόλιν, νῦν δὲ μὴ ὑπὲρ Ῥοδίων ποιεῖσθαι τὸν λόγον, ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ 15 συμφέροντος καὶ τῆς ὑπαρχούσης δόξης τῇ πόλει. μικροῦ δὲ καὶ οἰηθείη ἄν τις αὐτὸν συμβουλεύειν στρατεύειν ἐπὶ Ῥοδίους, τοσοῦτον θυμὸν ἐνδείκνυται πρὸς τοὺς ἠδικηκότας. ἀλλὰ δι' ὧν κατατρέχει

1. ἐπαχθεὶς—καταπλαγεὶς] ἐπαχθὲς —καταπλαγὴς T.

2. ἐὰν] ἐὰν γὰρ V. unde Wolfius, qui in præcedentibus ἐπαχθείη et καταπλαγείη scripserat, hæc annotavit "Sic fortasse restituendus "est hic locus: ἐὰν γὰρ ἐπιβουλεύῃ "τοῖς Ἕλλησι βασιλεὺς, ὑπερθήσεσθαι "μὲν οἴεται αὐτοὺς τὸ μνησικακῆσαι "τὰ νῦν, βοηθήσειν δὲ διὰ τὸ ἑαυτῶν "χρήσιμον, τοῦ τε συμφέροντος ὀρεγο-"μένους καὶ φόβων καὶ κινδύνων ἀπαλ-"λακτικῶς ἔχοντας. Sed ea quæ "sequuntur ex parte ταυτολογικὰ "sunt, ἐμφατικῶς tamen repetita: "αἱρήσεσθαι δὲ καὶ τοῖς λελυπηκόσι "βοηθεῖν διὰ τὰ ἀναγκαιότατα ταῦ-"τα."

ὑπέρθηται T.C.P. ὑπερτίθεται V.

τὸ Wolfius pro τῷ.

3. βοηθήσῃ T.C.P. βοηθήσειν V.

τὸ] τὴν C.

ἑαυτῷ P. ἑαυτὸ T.C. ἑαυτῶν V.

4. φόβων καὶ κινδύνων Wolfius pro φόβον καὶ κίνδυνον. Ceterum constructio horum verborum non recte procedit, sic fortasse in ordinem redigenda ut post χρήσιμον plene interpungatur, sequentibus sic scriptis, τοῦ γὰρ συμφέροντες ὀρεγόμενοι καὶ φόβων καὶ κινδύνων ἀπαλλακτικῶς ἔχοντες ἕτοιμοι ἔσονται καὶ τοῖς λελυπηκόσι βοηθεῖν—vel simili aliquo modo.

5. αὐτά] ταῦτα Wolfius.

8. κέχρηται] Malim κεχρημένος. Post κέχρηται T.C.V. pergunt κατηγορεῖ μὲν γὰρ συχνῶς τῶν ἀνδρῶν ἀξιοπιστίας εἵνεκα, &c.

9. ὁρῶ γὰρ αὐτοὺς lemma ab me additum.

15. τὸν λόγον] τὴν πόλιν Y. librario ad versum præcedentem aberrante.

18. ἀλλὰ δι'] ἀλλ' αὐτό γε τοῦτο τὸ θαυμαστὸν τῆς ῥητορείας ἐστὶν ὅτι δι' T.C.V.

Ῥοδίων, διὰ τούτων πείθει τὸν δῆμον, καὶ δι' ὧν κατηγορεῖ μᾶλλον δοκεῖ πραΰνειν. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα κατὰ τὸ κεφάλαιον θαυμασίως ἐρρητόρευκεν. ἡ δὲ ἀντίθεσίς ἐστιν ἀπὸ τοῦ δικαίου ἀντεγκληματικῶς εἰσηγμένη· Ἀλλ' ἄξιοι τούτων Ῥόδιοι τῆς πόλεως ἀποστάντες· οὐ μὴν τέθειται προφανῶς· γίνεται δὲ φανερὰ τοῖς ἐπι- 5 στήμοσιν ἀπ' αὐτῶν τῶν λύσεων. ἡ δὲ ἀρχὴ τῆς λύσεως ἔνθεν "Οὐ "μὴν οὐδ' ἂν εἰ δι' αὐτῶν εἶχον τὴν πόλιν οἱ νῦν ὄντες Ῥόδιοι, παρ- "ῆνεσα ἂν ὑμῖν τούτους ἑλέσθαι." F.Y.V. ἄξιον δὲ θαυμάσαι καὶ τὴν μεταχείρισιν ἣν ποιεῖται καὶ τὴν λύσιν. τῆς γὰρ ἀντιθέσεως λεγούσης ἀξίους εἶναι Ῥοδίους ταῦτα πάσχειν ἃ πεπόνθασι, συντρέ- 10 χων τῷ ἀξίους αὐτοὺς εἶναι, οὐκ ἐξ ὧν ἠδικήκασι τὴν πόλιν τοῦτο κατεσκεύακεν, ἵνα μὴ ἐναντίον τὸν λόγον ἑαυτῷ ποιήσηται, ἀλλ' ἐξ ὧν αὐτοὶ πρὸς ἀλλήλους διετέθησαν διαβάλλει τὸν τρόπον. καίτοι τὸ ἀκόλουθον ἦν εἰπεῖν ἐξ ὧν διετέθησαν περὶ τὸν Ἀθηναίων δῆμον· ὁ δὲ, ἵνα μείζω διαβολὴν ἐργάσηται, μετήνεγκε τὴν κατηγορίαν ἐπὶ 15 τοὺς εὐπόρους· ἀπὸ γὰρ τούτων χαρακτηρίζει τὸ ὅλον Ῥοδίων ἦθος. τρισὶ τοίνυν θεωρήμασι κέχρηται· ἑνὶ μὲν, καθὸ δοκεῖ συντρέχειν δῆθεν τῇ κατηγορίᾳ· ἑτέρῳ δὲ, καθὸ μετεβίβασε τὴν κατηγορίαν ἀπὸ τῶν εἰς τὴν πόλιν γεγενημένων ἐπὶ τὰ γενόμενα Ῥοδίοις αὐτοῖς πρὸς ἀλλήλους· καὶ τρίτῳ, ἐν ᾧ τὴν κατηγορίαν ἀπὸ τοῦ δήμου μετήνεγ- 20 κεν ἐπὶ τοὺς εὐπόρους, ὥσπερ ὁ Θουκυδίδης ἀπὸ τοῦ δήμου Ἀθηναίων ἐπὶ τοὺς ὀλίγους. T.C.V. προφανῶς δὲ ἀρνεῖται τὴν πρὸς Ῥοδίους οἰκειότητα, φάσκων μήτε ἰδίᾳ ξένος μήτε δημοσίᾳ πρόξενος εἶναι τῶν ἀνδρῶν, ἵνα κἀντεῦθεν χώραν παρρησίας ἑαυτῷ πρυτανεύσηται· τίς γὰρ ἂν ἔτι ὑποπτεύσειε πρὸς χάριν λέγειν τὸν μηδεμίαν ἔχοντα 25 οἰκειότητα; λείπεται οὖν τοῦ κοινῇ συμφέροντος εἵνεκα ποιεῖσθαι τοὺς λόγους. μετὰ ταῦτα δὲ ἐπιβάλλει τῇ συνηγορίᾳ Ῥοδίων, ἀρ-

1. καὶ δι' ὧν μᾶλλον—ταῦτα] καὶ δι' ὧν κατηγορεῖ, δοκεῖ πραΰνειν καταμιγνὺς τὸ αὐτοὺς ἑαυτῶν κατεγνωκέναι κατηγόρους ἑαυτῶν (ἑαυτοὺς V.) γεγονότας, πάλιν ὑποπίπτειν τῇ πόλει. ταῦτα T.C.V.

6. ἀπ'] ὑπ' F.Y. Post τῶν λύσεων T.C.V. pergunt καὶ οὐ ταῦτα μόνον ἐρρητόρευσεν ἅπερ εἶπον, ἀλλὰ καὶ ἄλλο πρὸς τοῖς εἰρημένοις θεώρημα προσέθηκε. πρὸ πολλοῦ γὰρ (γὰρ om. C.V.) λύει (λύειν C.V.), πρὶν θεῖναι. ὅπερ εἴωθε ποιεῖν, ὅταν χαλεπαὶ ὦσιν αἱ ἀντιθέσεις, καὶ μεταχειρήσεως δέωνται τεχνικῆς, καὶ ἔστιν ἡ ἀρχὴ τῆς λύσεως ἔνθεν, &c.

ἔνθεν] Imo ἐνθένδε. Verba sunt p. 194, 9.

7. ὄντες F.Y. ὄντες ἐν αὐτῇ vulgo.

9. μεταχείρισιν] μεταχείρησιν libri.

22. προφανῶς δὲ ἀρνεῖται] εἶτα προφανῶς ἀναίνεται T.C.V.

27. συνηγορίᾳ Wolfius pro κατηγορίᾳ.

κοῦσαν τιμωρίαν παρ' αὐτῶν γεγενῆσθαι φάσκων τὸ τὴν ἐλευθερίαν αὐτοὺς ἀπολωλεκέναι, κουφίζων ταύτῃ τῆς κατ' αὐτῶν ὀργῆς τὸν ἀκροατὴν καὶ ἀποπιμπλὰς αὐτοῦ τὸν θυμὸν, ὡς δοκεῖν κόρον ἔχειν ἀφ' ὧν ἤδη πεπόνθασι Ῥόδιοι. F.Y.V. οὐδεὶς γὰρ ἂν ἔτι χαλεπήνειεν, οὐδ' εἰ τυγχάνει τῇ γνώμῃ ὠμότατος, μὴ ἐλεῶν τοὺς πολλὰς καὶ μεγίστας συμφορὰς πεπονθότας· μάλιστα δὲ ὁ τῶν Ἀθηναίων δῆμος πεφυκὼς πρὸς εὐεργεσίαν καὶ εἰωθὼς τοὺς ἠδικηκότας σώζειν. διὰ δὴ τούτων πάντων τὴν παρρησίαν, ὡς ἔφην, ἑαυτῷ προδιοικησάμενος ἄρχεται τῆς εἰσηγήσεως, ὥσπερ ἀρχὴν ἑτέραν τινὰ τοῦ λόγου ποιούμενος, δι' ἣν τήνδε τὴν ἀντίθεσιν κινήσας οὕτω κατέδραμε Ῥοδίων· καὶ πάλιν ἀνέλαβε τὴν λύσιν, ὅτι ἀνάγκῃ τῇ ἀντιθέσει καὶ ἡ ὑπόνοια ἡ κατὰ τοῦ ῥήτορος συνεισῄει. T.C.V.

195, 6. φημὶ δὴ χρῆναι] οὐκ ἠδύνατο ἀξιοῦν συγγνώμην Ῥοδίοις δίδοσθαι, πρὶν ἀπολύσασθαι τὰς ὑποψίας. διὰ τοῦτο κινηθείσης τῆς ἀντιθέσεως τὸ καθ' ἑαυτοῦ διέλυσεν. εἶτα μηδενὸς λυμαινομένου τὴν δόξαν, ἐπὶ τὴν λύσιν θαρρῶν ἦλθε τῆς ἀντιθέσεως· "φημὶ δὴ χρῆναι "πειρᾶσθαι σώζειν τοὺς ἄνδρας," ἐνδεικνύμενος διὰ τοῦ μνησικακεῖν τὴν δύναμιν τῆς ἀντιθέσεως ὅτι, Ἀλλ' ἄξιοι Ῥόδιοι, καὶ ὅτι δεῖ μνησικακεῖν αὐτοῖς. πρὸς τὴν ἀντίθεσιν δὲ ἔχει τὴν ἀναφοράν· ἀπολογία γάρ ἐστιν ἄντικρυς λαμπρὰ ὑπὲρ Ῥοδίων ἠπατημένων, ὥστε συγγνωμονικὴν εἶναι τὴν λύσιν. καὶ ἐξ ἀορίστων δὲ παραδειγμάτων βεβαιοῖ τὴν συγγνώμην. ὅτι γὰρ πολλὰ πολλάκις ἐξηπατήθη καὶ ὁ τῶν Ἀθηναίων δῆμος ὑπέμνησε. τὸ τοίνυν εἶδος τῆς συγγνώμης κατὰ συνδρομήν· συντρέχων γὰρ τῷ κατ' ἀξίαν ταῦτα πεπονθέναι Ῥοδίους αἰτεῖ τοῖς ἠπατημένοις συγγνώμην, διχόθεν τὴν

5. ὠμότατος] ὢν add. Wolfius.

10. δι' ἣν τήνδε (aut διὰ τήνδε τὴν αἰτίαν) Wolfius pro διὰ τήνδε.

11. τὴν λύσιν T.P. τῇ λύσει C.V. "καὶ πάλιν ἀνέλαβε τῇ λύσει, ὅτι "ἀνάγκῃ [sic V. in C. ὅτι ἀνα . . . "τῇ cum aliquot literarum lacuna] "τῇ ἀντιθέσει. Intricatus locus, "fortasse sic explicandus: καὶ πάλιν ἀνέλαβε (τὴν ἀντίθεσιν) τῇ λύσει "ὅτι κατ' ἀνάγκην τῇ ἀντιθέσει καὶ ἡ "ὑπόνοια ἡ κατὰ τοῦ ῥήτορος συνεισῄει. "ut ἡ ὑπόνοια passive capiatur, aut "ἡ ὑπόνοια ἡ κατὰ τοῦ ῥήτορος. non "aliter fieri poterat, quin objectio "etiam oratorem suspicione involveret, qui scilicet largitionibus "corruptus homines improbos defenderet." WOLF.

13. Lemma φημὶ δὴ χρῆναι addidi ex Y. Eo omisso in T.C.V. est οὐκ ἐδύνατο οὖν ἀξιοῦν—. οὖν om. Y.F.

19. αὐτοῖς. πρὸς F.Y. αὐτοῖς· καὶ ὅτι διὰ μάχης ὁ λόγος αὐτῷ καὶ πρὸς T. C.V.

δὲ add. F.Y., om. T.C.V

24. τῷ] τὸ Y.

λύσιν ἐργαζόμενος, καὶ τῷ συνομολογεῖν καὶ τῷ τὴν συγγνώμην αἰτεῖν. F.Y.V.

195, 10. ὁρᾶτε δὲ κἀκεῖνο—] ἐφ' ἕτερον εἶδος λύσεως μεταβέβηκεν, ὅπερ ἐστὶ μικτὸν ἔκ τε τοῦ συμφέροντος καὶ τοῦ δικαίου, ἐν ᾧ φησιν εἶναι διττὰ πολέμων εἴδη· ἓν μὲν ὑπὲρ τῶν δικαίων πρὸς τὰς 5 δημοκρατίας, ἕτερον δὲ πρὸς τὰς ὀλιγαρχίας, δι' ἕτερον μὲν οὐδὲν, δι' αὐτὸ δὲ τοῦτο, ὅτι ὀλιγαρχίαι εἰσὶ καὶ ἐναντίως πρὸς τὰς δημοκρατίας πολιτεύονται, ἐνάγων τὸν ἀκροατὴν καὶ διὰ τούτου, εἰ καὶ μὴ βούλοιντο Ῥοδίοις βοηθεῖν, τῷ ζηλοτύπως ἔχειν πρὸς τὰς ὀλιγαρχίας προαχθῆναι καταλῦσαι τὴν Ῥοδίων ὀλιγαρχίαν. μικτὸν δὲ ὂν τὸ 10 εἶδος τῆς λύσεως ὅμως ῥέπει πρὸς τὸ συμφέρον. F.Y.V.

195, 29. θαυμάζω δ' εἰ μηδεὶς ὑμῶν ἡγεῖται—] καὶ τῷ ἀναγκαίῳ κέχρηται πρὸς τὴν λύσιν. πέφυκε γὰρ ὁ Δημοσθένης οὐκ ἀφ' ἑνός τινος ἐπιχειρήματος πείθειν, ἀλλ' ἐκ ποικίλων καὶ παντοδαπῶν, νῦν μὲν φοβῶν, νῦν δὲ πείθων, νῦν δὲ ἐνάγων εἰς φιλανθρωπίαν, νῦν δὲ τὸ δίκαιον 15 ἀπαιτῶν. F.Y.V. καὶ οὐκ ἐξ ἑνός τινος εἴδους συμφέροντος, ἢ ὅτου δήποτε προκειμένου κεφαλαίου πείθειν, ἀλλ' ἐκ πάντων αὐτοῦ τῶν μερῶν, ἐξ ὧν ἂν συσταίη τὸ κεφάλαιον, κατὰ πολλὰς καὶ ποικίλας ἐπιβολὰς, κἂν διεστηκυῖαι τυγχάνωσιν ἀλλήλων αἱ ἔννοιαι. ὁρᾷς γὰρ ὅτι καθ' ὧν συγγνώμην ᾔτησεν ὡς ἠπατημένοις ἠξίωσε μὴ δοῦναι δίκην· 20 οὐδὲ γὰρ Ἀθηναίους δεδωκέναι, εἰ ἠπατήθησαν. ἂν ἀπήντηκε ὑπὲρ

1. τὴν addidi ex Y. Post αἰτεῖν T.C.V. pergunt ἄχρι μὲν οὖν τούτου προκεχώρηκεν (προσκ. V.) αὐτῷ τὸ πρῶτον (αὐτῷ τὸ παρὰ τὸ T.C.) μέρος τῆς λύσεως. μεταβέβηκε δὲ ἐφ' ἕτερον εἶδος λύσεως, ὅπερ—.

3. Addidi lemma.

5. διττὰ R.Y. διπλᾶ F.

10. προαχθῆναι] πραχθῆναι R. V.

καταλῦσαι] καταλύσαντας F.Y.

11. Post συμφέρον T.C.V. pergunt καὶ μᾶλλόν ἐστι τούτου τοῦ μέρους. μετὰ ταῦτα τῷ ἀναγκαίῳ κέχρηται πρὸς τὴν λύσιν, δι' οὗ φησι τὸν ἀκροατὴν λέγων (λέγειν V.) θαυμάζω δὲ εἰ μηδεὶς ὑμῶν ἡγεῖται Χίων ὀλιγαρχουμένων καὶ Μυτιληναίων (καὶ λεσβίων V. pro καὶ M.) καὶ νῦν Ῥοδίων καὶ πάντων τῶν ἀνθρώπων. πέφυκε, &c.

12. Addidi lemma.

14. πείθειν] οὐδὲ ἐκ μιᾶς δόξης τὸν ἀκροατὴν ἐπάγεσθαι add. T.C.V.

18. ἐξ Wolfius pro καὶ ἐξ.

19. διεστηκυῖαι P. διεστικῶσαι T. διεστηκῶσαι V. διεστηκῶσα (sic) C. Duæ scripturæ confusæ, διεστηκυῖαι et διεστῶσαι.

21. ἂν ἀπήντηκε—δείκνυσθαι] Sic hæc scripta in T., a quo C. sic differt ut ἀπήντησεν habeat, tum τοῖς ὑ . . . . . (decem literarum lacuna) δίκαιον σύνηθες (omisso Ἀθηναίοις) ἐστὶ δείκνυσθαι. In V. est ἂν ἀπήντηκεν ὑπὲρ ῥοδίων τοῖς ὅν. (trium literarum lacuna) δίκαιον σύνηθες ἐπιδείκνυσθαι—. "Locus qui Æscula-"pium postulet medicum. Sed

Ῥοδίων τοῖς ὑ . . . . . δίκαιον σύνηθες Ἀθηναίοις ἐστὶ δείκνυσθαι ὑπὲρ πάντων ἀδικουμένων. T.C.V.

196, 23. ἐπειδήπερ ἄδηλον] ἐφόβησε τῷ ἀδήλῳ τοῦ μέλλοντος, δι' οὗ φησιν ἄδηλον εἶναι τὴν τύχην, καὶ δεῖν τοὺς εὐτυχοῦντας ἐπαμύνειν τοῖς ἠτυχηκόσι, προσδοκῶντας περιπεσεῖσθαι παραπλησίᾳ τῇ τύχῃ. εἶτα ἐκ παραδείγματος ἀπὸ τοῦ ἐλάττονος, ὅτι ἀτυχήσαντί ποτε τῷ δήμῳ καὶ ὀλιγαρχηθέντι ἐβοήθησαν Ἀργεῖοι, καὶ ἄτοπον δοκεῖν Ἀργείων ἐλαττοῦσθαι κατὰ ταύτην τὴν πρᾶξιν. F.Y.V. συνάπτει λεληθότως λύσιν ἁρμόττουσαν καὶ τὴν ἀπὸ τοῦ βασιλέως ἀντίθεσιν, ἣν τέθεικε κατ' ἀρχὰς, Ἀλλὰ φοβούμεθα βασιλέα. δῆλον γὰρ ὅτι τὰς λύσεις ἐταμιεύσατο, ἵνα καὶ πρὸς ταύτην καὶ πρὸς ἐκείνην αὐτῷ χρήσιμοι γένωνται. ἐν ἀρχῇ μὲν γὰρ αὐταῖς καταχρησάμενος οὐκ ἂν ἔσχε χρησίμας πρὸς τὴν νῦν ἀντίθεσιν· πρὸς μόνην γὰρ ἂν ἐκείνην ἤρκεσαν ἀφομοιωθεῖσαι τῷ διαστήματι. φυλάξας δὲ αὐτὰς τῷ παρόντι καιρῷ, καὶ πρὸς ταύτην τὴν ἀντίθεσιν καὶ πρὸς τὴν ἤδη προλυθεῖσαν οἰκειότητα ἔχει· τὰ γὰρ ἐξ ὑστέρου λυθέντα πρὸς ἅπαντα τὰ προηγούμενα πᾶσαν ἀναπέμπει τὴν δύναμιν. T.C.V.

" quia sententia aliqua fingenda " fuit, eam delegi quæ a verbis " auctoris abhorrere quam mini- " mum videretur; perinde ac si " ita scriptum esset: ἀπήντηκε δ' " ὑπὲρ Ῥοδίων· εἰ καὶ μὴ δίκαιον, σύνη- " θες δ' ὅμως ὑμῖν φιλανθρωπίαν ἐπι- " δείκνυσθαι ὑπὲρ πάντων τῶν ἀδικου- " μένων." WOLF.

2. πάντων] τῶν add. Wolfius.

3. Post μέλλοντος T.C.V. pergunt ἐκίνησε μῖσος ἐκ τῆς κοινῆς κρίσεως τῆς κατὰ τῶν ὀλιγαρχεῖν αἱρουμένων. καὶ τί δεῖ τὰ λοιπὰ καταριθμεῖσθαι, ἐξὸν τοῖς ἐπιστήμοσιν ἐκ τῶν κειμένων λαμβάνειν ἅπαντα; κέχρηται καὶ ἄλλῳ φόβῳ δι' οὗ φησιν ἄδηλον εἶναι τὴν μέλλουσαν τύχην &c. ubi Wolfius ad verba ἐκ τῶν κειμένων "Τὰ κείμενα, " καὶ τὸ κείμενον, ut et τὰ ῥητὰ καὶ τὸ " ῥητὸν, scholiastæ Græci appellant " verba ipsius auctoris, quem nos " vulgo textum dicimus, ab anno- " tationibus et commentariis dis- " tinguentes. Si quis vero legere " mavult, ἐκ τῶν ἐκκειμένων, *ex iis* " *quæ jam exposita sunt*: non im- " pedio."

4. δεῖν] δεῖ F.Y.

11. ταύτην Wolfius pro αὐτήν.

13. χρησίμας Wolfius pro χρήσιμα.

ἀντίθεσιν] ἐξέτασιν T., sed illud in marg. ab eadem manu.

14. ἀφομοιωθεῖσαι τῷ διαστήματι] *intervallo adæquatæ*, vel *factæ similes*. Fortassis ἀνομοιωθεῖσαι *discrepantes*, cum propter intervallum non congruerent. WOLF.

15. ἀντίθεσιν] οἰκείας ἔχει, ἢ add. Wolfius.

16. ὑστέρου T. ἴσου C.V. Mox post τὴν δύναμιν T.C.V. pergunt μετὰ ταῦτα ἀντέκτεσε πάλιν ἀντίθεσις—.

198, 1. εἰσὶ δέ τινες—] ἀντέπιπτεν ἀντίθεσις ἀπὸ τοῦ δικαίου, ἣν οὐ τέθεικε, φοβηθεὶς αὐτῆς τὴν δύναμιν. τὴν μὲν οὖν ἀντίθεσιν ἔκρυψεν, ἀντὶ δὲ τῆς ἀντιθέσεως τὴν διαβολὴν τὴν κατὰ τῶν ῥητόρων ἔθηκεν εἰπών, "εἰσί τινες, ὦ ἄνδρες Ἀθηναῖοι, παρ' ἡμῖν δεινότατοι "τὰ δίκαια λέγειν" καὶ ἑξῆς. τίνα δέ ἐστι τὰ δίκαια, ἢ ὑπὲρ τίνων 5 τῶν ἄλλων, οὐ κατέστησεν ἡμῖν φανερά· ἀλλὰ μὴν οὐδὲ ἡ λύσις ἐναργῆ ποιεῖ τὴν ἀντίθεσιν. ἔστι γὰρ ἡ λύσις, Διὰ τί οὐκ ἀπέχονται καταδουλοῦσθαι Κῶν καὶ Ῥόδον· ὥστε ἐκ τούτων μηδὲ ἐξεῖναι λαβεῖν εὐχερῶς τὸ λεγόμενον. ἀλλ' ἔμοιγε δοκεῖ βούλεσθαι σημαίνειν τὰς συνθήκας ἃς ἐποιήσαντο πρὸς ἀλλήλους οἱ Ἕλληνες ἅπαντες, μηδένα 10 ἐπιφέρειν ὅπλα, ἅπαντας δὲ εἰρήνην ἄγειν καὶ ἡσυχίαν, ὡς τὴν ἀντίθεσιν εἶναι τοιαύτην, Ἀλλὰ δόξομεν ἀδικεῖν καὶ παραβαίνειν πρῶτοι τὰς συνθήκας ὅπλα κινοῦντες. ὅθεν δὴ καὶ λύων φησὶ μάλιστα μὲν δίκαιον εἶναι τῆς κοινῆς ἁπάντων σωτηρίας ἡμᾶς προεστάναι· εἰ δὲ καὶ ἄδικον τὸ γινόμενον, ἀλλ' οὖν, ἐπειδὴ ἀδικεῖν ἐπιχειροῦσιν ἅπαντες, 15 καὶ ἡμεῖς ταῖς ἐκείνων γνώμαις ἀκολουθοῦντες ἀδικῶμεν. ἡ μὲν ἀντίθεσις οὕτως ἂν ἐκ τούτων γνωρισθείη· ἡ δὲ μεταχείρισις βίαιος καὶ Θουκυδίδειος ἐκ τῆς Κλέωνος δημηγορίας· οἷον γὰρ ἐκείνου περὶ Μυτιληναίων τὸ διανόημα, τοιοῦτον καὶ τὸ Δημοσθένους ἐνθάδε. ἀξιοῖ γὰρ κἀκεῖνος, εἰ μὲν δικαία εἴη ἡ ἀρχὴ, δικαίως κολάζεσθαι 20 καὶ Μυτιληναίους· εἰ δὲ ἄδικος, ἀδίκως· χρὴ γὰρ πρὸς τὸ συμφέρον αὐτοὺς πολιτεύεσθαι. οὕτως καὶ Δημοσθένης ἀξιοῖ μὲν μάλιστα κατὰ τὸ δίκαιον ἐλευθεροῦν τοὺς Ῥοδίους, εἰ δ' ἄρα τις καὶ λέγοι ἄδικον εἶναι εἰρήνης οὔσης ὅπλα κινεῖν, ἀλλ' οὖν γε οὐκ ἄτοπον πάντων ἀδικεῖν αἱρουμένων, νῦν μὲν Ἀρτεμισίας καὶ Μαυσώλου, νῦν 25 δὲ Βυζαντίων. οὐχ οἷς μόνοις εἴπομεν λέλυκε τὴν ἀντίθεσιν, ἀλλὰ

1. Addidi lemma.

2. δύναμιν] Pergunt T.C.V. ἔχων δὲ πάντως τὸν ἀκροατὴν συνειδότα· τῇ δὲ σιωπῇ πάντως ἀφελών τι τῆς ἰσχύος αὐτῶν. πολὺ γὰρ συμβάλλεται πρὸς καθαίρεσιν καὶ τὸ μὴ μεμνῆσθαι τῶν ἀτόπων, ἢ φοβερῶν, ἢ δεινῶν. σύνηθες δὲ αὐτῷ καὶ τὰς δυσχερεστάτας τῶν ἀντιθέσεων καταρχὰς τῶν ἐπιλόγων τεθῆναι, ἵνα καὶ τῷ τόπῳ καὶ τῇ χώρᾳ θραύῃ, καὶ μείωσιν ἐργάζηται. τί οὖν πεποίηκε; τὴν μὲν ἀντίθεσιν ἔκρυψεν, &c. Quorum priora Wolfius sic interpolavit: ἣν διὰ τί οὐ τέθεικε· ῥᾴδιον θηρεῦσαι. φοβηθεὶς μὲν γὰρ ἴσως αὐτῆς τὴν δύναμιν, ἔχων δὲ πάντως τὸν ἀκροατὴν συνειδότα, τῇ σιωπῇ ἀφεῖλέ τι τῆς ἰσχύος αὐτῆς.

8. καταδουλοῦσθαι] τοῦ καταδουλοῦσθαι Wolfius.

16. ἀδικῶμεν Wolfius pro ἀδικοῦμεν.

καὶ τῇ ἐκβάσει, Ἵνα καὶ τιμώμεθα, φησὶ, μειζόνως. πρὸς γὰρ τὰς δυνάμεις εἰώθασιν ἀπονέμειν τὰ δίκαια οἱ ἄνθρωποι. πιστοῦται δ' αὐτὸ καὶ ἐκ παραδείματος, δεικνὺς ὅσην μὲν ἔσχον δύναμιν, ἡνίκα προΐσταντο τῶν Ἑλλήνων, αὐτοὶ νικήσαντες βασιλέα, καὶ τὴν ἀρχὴν ὁρίζοντες ἐκείνῳ, οἵαν δὲ βασιλεὺς νενικηκὼς ὕστερον· ὡς συνίστασθαι παντοχόθεν δεῖν δύναμιν ἀθροίζειν, εἰ φιλοτιμίας ὀρέγοιντο. ἔστιν οὖν λύσις τῆς ἀντιθέσεως ἀπὸ τοῦ συμφέροντος, κατασκευαζομένη τῷ δυνατῷ. ὅτι γὰρ συμφέρει δύναμιν ὑπάρχειν τῇ πόλει κατασκευάζει. F.Y.V.

199, 21. εἰκότως δέ μοι δοκεῖ—] τὴν ἀρχὴν ποιεῖται τῶν ἐπιλόγων, ἐν οἷς πολλὴν καταδρομὴν τῶν δωροδόκων καὶ τῶν τἀναντία πολιτευομένων αὐτῷ πεποίηται. βουλόμενος δὲ τοὺς ἐκείνων κωλῦσαι λόγους, εἰκότως κέχρηται τῇ διαβολῇ, μετὰ ταῦτα ἐπενεγκὼν τὸ ἔνδοξον, καὶ ἐπιλογισάμενος, καὶ ἐκ τούτου τὴν δημηγορίαν καταπαύει. F.Y.V.

2. Post ἄνθρωποι pergunt T.C.V. οὐκ ἔστι δὲ ὑποπτεῦσαι (sic T.C.: οὐκέτι δὲ ὑπόπτευε V.) σύμπασαν τὴν ἀντίθεσιν ἑτέρως ἔχειν. οὐδὲ ἀπὸ βασιλέως τοῦ προσώπου πίπτειν (sic T.: πράττειν C.V.), ὡς ἂν ὑπολάβοι τίς. τάχα γὰρ ἄν τις (αὐτὸν add. Wolfius) ὑπονοήσειε λέγειν, ἀλλ' οὐ δεῖ βασιλεῖ προσκρούειν· ἵνα ἢ (ᾗ T.C.) τῇ κατ' ἀρχὰς ὁμοίᾳ (ὁμοίαν Wolfius) πάλιν ἐννοῶμεν (ἀνανεῶμεν T. ἀνανοῶμεν C.) ἢ διὰ τῶν (ἢ τῇ τῶν Wolfius) ἐπιλόγων. τὸ γὰρ παράδειγμα τὸ κατ' ἀρτεμισίαν, οὐ συμφωνεῖ τῇ προτάσει. εἰ γὰρ εἰρήκει ἡ ἀντίθεσις, ἀλλ' οὐ δεῖ προσκρούειν βασιλεῖ, τί ἐβούλετο λέγειν; τί οὖν Ἀρτεμισία καταλαμβάνει Κῶν καὶ Ῥόδον, ἥτις φαίνεται χάριτι τῇ πρὸς βασιλέα καταλαμβάνουσα. ὥστε ἀνενεκτέον (ἀνεκτέον V. ἀνενεγκτέον vel ἀνακτέον Wolfius) ἐπὶ τὴν εἰρημένην ἀντίθεσιν, τὴν περὶ τῶν συνθηκῶν. συνιστὰς τοίνυν τὸ συμφέρον, ᾧ (ᾧ om. V.) λέλυκεν τὴν (τὴν om. V.) ἀντίθεσιν, πιστοῦται αὐτὸ—.

10. Addidi lemma.

τὴν ἀρχὴν—ἐν οἷς] μετὰ ταῦτα ἄρχεται τῶν ἐπιλόγων. εἰκότως δέ μοι δοκεῖ χαλεπώτατον (sic T.C.: χαλεπώτερον V.) ὑμῖν εἶναι πρᾶξαι τὰ δέοντα. ταύτην τὴν ἀρχὴν αὐτῶν ποιησάμενος, ἐν οἷς T. C.V. qui in fine præcedentis scholii non κατασκευάζει, sed κατασκευάζων.

12. Post πεποίηται T.C.V. pergunt καὶ κέχρηται ἀναγκαίως τῇ ἐπιφορᾷ, διὰ τὸ μὴ πάντας αὐτοὺς συντρέχειν τῇ εἰσηγήσει (διηγήσει C.V.) καὶ τοῦτο ἄδηλον (εὔδηλον T.C. ἄδηλον ὂν Wolfius) ἐκ τῆς ἀντιθέσεως εἴληφε. διὸ καὶ βουλόμενος τοὺς ἐκείνων—.

In B. ad hanc orationem scholia tria exstant ad p. 191, 15. 193, 15. 194, 18. ex Suidæ glossis Μαύσωλος, Ἀρτεμισία et πρόξενος compilata. Eorum tertium apponimus, σημείωσαι· προξενεῖ, μαρτυρεῖ· πρόξενοι, προστάται πόλεων καὶ φρουρισταὶ, καὶ ξενίαις ὑποδεχόμενοι, ut moneamus postrema verba πρόξενοι — ὑποδεχόμενοι etiam in Y. exstare.

XVI.

ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ.

202, 1. ΑΜΦΟΤΕΡΟΙ μοι δοκοῦσιν ἁμαρτάνειν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἀθηναῖοι συνεμάχησαν Λακεδαιμονίοις ἐν Μαντινείᾳ· κτισθείσης δὲ Μεγάλης πόλεως μετὰ τοῦτον τὸν πόλεμον ὑπὸ Ἀρκάδων συμμαχούντων τότε Θηβαίοις, ὥστε ὁρμητήριον εἶναι κατὰ τῆς Λακωνικῆς, Λακεδαιμόνιοι, τῆς ἐπικηρυκείας αὐτοῖς ὑπαρχούσης πρὸς Ἀθηναίους, στρατεύουσιν ἐπὶ Μεγάλην πόλιν. Ἀρκάδες δὲ, ἀσχολουμένων Θηβαίων περὶ τὸν Φωκικὸν πόλεμον, καταφεύγουσιν ἐπ' Ἀθηναίους, ἀξιοῦντες συμμαχεῖν· ἥκουσι καὶ παρὰ Λακεδαιμονίων πρέσβεις, ἀξιοῦντες μᾶλλον αὐτοῖς ὡς συμμάχοις προστίθεσθαι, καὶ βουλεύονται. χαλεπὸς ὁ λόγος τῷ ῥήτορι. τό τε γὰρ συνειπεῖν τοῖς πρὸ βραχέος πολεμήσασι καὶ τὸ ἐναντιωθῆναι τοῖς οὖσι συμμάχοις Λακεδαιμονίοις οὐκ ἔστι τῶν εὐχερῶν· βαρὺ γὰρ οἷον τοὺς μὲν συμμάχους ἀπελαύνειν, τοὺς δὲ πολεμίους προσίεσθαι. χωρὶς γὰρ τοῦ τὸ πρᾶγμα ὑπάρχειν ἄτοπον καὶ διαβολὴν φέρει μεγίστην τῇ πόλει. ἔτι καὶ ἐπικίνδυνον διχόθεν εἶναι δοκεῖ αὐτῷ σώζειν τοὺς τῶν πολεμίων Θηβαίων συμμάχους καὶ ἐκ τούτου προσκρούειν Λακεδαιμονίοις συμμάχοις οὖσιν, ὧν μετὰ μικρὸν χρήζουσιν εἰς τὸν ὑπὲρ Ὠρωποῦ πρὸς Θηβαίους πόλεμον. ἀλλ' ὅμως ἐξεύρηκε θεώρημα καθ' ὃ καὶ Λακεδαιμονίοις οὐ δοκεῖ προσκρούειν καὶ Ἀρκάδας προσάγεται καὶ Θηβαίους οὐκ αὔξει, σώζων τὴν αὐτῶν συμμαχίαν· καὶ

7. περὶ Wolfius pro ἐπί.
8. ἥκουσι] δὲ add. Wolfius, et paullo post τοίνυν post χαλεπός.
13. οἷον] καὶ δεινὸν Wolfius.
16. τούτου Wolfius pro τοῦ.
17. μικρὸν Wolfius pro μικροῦ.
19. καθ' ὃ Wolfius. pro καθά.
20. τὴν αὐτῶν συμμαχίαν] Hoc est, τοὺς συμμάχους, δηλονότι τοὺς Ἀρκάδας. Thebani enim non socii tum, sed hostes erant Atheniensium. WOLF.
αὐτῶν Wolfius. αὐτὴν T. αὐτῷ C.V.

γὰρ καὶ τοῦτο ἕν τι τῶν δυσμεταχειρίστων ἐστὶ, τὸ δοκεῖν συναύξειν τοὺς Θηβαίων συμμάχους. πῶς οὖν ἕκαστον τούτων πεποίηκε; καθαιρεῖ Λακεδαιμονίους, καθαιρεῖ καὶ Θηβαίους, τοὺς μὲν μὴ συγχωρῶν αὐξάνεσθαι, Θηβαίων δὲ τὴν συμμαχίαν καθιστὰς εἰς τὴν πόλιν. ἵνα δὲ μὴ δοκῇ χαρίζεσθαι τοῖς Ἀρκάσιν, οὐδὲν δείκνυται τῷ λόγῳ χαριζόμενος Μεγαλοπολίταις, οὐδὲ τὸ ἐκείνων συμφέρον μίσει ζητεῖ τῷ πρὸς Λακεδαιμονίους· οὐδὲ κατηγορεῖ πάλιν Σπαρτιατῶν, ἀλλ' ὡς προκειμένων ἀλλοτρίων προσώπων τῶν τε Λακεδαιμονίων καὶ τῶν Ἀρκάδων τῆς πόλεως, ἀμελήσας τοῦ ὑπὲρ ἀμφοῖν τοῖν αἰτούντοιν τὴν συμμαχίαν δοκεῖν ποιεῖσθαι τοὺς λόγους, τὸ τῇ πόλει συμφέρον καὶ λυσιτελὲς ἐπισκέπτεται, τῇ αὐτῇ μεταχειρίσει χρώμενος. εἶπε γὰρ τοιαῦτα κἀν τῷ πέμπτῳ τῶν Φιλιππικῶν κἀν τῷ ὑπὲρ τῶν ἐν Χερρονήσῳ, θηρώμενος ἀεὶ τὸ κοινῇ συμφέρον, οὐχὶ δὲ τὸ ἰδίᾳ ἑκάστῳ, δι' ὃν ὁ λόγος, σκοπούμενος. πρῶτον τοίνυν ἐστὶ κεφάλαιον ἐν τούτῳ τῷ λόγῳ τὸ συμφέρον, λαμβάνον τὰς κατασκευὰς ἐκ τοῦ δυνατοῦ. φησὶ γὰρ συμφέρον εἶναι τῇ πόλει Λακεδαιμονίους καὶ Θηβαίους ἀσθενεῖς ὑπάρχειν· νῦν δὲ καιρὸν εἶναι τούτου, κατοικισθείσης μὲν τῆς Βοιωτίας, μὴ συγχωρηθέντων δὲ ἰσχυρῶν γενέσθαι τῶν Λακεδαιμονίων. οὕτω τὰς κατασκευὰς τοῦ συμφέροντος ἀπὸ τοῦ δυνατοῦ κεκόμικεν. ἀλλὰ τὸ μὲν περὶ τοῦ κατοικισμοῦ τῆς Βοιωτίας ἐνθάδε προὔθηκε καὶ συνέπλεξε διὰ τὴν πιθανότητα, προσρίψας ἀθρόως αὐτὸ πρὸς τὴν λυποῦσαν αὐτοὺς ἔννοιαν ὅτι, Ἀλλ' αὐξηθήσονται Θηβαῖοι σωθέντων τῶν Ἀρκάδων, καταλιπὼν δὲ αὐτὸ ἐν προτάσει καὶ τὴν ἀπόδειξιν εἰς καιρὸν ταμευσάμενος, μετὰ μικρὸν ἀποδείξων, ὅταν πρὸς αὐτὴν τὴν ἀντίθεσιν ἀγωνίζηται, τὸ

5. οὐδὲν δείκνυται—ζητεῖ] οὐκ ἐνδείκνυται—ζητεῖν Wolfius.

7. Σπαρτιατῶν] σπαρτιωτῶν T.C.G. Post σπαρτιωτῶν libri pergunt ὡς Ἀρκάσι προσκειμένων ἀλλοτρίων προσώπων ὄντων Λακεδαιμονίων Ἀρκάδων τῆς πόλεως, quæ in ordinem redegit Wolfius, aliam addens conjecturam non probandam ὡς Ἀρκάσι προσκείμενος, ἀλλ' ὡς ἀλλοτρίων προσώπων ὄντων Λακεδαιμονίων καὶ Ἀρκάδων. Ceterum verba τῆς πόλεως fortasse delenda.

9. ἀμελήσας T.C.G. ut Wolfius. ἀμελῆσαι V.

11. αὐτῇ om. V. εἰωθυίᾳ τῇ μ. Wolfius.

μεταχειρίσει] μεταχειρήσει libri omnes.

12. τοιαῦτα add. Wolfius.

14. ἑκάστῳ Wolfius pro ἑκάστου.

21. προσρίψας] προσρρίψας (sic, duplici ρ) T.

23. σωθέντων V. σωθέντες T.C.G.

24. καὶ τὴν] Legebatur καὶ τῶν ἀρκάδων τήν. Sed τῶν ἀρκάδων, quod ex versu superiore irrepsit, deletum in T.

κατὰ Λακεδαιμονίους ἀποδείκνυσι μόνον ὡς οὐ συμφέρει συγχωρεῖσθαι γενέσθαι μεγάλους. κατασκευάζει δὲ τοῦτο τῷ ἐξισάζοντι κατὰ ἀντιστροφήν. ἐπειδὴ γὰρ ἡ ἔννοια ἦν, Ἀλλ' ἰσχυροὶ γενήσονται Θηβαῖοι, τοῦτο δὲ οὐ συμφέρει, ἐπήγαγεν ἀπὸ τοῦ ἐξισάζοντος τὸ ἀντίστροφον, Οὐδὲ γὰρ Λακεδαιμονίους αὐξηθῆναι συμφέρει. τὸ δὲ 5 σχῆμα τὸ κατὰ ἀναίρεσιν παραπλήσιον τῷ κατ' ἀρχὰς ἐν τῷ πρὸς Λεπτίνην μετὰ τὴν πρώτην περίοδον· οὐ γὰρ ἐκεῖνο ἄλλου γένους ἔστιν εἰπεῖν. ταῦτα δὲ πάντα μάχην ἔχει πρὸς τὴν ἀπὸ Θηβαίων ἀντίθεσιν· τὸ γὰρ Ὀρχομενοῦ καὶ Θεσπιῶν καὶ Πλαταιῶν οἰκισθεισῶν ἀσθενεῖς γεγενῆσθαι τοὺς Θηβαίους τῆς ἀντιθέσεως ἔστι λύσις· 10 οὐ γὰρ ἐκεῖνο ἔστιν εἰπεῖν ὅτι πλοκὴν ἔχει τὸ κεφάλαιον οὐ τὴν τυχοῦσαν, ἀλλὰ πάσης δεινότητος ἀνάπλεων. διὰ γὰρ τῶν αὐτῶν καὶ καθαιρεῖ τὴν Θηβαίων δύναμιν καὶ τὸ μὴ αὐξηθῆναι Λακεδαιμονίους συνίστησιν. T.C.V.

203, 16. ἀλλὰ, νὴ Δία, ταῦτα μὲν οὕτως ἔχειν φήσομεν, δεινὸν 15 γὰρ ἦν πρὸς οὓς ἐν Μαντινείᾳ παρεταττόμεθα] ἀπὸ τοῦ συμφέροντος ταύτην ἔλαβε τὴν ἀντίθεσιν, τὸ αἰσχρὸν καὶ τὸ ἄτοπον δεικνῦσαν· ἐκ τούτων γὰρ ἐπιχειρεῖται· καὶ ἔστιν ἡ ἀντίθεσις διμερής. ἓν μὲν γὰρ αὐτῆς μέρος ἐνδείκνυται τὸ αἰσχρὸν ὅσον ἔσται, εἰ τούτοις βοηθήσουσιν οἷς ἐπολέμουν· τὸ δὲ ἕτερον μέρος τὸ ἄτοπον, εἰ Λακε- 20 δαιμονίοις πολεμήσουσιν, οἷς μικρῷ πρότερον συνεμάχοντο. ταύτης τὸ μὲν πρότερον μέρος ἔλυσε κατὰ συνδρομὴν μὲν, ὅτι καὶ αὐτὸς ὁμολογεῖ τὸ αἰσχρόν· κατὰ μετάληψιν δὲ, εἰ μηδὲν ἀδικούντων πολεμίων, ἀλλὰ ποιεῖν τὰ δίκαια βουλομένων, τούτων εἶναι τὸ αἰσχρόν. σεσιώπηται δὲ τὸ ἑπόμενον τούτῳ, διὰ τὸ ἀκόλουθον εἶναι καὶ προφανές. τοῦτο δὲ ἦν, 25 Εἰ δὲ ἀδικοῦσι Λακεδαιμόνιοι, οὐκ ἂν αἰσχρὸν εἴη τὸ γιγνόμενον. τοῦτο μὲν οὖν πρὸς τὸ πρότερον μέρος· μεταβὰς δὲ ἐπὶ τὸ ἕτερον

1. συγχωρεῖσθαι] συγχωρῆσαι Wolfius.

6. τὸ om. T.C.

9. τὸ—Θεσπιῶν καὶ Πλαταιῶν Wolfius pro τότε—Θεσπιέων καὶ Πλαταιέων. Idem γεγενῆσθαι in γενήσεσθαι mutat.

10. Θηβαίους Wolfius pro Λακεδαιμονίους.

11. οὐ τὴν τυχοῦσαν, ἀλλὰ] τὴν τυχοῦσαν, ἀλλ' οὐ Wolfius.

15. φήσομεν T. δώσομεν C.G.V.

22. ὅτι Wolfius pro ὃ, in quo consentiunt T.C.G.V.

23. ἀλλὰ T. οὐδὲν C.G.V. "Fortassis sic restituendus hic locus: "κατὰ μετάληψιν δὲ, οὐ τῶν μηδὲν "ἀδικούντων, ἀλλὰ τῶν μὴ ποιεῖν τὰ "δίκαια βουλομένων, τούτων εἶναι τὸ "αἰσχρόν. ἐσιώπησε δὲ τὸ ἑπόμενον "τούτῳ, διὰ τὸ προφανὲς εἶναι τὸ ἀκό-"λουθον." WOLF.

μέρος λύει αὐτὸ τῷ δικαίῳ καὶ συμφέροντι· δικαίῳ δὲ, ὅτι Ἀδικοῦσι Λακεδαιμόνιοι, καθ' ὑπόθεσιν, εἰ καὶ μόνον ἠδίκουν, ἄτοπον μὲν, ὅμως δ' ἔδει συγχωρεῖν. καὶ ἄλλῳ δικαίῳ· Εἰ δὲ στρατεύονται ἐπὶ Μεσσήνην, ἀνάγκη βοηθεῖν Μεσσηνίοις διὰ τοὺς ὅρκους οὓς ἐποιησάμεθα. μετὰ τοῦτο τῷ συμφέροντι, Οὐδὲ αὐξηθῆναι τῇ πόλει συμφέρει Λακεδαιμονίους. εἶτα ἀπὸ τοῦ [συμφέροντος] πρέποντος, Τίς ἔσται πρεπωδεστέρα ἀρχὴ τῆς βοηθείας; πότερον ἡ παροῦσα νῦν, ἢ ὅταν εἰς τὴν Μεσσήνην ἐμβάλωσι; τότε μὲν γὰρ δόξομεν δι' εὐλάβειαν καὶ φόβον ποιεῖν, νῦν δὲ διὰ τὸ δίκαιον. καὶ οὕτω δέδωκέ σοι θεώρημα καινὸν ἐν τούτῳ τῷ λόγῳ, μὴ μόνον προηγούμενα συμπλέκειν κεφάλαια, δίκαιον καὶ συμφέρον, ἢ δυνατὸν καὶ δίκαιον, ἢ συμφέρον καὶ δυνατὸν, ἀλλὰ καὶ τὰ δευτερεύοντα, ὥσπερ ἐπὶ τῆς λύσεως πεποίηκε ταύτης· καὶ γὰρ καὶ τῷ δικαίῳ καὶ τῷ συμφέροντι λέλυκε. διὰ τοῦτο δὲ τὴν προσθήκην τοῦ δευτέρου μέρους ἔλαβεν ἡ ἀντίθεσις, ἐπειδήπερ τὸ μὲν πρότερον δύσλυτον ἦν τὸ κατὰ τὴν αἰσχύνην, ὅταν βοηθῶσιν οἷς ἐπολέμουν· τὸ δὲ δεύτερον μέρος ἀφορμὴν παρεῖχε διαβολῆς τοῦ προσώπου Λακεδαιμονίων. ἐδεήθη οὖν τῆς προσθήκης, ἵνα δι' αὐτῆς δοκῇ πρὸς πᾶσαν μάχεσθαι τὴν ἀντίθεσιν τοῦ συμφέροντος, ἀλλὰ λυσιτελεῖν ἄλλον μᾶλλον προσθέσθαι Λακεδαιμονίοις, ἵνα καὶ αὐτοὶ διασώσωσιν Ὠρωπὸν τῇ πόλει· ἥντινα προσέθηκε τῇ ἀντιθέσει, ἵν' εὐπορήσῃ λύσεων. T.C.V.

204, 23. εἰ δ' ἐχθροὺς Λακεδαιμονίους ποιησόμεθα, οὐχ ἕξομεν τοὺς ἡμῖν συμμαχήσοντας] διμερὴς καὶ αὕτη ἡ ἀντίθεσις. τὸ μὲν γὰρ ἓν μέρος, Τὸν Ὠρωπὸν δεῖ ἡμᾶς κομίσασθαι· τὸ δὲ ἕτερον, Εἰ δὲ τοὺς συνανασώσωντας ἐχθροὺς ποιησόμεθα, τίνας ἕξομεν συμμάχους; τὸ τοίνυν πρότερον μέρος ἔλυσε κατὰ συνδρομήν· τὸ δὲ, ὅτι Λακεδαιμονίους ἐχθροὺς ἕξομεν, εἰ τοὺς Ἀρκάδας προσησόμεθα, μεταληπτικῶς, Οὐ τοῦτον τὸν τρόπον ὑμῖν συνεβούλευσα, οὐδὲ ταῦτα ὑμῖν

2. ὅμως δ'] ὅμως δ' οὐκ ἂν Wolfius.

3. ἄλλῳ Wolfius pro ἄλλως.

3. Μεσσήνην] Simplici σ hic et infra scriptum in T.C.G.

18. ἀντίθεσιν] ἀντίθεσιν τὴν ἀπὸ Wolfius.

19. ἀλλὰ—Λακεδαιμονίοις] ἀλλ' οὐ λυσιτελεῖ ἄλλῳ μᾶλλον προσθέσθαι ἢ Λακεδαιμονίοις Wolfius.

ἵνα καὶ αὐτοὶ διασώσωσιν] ἵνα δι' αὐτῶν συνδιασώσουσιν C.G.V.

20. ἥντινα V. ἵνα T.C.G.

25. συνανασώσωντας V. συνανασώσαντας T.C.G.

27. προσησόμεθα Wolfius pro προησόμεθα.

προὔλεγον, ἀλλ' οἱ βουλόμενοι λαθεῖν, ἀξιοῦντες βοηθεῖν Λακεδαιμονίοις καὶ διωθήσασθαι Πελοποννησίους ἥκοντας παρ' ἡμᾶς, λοιπὸν ἐπὶ Θηβαίους ἧκον, ὅτι μὴ προσεδέξαντο αὐτούς. ἡ δὲ λύσις ἀπὸ τοῦ δικαίου. εἶτα ἑτέρα λύσις, ὅτι Οὐδ' ἂν αὐτοῖς ὑμεῖς ἐβοηθήσατε, εἰ προὔλεγον ὑμῖν ὅτι σωθέντες ἀδικήσουσι. καὶ τρίτη λύσις, ὅτι Εἰ καὶ ἀνιῶνται Λακεδαιμόνιοι, δίκαιοι χάριν εἰσὶ γιγνώσκειν μᾶλλον ἐφ' οἷς εὖ ἔπαθον ἢ νῦν χαλεπαίνειν ὅτι κωλύονται ἀδικεῖν. πληρωθέντος τοῦ συμφέροντος μετέβη ἐπὶ τὸ δίκαιον ὡς ἀντικείμενον αὐτῷ. διόπερ καὶ ἐξ ἀντιθέσεως αὐτὸ λαμβάνει, καὶ ἔστι τριμερές· τὸ μὲν γὰρ πρὸς τὴν πόλιν, τὸ δὲ πρὸς Λακεδαιμονίους, τὸ δὲ πρὸς Ἀρκάδας. πρώτη τοίνυν ἀντέπεσεν ἀντίθεσις ἀπὸ τοῦ δικαίου, κατηγοροῦσα τῆς ποιότητος τῆς πόλεως, Ἀλλ' ἄπιστος εἶναι δόξει ἡ πόλις νῦν μὲν Λακεδαιμονίοις, αὖθις δὲ Ἀρκάσι προστιθεμένη· ὁμοία δ' ἐστὶν αὕτη τῇ πρώτῃ τεθείσῃ ἀντιθέσει. ἀλλ' ἐκεῖ μὲν τὸ αἰσχρὸν ἐξητάζετο, ὅπερ ἐστὶ τοῦ συμφέροντος, ἐνταῦθα δέ ἐστι τὸ δίκαιον· ὥστε αἱ αὐταὶ ἔννοιαι τῶν ἀντιθέσεων, ἀλλά γε οὐκ ἐπὶ τῶν ὁμοίων ἐλήφθησαν, ἐπεὶ ἄλλη μέν ἐστι τοῦ συμφέροντος ἡ δὲ τοῦ δικαίου· παρὰ γὰρ τὴν τοιαύτην μεταχείρισιν καὶ ὁ λόγος τὴν δύναμιν μεταλαμβάνει. ἔλυσε δὲ κατὰ ἀνατροπήν· ἐγγὺς δὲ ἡ ἀνατροπὴ τῆς μεταλήψεως. εἶτα ἐκ παραδείγματος, ὅτι Καὶ Θηβαίους καὶ Εὐβοέας καὶ Λακεδαιμονίους ἔσωσεν ἡ πόλις, καὶ νῦν ἐστιν Ἀρκάδας τὸν αὐτὸν τρόπον διασώζουσα, ἄλλην ἀντίθεσιν ἀπὸ τοῦ δευτέρου μέρους τοῦ δικαίου κεκίνηκεν, ὅπερ ἐστὶ πρὸς Λακεδαιμονίους· Ἀλλ' ἐπαγγέλλονται Λακεδαιμόνιοι τὰ δίκαια σώσειν ἅπασιν· Ἠλείοις μὲν τὴν Τριφυλίαν παρὰ Ἀρκάδων, Φλιασίοις δὲ τὸ Τρικάρανον ὑπὸ Ἀργείων

1. ἀλλ' add. Wolfius.

λαθεῖν] λαβεῖν T. a correctore et D.

ἀξιοῦντες βοηθεῖν Λακεδαιμονίοις Wolfius pro ἀξιοῦντες Λακεδαιμονίους.

3. ἧκον] ἥκειν Wolfius.

προσεδέξαντο] προσεδέξατο, litera tamen ν super versum scripta, T. προσεδεξάμεθα Wolfius.

4. ἑτέρα λύσις] ἑτέρᾳ λύσει T. ab eadem manu correctus quæ primo scripserat ἑτέρα λύσις.

5. τρίτη λύσις V. τρίτῃ λύσει T. C.G.

8. ὡς addidi ex T.C.G.

16. ἐπὶ] ἐκ Wolfius.

17. παρὰ pr. T. περὶ corr. T. et C.G.V.

24. τὴν Τριφυλίαν παρ' Ἀρκάδων] V. annot. ad Demosth. p. 206, 5.

25. Τρικάρανον V. τρικάλαμον (sic) T.C.G.

Ἀργείων] Legebatur Ἀρκάδων.

ἐχόμενον, ἡμῖν δὲ τὸν Ὠρωπὸν ὑπὸ Θηβαίων κρατούμενον. καὶ αὕτη συγγένειαν ἔχει πρὸς τὴν περὶ Ὠρωποῦ κινηθεῖσαν ἀντίθεσιν· ἀλλ' ἐκείνη μὲν ἀπὸ τοῦ συμφέροντος εἴληπτο, ἡ δ' ἀπὸ τοῦ δικαίου. καὶ λύει ταύτην τῷ συμφέροντι μέν, ὅτι Ἴδιόν τι διοικούμενοι κέρδος ταῦτα Λακεδαιμόνιοι πράττουσιν, ἵνα ὡς ἐπὶ Μεσσήνην ἔλθωσιν· 5 ἔχεται δ' οὖν ὅμως καὶ τοῦ δικαίου τοῦτο. εἰ γὰρ ἡ γνώμη ἄδικος, καὶ τὸ πρᾶγμα ἄδικον. οὐκ ἂν ἔχοιεν μέμφεσθαι τοῖς μὴ βοηθοῦσιν αὐτοῖς. εἶτα πάλιν δικαίῳ, ὅτι ἐν ὑποκρίσει καὶ ἀπάτῃ ταῦτα παρὰ Λακεδαιμονίων λέγεται, ἕως ἂν τὴν Μεσσήνην καταδουλώσωνται. ἄχρις οὖν τούτων τὸ ἓν μέρος τῆς ἀντιθέσεως λέλυκε· τὸ δὲ κατὰ τὸν 10 Ὠρωπὸν δεύτερον μέρος ἔστιν οὕτως, ὅτι Δίκαιοι μέν εἰσι καὶ ὑπὲρ Ὠρωποῦ βοηθεῖν Λακεδαιμόνιοι· εἰ δὲ μὴ βοηθοῖεν, ἕτεροι βοηθήσουσιν, ὅσοι τῶν δικαίων φροντίζουσιν. εἶτα καθ' ὑπόθεσιν, ὅτι αἱρετώτερον Ὠρωπὸν ἀπολέσθαι, εἰ δέοι, μᾶλλον ἢ ὑπὸ Λακεδαιμονίοις γενέσθαι τὴν Πελοπόννησον. τρίτη ἀντίθεσις ἀπὸ τοῦ δικαίου εἰλημμένη 15 ἐκ τῆς τῶν Ἀρκάδων ποιότητος. τοῦτο δ' ἦν τὸ τρίτον τοῦ δικαίου μέρος, Ἀλλὰ πολλὰ ἡμᾶς ἠδίκησαν Ἀρκάδες χάριτι τῇ πρὸς Θηβαίους. ταύτην ἔλυσε τῷ συμφέροντι· πρῶτον μὲν ἀπὸ τοῦ ἀτόπου, εἰπὼν ἄτοπον εἶναι μνησικακεῖν· εἶτα ἐκ περιτροπῆς ἀγωνιστικώτερον, ὅτι Εἰ τότε ὑμᾶς κακῶς ἐποίουν, νῦν οἱ πάλιν αὐτοὺς ἀπελαύνειν προῃρη- 20 μένοι κακῶς ποιεῖν ὑμᾶς ἐπιχειροῦσι· καὶ γὰρ ὅσῳ σπουδαιότεροι περὶ ἐκείνους ἐγένοντο, τοσούτῳ δικαιότεροι μέμψιν ἐκδέχεσθαι οἱ τῇ πόλει μὴ συγχωρήσαντες αὐτοὺς καταδέξασθαι, ὅτε ἐφ' ἡμᾶς ἧκον πρότερον. εἶτα ὅτι καὶ ἀναγκασθησόμεθα, εἰ ἔλθοιεν ἐπὶ Μεσσήνην Λακεδαιμόνιοι, γενέσθαι Θηβαίων σύμμαχοι· ὥστε αἱρετώτερον τοὺς 25 συμμάχους Θηβαίων σώζειν ἢ αὐτῶν δεῖσθαι Θηβαίων. εἶτα τῶν ἀδικημάτων τῶν Λακεδαιμονίων ὑπομεμνῆσθαι κατασκευάζων τὸ μὴ

5. ὡς addidi ex T.C.G.
7. ἄδικον, οὐκ ἂν ἔχοιεν Wolfius, nisi quod οὔκουν scripsit. Libri omnes ἄδικον, δίκην δεῖν ἔχοιεν.
8. αὐτοῖς—ὑποκρίσει Wolfius pro αὐτὴν—ὑποσχέσει.
9. λέγεται add. Wolfius.
12. ἕτεροι] ἑτέροις T.C.G.
14. ἢ om. T.
20. ὑμᾶς] ἡμᾶς T.
νῦν—ὅσῳ σπουδαιότεροι Wolfius pro νῦν εἶδα καὶ οἱ πάλιν ἀπελαύνεσθαι προῃρημένοι (προειρ— V.) κακῶς ποιεῖν, καὶ ὅσῳ σπουδαῖοι—.
21. κακῶς] καλῶς T.C.G.
22. δικαιότεροι Wolfius pro δίκαιοι.
23. ὅτε ἐφ' ἡμᾶς Wolfius pro ὅτι ἐφ' ὑμῖν.
24. πρότερον C.G.V. προτέρους T.

συμφέρειν ἐᾶσαι Λακεδαιμονίους ἰσχυροὺς καταστῆναι θέλει δηλῶσαι. πεπληρωμένου τοίνυν τοῦ μέρους τοῦ δικαίου, ἀπὸ τοῦ δυνατοῦ λοιπὸν ἀντέπεσεν ἀντίθεσις, ἐπὶ μὲν τὸ συμφέρον ἀναφέρεσθαι δυναμένη, τὰς δὲ κατασκευὰς ἀπὸ τοῦ δυνατοῦ λαμβάνουσα, Ἀλλ' ἰσχυροὺς ποιήσομεν τοὺς Θηβαίους. αὕτη ἐξισάζει ἡ ἀντίθεσις· δύναται γὰρ καὶ παρὰ Δημοσθένους προτείνεσθαι, Ἀλλ' ἰσχυροὺς ποιήσομεν τοὺς Λακεδαιμονίους. διὰ τοῦτο τοιγαροῦν οὐκ ἔθηκε μὲν τὴν ἀντίθεσιν ἐξισάζουσαν, τέθεικε δὲ τὴν λύσιν, εἰπών, "ἔστι γὰρ ἔστι "Θηβαίους ταπεινοὺς ἄνευ τοῦ Λακεδαιμονίους ἰσχυροὺς καθιστά-"ναι," τουτέστιν, ἔξεστιν οὐδετέρους αὐτῶν αὐξῆσαι. καὶ ὃ τέθεικεν ἀρχόμενος τοῦ λόγου κεφάλαιον, τοῦτό ἐστιν, ἐντελέστατα δὲ γυμνάζει. παρὰ τοῦτο ἀντέπεσεν ἐκ τῆς ἐργασίας, Τί οὖν, ἐὰν μὴ συγχωρῶσιν ἡμῖν Θηβαῖοι κατοικίζειν Θεσπιὰς καὶ Πλαταιὰς καὶ Ὀρχομενὸν καὶ Κορώνειαν; τοῦτο τὸ ἀντικεῖπτον λύων ἐπήγαγεν ὅτι, Κἂν μὴ βούλωνται τὰ δίκαια ποιεῖν Θηβαῖοι, ἀλλ' οὖν γε αἰσχυνόμενοι συγχωρήσουσιν. εἶτα συμβουλεύει λογοποιεῖν καὶ διαδιδόναι φήμην εἰς τοὺς Ἕλληνας ὅτι κατοικίσουσι τὰς ἐν Βοιωτίᾳ πόλεις, ἵνα μὴ Λακεδαιμόνιοι Μεγαλοπολίταις ἐπιβουλεύωσιν· ἐὰν γὰρ ὁρῶσι Θηβαῖοι τοῖς ἀδικουμένοις ἅπασιν ἡμᾶς ἀεὶ βοηθοῦντας, οὐδὲν ἀντεροῦσι κατοικιζομένων τῶν πόλεων. T.C.V.

209, 6. σύμμαχοι] σημείωσαι· σύμμαχοί εἰσιν οἱ ἑαυτοῖς βοηθοῦντες. B.

209, 24. θαυμάζω δ' ἐνίων] ἄλλην ἔθηκεν ἀντίθεσιν ἀπὸ τοῦ δικαίου, μάλα θαυμαστῶς ῥητορεύσας, ὡς ἀγαπῶντος τοῦ ἀκροατοῦ, εἰ μόνον ἀποσταῖεν τῶν Θηβαίων τῆς συμμαχίας, καὶ καταδεχομένου βοηθεῖν, εἰ τὰς στήλας ἀνέλοιεν. καὶ ἡ λύσις δὲ ἔτι θαυμασιωτέρα·

3. τὸ συμφέρον Wolfius pro τοῦ συμφέροντος.

8. ἔστι] p. 208, 7.

11. τοῦ λόγου κεφάλαιον codices. τοῦ τετάρτου κεφαλαίου V.

ἐστιν om. T. relicto quattuordecim fere literarum spatio. Non integra hæc esse etiam ex sequentibus apparet, in quibus ἐντελέστατα positum in V, pro quo codices omnes ἐντελεστάτη.

15. Θηβαῖοι] Verba vulgo addita κατοικίζειν Θεσπιάς, quæ quis conjiciat post συγχωρήσουσιν esse transponenda, delere malui ut repetita ex præcedentibus librarii errore.

18. ὁρῶσι V. ἐρῶσι codices.

22. Præcedit in B. scholion ad p. 206, 6. Τρικάρανον] φρούριόν ἐστι τῆς Ἀργείας οὕτω καλούμενον. quæ ex Suida descripta sunt.

25. καταδεχομένου Wolfius pro καταδεχομένους.

26. ἔτι Wolfius pro εἶτα.

γινώσκων γὰρ ὅπως ἔχουσι γνώμης Ἀρκάδες προσποιεῖται ἀγνοεῖν, ἵνα μὴ δοκῇ συναγορεύειν. καὶ ἀξιόπιστος ἡ προσποίησις· τί γάρ; φησὶν, ἐὰν καταδέχωνται, δῆλοί εἰσι τὰ μὴ δίκαια θέλοντες, ἵνα περὶ τούτων καταγενομένου τοῦ ἀκροατοῦ Δημοσθένης κρατήσῃ τὸ βούλευμα· οὐδὲ γὰρ ἂν ἄλλως ἐτόλμησαν Ἀρκάδες αἰτῆσαι τὴν συμμα- 5 χίαν, μὴ προῃρημένοι λαμπρῶς ἀποστῆναι Θηβαίων. ἀνέλθωμεν δ' οὖν ἐπὶ τὸν λόγον τὸν ἐξ ἀρχῆς· Ἀλλ' εἰ προῄρηνται γενέσθαι μεθ' ἡμῶν οἱ ἄνδρες, δίκαιοι καθελεῖν τὰς στήλας εἰσὶν, ἐν αἷς ἔχουσιν ἀναγράπτους τὰς πρὸς Θηβαίους συνθήκας. προσέθηκε δὲ τὸ κατὰ τὰς στήλας τὴν ἀντίθεσιν ἑαυτῷ πορίζόμενος· φησὶ γὰρ μὴ ὑπάρχειν 10 στήλας. εἶτα ἠθικῶς, ὡς ἤδη καταδεξαμένου τοῦ ἀκροατοῦ τὸν λόγον καὶ περὶ τοῦτον λοιπὸν ἔχοντος, ὥστε βεβαίως αὐτῶν γενέσθαι συμμάχους Ἀρκάδας, ἀξιοπίστως καὶ ἠθικῶς διαλέγεται, ἵνα δοκῇ τὸ συμφέρον ὄντως τῆς πόλεως ζητεῖν. ἐπαμφοτερίζει δὲ τῇ γνώμῃ καὶ ἐνδοιαστικῶς διαλέγεται, ὡς ἀγνοῶν δῆθεν τὴν Ἀρκάδων γνώμην 15 καὶ ταῦτα μὴ ἀγνοῶν. τί γὰρ φησίν; Εἰ μὲν τὰ δίκαια ἐθελήσειαν ποιεῖν Λακεδαιμόνιοι καὶ εἰρήνην ἄγειν, μὴ ποιώμεθα πόλεμον· εἰ δὲ Ἀρκάδες τὰς στήλας μὴ ἀνέλοιντο, δῆλοί εἰσιν ἀδικοῦντες. εἶτα κέχρηται ἀντιστρόφῳ τινὶ νοήματι, ἀντίθεσιν αὐτὸ ποιήσας ἐπιλογικὴν, Ἀλλὰ φοβεροὶ Λακεδαιμόνιοι ἔσονται τοὺς Ἀρκάδας προσει- 20 ληφότες. τάχα δὲ καὶ ἐξεπίτηδες πάλιν ἔθηκε μετὰ τὸν λόγον τὸν περὶ τῶν στηλῶν, ἵνα αὐτὴ ἑαυτὴν λύουσα φαίνηται. τίς γὰρ ἂν ἔτι οἰηθείη Θηβαίους ἰσχυροὺς γενήσεσθαι τῶν στηλῶν καθῃρημένων καὶ ἀπηλλαγμένων Ἀρκάδων τῆς ἐκείνων συμμαχίας; ὡς τὴν μὲν προτέραν λύσιν ἐκ τοῦ ἐξισάζοντος εἶναι, ταύτην δὲ ἀπὸ τοῦ δυνατοῦ, 25 κατὰ φύσιν μᾶλλον ἢ λογισμὸν, ὃ πολλῷ πιθανωτέραν πεποίηκε τὴν λύσιν. εἶτα λοιπὸν ταῖς ἐκβάσεσι κέχρηται, ὅτι συμφέρει προσδέξασθαι, ἵνα μὴ δι' αὐτῶν Μεγαλοπολῖται σωθέντες προσχωρήσωσι Θηβαίοις, καὶ ἵνα, εἰ σωθεῖεν ἐκ τοῦ Φωκικοῦ πολέμου Θηβαῖοι, ἀσθενέστεροι ὦσι, τῆς συμμαχίας αὐτῶν προσκεχωρηκυίας τῇ πόλει. 30

T.C.V.

3. ἐὰν καταδέχωνται] ἐὰν μὴ καθέλωσι Wolfius.
8. ἡμῶν οἱ ἄνδρες Wolfius. ἡμῶν ἄνδρες codices. ἡμῶν ὦ ἄνδρες V.
18. τὰς στήλας μὴ add. Wolfius.
22. περὶ add. Wolfius.

XVII.

ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ.

Τινὲς Ὑπερίδου λέγουσιν εἶναι τὸν λόγον καὶ οὐ Δημοσθένους. B.Y.

211, 1. ΑΞΙΟΝ ἀποδέχεσθαι, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν] οὐκ ἔστιν ἄδηλον τοῖς φιλομαθέσιν ἐξ ὧν ἀνεγνώκασιν ὑπομνημάτων ὅτι νοθεύ- 5 εται ὁ ὑπὲρ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν καὶ νενόμισται εἶναι τοῦ Δημοσθένους ἀλλότριος, ὥσπερ καὶ ὁ ἕβδομος τῶν Φιλιππικῶν, ὃν ὑπὲρ Ἁλοννήσου τινὲς ἐπιγράφουσιν. ἀμφοτέρους γὰρ τούτους ἀναφέρουσιν εἰς Ἡγήσιππον τὸν Κρώβυλον ἐπικληθέντα, Τιμάρχου δὲ ἀγαθὸν φίλον. ἐπάγουσι δὲ ἐγκλήματα τῷ λόγῳ, πρῶτον μὲν αἱ 10 εἰσαγωγαὶ τῶν κεφαλαίων ὕπτιαι καὶ ἱστορικαί, οἷαι καὶ αἱ παρ' Ἡροδότῳ ἔννοιαι. ἄλλο, ὅτι τοῦ πολιτικοῦ λόγου καὶ γοργότης καὶ τραχύτης καὶ τὰ τμητικά, ἐν τούτῳ δὲ πολὺ τὸ ἀναβεβλημένον, εἶτα οὐδὲ τὸ πνεῦμα φαμὲν Δημοσθενικόν, ἀλλ' ἀσθενὲς καὶ ἄτονον καὶ ἀτελές. μέμφονται καὶ τῇ λέξει δικαίως· τὸ γὰρ "νεοπλούτου," 15 καὶ "τυραννίζοντος," καὶ "βδελυρεύσεταί τις," καὶ ὅσα τοιαῦτα, οὐ συνήθη Δημοσθένει. τό τε ἦθος τοῦ λόγου τὴν παρρησίαν οὐκ ἔχει καθαρὰν τὴν Δημοσθενικήν, οὐδὲ τὴν ἐπίπληξιν ἐκείνην καὶ τὴν ἐλευθερίαν τὴν ἐλεγκτικήν· ὅλον δὲ τὸ εἶδος τοῦ λόγου σχεδὸν ὑπὸ κάλυμμά τι κεῖται, πολὺ τῆς Δημοσθένους παρρησίας ἀποδέον. 20 παρρησιάζεται γὰρ καὶ οὐ παρρησιάζεται, καὶ παρακαλεῖ πρὸς

6. ὁ—ἀλλότριος Wolfius pro τὸ—ἀλλότριον.

9. Κρώβυλον] Libri κρόβυλον.

14. ἄτονον V. ἄτοπον codices.

πόλεμον καὶ δέδοικε τὸν περὶ τούτου λόγον, καὶ μέσον φόβου καὶ θάρσους, οὔτε ὡς Δημοσθένης παρρησιαζόμενος οὔτε ὡς Δημοσθένης ὀκνῶν· ἐνδείκνυται μὲν γὰρ τὸ βούλεσθαι, ὥσπερ δὲ τὴν γλῶσσαν ἐμπεφραγμένος ὑπὸ τοῦ δέους τῶν συνθηκῶν ὑποκνεῖ, πλὴν εἰ μή τις αὐτὰ ταῦτα λέγει τῆς ἐκείνου δεινότητος ἄντικρυς εἶναι. ἐπεὶ γὰρ ὁ τύραννος πρὸς ὅν ἐστιν ὁ λόγος φοβερὸς, καὶ τὸ τῶν Ἑλλήνων πέπτωκε φρόνημα, Ἀθηναῖοι δὲ . . . . . μὴ δεδούλωνται σχεδὸν, εἰκότως ταύτῃ τῇ μεθόδῳ κέχρηται, καὶ βιάζεται πρὸς τὴν χρείαν τὴν δύναμιν. καὶ παρρησίας μὴ ἔχων καιρὸν ὅμως παρρησιάζεται, καὶ νικᾷ τῇ τέχνῃ τὸν φόβον, καὶ λαμβάνει παρὰ τοῦ λόγου τὴν παρρησίαν, μὴ ἔχων αὐτὴν ἐκ τῆς δυνάμεως. καὶ γὰρ ἐν τοῖς τελευταίοις τῶν Φιλιππικῶν, καίπερ οὐ τοσούτων φόβων ἐπηρτημένων, ὅμως ἐστὶ περὶ τὸν τοῦ πολέμου λόγον εὐλαβὴς, οὐ προπετῶς αὐτὸς ἀποφαινόμενος, οὐδὲ εἰσηγούμενος δέον πολεμεῖν, ἀλλ' ἀξιῶν ἐκ τῶν πραγμάτων σκοπεῖν εἴτε χρὴ τὰ τοιαῦτα νομίζειν εἰρήνης ἔργα εἴτε πολέμου. κἀν τούτῳ τῷ λόγῳ τοιαύτῃ μεθόδῳ χρώμενος φαίνεται. ὥστε κατὰ μὲν τὰς μεταχειρίσεις καὶ τὸ ὅλον ἦθος οὐκ ἄν τις αὐτὸν ἐκβάλλοι, κατὰ δὲ τὴν λέξιν εἴ τις αὐτῷ καταμέμφοιτο, οὐκ ἂν εὕροι τις οὐδὲ τὸν Πλάτωνα, οὐδὲ τοὺς κωμικοὺς, οὐδὲ τοὺς συγγραφέας ἀνεπιλήπτους. μᾶλλον δὲ χρὴ λέγειν ὅτι καὶ ὀνοματοποιεῖν σύνηθες Ἀττικοῖς καὶ χρῆσθαι πρὸς τὰς ὑποκειμένας ὕλας τοῖς κεκρατηκόσιν ὀνόμασιν, οἷα πολλὰ παρὰ Μενάνδρῳ καὶ Ἀριστοφάνει καὶ τῷ παρὰ τὸν Ἀριστοφάνην ὑπειλημμένῳ ἀττικίζειν, τῷ Πλάτωνι. εἰ δὲ καὶ τὰς οἰκιστικὰς προφέροι τις ἂν, δόξειε μὲν ἂν εἰκότως ἐγκαλεῖν, εἴποι δ' ἄν τις ὅμως παρὰ τὸν καιρὸν

4. ἐμπεφραγμένος Wolfius pro ἐκπεφραγμένος.

7. δὲ . . . . . μὴ δεδούλωνται, cum lacuna viginti circiter literarum capace, T. δὲ . . . . . μὴ δὲ δούλων, cum lacuna simili, C.G. Et sic V. quoque, nisi quod brevius inter δὲ et μὴ spatium reliquit quattuor vel quinque literarum, quo deceptus Wolfius δὲ ἦρχον μηδὲ δούλων scripsit.

13. λόγον] φόβον pr. T.

14. ἀποφαινόμενος Wolfius pro ὑποφαινόμενος.

δέον] ὡς δέον Wolfius.

15. νομίζειν add. Wolfius.

16. ἔργα codices. ἔργα εἶναι V.

κἀν Wolfius pro καί. Idem δὲ post τούτῳ addidit.

18. ἐκβάλλοι] Legebatur ἐκβάλλῃ. ἐκβάλλει C.G.

21. καὶ add. Wolfius.

24. οἰκιστικὰς] οἰκιστὴς quid sit notum est. οἰκιστικὸν, *quod ad condendas urbes et deducendas colonias facit.* Sed quid ea vox huc facit? WOLF.

καὶ τὴν ταχύτητα τοῦτο συμβῆναι. ὅτι γὰρ οὐ διὰ γῆρας οὐδὲ δι' ἀτονίαν λόγου τοῦτο συμβέβηκεν εὔδηλον ἐκ τοῦ περὶ στεφάνου λόγου, ὃς πολὺ μεταγενέστερός ἐστι ταύτης τῆς δημηγορίας· ὁ μὲν γὰρ εἴρηται ἐν ἀρχῇ τῆς κατὰ Ἀλέξανδρον καταστάσεως, ὁ δὲ περὶ τοῦ στεφάνου λόγος Ἀλεξάνδρου ὄντος ἐν Ἰνδοῖς ἢ ἐν Πέρσαις. 5 ἔστι δ' οὖν ὁ λόγος πραγματικῆς στάσεως, κεφάλαιον ἔχων τὸ νόμιμον. τὸ γὰρ ῥητὸν δείκνυσι παραβεβασμένον· τοῦτο δέ ἐστιν αἱ πρὸς τοὺς Ἕλληνας Ἀλεξάνδρῳ συνθῆκαι. κινδυνεύει δὲ ὁ λόγος εἶναι ἐν σχήματι καὶ οὐκ ἐν σχήματι. ᾗ μὲν γὰρ ἀξιοῖ ταῖς συνθήκαις ἐμμένειν καὶ μηδὲν παραβαίνειν τῶν γεγραμμένων, σώζει τὸ 10 σχῆμα· τὸ γὰρ ἐναντίον κατασκευάζειν βούλεται καὶ πόλεμον κινεῖν κατὰ τῆς ἡσυχίας· τοῦτο δὲ ἴδιόν ἐστι τῶν κατὰ τὸ ἐναντίον ἐσχηματισμένων, τὸ τὰ ἐναντία κατασκευάζειν οἷς δοκοῦσι λέγειν· ὅπερ διὰ τοῦ λόγου τοῦδε σωζόμενον φαίνεται· ᾗ δὲ αὖ πάλιν ἐκ τοῦ φανεροῦ πολλάκις ἀμύνεσθαι συμβουλεύει, διαφεύγει τὸ σχῆμα. βέλ- 15 τιον οὖν λέγειν ἠθικῶς αὐτῷ προῆχθαι ὅσα δοκεῖ λέγεσθαι κατὰ σχῆμα. τοῦτο δὲ πέπονθε διὰ τὸ τοῦ πράγματος ἐπικίνδυνον· οὐ γὰρ δίδωσιν αὐτῇ τῇ ὑποθέσει σύμμετρον παρρησίαν ἡ τοῦ δήμου κατάπληξις καὶ τὸ τὸν Ἀλέξανδρον μεγάλα δύνασθαι καὶ τὸ κατα- πεπλῆχθαι τοὺς Ἕλληνας· ὅθεν καὶ ὁ λόγος περιδεὴς καὶ παρρησίας 20 ἄμοιρος. ἐπειδὴ εἶχε δὲ πολλοὺς τοὺς ἀντιλέγοντας, εἰκότως πρὸς αὐτοὺς τὸ προοίμιον πεποίηται, ἅμα μὲν ἠθικῶς, ἅμα δὲ πληκτικῶς. τὸ δὲ ἑξῆς εὐθύς, "εἰ δή τις ἐρωτήσειεν, ὦ Ἀθηναῖοι, ἐπὶ τίνι ἂν "μάλιστα ἀγανακτήσαιτε, εἴ τις ἀναγκάζοι," ἀρχή ἐστι τοῦ νομίμου κεφαλαίου, συνιστάντος λελύσθαι τὰς συνθήκας. χρὴ δὲ εἰδέναι ὅτι 25 πολλάκις καὶ αὐτὰ τὰ προηγούμενα κεφάλαια ὑπ' αὐτοῦ τοῦ λέγοντος πρωταγωνιστικῶς εἰσάγεται ὡς πρὸς ἀντίθεσιν, ὅταν ὁ ἀκροατὴς δια-

1. γὰρ add. Wolfius.
3. πολὺ V. πολλὰ codices, quod πολλῷ esse potest.
9. ᾗ μὲν—ᾗ δὲ Wolfius pro εἰ μὲν—εἰ δέ.
16. ἠθικῶς] *Leniter, sine vehementia, οὐ παθητικῶς.* WOLF.
18. αὐτῇ V. αὐτὴν codices.
21. εἶχε δὲ codices. δὲ εἶχε V. πολλοὺς τοὺς ἀντιλέγοντας P. πολλούς τι λέγοντας T.C.G. πολλοὺς τοὺς λέγοντας V.
23. εἰ δή (ἤδη libri)] p. 212, 13.
24. ἀγανακτήσαιτε] ἀγανακτήσητε T. ἀγανακτεῖτε C.G.V. Iidem ἀναγκάζει pro ἀναγκάζοι, quod restitutum ex T.
26. ὑπ' Wolfius pro ἐστιν.
27. πρωταγωνιστικῶς] πρῶτα γωνιστικῶς C.G.V.

κείμενος ἑτέρως τυγχάνῃ. αὐτίκα γοῦν τοῦ ἀκροατοῦ κἀνταῦθα νομίζοντος κυρίας εἶναι τὰς συνθήκας εὐθὺς ἀγωνιστικῶς εἰσάγει τὸ κεφάλαιον ἐκ παραδείγματος. καὶ ἐπειδὴ μηδὲν εἶχεν εἰπεῖν Ἀθηναίοις εἶναι πρὸς Μεσσηνίους, ἀποκρίνοιτ' ἂν ὅτι σύνηθές ἐστι τοὺς ἀδικουμένους ἐλευθεροῦν ἀεὶ τῇ πόλει. εἰ τοίνυν τοῦτο πρῶτον τὸ κεφάλαιον, ἀντιπῖπτον ἔλυσε καὶ ἀντίθεσιν ἀντιπῖπτον μέν, Ἀλλ' οὐ παρ' ἡμῖν ταῦτα γέγονεν, ὥστε οὐ χαλεπαίνειν δεῖ· διόπερ ἔλυσεν εἰπών, Οὐ δὴ δεῖ, εἰ μέν τις ὑμᾶς ταῦτα βιάζοιτο, ἀγανακτεῖν· εἰ δὲ ἑτέρωθί που, μὴ χαλεπαίνειν ὁμοίως· τὴν δὲ ἀντίθεσιν κατὰ διάνοιαν ἔλαβε· τὸ γὰρ ῥητὸν, Μηδένα τυραννεῖν τῶν πόλεων. εἰ δὲ δὴ κατὰ διάνοιαν εἰσῆκται, Ἀλλὰ πρὸ τοῦ γενέσθαι τὰς συνθήκας ἐτυράννουν οἱ Φιλιάδου παῖδες Μεσσήνης. ταύτην ἔλυσεν ἐκ παραδείγματος κατὰ τὸ μαχόμενον, Πῶς οὖν κατελύοντο οἱ ἐκ Λέσβου τύραννοι, ἐξ Ἀντίσσης καὶ Ἐρέσου, καὶ ταῦτα πρὸ τῶν συνθηκῶν τυραννοῦντες· μάχεται γὰρ τὸ καταλύειν τῷ καθιστάναι. εἶτα ἀλλήλοις τῇ ἀπορίᾳ . . . . . ὅτι γέγραπται, "αὐτονόμους καὶ ἐλευθέρους εἶναι "τοὺς Ἕλληνας." δεύτερον κεφάλαιον τῶν ἐγκλημάτων ἐπάγει τῷ Μακεδόνι τὸ καταλελυκέναι τῶν Πελληναίων τὸν δῆμον, πόλεως Ἀχαϊκῆς μιᾶς τῶν ἐν Πελοποννήσῳ, Χαίρωνα δὲ τὸν παλαιστὴν τύραννον ἐγκαταστῆσαι. πρὸς δὲ τοῦτο ἀντίθεσιν μὲν φέρουσαν εἰς αὐτὸ τὸ πρᾶγμα τέθεικεν οὐδεμίαν, ἁπλῶς δὲ ὥσπερ κοινωνοῦσαν, Ἀλλ' ἐμμένομεν ταῖς συνθήκαις, οὔτε ἀνατρέπουσάν τι τοῦ ἐγκλήματος οὔτε εἰς αὐτὸ φέρουσαν. λύων τοίνυν καταδρομῇ κέχρηται κατὰ τῶν ῥητόρων οὐ μικρᾷ· κέχρηται δὲ καὶ ἑτέρᾳ καταδρομῇ τῶν

1. νομίζοντος κυρίας εἶναι τὰς συνθήκας εὐθὺς] νομίζοντος εἶναι τὰς (ante τὰς in T. lacuna trium quattuorve literarum capax) συνθήκας εὐθὺς T. νομίζοντος εἶναι τὰς συνθήκας αὐτίκα C.G. νομίζοντος εἶναι αὐτίκα V. νομίζοντος εἶναι τὰς συνθήκας εὐθὺς P. νομίζοντος εἶναι κυρίους τὰς συνθήκας αὐτίκα Wolfius.

4. εἶναι add. Wolfius.

ἀποκρίνοιτ'—ἀδικουμένους add. Wolfius.

8. Οὐ δὴ δεῖ, εἰ μέν Wolfius ex p. 213, 1. οὐ δὴ εἰ μέν T.C.G. οὐδ' εἰ V.

9. ἑτέρωθί που Wolfius ex p. 213, 2. pro ἑτέρωθι τοῦ.

10. Μηδένα Wolfius pro μηδέν.

εἰ δὲ δὴ κατὰ διάνοιαν εἰσῆκται C. G.V. εἰ δὲ δι . . . . . (quinque literarum lacuna) νοιαν εἰσῆχθαι T.

14. Ἐρέσου Wolfius ex p. 213, 19. αἴσου libri omnes.

15. Post ἀπορίᾳ, cujus vocabuli litera ultima deest in T.C.G., in codicibus et V. duodecim literarum lacuna est. Verba αὐτονόμους—Ἕλληνας sunt ex p. 213, 24.

συνεδρευόντων καὶ τεταγμένων ἐπὶ τῇ φυλακῇ τῆς κοινῆς εἰρήνης, ὡς παρορώντων τὰ γινόμενα. τρίτον ἔγκλημά ἐστιν, ὅτι τῶν συνθηκῶν καὶ προσα . . ῶν μὴ ἔχειν . . . . . "φυγάδας ὁρμήσαντας "ὅπλα ἐπιφέρειν ἐπὶ πολέμῳ ἐπὶ μηδεμίαν πόλιν τῶν μετεχουσῶν "τῆς εἰρήνης, Ἀλέξανδρος τὸν παιδοτρίβην εἰς Σικυῶνα κατήγαγε." πρὸς τοῦτο ὁμοίως οὐδεμίαν ἀνθυποφορὰν οὐδὲ ἀντίστασιν ἐκόμισεν ἢ τὴν αὐτὴν ὁμοίως, ὅτι ἀγανακτήσουσιν οἱ Ἕλληνες καὶ δόξομεν αἴτιοι γίγνεσθαι τοῦ λύεσθαι τὰς συνθήκας. τέταρτον ἐπὶ τούτοις ἔγκλημά ἐστιν, ὅτι παρὰ τὰς συνθήκας "ἅπαντα τὰ ἐκ τοῦ Πόντου "πλοῖα κατήγαγον οἱ Μακεδόνες εἰς Τένεδον καὶ οὐ πρότερον ἀφεῖσαν "πρὶν ἑκατὸν ναῦς πληρῶσαι ψηφίσασθαι καὶ στρατηγὸν ἐπ' αὐταῖς "τάξαι Μενεσθέα." τὸ μὲν οὖν ἑκατὸν ναῦς ψηφίσασθαι Ἀθηναίους ἔνδειξιν ἔχει τοῦ δυνατοῦ· πρὸς δὲ τὸ ἔγκλημα ἀντίστασιν ἐκόμισεν, Ἀλλ' ἐπαύσαντο τοῦ ἀδικήματος· καὶ δευτέραν ἀντίστασιν, Ἀλλ' ἀσθενὴς ἡ πόλις. τὴν μὲν οὖν προτέραν ἔλυσε μεταληπτικῶς, Οὐκ ἐπαύσαντο ἀδικοῦντες ἤδη καὶ οὐκ ἠδίκησαν· τὴν δὲ δευτέραν ἐκ τοῦ μαχομένου, ὅτι, Πῶς ἀνυπόστατον τὴν πόλιν εἶναι φαμὲν . . . . . κελευόμενοι ταῖς συνθήκαις ἐμμένειν; οὐ γὰρ ἀκόλουθόν ἐστι πῇ μὲν ἀσθένειαν τῆς πόλεως κατηγορεῖν, πῇ δὲ βοηθεῖν ἀξιοῦν, ὡς δυνατὴν διαφυλάττειν τὰ δίκαια. ἐπὶ τούτοις πέμπτον ἔγκλημά ἐστιν, ὅτι πλεῦσαι ἐτόλμησαν Μακεδόνες εἰς τὸν Πειραιᾶ, καὶ τοῦτο ἀντέθηκεν

1. κοινῆς εἰρήνης, ὡς παρορώντων Wolfius pro κοινῆς ὥσπερ δρώντων.

2. συνθηκῶν καὶ προσα—φυγάδας] Sic T. cum duarum triumve literarum lacuna post προσα et novem post ἔχειν. In C.G.V. συνθηκῶν . . . μὴ ἔχειν cum novem fere literarum lacuna post συνθηκῶν. Spectant hæc ad verba Demosthenis p. 216, 3. μὴ ἐξεῖναι φυγάδας ὁρμήσαντας &c.: unde Wolfius συνθηκῶν ἐχουσῶν "μὴ ἐξεῖναι φυγάδας" &c.

4. ἐπὶ μηδεμίαν πόλιν τῶν] ἐπεὶ μηδεμίαν τῶν codices et V.

6. ἀνθυποφορὰν ἢ ἀντίστασιν] De priore supra dictum est. ἀντίστασιν interpretantur *repugnantiam, oppositionem, æquilibrium, contentionem, comparationem, genus comparativum.* Fortasse pro ἀντίστασις legendum ἀντίθεσις. Ego vocem auctoris retinui. WOLF.

9. ὅτι add. Wolfius.

ἅπαντα] p. 217, 15.

11. ψηφίσασθαι—τάξαι T. ἐψηφίσασθε—ἐτάξατε C.G.V.

16. καὶ οὐκ] καὶ ὅτι Wolfius.

17. ἀνυπόστατον] p. 218, 13. ἅμα δὲ λανθάνουσιν ἑαυτοὺς ἀνυπόστατον τὴν πόλιν ὁμολογοῦντες εἶναι, διακελευόμενοι τὸ δίκαιον οὐ δικαίως διαφυλάττειν &c.

Post φαμὲν in T.G.V. lacuna sex literarum capax, in C. triplo amplior. Wolfius φαμὲν, εἰ οἱ κελευόμενοι τ. σ. ἐ. καταφρονοῦσιν;

19. πῇ—πῇ codices. τῇ—τῇ V.

βοηθεῖν add. Wolfius.

δυνατὴν codices. δυνατὸν V.

21. πλεῦσαι] p. 218, 29. ubi εἰσπλεῦσαι.

ἐκ τῆς ἡλικότητος, ὡς μικρὸν τὸ γεγονός· μιᾷ γὰρ τριήρει εἰσέπλευσαν, καὶ τοῦτο οὐκ ἂν εἴποι τις ἔγκλημα. ταύτην ἔλυσεν ἀπὸ τοῦ τρόπου, ὅτι ἀπόπειρα τὸ γινόμενον ἦν καὶ παράδυσις κατὰ μικρὸν καὶ ἔθος . . . τοῦ τὴν πόλιν ἀνέχεσθαι τοὺς εἴσπλους. καὶ ἑτέρα λύσις, Τὸν τότε ἐπὶ τῆς νεὼς εἰσπλεύσαντα ξύλα ναυπηγήσιμα αἰτεῖν εἰς κατασκευὴν μικρῶν πλοίων, ἃ συνεχωρήσαμεν αὐτῷ ποιεῖν, καὶ τριήρη ἂν ἐναυπηγήσατο· ἐν ᾧ καὶ ἀντιπῖπτον κατὰ ἀναίρεσιν εἰσήγαγεν, Οὐ γὰρ δὴ φήσειέ τις ἂν ἀφθονίαν ξύλων εἶναι ἐν τῇ Ἀττικῇ, σπανίζειν δὲ τὴν Μακεδονίαν, ὅθεν ἔξεστιν εὐτελέστατα τοῖς βουλομένοις ὠνεῖσθαι. εἶθ' ὅτι ἐφ' ἡμῖν ἐστι μὴ ἀνέχεσθαι, καὶ τῶν συνθηκῶν τὸ ῥητὸν παρέχεται, ἐν ᾧ γέγραπται· "ἂν βουλώμεθα "τῆς κοινῆς εἰρήνης μετέχειν," ὡς τοῦ ῥητοῦ καὶ τῶν συνθηκῶν ἐπιτρεπουσῶν, εἰ βούλοιτό τις μηδαμῶς Ἀλεξάνδρῳ ἀκολουθεῖν. τοῦτο τὸ ῥητὸν δύναται καὶ πόλεμον ἀπειλεῖν τοῖς παραβαίνειν ἐθέλουσιν. ὁ δὲ πρὸς τὸ χρήσιμον τὸ οἰκεῖον λαβὼν πολλὰ μὲν ὑπέμνησε τῶν προγόνων τῆς δόξης, πολλὰ δὲ τοῦ πρέποντος. εἶτα κατεπαγγέλλεται γράψαι, εἰ ἐπιτρέποιεν, ψήφισμα περὶ πολέμου. T.C.V.

214, 24. βδελυρεύσεται] σημείωσαι τὸ βδελυρεύεται ἀντὶ τοῦ ἀκολασταίνει. B.

1. ὡς μικρὸν τὸ] ὡς τῖμι . . . ὁ T. (ex quo P. fecit ὡς τίμιον τὸ). ὡς τιμὴν τὸ C.G.V. quasi ὡς τιμητὸν τὸ voluissent.

3. ἦν καὶ] καὶ, quod habent G.V., exesum est in T. ita ut accentus tantum appareat: unde abest a C.

4. Post ἔθος in T. trium literarum lacuna, in ceteris libris nulla.

5. ἑτέρα λύσις] ἑτέρᾳ λύσει T.C.G.

10. ἐστὶ—τὸ ῥητὸν Wolfius pro ἐστι καὶ μὴ ἀνέχεσθαι τῶν συνθηκῶν, καὶ ῥητόν.

11. ἂν] p. 220, 8.

13. ἀκολουθεῖν] συγχωρεῖν Wolfius.

17. περὶ add. T., om. C.G.V.

XVIII.

ΥΠΕΡ ΚΤΗΣΙΦΩΝΤΟΣ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ.

226, 1. Πρῶτον—] τὸ προοίμιον ὡς ἀπολογουμένου, ἐξ εὐνοίας λαμβανόμενον. B.F.Y.P.

τὸ πρῶτον προοίμιον εὐκτικόν ἐστι καὶ κατὰ μερισμὸν εἰσαχθὲν παρασκευάζει τὴν εὔνοιαν. περιβολὴ δὲ τοῦ προοιμίου τῷ διπλασιασμῷ τῶν ὀνομάτων. B.F.Y.P. 5

εὐκτικὸν τὸ προοίμιον, ἐπειδήπερ περὶ εὐνοίας καὶ αἰτήσεως στεφάνου ὁ πᾶς ἐστιν ἀγών. A.H.R.T.C.P.

οὐκοῦν τὸ πρῶτον προοίμιον εὐκτικόν ἐστι καὶ κατὰ μερισμὸν εἰσαχθὲν παρασκευάζει τὴν εὔνοιαν, ἧς μάλιστα ἐν τῷ παρόντι δεόμεθα. Ὁμηρικῷ δὲ εἴρηται ζήλῳ, 10

Κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι.

καὶ δὴ καὶ ἔμφασιν ἔχει τοῦ τῇ εὐνοίᾳ θαρρεῖν. οὐ γὰρ ἂν ὅλον ἐπε-

In hac oratione scholia breviora et glossemata quibus sigla nulla addita est, uni debentur P., cujus siglam non adscripsi nisi ubi aut eadem ex meis codicibus afferenda essent aut aliud ad idem lemma scholion sequeretur aliunde sumtum.

2. λαμβανόμενον B. λαμβάνον ceteri.

4. περιβολὴ δὲ τοῦ προοιμίου F.Y. περιβολὴ προοιμίου B. περιβολὴ τὸ προοίμιον B. In B.P. hæc, περιβολὴ—ὀνομάτων leguntur ante præcedentia τὸ πρῶτον—εὔνοιαν. Pars hujus scholii, τὸ πρῶτον—τὴν εὔνοιαν est etiam in S.

6. αἰτήσεως om. H.R. Iidem post ἀγών addunt κατὰ μερισμὸν δὲ εἰσαχθὲν παρασκευάζει τὴν εὔνοιαν.

8. Quod ab οὐκοῦν incipit hoc scholion ex eo est explicandum, quod cohæret cum ἑτέρᾳ illa ὑποθέσει, quæ in editione nostra legitur p. 235. 236. (222—225. Reisk.) ubi in editionibus usque ad Bekkerianam post verba καὶ οὕτω συνεκρατήθη τὸ δικαστήριον totum hoc scholion οὐκοῦν—τὴν τοιαύτην διάνοιαν tanquam pars argumenti additum est.

11. Κέκλυτε] Π. Θ, 5.

12. ἐπεκαλεῖτο] ἀπεκαλεῖτο C.

καλεῖτο τὸ τῶν θεῶν γένος, εἰ μὴ οὕτω διέκειτο. τὸ δὲ διατελῶ εἴληπται μὲν ἀπὸ τοῦ ψηφίσματος, δηλοῖ δὲ ὅτι συνεβίωσε τῇ εὐνοίᾳ καὶ ἀεὶ αὐτῆς μέλεται καὶ πρότερον ἀφήσει τὴν ψυχὴν ἢ τὴν τοιαύτην διάνοιαν. T.C.

ὅτι οὐκ ἔδει ἐν προοιμίῳ τροπικῇ εὐθὺς χρήσασθαι λέξει. λέγομεν ὅτι οὐδὲν ἄτοπον, ὁπότε καὶ Αἰσχίνης ἐχρήσατο τῷ πρώτῳ προοιμίῳ, παρασκευὴν εἰπὼν καὶ παράταξιν. ὁ δὲ ῥήτωρ ἐνταῦθα οὐκ εἶπε ταύτην ἐν πρώτῳ προοιμίῳ, ἀλλ' ἐν τελευταίοις τοῦ δευτέρου. ἰστέον γὰρ ὡς ὅτι κατασκευὴν οὐκ ἐποιήσατο αὐτοῦ, ἵνα ὡς ὡμολογημένην δείξῃ τὴν εὔνοιαν ἣν ἔχει εἰς τὴν πόλιν. T.P.

225, 3. διατελῶ] ἀντὶ τοῦ ἀεὶ ἔχω, Ἀττικῶς.

τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν] τάχα δύναταί τις ὁμοῦ μὲν τὴν πόλιν φιλεῖν, μισεῖν δὲ ἰδίᾳ τινὰς, ὡς ἐπὶ Τίμαρχον τὸν νοῦν ἀναφέρεσθαι, ᾧ ἐπολέμησεν Αἰσχίνης. T.C.V.

τοσαύτην ὑπάρξαι μοι] ὅρα ὅπως οὐ τὸ πλεῖον ἀπαιτεῖ, ἀλλ' ὡς ἀρκοῦσαν τὴν ἰδίαν εὔχεται λαβεῖν. T.C.V.

226, 2. ἔπειθ' ὅπερ ἐστὶ] εὔχομαι, δηλονότι. P. τὸ αὐτό ἐστι τῷ κατὰ μερισμόν· ἀκατάσκευος δὲ ἀναγκαίως ἡ πρότασις, ἐπειδὴ ἅπερ ὁμολογούμενα καὶ φανερὰ οὐ δεῖται, οὐ δεῖται κατασκευῆς. ὁ δὲ νοῦς ἐπάγεται τοὺς δικαστὰς πλέον εἰς οἰκειότητα. φαίνεται γὰρ οὐχ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ αὐτῶν τὴν ἴσην πρόνοιαν ποιούμενος. T.C.V.

2. συνεβίωσε τῇ εὐνοίᾳ] Vid. Ind. ad Greg. Cor. p. 1030. Similiter φιλοσοφίᾳ συζῶν schol. ms. Brunckii ad Aristoph. Nub. 504. Vid. Stephani Thesaur. s. h. v. SCHÆFER.

9. γὰρ habet A., om. R. uterque caret præcedentibus ὅτι οὐκ—τοῦ δευτέρου.

ὡς ὅτι] Vid. ad p. 11, 20.

10. τὴν om. P. πρὸς τὴν A.

13. μισεῖν δὲ ἰδίᾳ τινὰς] ἰδίᾳ δὲ πολίτας τινὰς μισεῖν C.G. "Quasi vero "non et Æschinem et reliquos "omnes Philippi proditores odio "prosecutus sit Demosthenes. Est "hoc Græcorum interpretum vi-"tium, ut sæpe vel curiosiores, "vel argutiores sint quam ne-"cesse est: loquaces in locis "apertissimis, in obscurissimis aut "breves aut muti." WOLF.

17. τὸ αὐτό ἐστι τῷ κατὰ μερισμὸν] *Est idem quod partitio*, cum partitione convenit. Sed quid hoc sibi vult? WOLF.

18. ἐπειδὴ ἅπερ ὁ. καὶ φ. οὐ δεῖται] Libri ἐπειδήπερ ὁ. καὶ φ. εὐχόμεθα (ἡγούμεθα V.) ἀγαθὰ (ἀγαθὰ om. V.), ἅπερ (ὅπερ C.G.) οὐ δεῖται. Correxit Wolfius, nisi quod scripsit φ. ἡγούμεθα οὐ δεῖσθαι.

21. τὴν et πρόνοιαν add. Wolfius.

ἔπειθ'] τὸ ἔπειτα ἐνταῦθα ἰσοδυναμεῖ τῷ δέ συνδέσμῳ, ἵνα πάλιν μὴ ζήτησις γένηται διὰ τί εἰπὼν τὸν μέν οὐκ ἐπήγαγε τὸν δέ. A.H.R.P.

καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης] εὐσεβείας μὲν, τῶν ὅρκων· δόξης δὲ, τῆς εἰς πάντας ἀνθρώπους. T.V. 5

226, 3. παραστῆσαι] ἐμβαλεῖν τῇ ὑμετέρᾳ δόξῃ.

226, 4. μὴ τὸν ἀντίδικον σύμβουλον] θέσις ἐγγὺς κειμένη τὸ ἄτοπον τῶν ὀνομάτων βιάζεται· ὁ μὲν γὰρ ἀντίδικος πολέμιος, ὁ δὲ σύμβουλος προσφιλής. εἴρηκε δὲ ταῦτα, ἐπειδὴ ὁ Αἰσχίνης ἔλεγε, Κτησιφῶντος κατηγορῶ. τί σαυτὸν ἐμβάλλεις εἰς μέσον, Δημό- 10 σθενες; μὴ ἐᾶτε αὐτὸν παρακῦψαι εἰς τὸ δικαστήριον. ἐὰν δ' ἄρα ἐπιτρέπητε αὐτῷ φθέγγεσθαι, τοιᾷδε κεχρήσθω τῇ τάξει τοῦ λόγου ὡς αὐτὸς ὑπάρχει. T.C.V.

226, 6. ἀλλὰ τοὺς νόμους] ποιῆσαι συμβούλους δηλονότι.

226, 11. τῇ τάξει] τῶν κεφαλαίων φησίν. A. 15

226, 13. πολλὰ μὲν οὖν] δεύτερον προοίμιον. A.B.S.

πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι] εἰς πλείω μέρη εἰμὶ ἀγωνιζόμενος τοῦ Αἰσχίνου. P. καὶ τὸ δεύτερον τοῦτο προοίμιον εὔνοιαν κατορθοῖ· ἡ δὲ μεταχείρισις διάφορος. τὸ μὲν γὰρ πρῶτον μεστόν ἐστιν ἀξιώματος· δοκεῖ γὰρ διδόναι πλεῖον ἢ αἰτεῖν ἐν ἐκείνῳ· ἐν 20 τούτῳ δὲ καὶ ὡς δεόμενος ἐκ ταπεινώσεως ἐργάζεται. τὸ δὲ ἐλαττοῦμαι, κατὰ πρόσωπον, οὐ κατὰ τὴν ὑπόθεσιν. T.C.V.

226, 16. τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν] ἀντὶ τοῦ στεφάνου χρησίμως τὴν εὔνοιαν εἴρηκεν, ὡς χρῄζων αὐτῆς. T.C.V.

τῆς παρ' ὑμῶν εὐνοίας] ἐβούλετο εἰπεῖν, τοῦ στεφάνου. ἀλλ' 25 ἐπειδὴ ἐπαχθὲς ἦν τοῦτο, ἐπὶ τὴν εὔνοιαν τῆς πόλεως μετήνεγκε τὴν λέξιν. A.H.R.T.C.P.

226, 17. μὴ ἑλεῖν] ἀντὶ τοῦ μὴ νικῆσαι. A.T.C.

226, 18. ἀλλ' ἐμοὶ μέν, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν] τὸ σχῆμα ἀποσιώπησις, τὸ μὲν ἵνα μὴ δύσφημα λέγῃ ἐν ἀρχῇ τοῦ 30

7. θέσις] ἀντίθεσις Wolfius.

10. σαυτὸν Wolfius pro αὐτόν. αὐτὸν G.

11. ἐὰν δ' Wolfius pro ἐάν τε.

13. ὡς — ὑπάρχει] οἷας — ὑπάρχω Wolfius.

22. κατὰ πρόσωπον] Scil. διότι φεύγω, καὶ ὕστερος λέγω. etsi nec hoc satis placet. WOLF.

29. τὸ σχ. ἀ. est etiam in R.S.

30. δύσφημα Wolfius pro βλάσφημα.

λόγου, τὸ δὲ ἵνα ὑπόνοιαν πλείονα τῷ ἀκροατῇ παρεμβάλλῃ σιωπήσας τὴν ῥῆσιν. T.C.V.

226, 19. οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ] ἀπὸ πολλοῦ τοῦ περιόντος. P. ἢ ὅτι πλοῦτον ἔχει πολὺν, τοῦ Φιλίππου δόντος καὶ Ἀλεξάνδρου, καὶ οὐ πάνυ φοβεῖται κἂν ἡττηθῇ· εὐπορεῖ γὰρ ὥστε δοῦναι τὰς χιλίας. ἢ οὐκ ἔστιν ἴσον τοῦτον μὲν ἐκ περιουσίας κατηγοροῦντα μὴ νικῆσαι—ἐξῆν γὰρ αὐτῷ τὴν ἡσυχίαν ἄγειν—, κἀμὲ κατ' ἀνάγκην ἀπολογεῖσθαι· οὐ γὰρ ἔξεστί μοι σιωπᾶν. τινὲς γὰρ τὸ ἐκ περιουσίας ἐκ περιττοῦ ἁπλῶς ἡρμήνευσαν. περιττὸν γάρ φησιν ἐμοῦ μάτην καθάπτεσθαι καὶ κατηγορεῖν. T.C.V.

226, 20. ἕτερον δ' ὃ φύσει πᾶσιν ἀνθρώποις] παραμυθεῖται τοὺς δικαστὰς, τῇ κοινότητι τοῦ πάθους τὴν συγγνώμην μνηστεύων. T.C.V.

226, 23. ὃ μέν ἐστι πρὸς ἡδονὴν] ὅπερ ἐστὶν ἡδύ.

226, 24. λοιπὸν ἐμοὶ] δέδοται δηλονότι.

226, 25. κἂν μὲν εὐλαβούμενος] φοβούμενος. P. εἰς σκέψιν ἀπορῶν ἄγει τὸ πρᾶγμα, καὶ μονονοὺ λέγει, τί ποιήσομεν; εἰ ἀνάγκῃ ἀποληφθεὶς φεύγω τὸ λέγειν περὶ ἐμαυτοῦ—ἠθικώτατα γὰρ οὐκ εἶπεν ἐπαινεῖν ἐμαυτὸν, ἀλλὰ λέγειν ἁπλῶς—, τί τὸ συμβαῖνον; ἁλώσομαι τῇ σιωπῇ, καὶ δόξει μὲν ἐψεῦσθαι Κτησιφῶν, ἐγὼ δὲ οὐχὶ ἕξω δι' ὅπερ τιμηθήσομαι λέγειν. T.C.V.

τοῦτο] τὸ φορτικὸν δόξαι.

τὰ πεπραγμένα] τὰς πράξεις μου.

226, 26. ἔχειν] δύνασθαι καταλῦσαι τὰς κατηγορίας.

226, 27. ἐφ' οἷς] ὧν ἕνεκα δηλονότι.

τιμᾶσθαι] τιμὴν ἔχειν.

226, 28. ἐφ' ἃ] ἰδίᾳ δηλονότι.

πεπολίτευμαι] εἰς τὰ δημόσια.

βαδίζω] ὅτι οὐκ ἔδει ἐν τοῖς προοιμίοις τροπικῇ εὐθὺς χρήσασθαι λέξει. λέγομεν ὅτι οὐδὲν ἄτοπον, ὁπότε καὶ Αἰσχίνης ἐχρήσατο ἐν τῷ πρώτῳ προοιμίῳ, παρασκευὴν εἰπὼν καὶ παράταξιν. ὁ δὲ ῥήτωρ

1. ὑπόνοιαν Wolfius pro μή.
παρεμβάλλῃ] παρεμβάλῃ T.
σιωπήσας τὴν ῥῆσιν Wolfius pro σιωπῆσαι τὴν φύσιν.
8. φεύγω] Legebatur φύγω.
γὰρ] δὲ C.G.
9. ἐκ περιουσίας add. Wolfius.

ἐνταῦθα οὐκ εἶπε ταύτην ἐν πρώτῳ προοιμίῳ, ἀλλ' ἐν τελευταίοις τοῦ δευτέρου. A.

τινὲς ἐμέμψαντο ὡς τροπικὴν ἐν προοιμίοις οὐ καλῶς κειμένην τὴν λέξιν. ἀλλ' οὔτε ἐν πρώτῳ προοιμίῳ ἐστὶν, ἀλλ' ἐν τελευταίοις τοῦ δευτέρου, οὔτε ἀπεξενωμένη καὶ ἀπόκριτος, ὡς Αἰσχίνης ἐχρήσατο ἐν τῷ προοιμίῳ, παρασκευὴν εἰπὼν καὶ παράταξιν, ἀλλὰ προσεχὴς καὶ μᾶλλον ἁρμόττουσα. εἰ γὰρ δὴ οἶμος ἡ ὁδός ἐστι, καὶ τὸ προοίμιον ὡς ὁδὸς τοῦ παντὸς λόγου, οὕτω κέχρηται, οὐκ ἀλλότριον ὡς πρὸς ὁδὸν τὸ βαδίζειν. T.C.V.

226, 29. λέγειν] ἤγουν ἐπαινεῖν.

227, 1. πειράσομαι οὖν] ἡ ἀπόδοσις. A.T.C.P. ἤγουν περὶ ἐμαυτοῦ λέγειν.

πειράσομαι μὲν οὖν] σημείωσαι· τοῦ Θεολόγου. B.

μετριώτατα] συμμέτρως. περισσὸν δὲ τὸ ὡς.

227, 3. ἔχειν] ἐγκαλεῖσθαι δηλονότι.

τοιοῦτον ἀγῶνα] ὑβριστικὸν ἀγῶνα κατ' ἐμοῦ στησάμενος.

227, 4. οἶμαι δ' ὑμᾶς] τρίτον προοίμιον. A.B.S.

οἶμαι δ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι] τὸ τρίτον προοίμιον ἐργαζόμενος πάντας τῆς αὐτοῦ γνώμης γενέσθαι παρασκευάζει, ἵνα ἕκαστος μὴ ὡς ἀνόητος δοκῇ. συνετῶς δὲ οὐ πάνυ χωρίζει τὸν Κτησιφῶντα, ἀλλὰ τὸ ἴσον τοῦ ἀγῶνος πρὸς αὐτὸν μερίζεται. T.C.V.

227, 5. ὁμολογῆσαι] τὰ ὅμοια εἰπεῖν.

227, 6. οὐδὲν ἐλάττονος] ἀλλὰ ἀξιοσπουδαστότερον ἐμοὶ μᾶλλον τοῦ Κτησιφῶντος.

227, 7. πάντων] τῶν πραγμάτων δηλονότι. P. κατασκευὴ τοῦ προοιμίου. A.T.C.P.

227, 9. μάλιστα δὲ] ἔστι λυπηρόν.

3. τροπικὴν Wolfius pro τροπήν.

4. πρώτῳ add. Wolfius, qui τῷ πρώτῳ scripsit, pariterque ἐν τοῖς τελευταίοις.

5. ἀπεξενωμένη Wolfius pro ἀποξενώμενος.

ἀπόκριτος] *Aspera, dura.* WOLF.

ὡς] οἷα Wolfius.

6. προσεχὴς καὶ μᾶλλον ἁρμόττουσα Wolfius pro προσεχῶς μᾶλλον ἁρμόττουσαν.

11. ἡ om. P.

13. τοῦ Θεολόγου] Gregorii Nazianzeni, cujus verba quædam in mente habuit scholiasta hic ut in annotatione iisdem verbis concepta ad p. 722, 12. et τοῦ Θεολόγου ὅμοιον in annotatione ad p. 413, 10.

25. κατασκευὴ] ἔστι δὲ κατασκευὴ P.

227, 10. φιλανθρωπίας] ἀποστερεῖσθαι δηλονότι.

227, 11. περὶ τούτων] ὧν εἴρηκα δηλονότι. ἔστι δὲ ἀπόδοσις.

227, 12. ἀξιῶ καὶ δέομαι πάντων] κρᾶσις ἀξιώματος καὶ οἴκτου γεγένηται. τὸ μὲν ἀξιῶ τὸ δίκαιον νομίζω ὑπολάβοι ἄν τις, τὸ δὲ δέομαι σαφῶς τὸ ἱκετεύω δηλοῖ, ὥστε διὰ μὲν τοῦ ἀξιῶ φυλάττει τὸ φρόνημα, διὰ δὲ τοῦ δέομαι θηρεύει τὸν ἔλεον. T.C.V.

ὁμοίως] καθὼς ἠκούσατε τὸν κατήγορόν μου.

227, 13. ἀπολογουμένου] τί οὖν, ὅτι οὐ καλῶς συγκρίνεις τὸ δίκαιον; T.C.V.

δικαίως] κατὰ τοὺς νόμους.

ὥσπερ οἱ νόμοι κελεύουσιν] οἷς οὐδεὶς ἂν μαχέσαιτο καὶ ἀντείποι ὅτι διεσφάλησαν. εἰπὼν δὲ περὶ τῶν νόμων τῇ προσηγορίᾳ τοῦ Σόλωνος τοῦ τεθεικότος αὔξει καὶ πρεσβεύει τοὺς νόμους. T.C.V.

227, 15. δημοτικὸς] ὁ τὴν ταυτότητα τοῦ δήμου ἀγαπῶν.

227, 17. οὐκ ἀπιστῶν ὑμῖν, ὥς γ' ἐμοὶ φαίνεται] ἴσως τὰ αὐτὰ τῷ δήμῳ φρονῶν. P. ἀρρήτῳ τέχνῃ τὸ δοκοῦν ἀληθὲς εἰς τὸ ἑαυτῷ δοκοῦν μετεβίβασεν· οὐ γὰρ ἀπιστῶν, φησίν, ὑμῖν, ἀλλ' ὡς δεδιὼς μὴ ἐπιορκήσητε προκατασχεθέντες ταῖς τοῦ κατηγόρου διαβολαῖς. T.C.V.

227, 19. οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν] προσφόρως εἶπε τὸ παρελθεῖν, ὡς ἐπὶ δρομέων λαβών. οὐ γὰρ ὁ προδραμὼν καὶ φθάσας νικῆσαι δίκαιος, ἀλλ' ὁ δεύτερος ἐπελθὼν καὶ παρελθεῖν δυνάμενος· εἴη δ' ἂν οὗτος ὁ φεύγων. T.C.V. τοῦτο οὐ τοῦ παντὸς λόγου, ἀλλὰ τοῦ κεφαλαίου προοίμιον· μέλλων γὰρ εἰσβάλλειν εἰς τὸ κεφάλαιον, τὸ, ὅτι οὐ δύσνους, εἰκότως εὔνοιαν πάλιν αἰτεῖ δοθῆναι αὐτῷ, ἵνα πείσῃ τοὺς δικαστὰς ὅτι θαρρεῖ ταύτῃ. B.F.Y.R.S.P.

227, 23. κοινὸν] ἐπὶ ποιότητος.

227, 24. διάγνωσιν] γράφεται διαγνώμην Ἀττικῶς.

μέλλων δὲ τοῦ τε ἰδίου βίου παντὸς] τέταρτον προοίμιον. T.C. προοιμιακὸν ἐνθύμημα εἰς τοὺς ἀγῶνας ἐμβάλλον, ἀλλ' οὐ σαφῶς προοίμιον, ὡς δηλοῖ καὶ τὸ σχῆμα τοῦ λόγου. τὸ γὰρ μέλλον δηλοῖ

2. ἔστι δὲ ἀ.] ἡ ἀ. T.C.

8. τί οὖν ὅτι οὐ καλῶς συγκρίνεις] Quid si σὺ κρίνεις; Sed ne sic quidem video quorsum ista pertineant. WOLF.

13. τοῦ post Σόλωνος add. Wolfius.

30. εἰς Wolfius pro ὡς.
ἐμβάλλων C. ἐμβάλλων T.V.

τὸν ἐπιχειρήσοντα καὶ εἰσιόντα εἰς τοὺς ἀγῶνας. προοίμια γὰρ τέσσαρα εἶναι ἀδύνατον, κἂν μανῶσιν οἱ λέγοντες. T.C.V.

μέλλων δὲ τοῦ τε ἰδίου] οἱ περὶ Ἐπιφάνιον καὶ Γενέθλιόν φασιν αὐτὸ τέταρτον προοίμιον· ἓξ γὰρ λέγουσιν εἶναι προοίμια τοῦ λόγου τούτου· τρία μὲν ὑπὲρ ἑαυτοῦ σκηψαμένου τοῦ ῥήτορος, τρία δὲ ὡς 5 ὑπὲρ Κτησιφῶντος βραχέα. A.T.C.P.

ὡς ἔοικε λόγον διδόναι τήμερον] σχετλιάζει πάλιν ἐπὶ τῇ ἐπηρείᾳ τοῦ ἀγῶνος. τοιοῦτο γάρ ἐστι τὸ ὡς ἔοικεν, οὐκ οἶδα ὅπως εἰς τὴν ἀνάγκην ταύτην, ὡς ὁρᾶτε, κατακέκλεισμαι. ἰστέον δ' ὡς ἐν μὲν τῷ πρώτῳ προοιμίῳ ἀπαιτεῖ δοθῆναι αὐτῷ ἄδειαν ἀπολογεῖσθαι ὡς βού- 10 λεται, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς πολιτείας παρακαλεῖ. κἀκεῖνο δὲ θαυμάσαι ἄξιον τοῦ ῥήτορος—ἐπῆλθε γάρ μοι καὶ τοῦτο—, ὅτι αὐτὸς μὲν πᾶσι τοῖς δικασταῖς καὶ πάσῃ τῇ πόλει δοθῆναι παρὰ τῶν θεῶν τὴν εὔνοιαν εὔχεται, αὐτὸς δὲ παρ' αὐτῶν εἰς μέσον τὸν ἀγῶνα αἰτεῖ τὴν εὔνοιαν. T.C.V. 15

227, 27. καθάπερ ἐν ἀρχῇ] τοῦ προοιμίου. P. ἰστέον ὅτι τῇ ταυτότητι ἐχρήσατο τοῦ ἐπιχειρήματος τοῦ ἐν τῷ πρώτῳ προοιμίῳ. εἴωθε γὰρ ὁ ῥήτωρ τοῖς ἰσχυροῖς πολλάκις κεχρῆσθαι. A.H.R.T.P.

227, 28. ἐναντίον] ἔμπροσθεν.

228, 1. τοσαύτην] ἡ ἀπόδοσις. R.P. 20

228, 2. συνοίσειν] λυσιτελήσειν.

228, 4. παραστῆσαι] ἤγουν τῇ ὑμετέρᾳ δόξῃ καὶ ὑπολήψει ἐμβαλεῖν.

228, 5. εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον] ἐντεῦθεν εἰσάγει τὰ παραγραφικά, τὴν γραφὴν αἰτιώμενος· καὶ ἔστιν ἀπὸ τοῦ τρόπου 25 τοῦτο. μέμφεται γὰρ τῆς κατηγορίας τὸν τρόπον, ὅτιπερ οὐκ ἔστησεν ἄχρι τοῦ προβλήματος τὴν μέμψιν, ἀλλὰ πρὸς τούτοις πλείονα λόγον περὶ τῶν ἄλλων καὶ τῶν ἐκτὸς ἐποιήσατο. T.C.V.

5. σκηψαμένου] σκεψαμένου P. In A. scholion hoc partim detritum est.

ὡς præsectum in T. om. A.C.

6. βραχέα add. A. ... αχέως T. ταχέως C. om. P.

7. πάλιν] κάνταῦθα add. C.G.

14. τὴν εὔνοιαν εὔχεται] εὔχεται τὴν εὔνοιαν V.

αὐτὸς] αὐτῷ Wolfius.

μέσον] μόνον Wolfius.

17. τοῦ ἐν τῷ α' προοιμίῳ A.H.R. αὐτοῦ τὰ προοίμια T.P.

26. ὅτιπερ] διόπερ Wolfius.

27. τούτοις add. Wolfius. "Sensus est, adversarium non contentum ipsius criminis tractatione plura præter rem quam ad rem dixisse." WOLF.

εἰ μὲν οὖν] τοῦτο οὐ προοίμιον, ὥς τινες ἔφασαν, ἀλλ' ἀντιπίπτοντος ἀναίρεσις. ὃ καὶ ἐν τῷ προοιμίῳ τοῦ κατὰ Ἀριστοκράτους πεποίηκεν. A.F.Y.R.P. ἔστι δὲ κατά τινας τόδε τὸ πέμπτον προοίμιον. A.P.

228, 7. προβουλεύματος] προβούλευμα καλεῖ τὸ ψήφισμα τοῦ Κτησιφῶντος, ἐπειδήπερ ἤδη ἐκυρώθη ἐν τῇ βουλῇ καὶ ἐπῄνεσαν τὸν Δημοσθένην ὡς ἄξιον ὄντα στεφανωθῆναι. A.H.R.T.P. 5

228, 8. οὐκ ἐλάττω] τοῦ προτέρου.

λόγον] ἐξέτασιν.

τἄλλα] τὰ περὶ ἐμέ. 10

228, 11. τοῖς ἔξωθεν λόγοις] ταῖς ἀτιμίαις, τοῖς ὑβριστικοῖς λόγοις ἐκείνοις.

228, 12. ἀλλοτριώτερον] ἐξωτερικώτερον.

γραφῆς] κατηγορίας.

228, 13. περὶ μὲν δὴ τῶν ἰδίων] κατασκευὴ τοῦ προοιμίου. A.T. C.P. ἐντεῦθεν εἰς τὸ δίκαιον εἰσβάλλει κεφάλαιον. B.F.R.Y.P. δηλοῦσι μὲν καὶ αἱ λέξεις τῶν εἰρημένων τὴν ἀσθένειαν· λοιδορίας γὰρ καὶ αἰτιάσεις ἐκάλεσεν. ἀλλὰ μὴν καὶ τὸ βλασφημεῖν οὐκ ἀξιόπιστον· ἐγγὺς γὰρ αὐτὸν τῶν θείων ἐποίησεν· βλασφημοῦσι γὰρ εἰς τοὺς κρείττονας. τὸ δὲ περὶ τῶν ἰδίων, ὅτι Σκύθης καὶ δυσγενὴς καὶ τὸν βίον αἰσχρός. σαφῶς δὲ παραιτεῖται λέγειν· οὕτω γὰρ φιλεῖ πανταχοῦ μὴ διαρρήδην τὰς καθ' αὐτοῦ διαβολὰς μηνύειν. T.C.V. 15 20

τῶν ἰδίων] τῶν ἐμαυτοῦ.

λοιδορούμενος] ἀντὶ τοῦ λοιδορῶν.

228, 17. ὑπέρευ] λίαν καλῶς, ὑπερβαλλόντως. 25

228, 19. τούτου] τοῦ Αἰσχίνου.

βελτιόνων] γονέων δηλονότι.

228, 20. τῶν μετρίων] ὀλίγων, ταπεινῶν.

1. ἔφασαν om. S.

3. ἔστι—τὸ om. A.

5. π. καλεῖ] προβούλευμα τὸ ὑπὸ τῆς βουλῆς ψηφισθὲν, πρὶν εἰς τὸν δῆμον εἰσενεχθῆναι. καλεῖ δὲ προβούλευμα—, P. quæ ex Suida s. v. προβούλευμα interpolata sunt.

6. ἤδη om. H.R.

18. οὐκ add. Wolfius, nisi ἀξιόπιστον in ἀξιωματικόν mutandum sit.

19. αὐτὸν C. αὐτὸν T.V. αὐτῶν, addito post ἐποίησεν vocabulo αἰσχρῶς, Wolfius.

21. Post αἰσχρὸς, quod Wolfius in ἀσελγής mutavit, deleto σαφῶς δὲ, aliquid excidisse videtur.

22. καθ' αὐτοῦ Wolfius pro κατ' αὐτοῦ.

228, 21. τοὺς ἐμοὺς] γονεῖς.

ὑπειλήφατε] τὸ ὀχυρώτερον ἐπήγαγε δεύτερον· τὸ μὲν γὰρ ἀμφίβολον, τὸ δὲ ὁμολογούμενόν τε καὶ βέβαιον. T.C.V.

228, 23. ἐπλάττετο] ἐψεύδετο.

228, 24. ἐνδέδειχθε] ἐνεδείξασθε. 5

ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον] δεινῶς ἄγαν, οὐχ ὡς διὰ φαυλότητα κρινόμενος, ἀλλ' ὡς ἐπιφθόνως πολιτευόμενος, οὕτω τοῦτο εἴρηκε. T.C.V.

228, 26. παράσχεσθε] παράδοτε.

κακοήθης] κακότροπος. P. ἡ ἀπόδοσις. A.T.C. 10

228, 27. εὔηθες] ἀφελές.

228, 29. τρέψεσθαι] κατ' ἐμοῦ δηλονότι.

229, 1. τετύφωμαι] μαίνομαι, ἀπὸ τοῦ Τυφῶνος τοῦ δαίμονος· ἢ ἀπὸ τοῦ τύφεσθαι καὶ καπνίζεσθαι, ἐξ οὗ τὸ σκοτίζεσθαι. B.F.Y.P.

ἀλλ' ὑπὲρ μὲν τῶν πεπολιτευμένων] φεύγει μὲν τὰ ἴδια δι' ἣν 15 αἰτίαν εἴπομεν· τὰ δὲ εἰς τὸ κοινὸν αὐτῷ πεπραγμένα ἔνθα εὐδοκιμεῖ, βούλεται ἐξειπεῖν. τὸ δὲ ἐξετάσω θαυμαστὴν ἔχει τὴν ἀξίαν· δικαστοῦ γὰρ ὑποκρίνεται τάξιν. T.C.V.

229, 3. πομπείας] τῆς λοιδορίας, διὰ τὸ ἐν ταῖς πομπαῖς κωμῳδεῖν ἀλλήλους. B.F.Y.R.S.P. λοιδορίας, ὕβρεως. A. τῆς χλεύης 20 τῆς περὶ τὸν βίον. ἤδη γὰρ ἔγνωμεν ὡς ὅτι ἐν ταῖς πομπαῖς προσωπεῖά τινες φοροῦντες ἀπέσκωπτον τοὺς ἄλλους, ὡς ἐν ἑορτῇ παίζοντες, ἐπὶ ἁμαξῶν φερόμενοι. ὅθεν καὶ ἡ παροιμία ἐξ ἁμάξης με ὕβριζεν. A.H.R.T.C.P.

ἀνέδην] ἀθρόας τε καὶ σφοδρᾶς. B.S.P. ἐὰν μὲν διὰ τῆς δι- 25 φθόγγου γράφηται, τῆς ἀναισχύντου δηλοῖ· ἐὰν δὲ διὰ τοῦ ε, ὅπερ καὶ βέλτιον, τῆς πολλῆς, ἀπὸ τῆς ἀνέσεως. A.R.T.C.P.

229, 4. ἂν βουλομένοις ᾖ τουτοισὶ] ἂν ἄρα βούλωνται ἀκούειν. P. καίτοι πάντες τούτων ἡδέως ἀκούουσιν· ἀλλ' ὡς προτρεπόμενος αὐτοὺς ἐπικρατεῖν τοῦ πάθους· ἅμα δὲ καὶ θηρᾶται πάλιν τῶν καθημένων 30 τὴν εὔνοιαν, ᾗ τῇ ἐκείνων γνώμῃ ἀκολουθεῖν ἐπαγγέλλεται. T.C.V.

6. δεινῶς Wolfius pro δεινός.
15. δι' ἣν Wolfius pro δι' ἃ τήν.
17. ἀξίαν Wolfius pro αἰτίαν.
19. ταῖς om. R.
26. δηλοῖ R. λέγει ceteri.
27. ἀπὸ A.R. ἐκ ceteri.
31. ᾗ Wolfius pro εἰ.

229, 5. τὰ μὲν οὖν κατηγορημένα] ἕκτον προοίμιον. καὶ ἐνταῦθα δύο προτάσεις. ἡ πρώτη "τὰ μὲν οὖν κατηγορημένα," ἡ δευτέρα "τοῦ δὲ παρόντος ἀγῶνος." A.R.T.C.P. ἐν τούτοις τοῖς ῥητοῖς ἀσάφειά ἐστι πολλὴ, ἐπειδήπερ οὐκ ἀκολουθεῖ ὁ νοῦς τοῖς κειμένοις. εἰσὶν οὖν δύο προτάσεων θέσεις, εἶτα αἱ δύο λύσεις ἑξῆς. ὅρα τοίνυν 5 οὕτως, "τὰ μὲν οὖν κατηγορημένα πολλά·" ἰδοὺ μία πρότασις· ἡ δὲ πρὸς ταύτην ἀπάντησις "τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν "τῶν εἰρημένων·" ἵνα γένηται οὕτως ὁ νοῦς, πολλὰ μὲν κατηγόρησε καὶ μέγιστα κακὰ, τούτων δὲ δίκην λαβεῖν διὰ τὸ μέγεθος οὐχ οἷόν τε. καὶ τοῦτο μὲν οὕτως. λάβωμεν δὲ καὶ τὴν ἑτέραν πρότασιν. 10 ἔστι δὲ "τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη·" σύναψον αὐτῇ τὸ δεύτερον ἐπιχείρημα, ὅ ἐστιν "οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ·" ἵνα γένηται τὸ σαφὲς οὕτως, ἡ προαίρεσις καὶ ἡ φύσις τοῦ ἀγῶνος ἀνδρὸς φθονεροῦ τυγχάνει καὶ πονηροῦ καὶ βασκάνου. T.C.V. 15

ἐπὶ τὸ ἕτερον μεταβαίνει δίκαιον, τὸ τῆς πολιτείας, καὶ εὐθέως αὔξει τὰ ἀδικήματα καὶ μεγαλύνει τῷ λόγῳ. B.F.Y.R.S.P.

229, 8. ἐπήρειαν] ἐπίθεσιν.

229, 10. τῶν μέντοι κατηγοριῶν] πρῶτον μεταληπτικὸν ἀπὸ τοῦ καιροῦ. B.Y.R.S.P. 20

229, 11. αἰτιῶν] μέμψεων.

229, 13. οὐδ' ἐν ἐπηρείας] οὐδὲ δεῖ δηλονότι ἐπιθέσεως.

229, 15. ὀρθῶς ἔχον] ἀληθές ἐστι.

πολιτικὸν] δημοτικόν.

229, 18. ἡλίκα] ὁποῖα μετὰ πάθους ἔλεγε. 25

ἐτραγῳδει] ἢ διὰ τὸν ὄγκον ὃν προσετίθει τοῖς πράγμασιν, ὡς ἄξια τραγῳδίας φαίνεσθαι, ἢ ὅτι διαβάλλει τὴν τέχνην αὐτοῦ· ἦν γὰρ ὑποκριτής. T.C.V.

229, 19. παρ' αὐτὰ] πλησίον.

3. ἐν τούτοις τοῖς ῥητοῖς] Obscurior est interpretatio ipso auctore. WOLF.

5. θέσεις] ἀντιθέσεις Wolfius.

6. ἡ δὲ πρὸς ταύτην ἀπάντησις] Subjicienda verba videntur: οὐκ ἔνι δήπου τῇ πόλει δίκην ἀξίαν λαβεῖν. aut: οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ. WOLF.

11. σύναψον T. καὶ σύναψον C.V.

18. ἐπίθεσιν] In Less. est scholion ex Suidæ glossa conformatum, ἐπήρεια κυρίως ἡ ἐν τῷ πολέμῳ ἀπειλὴ καὶ καταδρομή. ἐκ τοῦ Ἄρης ἄρεια, καὶ μετὰ τοῦ ἐπί ἐπήρεια.

19. πρῶτον om. B.S.P.

229, 20. εἰ μὲν εἰσαγγελίας] δεύτερον μεταληπτικὸν ἀπὸ τοῦ τρόπου. B.Y.R.S.P. ἐνταῦθα φανερώτερον ἔδειξε τὰ παραγραφικά, τό τε ἀπὸ τοῦ τρόπου καὶ τὸ ἀπὸ τοῦ χρόνου. T.C.V.

229, 21. εἰς κρίσιν] παραγαγεῖν ἐμὲ εἰς ἡμᾶς ἐπὶ τὸ κριθῆναι.

229, 24. ἐμὲ δ', εἴπερ] τὸ σχῆμα ἐπαναστροφή· γίνεται δὲ, ὅταν τὸ τέλος τοῦ κώλου ἑτέρου κώλου τις ἀρχὴν ποιήσηται· ἔστι δὲ τῶν καλλωπιζόντων. B.F.Y.P. ἀντὶ τοῦ ἐμὲ αὐτὸν ἀδύνατον ποιῆσαι ἐν ταῖς ἀποκρίσεσιν. P. ἐμὲ ἀντὶ τοῦ αὐτὸν ἐμέ. A.

229, 26. ὁτιοῦν ἀδικοῦντά με] παραγραφικὸν ἀπὸ τρόπου· διὰ τί εἰδὼς μείζονα ἀδικοῦντα ἥττονα κατηγορεῖς νῦν; ἰστέον δὲ ὡς ὅτι πολὺ τὸ παραγραφικόν ἐστιν ἐν τῷ λόγῳ τούτῳ. εἰσὶ γάρ τινες τῶν ὑπομνηματιστῶν εἰρηκότες ὡς ὅτι ἠριθμήσαμεν τὸ παραγραφικὸν καὶ εὕρομεν αὐτὸ εἰς οβ' κείμενον. A.H.R.T.C.P.

229, 29. ἐπιτίμια] κολάσεις.

τούτοις] νομίμοις τιμωρίαις.

230, 2. ὡμολογεῖτο] ἀποδεδειγμένη καὶ φανερά.

230, 5. ἐλέγχους] ἤγουν τοὺς ἐμπράκτους λόγους, τὰς ἀποδείξεις.

230, 6. συμφορήσας] συναγαγών. A.T.P.

ὑποκρίνεται] ἀντὶ τοῦ ψευδῶς κατηγορεῖ. ὑπόκρισις γάρ ἐστιν ἡ προσποίησις ἡ ἐκτὸς οὖσα τῆς ἀληθείας. A.T.C.P. ἢ διὰ τὴν τέχνην σκώπτει καὶ νῦν, ἢ ὑποκρίνεται εἶναι κατήγορος, ταῖς ἀληθείαις οὐκ ὤν. εἶτα ἡ ἀπόδειξις, κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονὶ Κτησιφῶντα. T.C.V.

230, 7. εἶτα κατηγορεῖ] τρίτον μεταληπτικὸν ἀπὸ τοῦ προσώπου. B.Y.R.S.P.

230, 9. προΐσταται] προφασίζεται, προβάλλεται.

ἐπὶ ταύτην] τὴν κατηγορίαν.

230, 10. ἐπιτιμίαν] ἀξίωμα, τιμήν.

230, 14. ἐφ' ἡμῶν αὐτῶν] μονομερῶς.

230, 17. δώσομεν] δέον εἰπεῖν δώσεις εἶπε δώσομεν, οὐχ ὅτι ὡς

1. δεύτερον om. B.S., post μεταληπτικὸν habet P.

13. εἰς add. R., om. ceteri.

21. προσποίησις] ποίησις T.P.

22. κατήγορος Wolfius pro κατηγορεῖν.

24. Κτησιφῶντα Wolfius pro προσιόντα.

25. τρίτον ego addidi. Conf. schol. ad p. 229, 10. et 20.

31. ὡς om. T.C.P.

καὶ αὐτοῦ τοῦ Δημοσθένους κακόν τι ποιῆσαι τῷ Κτησιφῶντι βουλομένου, ἀλλ' ὡς ἄλλου λέγοντος περὶ ἀμφοῖν, περί τε αὐτοῦ καὶ τοῦ Αἰσχίνου. A.H.R.T.C.P.

230, 18. πάντα μὲν τοίνυν] ἕως ὧδε ἐπλήρωσε πάντα τὰ προοιμιαστικά, χωρεῖ δὲ ἐντεῦθεν ἐπὶ τὸ δίκαιον κεφάλαιον. διήγησιν γὰρ 5 οὐκ ἔχει ὁ λόγος καθαρῶς. A.B.T.C.V. συνεπέρανεν ὅλα τὰ παραγραφικά· καὶ λοιπὸν ἐπὶ τὸ δίκαιον κεφάλαιον χωρεῖ.

ἐκ τούτων] ὧν εἶπον.

230, 19. ἐπ' ἀληθείας] κατ' ἀλήθειαν.

230, 20. βούλομαι δὲ καθ' ἓν] θαρροῦντός ἐστιν ἄγαν τὸ βούλε- 10 σθαι καὶ κατὰ μέρος ἐξετάζειν τὰ πράγματα. T.C.V.

αὐτῶν] τῶν πραγμάτων λεπτομερῆ ἐξέτασιν ποιῆσαι.

230, 23. ἀνατιθεὶς] ἐπιφορτίζων.

230, 24. ἴσως] ὁμοίως.

230, 27. τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου] σημείωσαι· τὸ 15 σχῆμα καθ' ὑποστροφήν. B.P. τινὲς μὲν τοῦτο κατάστασιν εἶναι βούλονται, οὐκ ὀρθῶς· ἔστι δὲ διήγησις ἀποδεικτική, τύπῳ μόνον τοῦ πλαγιασμοῦ πρὸς κατάστασιν νεύουσα, οὐ μὴν τοῖς πράγμασιν. βούλεται τοίνυν ἀποδεῖξαι ὅτι αὐτὸς οὔτ' ἐγενόμην αἴτιος τοῦ ποιῆσαι τὴν εἰρήνην οὔτε τὸ μετὰ κοινοῦ συνεδρίου γενέσθαι ἐκώλυσα. 20 B.H.R.S.Y. ἐνόμισάν τινες τὸ χωρίον τοῦτο εἶναι διήγησιν. οὐκ ἔστι δέ. πόθεν δὲ δῆλον; λέγομεν ὅτι ἀντιθέσεις τινὰς εἰσάγει ἐν τούτῳ καὶ ἀγῶνας· ὅπερ οὐκ ἔχει ἡ διήγησις. A.H.R.T.P. καὶ τοῦτο τινὲς ᾠήθησαν εἶναι κατάστασιν, τῷ διηγηματικῷ τύπῳ δελεασθέντες· ἀλλ' ἡ μὲν κατάστασις οὐκ ἔσχε χώραν, ἵνα μὴ καταναλώσωμεν τὰς 25 πράξεις ἐν ἐκθέσει ψιλῇ, χρήζοντες ἐν τοῖς ἀγῶσιν αὐτῶν. ἔπειτα εἰ ἡ κατάστασις τοῦτο ἦν, ὡς ᾠήθησαν, τοῦ χάριν πρὸ τῶν παραγραφικῶν οὐκ ἐτίθετο, τοῦτο ἀπαιτούσης τῆς τάξεως; ἔστιν οὖν τὸ δίκαιον κεφάλαιον διηγηματικῶς εἰσηγμένον, λῦον μεταληπτικῶς τὰ ἐγκλή-

2. τοῦ om. A.T.C.P.

10. βούλεσθαι] βουλεύεσθαι T.V.

16. μὲν om. S.

17. τύπῳ μόνον τοῦ Sauppius pro καὶ τύπου μόνου καί. In S. est τύπου (ab eadem manu in τύπῳ mutatum) μόνῳ καὶ πλαγιασμῷ, tribus fere ante τύπου literis erasis, quæ haud dubie καὶ fuerunt.

19. οὔτ' ἐγενόμην—τὴν εἰρήνην Sauppius pro οὐκ ἐγενόμην—οὔτε τὴν εἰρήνην.

26. εἰ om. T.V.: habet C., qui ἡ om.

ματα. ἀνύει δὲ ἐκ περιδρομῆς καὶ χρήσιμον ἕτερον· δείκνυσι γὰρ ὅτι-περ οὐκ ἔστι φιλοπόλεμος, εἴ γε καὶ πρὸ τῆς αὐτοῦ πολιτείας συνε-κροτοῦντο παρὰ τοῖς Ἕλλησι πόλεμοι. T.C.V.

230, 28. *δι' ἐμὲ*] *οὐ διὰ τὴν ἐμὴν συμβουλήν.*

ἐπολιτευόμην] *τὰ τῆς πόλεως ἐνήργουν.* 5

πω τότε] *παρέλκεται τὸ πω χάριν τοῦ κώλου μόνον.* A.R.T.P.

230, 29. *οὕτω διέκεισθε*] *τοιαύτην ὁρμὴν γνώμης εἴχετε.*

231, 1. *καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες*] *ἵνα μὴ δοκῇ κοι-νωνεῖν τῇ ἱεροσυλίᾳ ἡ πόλις, εἶπεν οὐχὶ δίκαια, ὅτι ἐπιχαίρειν ᾤοντο δεῖν τοῖς Θηβαίοις· καὶ ἡ αἰτία τῇ φύσει τῶν Ἀθηναίων ἀκό-* 10 *λουθος, ὅτι πόλιν Ἑλληνίδα καὶ σεμνὴν πανωλεθρίᾳ διαφθείρειν ἐσπούδαζον, ἀμετρίᾳ τὴν νίκην ὑβρίσαντες.* T.C.V.

231, 2. *ἐφησθῆναι*] *εὐφρανθῆναι.*

231, 3. *ὀργιζόμενοι*] *ὑμεῖς οἱ Ἀθηναῖοι.*

οἷς γὰρ εὐτυχήκεσαν] *σημείωσαι· ἐπίκρισις.* B. 15

231, 4. *οὐ μετρίως ἐκέχρηντο*] *ἀλλὰ ἐπόρθησαν.*

231, 5. *διειστήκει*] *ἤγουν ταῖς γνώμαις διεμερίσθη.*

231, 7. *δι' ἐκείνων*] *τῶν Λακεδαιμονίων.*

231, 8. *ἄκριτος*] *πολλή.*

231, 14. *παρεσκευάζετο*] *παρασκευὴν πολέμου ἐποίει.* 20

231, 15. *πολέμου*] *τοῦ πρὸς Λακεδαιμονίους.*

βαρεῖς] *διὰ τὸ ἀλαζονεύσασθαι ἐπὶ τῇ κατὰ τῶν Λακεδαιμονίων ἐν Λεύκτροις νίκῃ.*

231, 18. *αἱ πόλεις*] *αἱ Ἀθῆναι καὶ Θῆβαι δηλονότι.*

231, 19. *βοήθειαν*] *κατὰ Λακεδαιμονίων.* 25

231, 20. *συνηγωνίσατο*] *ἐβοήθησεν.*

231, 27. *συνελάμβανον*] *συνεφήπτοντο, συνεκοινώνουν καὶ ἐβοή-θουν. ὤφειλε δὲ παθητικῶς· τὸ γὰρ ἐνεργητικὸν ἐπὶ τῆς συλλαμβα-νούσης γυναικὸς, καὶ ἐπὶ τοῦ φυγόντος ὁπόταν συλληφθῇ.*

231, 29. *διὰ ταῦτα*] *ἅπερ εἶπον.* 30

232, 1. *τὰ δὲ τούτων ἀδικήματα*] *ἦλθεν ἐπὶ τὸ ἀντεγκαλεῖν, τὴν αἰτίαν ἀποσεισάμενος.* T.C.V.

1. *ἀνύει δὲ ἐκ περιδρομῆς*] *E circuitu, παρέργως, obiter.* F. *ἐκ περι-τροπῆς, per inversionem.* WOLF.

6. *χάριν*] *πρὸς χάριν* A.

11. *πόλιν Ἑλληνίδα*] Id est *τὴν Σπάρτην οἱ Ἕλληνες.* WOLF.

15. In P. *ἐπίκρισις* ante *ἵνα μὴ* lin. 8.

232, 2. ἐν αὐτῇ] τῇ εἰρήνῃ.

232, 4. ὑπὲρ τῆς ἀληθείας] ἤγουν ὑπὲρ τῆς δείξεως τῆς ἀληθείας.

232, 6. οὐδέν ἐστι πρὸς ἐμὲ] οὐχ ἅπτονται ἐμοῦ, οὐκ ἐξ ἐμοῦ γεγόνασιν. 5

232, 9. γράψας] ψηφισάμενος.

232, 11. ὁ Ἀγνούσιος] ἀπὸ δήμου.

ὁ σὸς, Αἰσχίνη] ἀποστροφή.

232, 12. συνειπόντες] συνηγορηκότες.

232, 14. οὐδαμοῦ] συνεῖπον δηλονότι. 10

232, 18. κεκωλυκὼς εἴην] ἀντὶ τοῦ ἐκώλυσα.

232, 20. εἶτ' ὦ—τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι;] διὰ τῆς ἀπορίας δείκνυσι τῆς πονηρίας τὸ μέγεθος, ὡς οὐ δυνάμενος δῆθεν δι' ἑνὸς ὀνόματος δηλῶσαι τὰ πάντα πονηρεύματα προσόντα τῷ Αἰσχίνῃ· ὡς ἂν εἰ ἔλεγε· κἂν δωροδόκον εἴπω, οὐχ ἁμαρτήσομαι· κἂν συκο- 15 φάντην, εὐλόγως ἐρῶ· κἂν ἄλλο τι, οὐ σφαλήσομαι· ποῖον οὖν εὕρω ὄνομα ἁρμόττον τῇ σῇ φύσει; ὡς γὰρ μὴ εὑρίσκων καὶ σχετλιάζων πρὸς τοῦτο λέγει τὸ, ὦ τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; A.H.R.

232, 21. παρὼν] ἐστὼς δηλονότι.

232, 22. ἐτραγῳδεις] μετὰ συμφορᾶς ἔλεγες. 20

232, 23. διεξῆλθες] ἐδιηγήσω.

232, 25. καὶ μὴν εἰ τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων] δέον εἰπεῖν τῶν συμμάχων, πάντων ὁμοῦ τῶν Ἑλλήνων ἐμνημόνευσεν, ἀπίθανον τοῦ Αἰσχίνου τὸν λόγον ποιῶν. T.C.V.

232, 27. Φιλίππῳ] χάριν τοῦ Φιλίππου. 25

232, 28. διαμαρτύρεσθαι] διδάσκειν.

233, 1. οὔτε γὰρ ἦν πρεσβεία] προσκείμενον τὸ τότε παρέσχεν ἀληθείας ὑπόνοιαν. συμβάλλεται δὲ αὐτῷ καὶ ὁ χρόνος πολὺς παρελθὼν εἰς τὸ δύνασθαι κακουργεῖν. T.C.V.

233, 3. ἐξεληλεγμένοι] ἀποδεδειγμένοι ἐπὶ τῷ στασιάζειν. 30

233, 6. εἰ γὰρ ὑμεῖς ἅμα] διὰ τοῦ ἅμα χώραν ἔχει σοφίσασθαι. ὄντως γὰρ καθ' αὐτοὺς καὶ πρὸς Φίλιππον εἰρήνην ἐσπένδοντο, καὶ τοὺς Ἕλληνας ἠρέθιζον καλοῦντες εἰς πόλεμον. T.C.V.

18. ὦ] ὁ R.

32. γὰρ] Legebatur γὰρ εἰ: unde Wolfius post τὸν πόλεμον addidit ἐπεκηρύσσοντο, non perspecta mente

ἅμα] ἐν τῷ αὐτῷ καιρῷ.

233, 8. Εὐρυβάτου] ποιηροῦ· ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν, ὥς φησιν Ἔφορος, εἶτα μεταβαλομένου ἐπὶ Κῦρον. R.P.

233, 10. τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθε] ἄλλο ἐπιχείρημα λῦον τὸ ἔγκλημα ἀπὸ τῆς φύσεως τῶν πραγμάτων. T.C.V.

233, 11. ἐπὶ τὴν εἰρήνην;] κομματικὸν καὶ διαλεκτικόν. B.

233, 13. οὔτε τῆς ἐξ ἀρχῆς εἰρήνης] τὸ ὁμολογούμενον πρῶτον θεὶς, ᾧ οὐκ ἔστιν ὑπεύθυνος, ἐπάγει λοιπὸν ἐκ τούτου πιστούμενος τὸ ἀμφίβολον. T.C.V.

τῆς ἐξ ἀρχῆς] τῆς ἄνωθεν γινομένης.

233, 17. ἐνταῦθα πάλιν] ἤγουν ἐν τούτῳ τῷ καιρῷ, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο.

233, 18. ἐκ τούτων] τῶν πραγμάτων ἀκριβῶς γνώσεσθε.

233, 19. ὁ Φιλίππῳ πάντα] ὁ βουλόμενος τὸ συμφέρον τῷ Φιλίππῳ.

233, 21. ἔγραψα] ψήφισμα δηλονότι, ἤγουν ἐψηφισάμην συμβουλεύων ἀποπλεῖν τάχιστα.

233, 23. πυνθάνωνται] αἰσθάνωνται.

233, 24. τοὺς ὅρκους] τοὺς ὀφειλομένους.

οὗτοι δὲ] οἱ περὶ τὸν Αἰσχίνην.

233, 26. τί δὲ τοῦτ' ἠδύνατο] τὸ μὴ ποιῆσαι τούτους κατὰ τὸ ἐμὸν ψήφισμα.

234, 2. ἐξελύσατε] ἐπαύσατε τὰς ἑτοιμασίας.

234, 4. ἐπραγματεύετο] ἤγουν ἐσκέπτετο μετὰ πραγματείας καὶ ἐξετάσεως καὶ πολυπραγμοσύνης.

234, 6. βεβαίως] ἀμεταθέτως.

234, 7. προορώμενος] πρὸ τοῦ γενέσθαι βλέπων τῷ νῷ, καὶ ἀναλογιζόμενος.

234, 8. τοῦτο γράφω] τὸ κελεῦον δηλονότι ἀποπλεῖν.

234, 12. διέσυρε] ὡς οὐδὲν ἐτίθει.

scholiastæ, quæ plana fiet comparato Hermogene vol. 3. p. 423.

καθ' αὐτοὺς Wolfius. κατ' αὐτὸν T.C. καθ' αὐτὸν V.

33. καλοῦντες Wolfius pro καλοῦντας.

3. Ἔφορος] εὔφορος R.P. Correxi ex Harpocrat. s. v. Εὐρύβατον.

μεταβαλομένου R. μεταβαλλομένου P.

234, 14. Ἐργίσκην] σημείωσαι· Ἐργίσκη, ὃ λέγουσι νῦν Σεργέντζιν. B.Y.

τοὺς ἐπικαίρους τῶν τόπων] ἰσχυρούς. P. αὔξει τὰ χωρία οὐ τῷ μεγέθει, ἀλλὰ τῇ θέσει. εὐκαίρων γὰρ δεῖται, ὥστε ἐκεῖθεν καὶ ἀμύνασθαι πολεμίους καὶ περιουσίας χρημάτων περιποιεῖν. T.C.V. 5

234, 15. κατασταίη] ἤγουν ἄρξει.

234, 17. τοῖς λοιποῖς] ὑπολοίποις.

234, 18. ψήφισμα] ἤγουν ἐμὸν τὸ περὶ τοῦ ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις τοὺς ὑμετέρους ἐπὶ τὸν Φίλιππον.

234, 20. προσάγειν τοὺς πρέσβεις ᾧμην δεῖν] τοῦ Φιλίππου τοὺς πρέσβεις, ἐλθόντας εἰς τὴν Ἀττικὴν, προσάγειν ἐκέλευσεν ὁ ῥήτωρ τῷ δήμῳ. τοῦτο Αἰσχίνης εἰς φιλιππισμὸν ἐγκέκληκε, τὴν περὶ τοὺς πρέσβεις σπουδὴν διηγούμενος. ὁ δὲ χλευάζει· τοὺς ἐπὶ τούτῳ ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν, οὐκ ἔδει προσάγειν; T.C.V. 10

234, 21. προσάγειν] διέβαλλεν Αἰσχίνης ὡς διὰ τούτων φιλιππίζοντα τὸν ῥήτορα, διά τε τοῦ γράψαι αὐτὸν περὶ τῶν πρέσβεων τοῦ Φιλίππου ὡς ὅτι δεῖ προσελθεῖν τῷ δήμῳ καὶ θέαν αὐτοῖς κατανεῖμαι, ὅ ἐστι καθέδραν αὐτοῖς ἀφορίσαι ἐν τῷ θεάτρῳ προῖκα. δείκνυσι τὸ μὲν τοῦ προσελθεῖν ἀναγκαῖον ὄν, τὸ δὲ περὶ τῆς θέας ὑπάρχον εὐτελές. A.H.R.T.P. 15 20

234, 22. ἥκοντας] λέγει.

θέαν] τόπον εἰς θεωρίαν.

κατανεῖμαι] δοῦναι.

ἀρχιτέκτονα] ὃς ἄρχων τοῦ θεάτρου λέγεται.

234, 24. ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν] δύο γὰρ ὄντων πρέσβεων δύο ἦσαν οἱ ὀβολοί· οὕτως εὐτελὲς ἦν ὃ αἰτιᾶται. ὁ δέ γε Αἰσχίνης τὴν προαίρεσιν ἐγκαλεῖ, οὐ τὸ ἀνάλωμα. T.C.V. 25

ἐν τοῖν δυοῖν ὀβολοῖν] τὸ διώβολον παρεῖχον οἱ θεωροῦντες, ὡς ἤδη ἔγνωμεν. ὥστε οὖν γνωστέον ὅτι οἱ δύο πρέσβεις, Ἀντίπατρος καὶ Παρμενίων, τοὺς δύο ὀβολοὺς ἐδίδοσαν, ὁ εἷς πρὸς ἕνα, ἀλλ' οὐ πρὸς 30

1. Ἐργίσκη] σεργίσκη Y.
σεργέντζιν B. σεργένζιν Y.
4. εὐκαίρων Wolfius pro εὐκαίρως.
15. διέβαλλεν] διέβαλεν H.R.
17. κατανεῖμαι] παρανεῖμαι T.P.
28. τὸ διώβολον H.R. (nisi quod διόβολον per o scriptum). τριώβολον T.P. ὡς ὀβολὸν, literis tamen prioribus detritis, A.
30. εἷς πρὸς] οὐ πρὸς A. εἷς καὶ—οὐ καὶ ceteri.
ἕνα] ἓν H.R.

δύο. διὰ τοῦτο εἶπε· τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν. σημείωσαι διότι εὑρίσκεται καὶ παρὰ Θουκυδίδῃ καὶ ἐνταῦθα τὸ θεωρεῖν ἐπὶ τοῦ θεᾶσθαι. A.H.R.T.P.

ἐθεώρουν ἂν] θεαταὶ ἦσαν.

εἰ μὴ τοῦτ' ἐγράφη] τὸ ψήφισμα τὸ ἡμέτερον, τὸ ἀμισθὶ θεωρεῖν τοὺς πρέσβεις δηλονότι.

234, 26. ὥσπερ οὗτοι] οἱ περὶ τὸν Αἰσχίνην.

235, 2. ἑκατομβαιῶνος] μαρτίου.

ἕνῃ καὶ νέᾳ] ἡ τελευτὴ τοῦ προτέρου μηνὸς καὶ ἡ ἀρχὴ τοῦ ὑστέρου. B.

πρυτανευούσης] οἰκονομούσης τὰ πράγματα.

235, 5. ἀποστείλας] πέμψας.

ὁμολογουμένας] φανεράς.

συνθήκας] συμφωνίας.

ἐπιτελεσθῇ] τέλος λάβῃ.

ἐπιχειροτονηθεῖσα] καταστᾶσα.

πυνθάνωνται] αἴσθωνται.

ὡμολογημέναις] συμβιβασθείσαις.

γράψαντος] ψηφισαμένου.

235, 20. οὐ τῷ Φιλίππῳ ζητοῦντος] πολλὴν ἀγρυπνίαν αὐτῷ μαρτυρεῖ ἡ λέξις, ὅτι διετέλει ζητῶν ὅπως ἂν εὕροι τὰ τῇ πατρίδι συμφέροντα. T.C.V.

235, 21. βραχὺ] οὐδ' ὅλως.

φροντίσαντες οἱ χρηστοὶ πρέσβεις] φροντίσαντες ὧν αὐτὸς εἶπεν· ὡς ὀδυρόμενος δὲ λέγει ὅτι οὐκ εἰσὶ χρηστοί, χρηστοὶ εἶναι ὀφείλοντες. T.C.V.

235, 22. κάθηντο] περὶ τοῦ τόνου λέγομεν ὅτι προπαροξύνεται· ἐστὶ γὰρ ἀπὸ τοῦ κάθημαι. A.R.T.P.

235, 24. καταστρεψάμενος] ἀνάλωσας.

ἐξὸν] δυνατοῦ ὄντος δι' ἡμερῶν δέκα.

ἐξελεῖν] ἐκκενῶσαι.

παρόντων ἡμῶν] ἤγουν, εἰ δὲ ἥψατο, εἰς ὅρκους ἐβάλλομεν.

διημαρτήκει] ἐξέπεσε.

21. εὕροι] εὕρῃ T. 27. ἔστι γὰρ ἀπὸ] ἀπὸ γὰρ T.
24. αὐτὸς εἶπεν Wolfius pro αὗτος οἶδεν.

236, 2. κλέμμα μὲν Φιλίππου] ἤγουν ἀπάτημα. P. παραμυθεῖται τὰς συμφορὰς κλέμμα λέγων, ἀλλ' οὐ κατόρθωμα. T.C.V.

δωροδόκημα] ἐναλλαγὴ τῶν παρισουσῶν συλλαβῶν. B.Y.P.

καὶ τότε καὶ νῦν ἀεὶ] δεικνὺς τὴν ἐν τῇ γνώμῃ μάχην, οὐ τὸν ἀπὸ τῶν ὅπλων πόλεμον, προσέθηκεν οἰκείως τὸ διαφέρεσθαι. T.C.V. 5 τοὺς τρεῖς συμπεριέλαβε χρόνους, ὡσανεὶ ἔλεγε, συντεθνήξομαι τῇ δυσμενείᾳ τῇ κατ' αὐτῶν. A.R.T.P.

236, 8. ὡμολόγησε] συνεφώνησε. P.

236, 10. πάλιν ὠνεῖται παρ' αὐτῶν] τὸ εὔκολον καὶ τὸ σύνηθες ὑποβάλλει τῆς δωροδοκίας. σκόπει δὲ τοῦ λόγου τὴν ἀσφάλειαν, ὅτι 10 ἡνίκα μὲν περὶ προδοσίας ἦν ἡ μνήμη, τὸ ὠνεῖται πρὸς αὐτῶν εἶπεν, ὡς οὐκ ὢν αὐτὸς πρεσβευτής· ὅτε δὲ κακὸν οὐδὲν ἦν, συνῆψεν ἑαυτὸν εἰπών, ὅπως μὴ ἀπίωμεν ἐκ Μακεδονίας. T.C.V.

236, 12. ἐπὶ τοὺς Φωκέας εὐτρεπῆ] κατὰ τῶν Φωκέων ἕτοιμα.

236, 29. μηδὲν ἔξω τῆς γραφῆς] κατηγορίας, προβουλεύματος. 15 P. ὃ ποιεῖν αὐτὸς διὰ τὸ χρήσιμον βούλεται, τοῦτο περιάπτει τῷ Αἰσχίνῃ, ὅτι αὐτός μοι αἴτιος γεγένηται τοῦ μεμνῆσθαι τῶν ὅλων τοῦ προβουλεύματος· δι' ὧν εἶχεν ἀφορμὴν νικῆσαι τὴν γραφήν. T.C.V.

237, 2. ἅμα τούτου] ἐν ταὐτῷ.

237, 11. οἰκειότητας] οἰκειότητας λέγει τὰς φιλίας· οἷον οὐ τὸ 20 λέγειν τινὰ πρὸς ἄλλον ὅτι φιλῶ σε, ἤδη τοῦτο φιλίαν ἀπεργάζεται, ἀλλὰ τὰ πράγματα συνάπτει τοὺς φίλους, ὅταν ἑκατέροις ὁμοίως συμφέρῃ. A.H.R.P. οἰκειότητας λέγει τὰς φιλίας, τὰς γνησιότητας τῶν πραγμάτων τὰ ὀνόματα δηλονότι τὴν ἔχθραν καὶ τὴν φιλίαν τοῦ Φιλίππου. 25

ὀνομάζων] ἐξ ὀνόματος καλῶν.

ἀναλγησίας] ἀναισθησίας.

βαρύτητος] ὠμότητος.

3. παρισουσῶν] περισσουσῶν P. Conf. Hermogenem vol. 3. p. 282. a Reiskio citatum.

11. πρὸς] In litura habet T. Apud Demosthenem παρ' legitur.

13. ἀπίωμεν Wolfius pro ἀπίωσιν. Inter utrumque fluctuant libri Demosthenis.

16. αὐτὸς Wolfius pro ἀτόπως. περιάπτει Wolfius pro περιτρέπει.

17. τῶν ὅλων τοῦ π.] τῶν λόγων καὶ τοῦ π. Wolfius.

22. συνάπτει] συνάπτουσιν H.R. ἑκατέροις] ἑκάτερον H.R.

23. συμφέρῃ] Libri συμφέρει.

ἤκουον αὐτοῦ] τοῦ Αἰσχίνου.

ὑποῦσαν] κεκρυμμένην, οὐ φανεράν.

οὐκ εἰς μακρὰν] μετ' ὀλίγον.

238, 3. πρυτάνεων καὶ βουλῆς] δικαστήριον φονικόν. B.

238, 4. μαιμακτηριῶνος] αὐγούστου τῇ κά'. 5

ἀπιόντος] φθίνοντος.

παρευρέσει] ἔξω τοῦ ἐνδεχομένου, ἀφορμῇ, αἰτίᾳ.

χώρᾳ] ἀγροῖς.

κοιταῖον] κοιμᾶσθαι κατὰ νύκτα· κοιταῖος γὰρ ὁ εἰς κοίτην ἐρχόμενος. 10

μὴ ἀφημερεύοντας] ἤγουν μὴ τὴν ἡμέραν ἀποδημοῦντας τῶν φρουριῶν, μήτε ἀφισταμένους κατὰ τὴν νύκτα.

ἔνοχος ἔστω] κρινέσθω ὡς προδότης.

ἀδύνατον] ἤγουν ἀσθένειαν σωματικήν.

κατακομίζειν] ἤγουν ὃ προλαβὼν σκευαγωγεῖν εἶπε. 15

ὑφ' ἑαυτοὺς πεποιημένους] ἤγουν δουλωσαμένους τὴν Φωκίδα.

προσετίθετο] ἀντὶ τοῦ ὑπήκουσεν ὑμῖν.

239, 2. ἐξανδραποδισάμενοι] αἰχμαλωτίσαντες.

ἀντιπαρεξάγοντες] παραβαίνοντες, εἰς τὸ ἐναντίον περιτρέποντες.

προτερήσετε] ἤγουν οὐδὲν πρότερον καὶ ὑπέρτερον καὶ πλέον 20 ποιήσετε.

239, 16. ῥήμασι] λέξεσι.

ᾤχετο ἐκείνους λαβὼν] ἀντὶ τοῦ ἠπάτησε, παρέσυρε, δουλωσάμενος Θηβαίους καὶ Θετταλούς. P. ἀντὶ τοῦ καταδουλωσάμενος Θηβαίους καὶ Θετταλούς. A.H.R. 25

239, 21. τῆς πίστεως] ὡς ἐπίστευσαν αὐτῷ Θηβαῖοι καὶ Θετταλοί.

239, 28. γεωργῶν τὰ ἐκείνων] καρπιζόμενος τὰ χωρία ἐκείνων. P. ὡσανεὶ ἔλεγε, μισθὸν τοῦ κατὰ Θηβαίων δράματος τὴν ἐκείνων χώραν ἐδέξατο. τὸ δὲ, τοὺς Θηβαίους ἐλεεῖς, ὡσανεὶ ἔλεγε, μὴ δάκρυε τὰς Θήβας, Αἰσχίνη, ἀφ' ὧν πεπλούτηκας. A.H.R.T.P. 30

239, 29. ὃς εὐθὺς ἐξητούμην] μετὰ τὴν κατασκαφὴν τῶν Θηβῶν, ἐπελθόντος τοῦ Ἀλεξάνδρου καὶ ταῖς Ἀθήναις, ἐξητούμην ὑπ' αὐτοῦ εἰς τιμωρίαν. A.R.T.P.

31. μετὰ om. T.P.
Θηβῶν] θηβαίων A.T.

32. καὶ—ὑπ'] ἐν—παρ' R.
33. εἰς τιμωρίαν om. A.

240, 1. ἀλλὰ γὰρ ἐμπέπτωκα] τὸ ἀκουσίως ἐν τούτοις γενέσθαι δηλοῖ.

αὐτίκα] μετ' ὀλίγον.

240, 4. πραγμάτων] ὀχλήσεων.

240, 9. ἀνῄρηντο] ἠφανίσθησαν. 5

240, 12. εἴ τις ἄλλο τι βούλοιτο λέγειν] ἐκτὸς τῶν ὀνομάτων τῶν παριστώντων τὸν Φίλιππον σωτῆρα, φίλον καὶ εὐεργέτην, καὶ τὰ τοιαῦτα.

240, 13. ὑφορώμενα] ὑφορῶμαι ἀντὶ τοῦ κρυπτῶς βλέπω, ἢ ὑπονοῶ, ἢ φοβοῦμαι. 10

240, 14. ἤγετε] ἐστέργετε.

τρόπον τινὰ] ἀντὶ τοῦ συνεσκιασμένως, ἐκ πλαγίου.

ἐκ πολλοῦ] χρόνου δηλονότι.

240, 18. περιιὼν] περιερχόμενος. P. τὸ σχῆμα τοῦ λόγου νόημά ἐστιν ἓν, τῇ ἑρμηνείᾳ πλείοσι κώλοις ἐπεκταθὲν καὶ γεγονὸς πνεῦμα. 15 B.F.Y.P.

240, 19. Ἰλλυριοὺς καὶ Τριβαλλοὺς] ἔθνη ταῦτα πλησίον Μακεδονίας. A.

ἐποιεῖτο ὑφ' ἑαυτῷ] ἤγουν ὑπετάττεσθε.

διεφθείροντο] ἤγουν δῶρα λαμβανόντες ἦσαν διεφθαρμένοι. 20

ὧν εἷς] τῶν βαδιζόντων εἰς τὸν Φίλιππον.

παρεσκευάζετο] παρεσκεύαζε.

240, 24. εἰ δὲ μὴ ᾐσθάνοντο] ἐργασία· ἕως ὧδε τὸ πρῶτον πνεῦμα, εἶτα τὸ δεύτερον. B.

ᾐσθάνοντο] οἱ φθειρόμενοι. 25

240, 25. οὐ πρὸς ἐμὲ] οὐκ ἐγὼ αἴτιος, οὐκ ἐμοῦ ἅπτεται.

240, 26. διεμαρτυρόμην] ἐδίδασκον.

240, 27. καὶ ὅποι πεμφθείην] εἶπε κἀν τοῖς Φιλιππικοῖς οἷα ἐποίησεν ἔν τε Πελοποννήσῳ καὶ παρὰ Ἀργείοις καὶ Μεσσηνίοις δημηγορῶν· εἶτα αὔξει τὰς ἐν ταῖς πόλεσι νόσους, δεικνὺς πόθεν αὐτῷ τὸ 30 μὴ κατορθῶσαι συμβέβηκε. T.C.V.

240, 28. τῶν μὲν ἐν τῷ πολιτεύεσθαι] ἤγουν τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων, τῶν ἐν τῷ βήματι, τοῖς πολιτικοῖς πράγμασι.

15. γεγονὸς] γέγονε B.

καὶ πράττειν] *τῶν διεξιόντων αὐτά.*

240, 29. *δωροδοκούντων*] *δῶρα δεχομένων.*

τῶν δὲ ἰδιωτῶν] *τῶν ἀπηλλαγμένων ἀρχῆς, τῶν ἔξω ὄντων τῶν πολιτικῶν πραγμάτων.*

241, 1. *προορωμένων*] *προορῶ ἐνεργητικῶς τὸ τοῖς ὀφθαλμοῖς βλέπω, προορῶμαι δὲ τὸ προγινώσκω.* H.R.

241, 4. *οἰομένων ἑκάστων*] *τῶν ἀρχόντων καὶ τῶν ἰδιωτῶν.*

241, 5. *ἀσφαλῶς σχήσειν*] *ἀκινδύνως διατεθήσεσθαι.*

241, 11. *ἐδωροδόκουν*] *δῶρα ἐλάμβανον.* B.Y.P.

κόλακες καὶ θεοῖς ἐχθροὶ] *λεληθότως ὁ ῥήτωρ παραινέσαι βούλεται φεύγειν τὴν προδοσίαν, τὸ πέρας αὐτῆς ἐλεεινὸν ἐξηγούμενος.* T.C.V.

241, 20. *ἀποδομένων*] *ἤγουν ἀνθρώπων πωλησάντων, προδοτῶν.*

241, 21. *καὶ μισεῖ καὶ ἀπιστεῖ*] *καλῶς ἡ τάξις ἔχει τῶν λέξεων· μισεῖ γὰρ καταγνοὺς, ἀφ' ὧν κακοὶ περὶ τὴν ἐνεγκοῦσαν ἐγένοντο· μισήσας δὲ καὶ ἀπιστεῖ· οὐδεὶς γὰρ μισεῖ, εἶτα πιστεύει τῷ μισουμένῳ. ὃν δὲ ἄπιστον καὶ ἐχθρὸν ἡγεῖταί τις, ὑβρίζων οὐ παύεται.* T.C.V.

241, 24. *μέχρι τούτου*] *τοῦτο λέγεται ἐπαναφορὰ, διὰ τὸ κατὰ συζυγίαν ἐξενεχθῆναι, καὶ λαμπρότητος πλείστης καὶ κάλλους μετέχει, διὰ τὸ πεπονθότως λέγειν τὸν ῥήτορα· κατὰ κῶλον δέ ἐστιν, ὅπερ ἐστὶ καὶ παρισώσεως εἶδος· μέχρι-μέχρι-μέχρι.* B. *σχῆμα τῆς κατὰ κῶλον ἐπαναφορᾶς, ὅπερ ἐστὶ καὶ παρισώσεως εἶδος, μέχρι-μέχρι-μέχρι.* P. Less.

242, 3. *ἀπερριμμένοι*] *ἐξωσθέντες.*

ἐξ ὧν] *τῶν κατὰ τοὺς προδότας πραγμάτων.*

242, 5. *καὶ πλεῖστα ἀντιλέγων τούτοις*] *εὑρίσκεται καὶ τῶν προδοτῶν εὐεργέτης ὁ φιλόπολις.* T.C.V.

τούτοις] *τοῖς προδόταις.*

οὗτος ὑμῖν, Αἰσχίνη] *ὡς κεφάλαιον τῶν προδοτῶν τὸν Αἰσχίνην*

1. διεξιόντων] διεξαγόντων Wolfius.

5. προορῶ — προγινώσκω] Scholion in utroque codice a m. rec. scriptum.

15. κακοὶ — ἐγένοντο] κακὸς ἐγένετο C.

16. μισεῖ, εἶτα om. T.

22. σχῆμα — ἐπαναφορᾶς] σχῆμα ἐπαναφορὰ κατὰ κῶλον P. Tria in fine μέχρι om. Less.

ὠνόμακε, καὶ πρὸς αὐτὸν ἀποτεινόμενος οἴεται πρὸς ἅπαντας προσάγεσθαι. T.C.V.

242, 10. πάλαι ἂν ἀπολώλειτε] ἔστι γὰρ διαφθορὰ προδοτῶν ἡ ἀργία καὶ τὸ μὴ ἔχειν πρόφασιν δωροδοκίας. διὰ τὸ δύσφημον δὲ εἰς αὐτοὺς ἔτρεψε τὴν ἀπώλειαν· ἐπεὶ τό γε ἀκόλουθον ἦν εἰπεῖν, 5 Ἐπεὶ, ὅσον ἧκεν εἰς ὑμᾶς, πάλαι ἂν ἡ πόλις διέφθαρτο. T.C.V.

καὶ περὶ μὲν τῶν τότε] ἕως ὧδε τὰ τρία πνεύματα· διὸ ἐκ τῆς τῶν τριῶν πνευμάτων συνθέσεως ἀκμὴ γέγονεν ἐντελὴς ἐκ νοημάτων οὖσα. B.F.Y.P.

242, 12. πλείω τῶν ἱκανῶν εἰρῆσθαι] φθάνει τῶν δικαστῶν τὴν 10 ἐπιτίμησιν. οἶδε γὰρ ὡς ἡ τῶν παλαιῶν ἄκαιρος μνήμη λυπεῖ τὸν καθήμενον. T.C.V.

242, 13. ὥσπερ ἑωλοκρασίαν τινὰ] ἑωλόν φασι πᾶν τὸ ἐπὶ τὴν ἑξῆς ἡμέραν. ὁ οὖν Δημοσθένους νοῦς οὗτος· ὃ χθὲς καὶ πρώην ἐκέρασε πρᾶγμα, τήμερόν μου καταχέει, καὶ ἐμὲ πρᾶξαί φησι τὰ κακῶς 15 αὐτῷ οἰκονομηθέντα. ἕτεροι δέ φασιν ὅτι Ἀθήνησιν εἶχον ἔθος οἱ νέοι, εἴ ποτε παννυχὶς εἴη, κιρνάναι κρατῆρας κἀκ τούτων μεθύσκεσθαι. ἔωθεν δὲ, εἰ παραλείποιτο, κατὰ τῶν ἀπαυδησάντων ἐν τῷ πότῳ κατασκιδνάναι, καλοῦντες τοῦτο ἑωλοκρασίαν. B.Y.

ἐγὼ δὲ μᾶλλον νομίζω πεποιῆσθαι τὸ ὄνομα ὑπὸ τοῦ ῥήτορος ἀπὸ 20 τῶν ἑώλων, ἅ ἐστιν ἀρχαῖα, ὅτι πράγματα ἀρχαῖα συγκεράσας κατηγορεῖ ὁ Αἰσχίνης. B. φανερὸν μὲν τὸ ὄνομα· εἴρηται γὰρ ἀπὸ τοῦ κεκραμένου οἴνου καὶ ἑώλου γενομένου, οἱονεὶ χθεσινοῦ. ἐγίνετο δὲ τὸ τῆς ἑωλοκρασίας παρὰ τοῖς Ἀθηναίοις οὕτως· ἐν ταῖς πανηγύρεσι συνῆεσαν πολλοὶ μετ' ἀλλήλων συμποσιασόμενοι, καὶ ἔμειναν πολ- 25 λάκις πίνοντες ἕως τῆς ἄλλης ἡμέρας ὡς ἐν πανηγύρει. εἰ δέ τις

1. ὠνόμακε Wolfius pro νενόμικε.
5. αὐτοὺς Wolfius pro ἑαυτούς.
11. οἶδε γὰρ ὡς Wolfius pro οἶδεν ὡς.
13. ἑωλον—οὗτος om. B., qui ante ὃ χθὲς habet ὅτι οὗτος.
15. πρᾶγμα om. Y. Est hoc scholion ex commentario Didymi excerptum, cujus hanc explicationem affert Harpocration (s. v. ἑωλοκρασία), οὗτος χθὲς καὶ πρώην ἃ ἐκέρασε πράγματα, τήμερόν μου καταχεῖ καὶ ἐμὲ πρᾶξαί φησι.
τήμερον] σήμερον Y.
16. εἶχον ἔθος οἱ νέοι] ἔθος ἦν τοῖς νέοις B.
19. τοῦτο om. Y.
22. φ. μὲν τὸ ὄνομα om. F.
ἀπὸ] ἐκ F., omisso γάρ.
23. γενομένου] γινομένου F.
24. παρὰ τοῖς Ἀ.] παρ' ἀ. F.
25. συμποσιασόμενοι] συμποσιασάμενοι B.
26. ὡς ἐν A.T. ὡς εἰκὸς ἐν F. ὡς τοὺς ἐν P.

τούτων μεθυσθεὶς κατέδαρθε καὶ εἴασε τὸ ποτήριον αὐτοῦ, τῇ ἑξῆς οἱ λοιποὶ συμπόται λαβόντες τοῦτο ἐξέχεον κατὰ τῆς ἐκείνου κεφαλῆς, ὥσπερ ἐπεγγελῶντες, διότι οὐκ ἴσχυσε πρὸς τὸ μιμήσασθαι αὐτούς. ἀπὸ μεταφορᾶς οὖν ἐκείνου τοῦ χθεσινοῦ καὶ ἑώλου γενομένου εἶπε καὶ ἐπὶ τῶν πραγμάτων, ὧν αὐτῷ ἐνεκάλεσεν Αἰσχίνης, διότι παλαιὰ αὐτοῦ κατηγόρησεν. A.F.T.P.

242, 14. κατασκεδάσας] ἐμοῦ δηλονότι. P. ἐνέμεινε τῇ τροπῇ τῆς ἑωλοκρασίας. A.P.

ἣν] ἑωλοκρασίαν.

242, 15. ἀπολύσασθαι] διαλῦσαι.

242, 16. παρηνώχλησθε] ὄχλησιν ἐλάβετε παρεξαχθέντες.

243, 1. μισθωτός] σημείωσαι ὅτι φασὶ τὸν Δημοσθένην μίσθωτος ἀναγνῶναι· τῶν δὲ δικαστῶν μισθωτός εἰπόντων, ἐπὶ διορθώσει δῆθεν τοῦ λόγου, εὐθὺς δράξασθαι τὸν Δημοσθένην τῆς τούτων φωνῆς, καὶ φησίν· εἰ ἀκούεις, ἃ λέγουσιν; B. πολλαὶ περὶ τούτου φέρονται ἐξηγήσεις. οἱ μὲν γὰρ λέγουσιν ὅτι ἑκὼν ἐβαρβάρισεν εἰς τὸ μίσθωτος, ἵνα, ὥσπερ τῶν δικαστῶν βουλομένων διορθώσασθαι αὐτόν, αὐτὸς κακούργως τὴν διόρθωσιν ἀνθ' ὁμολογίας δέξηται καὶ εἴπῃ ὅτι ἀκούεις ἃ λέγουσιν, ὅτι μισθωτόν σε καλοῦσιν. ἄλλοι δὲ λέγουσιν ὅτι Μένανδρος ὁ κωμικὸς καί τινες αὐτοῦ φίλοι παρόντες ἐν τῷ δικαστηρίῳ χαριζόμενοι τῷ Δημοσθένει, ἅτε δὴ φίλοι, ἐρωτήσαντος αὐτοῦ τοῦτο, ἀναστάντες εἶπον ὅτι μισθωτός ἐστιν ὁ Αἰσχίνης, καὶ αὐτῶν τῶν ὀλίγων τὴν φωνὴν ὥσπερ ἀπόκρισιν ἐδέξατο παντὸς τοῦ δικαστηρίου. Γενέθλιος δέ φησιν ὡς ὅτι ἔθος ἐστὶ τοῖς ῥήτορσι, καὶ μάλιστα τῷ Δημοσθένει, τὰ ἀμφίβολα ὡς ὡμολογημένα λαμβάνειν. A.R.T.P.

τινὲς εἰρήκασιν ὅτι ἑκὼν ἐν τῷ ἐρωτᾶν ὁ ῥήτωρ ἐβαρβάρισεν ἐξεπίτηδες μίσθωτος λέγων, εἶτα ἐπελάβετό τις αὐτοῦ ὡς διορθούμενος καὶ ἐβόησε τῷ ἰδίῳ τόνῳ μισθωτός, εἶτα τὴν διόρθωσιν ἀπόκρισιν

1. κατέδαρθε] ἐκαθεύδησε A.

3. διότι] ὅτι F.

πρὸς] εἰς T. πρὸς τὸ om. F.P.

4. εἶπε καὶ ἐπὶ A. εἶπεν ἐπὶ T. εἶπεν οἰκείως ἐπὶ P. In F. postrema hæc ἀπὸ μεταφορᾶς—κατηγόρηκε verbis paullo aliis expressa sunt, ἐχρήσατο οὖν ἐνταῦθα ὁ ῥήτωρ τῇ λέξει οἰκείως, παλαιῶν ὄντων ὧν αὐτοῦ κατηγόρηκεν Αἰσχίνης.

17. αὐτὸν] αὐτὸ T.P.

27. μίσθωτος λέγων add. Wolfius.

28. ἐβόησε τῷ ἰδίῳ τόνῳ μισθωτός Wolfius, si non verba, sensum saltem scholiastæ hic ut alibi restituens: ἐβόησε μίσθωτος (μίσθωτος om. C.G.) τῷ τόνῳ ἤδη καὶ μισθωτός libri.

καὶ βεβαίωσιν εἴρηκεν. οἱ δέ φασιν ὡς Μένανδρος ὁ κωμικὸς, φίλος ὢν αὐτοῦ καὶ ὢν ἐν τοῖς δικασταῖς, ἀπεκρίνατο χαριζόμενος, καὶ τοῦ ἑνὸς τὴν φωνὴν ὡς τῶν πάντων ἐδέξατο. ἔνιοι δὲ ὑπέλαβον ὡς ἐρωτήσαντος αὐτοῦ οἱ δικασταὶ διελέχθησαν, Τί βούλεται οὗτος, καὶ Τί ποιεῖν δεῖ; καὶ ταύτην αὐτῶν τὴν ζήτησιν προλαβὼν ἐποίησε τὴν ἀπόκρισιν. T.C.V. 5

243, 2. βούλομαι τοίνυν] διττῶς διεῖλε τὸ δίκαιον· καὶ τὸ μὲν ἐν τῇ ἀναιρέσει τῶν ἀδικημάτων, ἔνθα καὶ ἀντεγκαλεῖ τῷ ἀντιδίκῳ, τὸ δὲ λοιπὸν ἐν τῇ θέσει τῶν εὐεργετημάτων καὶ τῶν πράξεων. B.H.R. F.Y.T.C.V. 10

243, 3. γραφῆς αὐτῆς] ἐνταῦθα δεῖ λαβεῖν ἀντὶ τοῦ μόνης, οἷον· περὶ μόνης αὐτῆς τῆς γραφῆς, ὥσπερ ἐστὶν ὅμοιον καὶ παρὰ τῷ ποιητῇ, ὅταν λέγῃ·

Τυδείδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη,

ἀντὶ τοῦ μόνος. A.R.T.P. 15

243, 5. προβεβουλευμένων] προβεβουλευμένου στεφάνου.

243, 10. ἐλαφηβολιῶνος] νοεμβρίου.

243, 16. Διονυσίοις] ἐν οἷς Διονυσίοις εἰσήγοντο ἄνθρωποι καινὰς τραγῳδίας λέγοντες.

243, 25. καταβάλλεσθαι] εἰσάγειν. 20

243, 28. μὴ ἀναγορεύειν] οὐκ ἐώντων τῶν νόμων, ὅτε ἔδει ἀναγορεῦσαι μὲν, οὐ στεφανῶσαι δὲ ἐν τῷ θεάτρῳ.

244, 2. ἐν Πνυκὶ] ὄνομα τόπου. B. πνὺξ ἡ ἐκκλησία ἀπὸ τοῦ πεπυκνῶσθαι τοὺς ἄνδρας ἐν αὐτῇ.

244, 4. κλήτορες] οἱ μαρτυροῦντες τοῖς καλοῦσιν εἰς δίκην. 25

244, 5. ἃ μὲν διώκει] ἀρχὴ τοῦ ἑτέρου μέρους τοῦ δικαίου. B. S.Y.

244, 6. ἐγὼ δ' ἀπ' αὐτῶν τούτων] κατηγοριῶν. P. δι' ὧν ἕπομαι τῷ ἀντιδίκῳ δῆλός εἰμι τὴν ἀλήθειαν ἀγαπῶν. προσεκτέον δὲ ἀκριβῶς τοῖς λεγομένοις, ἵνα μὴ ἐναντιώματι περιπέσωμεν. εἰ γὰρ ἐν τῷ προοιμίῳ δυσχεραίνων ἔφη μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι 30

2. τοῖς δικασταῖς] τῷ δικαστηρίῳ C. G.

8. ἔνθα καὶ Sauppius. ἔνθα ἐστὶν libri. ἐστὶν, ἔνθα Wolfius.

9. εὐεργετημάτων] τε add. F.P.

12. τῷ ποιητῇ] Iliad. Θ, 99.

26. ἀρχὴ τοῦ ἑτέρου μέρους τοῦ δικαίου] ἀρχή ἐστιν αὕτη τοῦ ἑ. μ. τοῦ δικαίου, ὡς ἔφην T.C.V.

περὶ τοῦ πῶς δεῖ ἀκούειν, νῦν δὲ ἕπεται τῇ γραφῇ—τοῦτο γὰρ ἐπαγγέλλεται—, πῶς οὐκ ἂν δόξειεν αὐτὸς αὑτῷ περιπίπτειν; ἰστέον οὖν ὡς Αἰσχίνης, ἡνίκα μὲν ἐξ ἀρχῆς τὴν κατὰ τοῦ Κτησιφῶντος παρεῖχε γραφὴν, τὴν διαβολὴν τοῦ βίου καὶ τῆς πολιτείας τοῦ Δημοσθένους προὔταξεν· ὅτε μέντοι τὸν λόγον τῆς κατηγορίας ᾠκο- 5 νόμησεν, ἐνήλλαξε τὰ κεφάλαια πρὸς τὸ δοκοῦν αὐτῷ χρήσιμον μεταθεὶς τὴν διοίκησιν. ὁ τοίνυν ῥήτωρ κατὰ μὲν τὴν γραφὴν ζηλοῦν ἐπαγγέλλεται· λυσιτελεῖ γὰρ αὐτῷ προτάξαι τὴν πολιτείαν· ἀποφεύγει δὲ τὴν ἐπινοηθεῖσαν ἐν τῷ λόγῳ μέθοδον ὡς βλάπτουσαν αὐτόν. ὥστε οὐδὲν ἐναντίον ἀναφανήσεται. T.C.V. 10

244, 10. καὶ οὐδὲν ἑκὼν παραλείψω] ἵνα κἂν ἄλλως ποιήσῃ σχῇ ἀποφυγὴν τὴν ἄγνοιαν, ἢ λήθην, ἤ τι τῶν τοιούτων. T.C.V.

244, 11. γράψαι] ψηφίσασθαι τὸν Κτησιφῶντα.

244, 13. ὅ τι ἂν δύνωμαι ἀγαθὸν] προεθίζει τοὺς δικαστὰς περὶ μὲν τῶν συμβάντων μὴ πάντ' αὐτοῦ τῇ γνώμῃ ἐγκαλεῖν, ἃ δὲ μὴ 15 δυνάμεώς ἐστιν ἀνθρωπίνης, ταῦτα τῇ τύχῃ λογίζεσθαι. T.C.V.

244, 22. ἔτι μέντοι καὶ τοὺς νόμους] ὁ μηδένα ἔχων νόμον σκόπει πόσους ἔχει· ὁμολογεῖ δὲ καὶ δεικνύειν ἐπαγγέλλεται. T.C.V.

244, 24. τούτῳ] τῷ Κτησιφῶντι.

ἁπλῶς] ἀπεριέργως. 20

πέπρακται] πεπολίτευται.

244, 27. καί με μηδεὶς ὑπολάβῃ] προθεραπεύει τὸ ἄτοπον. ἵνα γὰρ μή τις εἴπῃ, τί λέγεις ἡμῖν ἐν Ἑλλάδι πράξεις γεγενημένας, ἐπισημαίνεται ὅτι, τὸν ὅλον μου βίον καὶ πᾶσαν τὴν πολιτείαν μεμ- ψάμενος, αὐτὸς γέγονεν αἴτιος κἀκείνων ποιήσασθαι μνήμην· ὥστε 25 οὐκ ἀποπλανῶν καὶ ἀποχωρίζων τὸν λόγον ταῦτα διέξειμι. T.C.V.

ἀπαρτᾶν] χωρίζειν τὴν ἀπολογίαν τὴν νῦν ἀπὸ τῆς γραφῆς καὶ τῆς κατηγυρίας, ἧς νῦν κατηγοροῦμαι. A. χωρίζειν τὴν ἀπολογίαν

1. δεῖ add. Wolfius.
2. περιπίπτειν] ἀντιπίπτειν Wolfius.
5. ᾠκονόμησεν] ᾠκοδόμησεν C.V.
6. τὰ add. Wolfius.
αὐτῷ Wolfius pro αὐτῷ τί.
9. δὲ Wolfius pro γάρ.
11. ποιήσῃ add. Wolfius.
14. προεθίζει—λογίζεσθαι Wolfius.
προεθίζων (—ει C.P.) τοὺς δυνάστας (δικαστὰς C.P.) διὰ τὴν ὑστεραίαν ἢ πάντα μὲν περὶ τῆς γνώμης ἐγκαλεῖν, ἃ δὲ μὴ δυνάμεως ἀνθρωπίνης ἐστὶ, τύχῃ μὴ λογίζεσθαι libri.
18. δὲ add. V., om. T.C.G.
28. χωρίζειν] πόρρω ποιεῖν καὶ χωρίζειν P.

τὴν νῦν ἐκ τῆς γραφῆς καὶ τῆς κατηγορίας, ἧς νῦν κατηγοροῦμαι. T.C.P.

γραφῆς] τοῦ προβουλεύματος.

245, 5. προαιρέσεων] πραγμάτων προκειμένων.

ἀποδείξεις] τὰς ὑπὲρ ἐμαυτοῦ. ὅτι ἐξ ὧν πεποίηκα εὔκους ὢν τῇ πόλει πεποίηκα.

245, 7. ἃ μὲν οὖν] σημείωσαι· σχῆμα κατὰ ἀποσιώπησιν. B.P.

245, 8. προὔλαβε καὶ κατέσχε Φίλιππος] μονονουχὶ μέμφεται τὴν τύχην, ἐφ' οἷς βραδύτερον πεπολίτευται· διὰ τοῦτο γὰρ κατέσχε τῶν πλείστων ὁ Φίλιππος, οὔπω Δημοσθένην βλέπων ἐπὶ τοῦ βήματος. T.C.V.

κατέσχε] ἐχειρώσατο.

τούτων] τῶν πρὸ τοῦ πολιτεύεσθαι, ἅπερ οὐχ ἅπτεταί μου.

245, 11. ἐπὶ ταῦτα ἐπέστην] ὥσπερ τινὸς δαίμονος ἐπιστασίαν λέγει τῆς αὐτοῦ κηδεμονίας τὴν παρουσίαν. T.C.V.

διεκωλύθη] ὁ Φίλιππος.

πλεονέκτημα] προτέρημα.

245, 15. φορὰν προδοτῶν] τροπικῶς εἶπε· φορὰ γὰρ εἴωθε λέγεσθαι ἐπὶ σίτου ἢ ἄλλων καρπῶν τῶν φερομένων ἐν ἑκάστῳ ἐνιαυτῷ· ἐνέμεινε τῇ τροπῇ εἰπὼν "καὶ φυομένου κακοῦ." A.T.C.P.

λαβὼν] ὁ Φίλιππος.

κακῶς ἔχοντας] ὅμοιον τῷ, αἱ πόλεις ἐνόσουν.

διέθηκε] ἐποίησε τῶν Ἑλλήνων.

τοῖς δὲ] τοῖς προδόταις.

245, 24. συνισταμένου] ἤγουν ἐν ὑπάρξει ὄντος, τοῦ οὐσιωμένου καὶ εἰς σύστασιν ἐρχομένου. P. πλείω σημαίνει τὸ συνίστασθαι, τὸ πεπηγέναι, τὸ ἐν ὑπάρξει εἶναι, τὸ ἀποκαθίστασθαι, τὸ σὺν ἄλλῳ ἵστασθαι, τὸ φίλον τινὶ γίνεσθαι. T.P.

245, 28. ὁ γὰρ ἐνταῦθα] ἤγουν ἐν τῷ λέγειν ὑπὲρ τῶν Ἑλλήνων.

5. ὑπὲρ Wolfius pro ὑπό.

11. τῶν πλείστων] τὰ πλεῖστ' Wolfius. τῶν π. ante κατέσχεν habent C.G.

οὔπω Δημοσθένην (sic Wolfius pro Δημοσθένης, quod est in T.V.) βλέπων] ὅτι δημοσθένην οὔπω ἑώρα C.G.

27. πλείω] πλείω γὰρ P.

28. τὸ σὺν ἄλλῳ ἵστασθαι om. P. Totum scholium a m. rec. habet T.

245, 29. πότερον αὐτὴν ἐχρῆν] ἀποστροφὴ καὶ κατ' ἐρώτησιν τὸ σχῆμα. θαρρεῖ γὰρ τὸ "φρόνημα ἀφεῖσαν." ἔστι δὲ φρόνημα μὲν τὸ ἀπὸ τῶν ἔργων, ἡ δὲ ἀξία τῆς τύχης. T.C.V.

246, 1. φρόνημα] ὕψωμα.

ἀξίαν] τιμήν.

συγκατακτᾶσθαι] γίνεσθαι συναιτίους τῷ Φιλίππῳ τῆς κτήσεως τῆς ἀρχῆς τῶν Ἑλλήνων.

246, 5. δεινὸν γὰρ ὡς ἀληθῶς] τῇ οἰκείᾳ κρίσει τὸ ἀπευκτὸν ἐμφαίνει τοῦ πράγματος. T.C.V.

ἀλλὰ καὶ τούτων] ἤγουν τῶν συναιτίων καὶ τῶν περιεωρακότων.

ἀπηλλάχασι] ἤγουν πλέον ἐδυστύχησαν.

ἦγεν ἡσυχίαν] ἡσύχαζε.

τὴν ἐλευθερίαν] αὐτονομίαν ἠκρωτηρίαζε.

πολιτείας] δημοκρατίας.

λέγειν] δημηγορεῖν ἢ ψηφίζεσθαι.

τοῦ χρόνου] τῆς ζωῆς, ἕως τῆς ἡμέρας ἐκείνης.

247, 6. καὶ πλείω σώματα καὶ χρήματα] προλύει καὶ νῦν ὁ ῥήτωρ ἐσομένην ἀντίθεσιν, ἐν ᾗ περὶ Θηβαίων καὶ Εὐβοέων ὁ Αἰσχίνης διαλεγόμενος τοῦτο ἐγκαλεῖ, ὅτι πολλὰ πεποίηκε δαπανῆσαι τὴν πόλιν. T.C.V.

247, 10. τὸν ὀφθαλμὸν] ἤδη ἔγνωμεν ὅτι τὸν ὀφθαλμὸν ἐπλήγη ἐν τῇ Μεθώνῃ, τὴν δὲ κλεῖν ἐν Ἰλλυριοῖς, τὸ δὲ σκέλος καὶ τὴν χεῖρα ἐν Σκύθαις. A.R.T.C.P.

247, 11. ἐκκεκομμένον] ἐξορωρυγμένον.

πεπηρωμένον] ἤγουν βεβλαμμένον.

εἰς νοῦν ἐμβαλέσθαι] ἐννοῆσαι.

λόγοις] ὁμιλητικοῖς, καὶ ἐν σκέψεσι περὶ τῶν κοινῶν πραγμάτων.

ὑπομνήματα] εἰκόνας.

κακίαν] δειλίαν.

αὐτεπαγγέλτους] αὐτοὺς ἡμᾶς ἐπαγγελλομένους.

247, 24. παραχωρῆσαι Φιλίππῳ] τὸ οἰκεῖον κτῆμα ἡ λέξις σημαίνει· ἀποδίδωσι μὲν γάρ τις τἀλλότριον, παραχωρεῖ δὲ τῶν ἰδίων. καὶ τὸ Φιλίππῳ δὲ μετὰ βαρύτητος εἴρηται. τίνι γὰρ, εἰπέ

1. ἀποστροφὴ καὶ additum ex P.

2. τὸ φρόνημα ἀφεῖσαν add. Wolfius.

μοι, παραχωρεῖς; ὁμοφύλῳ; στέργω τὴν τύχην, Λακεδαιμονίοις; οὐκ ἀνιῶμαι. ἐὰν δὲ ἐπιστήσῃς μοι Μακεδόνα δεσπότην, οὐ φέρω τὴν συμφορὰν, ἀρνοῦμαι τὸν ἐκ Πέλλης ἡγούμενον. T.C.V.

λοιπὸν τοίνυν ἦν καὶ ἀναγκαῖον] ἱκανῶς ἐκ τῶν προλεχθέντων συνήγαγεν ὡς ἀναγκαῖον τὸν ὄντα Ἀθηναῖον ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων ἀμύνασθαι. T.C.V.

247, 26. τοῦτ' ἐποιεῖτε μὲν ὑμεῖς] εἰ δὲ ἀναγκαῖον, καλῶς ἐποιεῖτε καὶ ὑμεῖς αὐτὰ, κἀγὼ συνεβούλευον. ἐνήλλαξε μέντοι τὴν τάξιν· ἦν γὰρ πρῶτον μὲν τὸ γράφειν, δεύτερον δὲ τὸ πεισθέντας ποιεῖν, ἵνα δόξῃ ἕπεσθαι αὐτοῖς καὶ τῷ φρονήματι τῷ κοινῷ. T.C.V.

247, 29. ἔγραφον] ἐψηφιζόμην.

248, 1. ἐπολιτευόμην] τὰ τῆς πολιτείας ἔπραττον.

248, 3. Πύδναν] Πύδνα, τὸ νῦν Κίτρος. B.P.

Ποτίδαιαν] Ποτίδαια ἡ νῦν Βέροια. B.P.

248, 5. τὴν Πεπαρήθου] Πεπάρηθος νῆσός ἐστι πρὸς τῷ Αἰγαίῳ πελάγει πρὸ τῆς Θετταλίας. ταύτην ἐπόρθησεν Ἄλκιμος, ναύαρχος τοῦ Φιλίππου. A.F.T.

248, 8. τουτουσὶ] δηλονότι τοὺς Ἀθηναίους. A.C.P.

Εὐβούλου καὶ Ἀριστοφῶντος] δαιμονία τῶν προσηγοριῶν ἡ θέσις. προηγεῖται μὲν γὰρ ὁ Εὔβουλος, ὁ φίλος εἶναι τοῦ Μακεδόνος νομισθεὶς, διαδέχεται δὲ Ἀριστοφῶν, ἀνὴρ πολλάκις μὲν κριθεὶς, οὐδέποτε δὲ καταγνωσθείς· τρίτος δὲ ὁ Διοπείθης, ὁ περὶ τὴν Θρᾴκην λυπήσας τὸν Φίλιππον, περὶ οὗ ἀγωνίζεται ἐν τοῖς Φιλιππικοῖς ὁ ῥήτωρ. διὰ τοῦτο τελευταίου ἐμνημόνευσε, πᾶσαν ἀποτέμνων ὑπόνοιαν. T.C.V.

248, 10. ὦ λέγων εὐχερῶς] ἀσκέπτως. P. εἰ γὰρ ἀληθὲς ἢ ψεῦδος οὐ μέλει σοι. T.C.V.

248, 11. περὶ τούτων] ἅπερ ἐποίησε μετὰ τοὺς ὅρκους. A.T.

ἀλλ' ὁ τὴν] πνεῦμα. B.

σφετεριζόμενος] ἰδιοποιούμενος.

248, 13. ἐπιτείχισμα] ἐπιτείχισμά ἐστιν ὁρμητήριον τοῖς πολεμίοις πεποιημένον, ἐξ οὗ ὁρμώμενοι τὴν πόλιν κακῶς ποιοῦσιν ἢ μάχονται.

13. Κίτρος] κρίτος B. et mox βέρροια.

15. πρὸς om. A. ἐστιν ἐν Sauppius.

17. τοῦ om. F.

20. ὁ Wolfius pro καὶ ὁ.

ἐπιχειρῶν] ἅπερ ἐποίησε μετὰ τοὺς ὅρκους.

κατασκάπτων] διὰ τοῦ σκάπτειν ἀναστάτους ποιῶν.

ἀναιρῶν] ἀφανίζων.

248, 19. τοὺς φυγάδας κατάγων] τοὺς ἐξορίστους ποιῶν ἐπανελθεῖν, ὑπὸ τῶν Ἀθηναίων ἐλθεῖν εἰς τὴν ἰδίαν πατρίδα. 5

248, 21. εἰρήνην ἢ οὔ] τὸ παρὰ τῷ ῥήτορι Ἑρμογένει θεωρηθὲν πνεῦμα· ὃ δὴ καὶ κάλλιστον κέκριται ὡς ἀπὸ τῆς ἀποφάνσεως μεταπεσεῖν εἰς πεῦσιν τῷ ἢ οὔ; R.

248, 23. τὴν Μυσῶν λείαν] παροιμία· τάττεται δὲ ἐπὶ τῶν μάτην καὶ ἀναιτίως ἀπολλυμένων. B.S.Y. πλέοντες οἱ Ἕλληνες ἐπὶ 10 τὴν Τροίαν προσώρμισαν τῇ Μυσίᾳ καὶ νομίσαντες αὐτὴν εἶναι τὴν Τροίαν ἐπόρθουν. Τήλεφος δὲ ὁ τότε Μυσίας τύραννος πολλοὺς κατατοξεύσας ἐτρώθη καὶ αὐτὸς ὑπὸ Ἀχιλλέως εἰς τὸν μηρόν· εἶτα ὕστερον χρωμένῳ αὐτῷ περὶ ἰάσεως ἀνεῖλεν ὁ θεὸς ὡς οὐκ ἄλλως θεραπευθήσεται, εἰ μὴ ὁ τρώσας καὶ ἰάσεται. ἵνα μὴ οὖν ἀπελθὼν 15 πρὸς τὸν Ἀχιλλέα γνωσθῇ, λαβὼν σχῆμα πτωχοῦ, ἀπελθὼν εἰς τὴν Ἑλλάδα, προσῆλθεν αὐτῷ ὡς πένης, ἰάσεως τυχεῖν βουλόμενος· ἐπεπαίδευτο γὰρ καὶ τὴν ἰατρικὴν ὁ Ἀχιλλεὺς, ὡς παρὰ Χείρωνι τραφείς. καὶ οὕτω θεραπευθεὶς μισθὸν τῆς ἰάσεως λέγεται δοῦναι τῷ Ἀχιλλεῖ τὸ καθηγήσασθαι τοῖς Ἕλλησι τῆς ἐπὶ Τροίαν ὁδοῦ. εἴρη- 20 ται δὲ ἡ παροιμία ἐπὶ τῶν κακῶς πασχόντων. τινὲς δὲ ἐπὶ τῶν ἀδίκως ἀπολλυμένων, ὡς καὶ ἡ Μυσία τότε ἀδίκως ἔπαθεν ὑπὸ τῶν Ἑλλήνων πρῶτον, ὕστερον δὲ ὑπὸ τῶν ἀστυγειτόνων τῇ τοῦ Τηλέφου ἀπουσίᾳ. A.H.R.T.P. ἀγνοήσαντες Ἕλληνες Τροίαν προσωρμίσθησαν τῇ Μυσίᾳ, ἧς Τήλεφος ἦρχεν, νομίσαντες αὐτὴν εἶναι τὴν 25 Ἀλεξάνδρου, καὶ ἐκάκουν εἰς ὅσον ἐξῆν. ἐξιὼν οὖν Τήλεφος καὶ τούτοις συρράξας ἔτρωσε μὲν πολλοὺς, τέτρωται δὲ καὶ αὐτὸς ὑπ' Ἀχιλλέως πρὸς τῷ μηρῷ. ἐγνωκότων οὖν Ἑλλήνων τὴν πλάνην καὶ ἀποκεχωρηκότων οἴκαδ' ἑκάστου, ἀπῄει Τήλεφος εἰς Δελφοὺς, τοῦ τραύματος χρησόμενος περί. καὶ ἰατρὸν τοῦ τραύματος ἀνεῖλε τὸν 30 τετρωκότα ὁ Πύθιος· καὶ ὃς πτωχὸν ὑποκριθεὶς, δεδιὼς μὴ Ἀχιλλεῖ πεφωρᾶσθαι ἂν ἀπῆλθε παρ' Ἀχιλλεῖ ἰάσεως εἵνεκα, ὑπὸ Χείρωνος

17. βουλόμενος] δεόμενος H.R.

22. καὶ om. R.

23. τῇ τοῦ Τηλέφου ἀπουσίᾳ] καὶ λῃστῶν κατὰ τὴν Τηλέφου ἀποδημίαν P.

In T. ultima hæc linea præsecta est: unde suo arbitrio lacunam explevisse videtur P.

πάλαι πεπαιδευμένῳ καὶ ταύτην τὴν ἐπιστήμην μετὰ τῶν τακτικῶν. τυχὼν οὖν ὧν ᾔτει μισθὸν ἀποδίδωσι τούτῳ εἰς Τροίαν ἡγήσασθαι Ἕλλησιν. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν κακῶς ἢ ἀδίκως πασχόντων· ἀμφότερα γὰρ ὑφ' Ἑλλήνων ἔπαθον τότε Μυσοί. F.

248, 26. περιείργασμαι] ματαίως συνεβουλευσάμην. P. ἐνταῦθα ἐπὶ τῶν ἡμαρτημένων πρῶτον ἑαυτὸν εἴρηκε, καίτοι ἐν τοῖς ἄνω ἐναλλάξας, ὡς ἔφην. τὸ δὲ περιείργασμαι, περιττῶς καὶ οὐκ ἀναγκαίως παρῆνεσά τε ἐγὼ καὶ ἡ πόλις ἡ πεισθεῖσα μάτην ἐπείσθη. εἶτα συναγαγὼν τὴν πόλιν καὶ συνάψας τῷ ἁμαρτήματι πάλιν αὐτὴν ἐλευθεροῖ πρὸς εὔνοιαν ἕλκων, καὶ ἑαυτῷ περιτίθησιν ἅπαν τὸ πλημμέλημα. T.C.V.

248, 28. εἰ δὲ ἔδει τούτων κωλυτὴν] ὕστερον ἐφύλαξε τὸ δίκαιον, πολλὰς πρότερον τὰς ἀτοπίας ἐπισωρεύσας. T.C.V.

249, 2. καταδουλούμενον] δούλους ποιοῦντα.

249, 7. ἐφεξῆς] κατὰ τάξιν ἐχόμενα ἀλλήλων.

249, 11. βοηδρομιῶνος] Ἰουνίου.

249, 13. προσήγγειλαν] ἐμήνυσαν. P. ἀντὶ τοῦ ἤδη ἤγγειλαν. B.

249, 14. ἐν τῇ ἐκκλησίᾳ] σύγκλητος ἐκκλησία λέγεται ἡ γενομένη διά τι ἐξαίφνης κατεπεῖγον· τρεῖς γὰρ ἐκκλησίαι τοῦ μηνὸς γίνονται ὡρισμέναι, ἡ δὲ σύγκλητος οὐχ ὡρισμένη.

250, 1. ὁ ἀποστείλας] ὁ Φίλιππος.

ὁ ἀπεσταλμένος] ὁ Ἀμύντας.

250, 3. Εὔβουλος ἔγραψε] πάλιν προτάττει τὸν Εὔβουλον, ἵνα δείξῃ περιφανῶς ἀδικοῦντα τὸν Φίλιππον, ὡς κατανοῆσαι αὐτοῦ τὰς ἐπιβουλὰς καὶ τὸν Εὔβουλον· καὶ ἑξῆς μνημονεύει τῶν ἄλλων λοιπόν. T.C.V.

250, 6. ἐγὼ δ' οὐδὲν περὶ τούτων] καλῶς τὸ περὶ τούτων, ἵνα μὴ πάντῃ ἑαυτὸν ἀλλοτριώσῃ τοῦ γράφειν. T.C.V.

250, 9. βοηδρομιῶνος] Ἰουνίου.

250, 10. ἐχρημάτισαν] τὴν τῶν χρημάτων ἐξέτασιν ἐποίησαν.

250, 24. λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν τοῦ Φιλίππου] Σηλυμβρίαν ἐπολιόρκει Φίλιππος πόλιν τῶν ἐπὶ Θράκης. ἔπεμψαν οὖν Ἀθηναῖοι πλοῖα σιτηγήσοντα αὐτοῖς ἐξ Ἑλλησπόντου, Λαομέδοντος ναυαρ-

3. δὲ] δὴ F. 10. ἐλευθεροῖ Wolfius pro ἐλευθερῶ. 26. τὰς ἐπιβουλὰς add. Wolfius.

χοῦντος· καὶ ὑπονοήσας Φίλιππος μὴ ἐπὶ σιτηγίαν ἀφῖχθαι τὰ πλοῖα, ἀλλὰ βοηθήσοντα Σηλυμβριανοῖς, κατέσχεν αὐτά τε καὶ τὸν ναύαρχον, καὶ γέγραφεν Ἀθηναίοις ἐπιστολὴν αἰτιώμενος αὐτοὺς ὅτι βοηθοῖεν Σηλυμβριανοῖς οὐ συμπεριειλημμένοις τῇ εἰρήνῃ, καὶ παρ' αὐτοὺς εἶναι τὸ λελύσθαι τὰς σπονδὰς, ἀπειλῶν τε ἀμυνεῖσθαι 5 αὐτοὺς παντὶ σθένει, εἰ μὴ τῶν κατ' αὐτοῦ πραγμάτων πεπαύσονται. ἐλθόντων δὲ παρ' Ἀθηναίων εἰς αὐτὸν πρέσβεων ἔδωκέ τε τὰ πλοῖα καὶ ἀφῆκε τὸν ναύαρχον. νῦν οὖν Δημοσθένης, αἰτιωμένου αὐτὸν Αἰσχίνου ὡς αἴτιος ἐγένετο τοῦ πολέμου, δολίως μεταχειρίζεται τὸ πρᾶγμα, λέγων ἑαυτὸν μὴ ποιῆσαι τὸν πόλεμον, διὰ τὸ μὴ δηλῶσαι 10 τὸν Φίλιππον τοῦτο ἐν τῇ ἐπιστολῇ· καίτοι αὐτὸς ἦν ὁ παρακεκινηκὼς Ἀθηναίους εἰς τὸ πολεμεῖν Φιλίππῳ, καὶ λέγων ὡς τῷ μὲν ἔργῳ πάλαι πολεμεῖ πρὸς τὴν πόλιν, τῷ δὲ λόγῳ νῦν ὁμολογεῖ διὰ τῆς ἐπιστολῆς, καὶ πρὸς ὀργὴν ἐντεῦθεν Ἀθηναίους ἐπαίρων. ὅτι δὲ ταῦθ' οὕτως ἔχει ἐκ τοῦ λόγου τοῦ ἐπιγεγραμμένου πρὸς τὴν τοῦ Φιλίππου 15 ἐπιστολὴν πᾶς τις ἀναγνοὺς εἴσεται καὶ φωράσει τὸ ποικίλον τοῦ ῥήτορος. F.P.

251, 15. φιλοτιμούμενον] ἴσως φιλοτιμουμένων.

251, 21. προεστηκόσι] δημαγωγοῖς.

251, 25. οὐδαμοῦ Δημοσθένην] ἀπὸ τοῦ ὀνόματος μὴ κειμένου 20 ἐπὶ τῇ ἐπιστολῇ ἰσχυρίζεται. ὀνομαστὶ μὲν γὰρ οὐκ ἔγραψεν ὁ Φίλιππος, ὅμως εἰς αὐτὸν τὸν Δημοσθένην αἰνιττόμενος καὶ τοὺς περὶ αὐτόν. A.R.T.P.

252, 2. ἔγραψα] ἐψηφισάμην.

252, 3. παρεδύετο] ὡς ἐπὶ λῃστοῦ εἶπε τὴν λέξιν. A.R.T.P. 25

252, 4. τὴν εἰς Εὔβοιαν] πρεσβείαν δηλονότι.

ἔξοδον] ἔξοδον λέγει ἀντὶ τοῦ στρατιάν. A.T.P.

252, 5. πρεσβείαν] ἀντὶ τοῦ στρατιάν.

καὶ τὴν εἰς Ἐρετρίαν] ἔξοδον.

252, 7. τοὺς ἀποστόλους] τὴν ναυτικὴν δύναμιν λέγει. A.T.C.P. 30 ἤγουν τὰς ἐκπλεύσεις τῶν νεῶν.

καθ' οὓς] δι' ὧν.

ἀδικουμένων] ὑπὸ Φιλίππου.

21. ἐπὶ τῇ (τῇ om. R.) ἐπιστολῇ om. A. in quo verba inter κειμένου et εἰς αὐτὸν posita amputata sunt.

27. ἀντὶ τοῦ] αὐτὴν τὴν P.

περιεγένετο] ὑπῆρξεν.

ὀλιγωρήσασι] ἀμελήσασι.

ἐκβέβηκεν] εἰς τέλος ἦλθεν.

252, 16. καὶ μὴν ὅτι πολλὰ μὲν ἂν χρήματα] κατασκευὴ τῶν εἰρημένων καὶ αὔξησις, ἵνα μήτε ὕπτιος ὁ λόγος γίγνηται καὶ ποιήσῃ τὴν πολιτείαν σεμνοτέραν ἐκ τῆς τῶν χρημάτων καταφρονήσεως. T.C.V.

252, 19. ταῦθ' ὑπάρχειν] τὰ πολίσματα ὑπάρχειν καθ' ὑμῶν.

252, 22. καὶ πάντων ἥκιστα σὺ] δηλονότι μάλιστα πάντων σύ.

252, 24. κατέλυον] ἀνεπαύοντο.

252, 25. προὐξένεις] προεστάτευες, πρόξενος, ἀνάδοχος ὑπῆρχες.

252, 27. σοὶ δὲ ἦσαν φίλοι] ὥστ' ἐφάνη καὶ κατὰ τοῦτο τῇ θρεψαμένῃ πολέμιος. T.C.V.

252, 28. οὐ τοίνυν ἐπράχθη τούτων οὐδὲν] οὐ τοίνυν διεφθάρην ὑπὸ χρημάτων ἐγώ· ἵνα ἀκολούθως ἐπαγάγῃ, Ὦ βλασφημῶν περὶ ἐμοῦ καὶ λέγων ὡς σιωπῶ μὲν λαβὼν, βοῶ δ' ἀναλώσας. εἶτα περιτροπῇ δείκνυσι τὰ ἴδια τῶν δωροδοκούντων, ὡς βοῶσι μὲν ἔχοντες καὶ συναγωνίζονται τῷ δεδωκότι—τοῦτο δὲ Αἰσχίνης ποιεῖ—, παύσονται δὲ οὐδέποτε ἄλλως, εἰ μὴ ταῖς κολάσεσι. T.C.V.

τούτων] ὧν ἐπρέσβευσαν.

253, 6. καὶ ἀναρρηθέντος ἐν τῷ θεάτρῳ] ἴσως οὐδενὸς ἐπισημηναμένου οὐδὲ γραψαμένου ἔλαβε κυρωθὲν τοῦ Ἀριστονίκου τὸ ψήφισμα. οἱ δέ φασιν ὅτι, ξενικοῦ στεφάνου πεμφθέντος αὐτῷ διὰ τῶν σεσωσμένων, ἔγραψεν Ἀριστόνικος ἐπιτρέψαι καὶ τὸν δῆμον ἀναγορευθῆναι αὐτὸν ἐν τῷ θεάτρῳ· διὸ καὶ λέγει, στεφανωσάντων τοίνυν ἐμὲ καὶ δευτέρου κηρύγματος ἤδη μοι τούτου γνωσθέντος, ὡς καὶ ἑτέρου πρὸ Ἀριστονίκου τὸ αὐτὸ γράψαντος. ἔοικε δὲ τοῦτο σόφισμα εἶναι· εἰ γὰρ εἶχεν, ἀνέγνω ἄν· ἀλλ' ἔρριπται ἁπλῶς. οὐ μὴν οὐδὲ ληπτέον τὸ δεύτερον κήρυγμα τὸ ὑπὸ Κτησιφῶντος. μετὰ μικρὸν γὰρ ἐρεῖ καὶ περὶ ἄλλων αὐτῷ γραφεισῶν δωρεῶν ὑπό τε Ὑπερίδου καὶ Δημομέλους. T.C.V.

254, 1. ἔστιν οὖν ὅστις ὑμῶν οἶδεν] ἀπὸ τοῦ παρεληλυθότος

11. προεστάτευες] σημείωσαι, ἀντὶ τοῦ προεστάτευες habet etiam B.
30. ὑπὸ Wolfius pro ἐπί.

κατασκευάζει τὸ νῦν. ἐπὶ γὰρ τοῦ νῦν στεφάνου εἶπεν ὁ Αἰσχίνης ὅτι ὀφλήσει πολλὴν αἰσχύνην ἡ πόλις, εἰ τοῦτον οὐδὲν ἔχοντα χρηστὸν, πάμπολλα δὲ ἡμαρτηκότα, τιμήσειεν. ἀλλ' ἐπειδὴ τοῦτο ἄδηλον, ἀπὸ τῶν φθασάντων καὶ ἤδη γενομένων λαμβάνει τὴν πίστιν. εἰ γὰρ εἶδεν ἐπ' ἐκείνων τὴν αἰσχύνην συμβᾶσαν, ἐλπιζέτω καὶ νῦν· καὶ γάρ πως εἰκὸς ἦν μᾶλλον τότε γενέσθαι, ὅτε καὶ νεώτερα ὑπῆρχε τὰ πράγματα, καὶ ἡ βάσανος ὑπ' αὐτῶν ἀκριβεστέρα πως γίγνεται. T.C.V.

254, 3. χλευασμὸν] εἶδος εἰρωνείας.

254, 6. ἐάν τε καλῶς ἔχῃ] καὶ ὦσι συμφέροντα.

254, 7. ἐάν θ' ὡς ἑτέρως] ἐπιβλαβῆ.

254, 9. οὐκοῦν μέχρι μὲν τῶν χρόνων ἐκείνων] συλλογίζεται οὕτως· εἰ τοίνυν, φησὶν, οὐδὲν ἐπηκολούθησεν ὄνειδος τῇ πόλει ἐκ τῆς γεγραμμένης τιμῆς ὑπὸ τοῦ Ἀριστονίκου, δέδεικται καὶ ὡμολόγηται ὡς ἅπας ὁ πρὸ τοῦ ψηφίσματος τοῦ βίου μου χρόνος πάσης διαβολῆς ἐκαθάρευσε, καὶ φανερῶς ἔνδοξα πεπολίτευμαι, καὶ ἡ μαρτυρία τῶν ἔργων σαφεστέρα. T.C.V.

254, 10. ἀνωμολόγημαι] μία ἐστὶ λέξις, ἀντὶ τοῦ ἀνακεκήρυγμαι. A.T.P.

254, 12. καταπραχθῆναι] εἰς τέλος ἀχθῆναι.

254, 22. ἐπὶ Θρᾴκης] τὸν τόπον.

254, 23. τὸ μὲν πρῶτον ἠξίου συμπολεμεῖν] αὔξει κατὰ καιρὸν τοὺς Βυζαντίους, ἐπειδὴ μέλλει συνάπτειν αὐτοὺς τοῖς Ἀθηναίοις. ἱκέτης γέγονε τῶν Βυζαντίων διὰ τὴν χρείαν ὁ Φίλιππος, ἄνευ δαπάνης καὶ ὅπλων ἀνύσειν προσδοκήσας τὸ σπουδαζόμενον. T.C.V.

254, 26. λέγοντες ἀληθῆ] μονονοὺ δικαστὴς μέσος τῶν Βυζαντίων καὶ τοῦ Φιλίππου γέγονε, μετὰ τὴν ἀμφισβήτησιν διδοὺς τοῖς Βυζαντίοις ὡς νικῶσι τὴν ψῆφον. συναγωνίζεται δὲ εἰκότως αὐτοῖς, ἐπειδὴ προσέκρουσαν τοῖς Ἀθηναίοις ἀποστάντες πρότερον. T.C.V.

χαρακώματα] στήλας.

254, 29. οὐκέτ' ἐρωτήσω] ἐνταῦθα οὐκέτ' ἐπάγει τὴν ἐρώτησιν, φοβούμενος μή τις εἴπῃ ὅτι οὐκ ἐχρῆν. λελύπηνται γὰρ εἰς αὐτοὺς

6. ὅτε V. ὅτι T.C. 14. ὡμολόγηται] ἀνωμολόγηται C.G.

ὡς ἀποστάντας. πολλάκις γὰρ εἴπομεν ὅτι εἰ μὴ πάνυ θαρσεῖ ὁ ῥήτωρ, ὡς οὐκ ἀποκρινεῖταί τις εἰ μὴ ὃ βούλεται, οὐ χρῆται τῷ σχήματι. ἐνταῦθα δὲ τὸ ἀμφίβολον ὡς ὁμολογούμενον φθάσας εἴρηκεν. T.C.V.

255, 1. τίς ἦν ὁ βοηθήσας] περὶ ἑαυτοῦ ἐρωτᾷ. B.

255, 3. ἀλλοτριωθῆναι] ἀφ' ἡμῶν.

ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι] εὐκαίρως Ὦ ἄνδρες Ἀθηναῖοι εἶπε, καὶ οὐχὶ Ὦ δικασταί, καίτοι πρὸς τοὺς δικαστὰς διαλεγόμενος· ἐδεῖτο γὰρ τῆς ἀξίας καὶ φιλανθρωπίας ἐνταῦθα τῶν Ἀθηναίων εἰς τὸ σεσῶσθαι τοὺς κινδυνεύοντας. εἶτα ἐπειδὴ τὸ ὑμεῖς ἔμφασιν ἔχει τῶν καθημένων, πρὸς οὓς ὁ λόγος, ἀξιοπίστως ἅμα καὶ συνετῶς ἐν αὐτοῖς εἶναι τὴν ὅλην πόλιν διϊσχυρίζεται. T.C.V.

255, 8. δεῖ μαθεῖν] ὑμᾶς δηλονότι.

255, 9. ἐνστὰς πόλεμος] καθ' ἡμῶν.

255, 12. τῆς νῦν εἰρήνης] τῆς ἐπὶ Ἀλεξάνδρου. φησὶ γὰρ, οὐκ ἔστι μᾶλλον εἰρήνη, ἀλλὰ δουλεία· ἐσπείσατο γὰρ καὶ αὐτὸς πρὸς αὐτοὺς ὥσπερ ὁ πατὴρ, ὥστε αὐτοὺς αὐτονόμους εἶναι καὶ ἀφορολογήτους, ὅμως μέντοι ὑπακούειν αὐτῷ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. A.H.R.T.C.V.

ἣν] ἥντινα εἰρήνην τηροῦσι μὴ συγχωροῦντες ἡμᾶς Ἀλεξάνδρῳ πολεμῆσαι διὰ τὰς μελλούσας ἐλπίδας. ἐλπίζουσι γὰρ ἐπανελθόντα τὸν Ἀλέξανδρον ἀπὸ τῶν Περσῶν μεγάλα αὐτοῖς χαρίζεσθαι ὡς προδόταις. A.H.R.T.C.V.

255, 16. ὧν αὐτοὶ προῄρηνται] τῆς δουλείας δηλονότι. A.P.

255, 21. ῥήτραν] γνώμην.

παρεστηκότι] ἤγουν ἐνεστῶτι.

ἀναστάσει] ἀναστατώσει.

δαίοντος] δῃοῦντος καὶ ἀφανίζοντος.

256, 2. ἐξείλετο ἀμὲ] ἐξήγαγεν ἡμᾶς.

ἀποκατέστασε] εἰς τὴν προτέραν κατάστασιν ἐπανήγαγε.

2. ἀποκρινεῖται Wolfius pro ἀποκρίνεται.

5. ἑαυτοῦ Sauppius. τοῦ ἑαυτὸν B.

9. εἰς τὸ σεσῶσθαι Wolfius pro διασεσῶσθαι.

16. δουλεία] δειλία V. Verba proxima καὶ αὐτὸς—πατήρ amputata in A.

18. αὐτῷ] αὐτῷ A. αὐτῶν V. Ambigua scriptura in T. Proximum καὶ om. T.V.

22. ἀπὸ A. κατὰ ceteri, excepto R. qui om. verba κατὰ τῶν Περσῶν. ἐκ scripserat Wolfius.

ἐπιγαμίαν] συγγενικὴν, γνησίαν, ὥσπερ ἀπὸ γάμου συνεδέθησαν, γνησίαν ὡσπερεὶ ἦσαν ὁμόφυλοι.

ἀνακαρῦξαι] ἀνακήρυξιν δοῦναι τῷ στεφάνῳ.

ἐπιστέωνται] γινώσκωσιν.

εὐχαριστίαν] ἀντίδοσιν. 5

ἱδρύονται] καθιδρύουσιν· ἤγουν θεοποιοῦσιν αὐτοὺς τοὺς Ἀθηναίους.

257, 7. ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία] ἡ βουλὴ ἡ ἐμὴ καὶ ἡ παρὰ τῆς πόλεως πρᾶξις. P. παρατήρει ὅπως πανταχῇ τὴν προαίρεσιν καὶ τὴν ἐγχείρησιν ἐθίζει αὐτοὺς, ἀλλ' οὐ τὸ τέλος σκοπεῖν, ἐπειδὴ τοῦτο ἄγειν ἐπὶ τὴν τύχην βούλεται, ὡς οὐκ ἂν ὑπεύθυνος. 10 T.C.V.

257, 11. πολιορκῶν] διὰ τὸ μὴ ὑπακοῦσαι αὐτοὺς σὺν ἐκείνῳ πολεμεῖν ἡμῖν.

257, 16. ἐξ ὧν] ἐκ τοῦ δεηθῆναι τοὺς Βυζαντίους, παριδόντες τὰ παίσματα. 15

257, 20. σύμβουλον λέγω καὶ ῥήτορα] ἴσως ἡ διαστολὴ πρὸς τοὺς στρατηγούς. T.C.V.

257, 21. πλὴν δι' ἐμὲ] ἀντὶ τοῦ, εἰ μὴ δι' ἐμέ.

ἵνα τοίνυν καὶ τὰς βλασφημίας] ἐπειδὴ δυστυχοῦντας ἀνθρώπους διέβαλε προλύσας ἱκανῶς διὰ τῶν προειρημένων, τὴν ἀντίθεσιν ὁ ῥήτωρ 20 ἔθηκε νῦν φανερῶς. T.C.V.

257, 23. ἐποιήσατο] Αἰσχίνης δηλονότι.

συκοφαντίας οὔσας] οὐ μόνον τῷ εἶναι ψευδεῖς. λέγεται γὰρ συκοφάντης οὐχ ὁ ψευδόμενος μόνον, ἀλλὰ καὶ ὁ πολυπραγμονῶν τὰ μὴ προσήκοντα καὶ λέγων πονηρά. T.C.V. 25

257, 25. τοῦτο] ὅτι ψευδεῖς ἦσαν.

257, 28. κέχρημαι] ἀντὶ τοῦ ἐκεχρήμην.

χρήσασθαι] βοηθῆσαι αὐτοῖς.

257, 29. τῶν καθ' ὑμᾶς] τῶν ἐφ' ὑμῶν, ἐν τῷ χρόνῳ ὑμῶν.

258, 1. καὶ ταῦτ' ἐν βραχέσι] ῥήμασι δηλονότι. P. διὰ τὸ 30 ὀλιγωρεῖν τὸν ἀκροώμενον ψυχαγωγεῖν βούλεται διὰ παραδειγμάτων σεμνῶν καὶ κατορθωμάτων λαμπρῶν καὶ τὸ καθ' αὑτὸν ἀπολύσασθαι καὶ δεῖξαι ὡς διὰ τὸ ἔθος ἡ πόλις, οὐ δι' ἐμὲ, βεβοήθηκε. καὶ γὰρ ὀφείλει καὶ ἕκαστος ἰδίᾳ καὶ ἡ πόλις ὅλη τὰ λοιπὰ πράττειν εἰς ζῆλον τῶν παλαιοτέρων. T.C.V. 35

258, 3. τὰ λοιπὰ] τὰ ἔμπροσθεν.

258, 4. ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] καίτοι παλαιότερα τῶν νῦν ἐστι τὰ λεγόμενα, ἀλλὰ δῆλον ὡς πρὸς μίαν πόλιν διαλέγεται· διὸ καὶ εἶπεν Ὦ ἄνδρες Ἀθηναῖοι, τὸ γένος ὅλον δηλῶν. T.C.V.

258, 8. οὐ ναῦς οὐ τείχη] ἦσαν γὰρ οἱ Λακεδαιμόνιοι λαβόντες αὐτῶν τὰς ναῦς ἐν Αἰγὸς ποταμοῖς διὰ Λυσάνδρου καὶ τὰ τείχη αὐτῶν κατασκάψαντες. A.H.R.T.C.P. ἀπογυμνοῖ αὐτὴν πάσης παρασκευῆς καὶ δυνάμεως, ἵνα πλέον δυσωπήσῃ τὸν κατήγορον. εἰ γὰρ, ὅτε μηδεμίαν ἐκέκτητο δύναμιν, ἀντεῖχεν πρὸς τὴν τοσαύτην δύναμιν φιλανθρωπίας ἕνεκεν, πῶς, ὅτε οὐκ ἀσθενὴς ἦν, ἀλλὰ καὶ σφόδρα ἐπίσημος καὶ δυνατὴ, προδώσειν τοὺς Ἕλληνας ἔμελλεν; T.C.V.

258, 10. οὐ πολλαῖς δὲ] ἵνα μὴ ὡς αὐξηθείσης τῆς δυνάμεως λοιπὸν ἐλαττώσῃ τὸ θαῦμα. αὕτη δέ ἐστιν ἡ μεγάλη μάχη ὀνομαζομένη· καὶ ἡττήθησαν Ἀθηναῖοι. ἀλλὰ προεθίζει τοὺς ἀκροατὰς, ὅτι καί ποτε τὴν ἧτταν ἐστέρξατε ὑπὲρ τῶν ἀδικουμένων πολεμήσαντες. ἐξαρκεῖ δὲ τὸ ἐξήλθετε. T.C.V.

258, 11. τῶν τότε Ἀθηναίων πολλὰ ἂν ἐχόντων] νῦν ὅτε περὶ τοῦ μὴ δεῖν μνησικακεῖν ἐμνημόνευσεν, εἶπε τῶν τότε Ἀθηναίων, καίτοι γε τοῖς νῦν αὐτὸς, ὡς εἴπομεν, λογισάμενος. T.C.V.

258, 14. τοῦτο] τὸ μνησικακῆσαι.

258, 15. εὐεργετῶν] μὴ ἐχθρῶν.

258, 17. ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς] ἵνα μὴ δοκῶσιν ὡς μισοῦντες ἀμυνόμενοι Λακεδαιμονίους ὄντας ἐχθροὺς πεποιῆσθαι πόλεμον. τὸ δὲ ἤθελον, οἷον οὐ Δημοσθένους αὐτοὺς ἐρεθίζοντος. οὐ λόγος, φησὶν, ἐξῆγεν ἡμέτερος, ἀλλὰ ἡ φύσις ἐκίνει πρὸς τὴν παράταξιν. εἶτα ἐπικρίνει καὶ βεβαιοῖ, τῶν πατέρων τὴν γνώμην ἀποδεχόμενος, καὶ τοῖς κοινοῖς λογισμοῖς κυροῖ τὸ πολίτευμα· ὥστε δοκεῖν μὲν παρὰ τοῖς Ἀθηναίοις δημηγορεῖν, ἅπασι δὲ συμβουλεύειν ἀνθρώποις τὰ χρήσιμα. T.C.V.

258, 18. ὀρθῶς] δικαίως καὶ συμφερόντως.

258, 20. κἂν ἐν οἰκίσκῳ τις αὐτὸν] φασὶ τὸν ὀρνέων οἶκον οὕτω καλεῖσθαι παρὰ Ἀττικοῖς. λέγει οὖν ὅτι κἂν μεταβάλλῃ τὴν δίαι-

5. ποταμοῖς] ποταμῷ T.C.P.

15. ἀδικουμένων Wolfius pro ἀδικημάτων.

18. τῶν—Ἀθηναίων Wolfius pro τοῖς—Ἀθηναίοις.

22. δοκῶσιν Wolfius pro δοκῶνται.

ταν, κἂν ὄρνις εἶναι νομίζηται, ἀποθανεῖται πάντως καὶ μὴ δεικνὺς ἑαυτὸν, ἀλλ' οὕτω κρυπτόμενος. T.C.V.

258, 21. καθείρξας] περικλείσας.

ἀγαθοὺς] ἀνδρείους.

258, 22. ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ] πάλιν τὴν ἐπιχείρησιν ἐπαινεῖ, τὸ δὲ πέρας οὐκ ἀναδέχεται. T.C.V.

καλοῖς] ἀγαθοῖς πράγμασι.

τὴν ἀγαθὴν προβαλλομένους] ὥσπερ πρόβολον. T.C.V. πρὸ ὀμμάτων ἔχοντας τὸ νικᾶν.

258, 25. ταῦθ' ὑμῶν οἱ πρεσβύτατοι] τί λέγω τοὺς πάλαι προγόνους, φησὶ, καὶ ὑμῶν οἱ ζῶντες πρεσβύτεροι ταύτην ἤσκουν τὴν γνώμην, οἳ καὶ τῶν Λακεδαιμονίων κινδυνευόντων ἐφείσαντο, ἡνίκα οἱ κρατήσαντες αὐτῶν ἐν Λεύκτροις διαφθείρειν αὐτοὺς ἐσπούδαζον. οὐκοῦν ἐντεῦθεν ἐξενέγκατε νόμον, ὡς εὐτυχοῦσι μὲν ὀργίζεσθαι τοῖς ἐχθροῖς, ἐπταικόσι δὲ ἐπαμύνειν. T.C.V.

259, 10. ὑπὸ Θεμίσωνος] Θεμίσων τις καὶ Θεόδωρος Εὐβοεῖς, ἐπιθέμενοι Ὠρωπῷ, χωρίῳ Ἀθηναίων, κειμένῳ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας, ἔλαβον αὐτό. ὡς δὲ Ἀθηναῖοι ἔμελλον πόλεμον συνάψειν, ἔδοξε δίκῃ μᾶλλον κρίνεσθαι. τὸν δὲ μέχρι τῆς κρίσεως χρόνον Θηβαῖοι ἔφασαν αὐτοὶ λαβόντες φυλάξειν τὸ χωρίον. ὡς δὲ ἔλαβον, οὐδὲ ἑτέροις ἀπέδοσαν, μέχρις οὗ Φίλιππος ὕστερον σπεισάμενος Ἀθηναίοις ἐν τῷ ἀναχωρεῖν ἐπὶ Μακεδονίαν ἐχαρίσατο αὐτοῖς παρὰ Θηβαίων λαβών. A.H.R.T.F.V.

259, 12. τῶν ἐθελόντων] οὐ χειροτονησάσης τῆς πόλεως τριηράρχους, ἀλλὰ τῶν ἐθελόντων γενομένων τριηραρχῶν.

259, 15. τὴν νῆσον] τὴν Εὔβοιαν.

259, 16. καὶ τῶν πόλεων] τῆς Εὐβοίας.

259, 17. αὐτοῖς τοῖς ἐξημαρτηκόσιν] Εὐβοεῦσι.

259, 18. μηδὲν ὧν ἠδίκησθε] νομοθετεῖ πάλιν ὁ ῥήτωρ τὰ κάλ-

10. λέγω Wolfius pro λέγεις.
13. αὐτοὺς add. Wolfius.
16. Εὐβοεῖς] ὄντες add. F.
18. πόλεμον συνάψειν H.R. πολεμεῖν ceteri.
19. μᾶλλον κρίνεσθαι] κεκρίσθαι μᾶλλον F.
21. οὐδὲ—μέχρις] οὐκ ἐδίδοσαν, ἀλλ' εἶχον αὐτοὶ μέχρις F.
Φίλιππος] ὁ φίλιππος T.V.
σπεισάμενος F. σπενδόμενος ceteri.
22. αὐτοῖς παρὰ F. αὐτοῖς τοῖς ἀθηναίοις ἀπὸ ceteri.
25. γενομένων Wolfius pro γίνεσθαι.

λιστα φιλοσοφῶν· οὐδὲ γὰρ ἂν ἔχοι λόγον ἀδικεῖν τοὺς πιστεύσαντας. T.C.V.

259, 20. ἐξόδους] ἐκστρατείας.

259, 23. τεθεωρηκὼς] ἐννενοηκώς.

259, 26. συμβουλῆς οὔσης] τοῦ σωθῆναι τοὺς Βυζαντίους. 5

τί ἔμελλον κελεύσειν] παρακινήσειν. P. τὸ ἀξίωμα τοῦ συμβούλου διὰ τοῦ κελεύειν ἐδήλωσεν, ὑπὲρ αὐτῆς τρόπον τινὰ τῆς βουλῆς οὔσης· οἷον, ἐν οἷς ἐδοκοῦμεν ἄλλοις βοηθεῖν, καὶ τὸ λυσιτελὲς ἠνύετο τῆς πόλεως ἤδη, λέγω τὸ συμμαχεῖν Βυζαντίοις· ἐδόκει γὰρ τῷ φαινομένῳ μὲν Βυζαντίους ὠφελεῖν, ὠφέλει δὲ καὶ τὴν πόλιν διὰ τὴν 10 σιτοπομπίαν. T.C.V.

259, 28. σώζεσθαι] Βυζαντίους.

260, 5. οὐκ ἐξῆν] ἄδειαν εἴχετε.

260, 6. βούλομαι τοίνυν ἐπανελθεῖν] τοῖς εἰρημένοις ὑπαιτίοις οὖσιν ἀναμίξαι πάλιν τὴν μνήμην τῶν ἀγαθῶν ἐπείγεται, ἵνα στείλῃ 15 διὰ τῶν ἐπαίνων τὴν μέμψιν. T.C.V.

260, 7. τούτων ἑξῆς] ἐχόμενα τῶν προειρημένων.

260, 9. ὁρῶν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ναυτικὸν ὑμῶν] ὅρα τοῦ φροντίζοντος τὴν διάνοιαν. τὸ καταλυόμενον δὲ, τὸ κατὰ μικρὸν ἀφανίζεσθαι μέλλον. T.C.V. 20

τὸ ναυτικὸν] τάγμα.

ἀναλωμάτων] δαπανημάτων.

τὰ ὄντα] τὰ περιόντα αὐτοῖς.

260, 14. ἔθηκα νόμον] ἐνομοθέτησα. P. οὐ γὰρ ἐπείθοντο ψιλοῖς λόγοις οἱ πλούσιοι. εἶτα, ἐπειδὴ τὸ ἀναγκάζειν ὕποπτον ἦν, ἐπήγα- 25 γεν εὐθὺς τὰ δίκαια ποιεῖν. δεῖ γὰρ καὶ ἄκοντας ἐμβάλλειν εἰς τὰ καλὰ τοὺς οἰκείους. ἀνεπαχθῶς δὲ τὸν κατὰ τῶν πλουσίων μετεχείρισατο λόγον, μεταλήψει τῶν ὀνομάτων εἰς τὸ χρήσιμον τὴν ζωὴν μεταλλάξας. T.C.V.

260, 17. παρασκευὰς] τὰς πολεμικὰς ἑτοιμασίας. 30

260, 18. καὶ γραφεὶς] κατηγορηθεὶς παρανόμων.

16. διὰ add. Wolfius.

27. καλὰ vel καθήκοντα Wolfius pro κατά.

δὲ Wolfius pro γάρ.

28. τὴν ζωὴν om. V.: unde Wolfius τὴν ἀνάγκην addidit post τῶν ὀνομάτων.

260, 24. ὑπωμοσίᾳ] ὑπερθέσει, σκήψει, προφάσει. ἔστι γὰρ ὑπωμοσία τὸ ὑπερτίθεσθαι δίκην, ἤγουν ἀναβάλλεσθαι συνωμοσία δὲ τὸ κατὰ τινῶν βουλεύσασθαι καὶ ἀλλήλους ὅρκοις συνδεῖσθαι μὴ ἀποστῆναι τοῦ ἀτόπου βουλεύματος, μέχρις ἂν τοῦτο τελεσθείῃ.

260, 25. ὀκνήσαιμι] ἀναβαλοίμην.

260, 28. λειτουργεῖν] συνεισφέρειν.

261, 1. γιγνόμενον] ὀφειλόμενον.

τιθέναι] κατατιθέναι, διδόναι.

δυοῖν] νηῶν.

κατὰ τὸν ἐμὸν] ὡς ἐμοῖ δοκεῖ.

προτέρου] τοῦ νόμου.

συντέλειαι] συγκροτήσεις.

ἐπεχειροτόνησεν] ἐπεψηφίσατο. ἐπὶ χειροτονίᾳ ἡ κατάστασις τῆς βουλῆς.

261, 20. φέρε δὴ καὶ τὸν καλὸν κατάλογον] κατ' εἰρωνείαν. T. ἤθει καὶ ἐν εἰρωνείᾳ· τὸν γράψαντα γάρ πως κατέλεγεν. T.C.V.

261, 24. συντελειῶν] συνδόσεων.

262, 3. πλειόνων] τῶν δέκα ταλάντων.

ἀποτετιμημένη ᾗ] ἤγουν ἔχῃ ἐκτίμησιν.

ἀναλογισμὸν] λογαριασμόν.

λειτουργία] συγκρότησις.

262, 9. ἆρά γε μικρὰ βοηθῆσαι τοῖς πένησιν] οὐχ ἁπλῶς πένησιν, ἀλλ' ὑμῶν. T.C.V.

262, 11. οὐ τοίνυν μόνον τῷ μὴ καθυφεῖναι] ἀνακεφαλαιοῦται τὴν αὔξησιν προστιθεὶς, οὐ κατὰ τοῦτο μόνον αὐχῶ, ὅτι μὴ προὔδωκα τὴν γραφὴν, ἀλλ' ὅτι καὶ αὐτὸς ὁ νόμος ἐπηνέθη τῇ πείρᾳ. ἔστι γὰρ ἀπάτη νικᾶν μὲν, εἶναι δὲ ἀσύμφορον. ὅθεν τὴν ἀπὸ τῶν πραγμάτων ἀπόδειξιν εἰς συμμαχίαν καλῶν τὰ ἑξῆς ἐπάγει κατὰ ἀναίρεσιν, οὐκ ἐν Μουνυχίᾳ ἐκαθέζετο. σημαίνει δ' ὅτι ἱκέτης ἦν ὁ τριήραρχος. οὐ δεσμώτην ἑώρων οἱ ἄρχοντες οὗτοι οἱ τῶν Ἀθηναίων, ἀπόστολοι καλούμενοι. T.C.V.

καθυφεῖναι] ἐνδοῦναι πρὸς τὰς τῶν πλουσίων αἰτήσεις.

24. ἀλλ'] ἀλλὰ καὶ V.
ὑμῶν] ὑμῖν C.

28. νικᾶν μὲν Wolfius pro μὲν νικᾶν.
31. ἀπόστολοι] ἀποστολεῖς Wolfius.

γραφεὶς] *κατηγορηθείς.*

πεῖραν] *αἴσθησιν τοῦ συμφέροντος.*

πάντα γὰρ τὸν πόλεμον] *κατὰ πάντα τὸν καιρὸν τοῦ πολέμου.*

262, 17. *ἐν* Μουνυχίᾳ] Μουνυχία *τόπος περὶ τὸν* Πειραιᾶ, *ἔνθα ἐστὶν ἱερὸν* Μουνυχίας Ἀρτέμιδος· *κἀκεῖ ἔφευγον οἵτινες τῶν τριη-* 5 *ράρχων ἠδικοῦντο, ἢ ναῦται, ἤ τινες τῶν ἐξεταζομένων ἐν τῷ* Πειραιεῖ. *ἐκλήθη δὲ* Μουνυχία, *ὥς φησιν ὁ* Διόδωρος, *παραφέρων τὰ* Ἑλλανίκου, *λέγων ὡς ὅτι* Θρᾷκές *ποτε στρατεύσαντες κατὰ τῶν οἰκούντων τὸν* Μινύειον Ὀρχομενὸν *τὸν τῆς* Βοιωτίας *ἐξέβαλον αὐτοὺς ἐκεῖθεν· οἱ δὲ ἐξαναστάντες ἦλθον εἰς* Ἀθήνας *ἐπὶ* Μουνύχου *βασιλέως· ὁ δὲ* 10 *ἐπέτρεψεν αὐτοῖς οἰκῆσαι τὸν τόπον τοῦτον, τὴν* Μουνυχίαν, *ὅστις οὕτως ὠνομάσθη παρ' αὐτῶν πρὸς τιμὴν τοῦ βασιλέως.* A.H.R. F.T.C.V.

262, 18. *ἀποστολέων*] *ἀποστολεῖς ὄνομα ἦν ἀρχῆς παρὰ τοῖς* Ἀθηναίοις, *ἔργον ἔχουσα τὸ φροντίζειν τῆς ναυτικῆς δυνάμεως πρὸς* 15 *τὸ ταχέως ἐξελθεῖν.* A.H.R.T.C.P.

262, 20. *οὔτ' αὐτοῦ ἀπελείφθη*] *ἐν τῷ λιμένι ἀνεπισκεύαστος.*

ἀπόρων] *πενήτων.*

εὐπόρους] *πλουσίους.*

μετήνεγκα] *ἡ λέξις δηλοῖ τὸν ἀνεξίκακον.* T.C.V. 20

δέοντα] *συμφέροντα.*

262, 29. *βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες*] *ἀποτείνεται πρὸς τὸν* Αἰσχίνην *διὰ φθόνον τοῦ στεφάνου.* T.C.V. *βάσκανον δὲ, φιλαίτιον, μεμψίμοιρον.*

263, 8. *ἡγοῦμαι τοίνυν λοιπὸν*] *ὅτι κατὰ νόμον ἐν θεάτρῳ γενέ-* 25 *σθαι τὸ κήρυγμα εἴρηκε, καὶ ὅπως οὐχ ὑπεύθυνον ἔγραψέ με στεφα-*

4. Μουνυχία] *μουνύχιον* F.V. hic et infra.

5. *τριηράρχων*] *τριηραρχῶν* F. V. Verba *ἔνθα ἐστὶν—τριηράρχων* amputata in A.

7. Διόδωρος] Inter fragmenta libri septimi recepit Wesseling. vol. ii. p. 636.

παραφέρων] *περιφέρων* F.T.V.

8. *τῶν οἰκούντων τὸν*] *μινυῶν ὀρχομενῶν τῶν* F.

9. Μινύειον Wesselingius. *μινυῖον* A. *μινὸν* ceteri.

11. *τοῦτον—Μουνυχίαν*] *τὸν νῦν μουνυχίαν καλούμενον* F. In T.V. hæc sic scripta, *τὸν περὶ τὴν μουνυχίαν, ὅστις ἐπωνομάσθη παρ' αὐτῶν εἰς τιμὴν τοῦ βασιλέως.*

14. *ἀποστολεῖς*] *οἱ ἐπιστάται τῶν πλεύσεων* add. P.

15. *ἔχουσα* A.R. *ἐχούσης* ceteri.

πρὸς τὸ A.H.R. *καὶ τὸ* F.T.C. *διὰ τὸ* F. a m. sec. *καὶ τοῦ* P.

25. *ὅτι* Wolfius pro *τό.*

BODLEIAN LIBRARY OXFORD

νοῦσθαι. ἐλέγομεν δὲ ὅτι τὸ δίκαιον καὶ τὴν ἐξέτασιν τῆς πολιτείας εἰς δύο διελὼν καὶ μέσον τάξας τὸ νόμιμον οὕτω πεποίηκε τὴν διοίκησιν. T.C.V. ἕως ὧδε τὰ περὶ τῆς πολιτείας· ἐνταῦθα δὲ εἰσβάλλει εἰς τὸν περὶ τῶν ὑπευθύνων νόμον, καὶ μετὰ οὐ πολὺ πάλιν ἐπανελεύσεται περὶ τῶν πολιτειῶν. 5

λόγους] ἀποδείξεις.

περὶ τῶν παραγεγραμμένων νόμων] νόθων νόμων, ὧν εἰσῆγεν Αἰσχίνης. P. παρ' οὓς παρέγραψε τὸ ψήφισμα, σημειωσάμενος ὅτι παρὰ τούτους τοὺς νόμους ἐγράφη τὸ ψήφισμα. T.C.V.

συνεῖναι] συνιέναι τοὺς πολλοὺς αὐτῶν ἀπ' ἐκείνων. 10

ἁπλῶς] ἀπεριέργως.

263, 27. ὧν μέντοι γε] τὸ νόμιμον τοῦτο λύει τῷ ῥητῷ καὶ τῇ διανοίᾳ. ἐκείνου γὰρ λέγοντος ὅτι ὁ νόμος οὐκ ἐᾷ τὸν ὑπεύθυνον στεφανοῦν, οὗτος τῇ διανοίᾳ κέχρηται· ἀλλ' οὐκ ἐν τῷ τὰ ἐμαυτοῦ ἀναλίσκειν, ἃ δέδωκα τῷ δήμῳ· ἐν τῇ τειχοποιίᾳ γὰρ ἐπέδωκεν, ὡς ἔγνωμεν. A.R.F.T.C.P. 15

ἐπαγγειλάμενος] ὑποσχόμενος.

264, 6. τούτους] τοὺς συκοφάντας τε καὶ τοὺς δόντας.

264, 10. ἐπέδωκα] ἐπένειμα.

264, 11. ἐπῄνεσεν αὐτόν φησιν ἡ βουλὴ ὑπεύθυνον ὄντα] τοῦτο ὡς ἀπὸ Αἰσχίνου λέγοντος ὅτι ἀπατηθεῖσα ἡ βουλὴ ὑπ' αὐτοῦ ἐπῄνεσεν αὐτὸν καὶ ἐστεφάνωσεν ὑπεύθυνον ὄντα. A.R.T.P. ἀντὶ τοῦ εἰπεῖν, ὁ Κτησιφῶν, ὑποσημαίνει τὴν βουλὴν ὡς ἐπαινέσασαν ἤδη, ἵνα φαίνηται τῆς βουλῆς, οὐ Κτησιφῶντος, κατηγορῶν. T.C.V. 20

οὐ περὶ τούτων γε οὐδενὸς] μὴ κατηγόρει, φησίν, ἀδίκως, μηδὲ συκοφάντει τὴν εἰρήνην. οὐ γὰρ οὗτος, ὡς σὺ λέγεις, ἐν οἷς εἰμὶ ὑπεύθυνος, ἐπῄνεσεν, ἀλλὰ δι' ἅπερ ἐπέδωκα, διόπερ εὐκαίρως ἐπήνεγκε τὸ, ὦ συκοφάντα. T.C.V. 25

264, 13. ἀλλὰ καὶ τειχοποιὸς ἦσθά φησι] καὶ τοῦτο ὡς ἀπὸ Αἰσχίνου. A.T.P. τοῦτο μὲν εἰ συνῆπτο τῷ ἄνω τῷ περὶ τῶν θεω- 30

1. δὲ addidit Wolfius.
8. παρέγραψε Wolfius. παρέγραψα T.C.P. προέγραψα V.
13. ἐκείνου] Αἰσχίνου F.
14. ἀλλ' οὐκ—ἔγνωμεν] λέγων ὡς ὅστις μὲν κοινὰ ἀναλίσκει χρήματα, τοῦτον ὁ νόμος εὐθύνει, οὐ μὴν τὸν ἐξ ἰδίων ἀνηλωκότα F.P.
25. οὐδενὸς] οὐδεὶς T.V. οὐδὲ εἷς C.
26. οὗτος Wolfius. ὄντως V. οὕτως codices.
27. διόπερ T.C. διόπερ καὶ V.

ρικῶν, ἅμα ταῖς δύο ἀρχαῖς αὐτὸν ἡ ἀντίθεσις ἔνοχον ὄντα ἐδείκνυε, λέγουσα ὅτι κατὰ ταὐτὸν καὶ τοῖς θεωρικοῖς ὑπεύθυνον ὄντα καὶ τῇ κατασκευῇ τοῦ τείχους ἔγραψε τιμηθῆναι, ἰσχυρά πως ἐφαίνετο σφόδρα· καὶ περὶ τὴν ἀναίρεσιν ἠπορούμεν. νῦν δὲ τὸ ἰσχυρὸν διαπαίξας τὸ περὶ τῶν θεωρικῶν, καὶ τῷ τάχει τὴν ἀπάτην ὑποκλέψας, 5 ὡς ἐκ περιουσίας εἰσάγει ληροῦντα περὶ τούτων τὸν Αἰσχίνην, καὶ λέγοντα, τειχοποιὸς ἦσθα, ὅπου μάλιστα ἡ προλαβοῦσα λύσις ἀκόλουθος ἦν, ἐν οἷς ἔλεγεν, ἀλλ' ἐφ' οἷς ἐπέδωκα. διὸ καὶ φιλοτιμεῖται διοριζόμενος. T.C.V.

264, 22. πρῶτον μὲν Ναυσικλῆς] ἑτέρα τις ἐπαγωγὴ τῆς ἀκροά- 10 σεως. ὡς γὰρ τοῦ Αἰσχίνου λέγοντος ὅτι οὐκ ἔξεστι τὸν ὄντα ἐν ἀρχῇ φιλοτιμεῖσθαι τὰ ἑαυτοῦ καὶ χαρίζεσθαι, οὕτως ἐπάγει τὰ παραδείγματα. εἰκὸς δὲ ἦν μετὰ τὸ δοῦναι τὰς εὐθύνας στεφανωθῆναι αὐτούς, ἀλλ' ἀορίστως προῆκται. T.C.V.

264, 25. εἶθ' οὗτος Νεοπτόλεμος] οἰκειότερον τοῦτο πρὸς αὐτὸν τὸ 15 παράδειγμα. καὶ γάρ τι καὶ τελευταῖόν ἐστιν. T.C.V.

264, 27. σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε] μετὰ τὴν ἀπόδειξιν εὐλόγως σχετλιάζει, τοῖς κοινοῖς λογισμοῖς λοιπὸν χρώμενος. ἐπειδὴ ἄρχω τινὰ ἀρχήν, ἀξιοῖς ἐμὲ δοῦλον ποιεῖν, ὡς οὐ δέον τοῖς ἐμοῖς χρῆσθαι ὡς βούλομαι. καὶ οὐχ ἁπλῶς διδόναι τὰ ἑαυτοῦ εἰπὼν 20 ἀπηλλάγη, ἀλλὰ διδόναι τῇ πόλει προσέθηκεν, ὀνόματι τῆς πατρίδος τὴν ἀτοπίαν συναύξων. T.C.V.

265, 10. τοῖς κατοικοῦσιν] Ἀθηναίοις.

265, 18. ὁ ἐπὶ τῶν ὁπλιτῶν] ὁ ἐπιστάτης τῶν ὁπλιτῶν.

265, 20. ὁ ἐπὶ τῶν ἱππέων] ὁ τοῦ ἱππικοῦ ἐπιστάτης. 25

266, 5. ἐπίδωκα; ἐπαινοῦμαι διὰ ταῦτα] ἐλέγχει αὐτὸν ὡς ἀγνώμονα καὶ ψευδόμενον. οὐκοῦν οὐδ' ἐγὼ εὐθύνας ἀπαιτεῖσθαι δίκαιός εἰμι ὧν ἐχαρισάμην, ἀλλὰ τιμᾶσθαι· φυλάττεσθαι γὰρ ἐπὶ πάντων προσήκει τὸ αὐτὸ δίκαιον. ποῖον τοῦτο; ἄκουε καὶ μάθανε. Ἐπέδωκα; Ἐπαινοῦμαι τῆς ἐπιδόσεως χάριν. Ἦρξά τινα ἀρχήν; 30 εἶτα δέον εἰπεῖν ὡς ἐπὶ τοῦ προτέρου, Δίδωμι τὰς εὐθύνας τούτων, ἐνήλλαξε τὸν χρόνον, Καὶ δέδωκα εὐθύνας ἐκείνων· ὥς τινας ὑπολα-

3. κατασκευῇ] ἐπισκευῇ Wolfius.

19. ἀρχὴν—τοῖς Wolfius pro ἀρχὴν, ἀλλ' ὡς ἐμὲ δοῦλον ποιεῖν. οὐ δέον γὰρ τοῖς.

26. ἐλέγχει Wolfius pro ἐλέγχων.

27. οὐκοῦν—ὧν Wolfius pro οὐκοῦν οὐ λέγω εὐθύνας ἀπαιτεῖσθαι δίκαιος ὧν (ὧν V).

βεῖν ἐντεῦθεν, ὡς μεταξὺ τῆς γραφῆς ἀποτεθείσης, πρὶν ἐλθεῖν εἰς τὸ δικαστήριον, φοβηθεὶς παρέσχε τὰς εὐθύνας τούτων· διὰ τοῦτο καὶ πλάττεταί τινας ὥσπερ ἀνθυποφορὰς παρ' Αἰσχίνῃ. T.C.V.

266, 8. νὴ Δί' ἀλλ' ἀδίκως ἦρξα] οὐ τοῦτο πάλιν Αἰσχίνης κατηγορεῖ, ἀλλ' ὁ ῥήτωρ νῦν αὐτὸ προστίθησιν, ἐπειδὴ θαρρεῖ ἑαυτῷ μὴ κεκλοφέναι. A.R.T.C.P. καὶ τὴν λύσιν εὐθέως κατ' ἐπιτίμησιν εἰσάγει, Καὶ τί προδότης ἐγένου τῆς πόλεως τῇ σιωπῇ; πῶς τοῦ Δημοσθένους ἐφείσω πολιτευσαμένου τὰ χείριστα; τίς εἶδέ σε τῶν λογιστῶν τὴν πονηρίαν μεμφόμενον; T.C.V.

266, 8. εἶτα παρὼν] σημείωσαι· ἀπὸ τοῦ καιροῦ τὸ ἐπιχείρημα. B.

267, 3. γέγραψαι] ὁ Πλάτων φησὶ, γραφήν σέ τις ὡς ἔοικε γέγραπται· κεῖται ἐν τῷ Εὐθύφρονι.

267, 4. ἃ δέ φησιν ἡ βουλὴ δεῖν] πάλιν ἐνέμεινε τῷ θεωρήματι, ἀντὶ τοῦ Κτησιφῶντος μεταλαβὼν τὴν βουλήν. ἐνθυμεῖται δὲ πάνυ χαριέντως ἐλέγχων ὡς ἀχάριστον ὁμοῦ καὶ ἀνόητον· οἷον, ἂν μέν τις διδῷ τὰ ἑαυτοῦ, λαμβάνειν τὴν βουλὴν οὐκ ἐκώλυσας· ἂν δὲ θέλῃ τὸν δεδωκότα ἀμείψασθαι, παράνομον καλεῖς τὸ γιγνόμενον· καινὸς ἀναφαίνῃ νομοθέτης, τὸ μὲν λαβεῖν ἐπαινῶν, τὸ δὲ ἀποδοῦναι μεμφόμενος. προσεκτέον δὲ πάλιν τῷ ἀποδοῦναι ὡς εὐκαίρως εἰρημένῳ, ἵνα φαίνηται χρέος ἀποπληροῦσα ἡ βουλή. T.C.V.

267, 5. τὸ λαβεῖν οὖν] καθ' ὅλον κῶλον παρίσωσις. B.

267, 7. ὁ δὲ παμπόνηρος] τὸ κόμμα ἔγκλημα. B.

267, 9. καὶ μὴν περὶ τοῦ γε ἐν τῷ θεάτρῳ] μεταβαίνει λοιπὸν καὶ εἰς τὸ ἕτερον νόμιμον τὸ περὶ τοῦ κηρύγματος. καὶ βλέπε τὴν εἰσαγωγὴν ὅπως ἔχει· Καὶ μὴν περὶ τοῦ κηρύγματος εἰ σκοποίη τις, ὁμοίως συκοφάντην εὑρήσει καὶ βάσκανον. T.C.V.

267, 10. τὸ μὲν μυριάκις μυρίους] πολλοὺς ἀληθεύων τῷ ἀορίστῳ. πολλοὶ γὰρ πολλάκις ἐστεφανώθησαν, ἀλλὰ τῶν ξένων, βουληθείσης τῆς πόλεως. ὅπερ ἀποκρύπτων εὔπορον τὴν ἀπάτην ἐργάζεται. T.C.V.

12. ὁ om. P.: habet nescio quis nostrorum codicum, fortasse F.
18. ἀμείψασθαι] ἀμύνασθαι C.G.
20. τῷ T.C. τὸ G.V.
εἰρημένῳ C.G. εἰρημένον T.V.
25. νόμιμον] μέρος C.G.
τὸ Wolfius pro τοῦ.
28. πολλοὺς Wolfius pro πολλά.

267, 27. ἀκούεις, Αἰσχίνη, τοῦ νόμου] ἐπεὶ παρακρούεσθαι χρεία, προστίθησι τὸ σαφὲς ἔχειν τὸν νόμον, ὑφαρπάζων τὸν ἀκροατὴν τῆς ἐξετάσεως τὴν ἀκρίβειαν. δοκεῖ δὲ τὸ ῥητὸν κατὰ τὸ ἐλλεῖπον ἀσάφειαν ποιεῖν. εὐκρινητέον οὖν οὕτως· ὁ νόμος, φησί, λέγει σαφῶς, μηδεὶς ἐν τῷ θεάτρῳ κηρυττέσθω, πλὴν ἐκείνων οὓς ἂν ὁ δῆμος 5 ἕληται καὶ ἡ βουλὴ ψηφίσωνται. T.C.V.

268, 1. τούτους δὲ ἀναγορευέτω] ὁ κῆρυξ δηλονότι, οὓς ἂν ὁ δῆμος ἕληται καὶ ἡ βουλή. ἰστέον δὲ ὅτι περὶ τῶν ξένων ὁ νόμος ταῦτα διείρηκεν, ὡς εἴπομεν. T.C.V.

τί οὖν, ὦ ταλαίπωρε] οἰκτείρει τὸν ἐχθρὸν, ὑπεύθυνον ποιῶν τῷ 10 ἐγκλήματι. Παῦσαι δὴ, δυστυχέστατε, τῇ ἀληθείᾳ μαχόμενος. Ἐλεῶ σε πολεμοῦντα τῷ νόμῳ. Ἀπαλλάσσου τῆς νόσου· χρήσιμος ἐν τοῖς τοιούτοις κακοῖς ὁ ἐλλέβορος· δέχου τῆς πόας τὴν θεραπείαν. Ῥῖψον ἀπὸ τῆς ψυχῆς τὸ ἀρρώστημα. T.C.V.

268, 9. ὥσπερ ἀνδριάντα ἐκδεδωκὼς] ὁ Αἰσχίνης, οὐ συγχωρῶν 15 εἶναι τὸν ῥήτορα δημοτικὸν, ἔφασκεν ὥσπερ πλάττων τὸν δημαγωγὸν ὡς ὀφείλει εὐγενὴς εἶναι καὶ προγόνων σεμνῶν, καὶ τετράφθαι καλῶς, καὶ πεπαιδεῦσθαι ἐλευθέρως, καὶ κήδεσθαι τῆς πατρίδος, καὶ τὰ τοιαῦτα· εἶτα μετὰ τὴν ἀπαρίθμησιν τούτων ἀντιθεὶς τὰ κατὰ τὸν Δημοσθένην, καὶ μηδὲν τοιοῦτον εὑρὼν προσὸν αὐτῷ, σχετλιάζει καὶ 20 ἀγανακτεῖ. διασύρει οὖν τῇ παραθέσει τοῦ ὁμοίου τὸν λογισμόν. ἤδη γάρ τις, φησὶν, εἰ δημιουργὸν ἀξιοῖ πλάσαι αὐτῷ ἀνδριάντα καὶ τὰ ὅμοια σχήματα οἷα δεῖ ἔχειν πρὸς αὐτὸν ποιησάμενος, ἐπειδὰν μετὰ ταῦτα ἐλθὼν μὴ εὕρῃ ἐνόντα ἐν τῷ πλάσματι τοῦ ἀνδριάντος τὰ ἐν τῇ γραφῇ, εἰκότως δυσχεραίνει καὶ καταβοᾷ τοῦ τεχνίτου. 25 T.C.V.

κατὰ συγγραφὴν] λέγει κατὰ πρόσταξιν, οἷον ὡσανεὶ προσέταξας ἀνδριαντοποιῷ ἀνδριάντα ποιῆσαι κατά τινα ἐπιταγήν. οἷον ἐπιτάξας αὐτῷ, ὅτι βούλομαι εἶναι αὐτόν, τὸν ἀνδριάντα, τοιῶσδε, τὴν χεῖρα αὐτὸν ἔχειν τοιῶσδε, καὶ τοὺς πόδας τοιῶσδε, καὶ τὴν κεφαλὴν 30

1. ἐπεὶ Wolfius pro ὅτι.
παρακρούεσθαι] παρακρούεται C.G.
2. τὸν ἀκροατὴν] τῷ ἀκροατῇ Wolfius.
17. ὡς Wolfius pro ὅς.
18. καὶ ante πεπ. et ante κήδεσθαι add. Wolfius.
28. ἐπιτάξας A.R. ἐπίταξας (hoc accentu) T. ἐπέταξας H.P.
29. τοιῶσδε—τοιῶσδε—τοιῶσδε] τοιόνδε—τοιούσδε—τοιόνδε P.

ὁμοίως· εἶτα μὴ δεξάμενος αὐτὸν, τὸν ἀνδριάντα, ὥσπερ ἐπέταξας, ἐνεκάλεις ὕστερον τῷ ἀνδριαντοποιῷ. A.H.R.T.P.

268, 14. καίτοι καὶ τοῦτο] διαφορὰ λοιδορίας καὶ κατηγορίας. B.

268, 24. οὐδὲν ἧττον ἐμοῦ] ἐπιτήρει ὅτι ἐν οἷς ὠφελεῖ δίδωσιν Αἰσχίνῃ τὸ ἴσον εἰς σύνεσιν, καὶ οὕτω περιτρέπει. T.C.V.

268, 25. πομπεύειν] ὑβρίζειν, λοιδορεῖν. P. ἀντὶ τοῦ λοιδορεῖν. B.

268, 28. πότερόν σέ τις, Αἰσχίνη] μέλλων τὰς λοιδορίας ἐργάσασθαι προοδοποιεῖ ἑαυτῷ τὴν παρὰ τῶν καθημένων εὐμένειαν, ἐχθρὸν ἀποφαίνων τῆς πόλεως, οὐχ ἑαυτοῦ, τὸν Αἰσχίνην, ἵν' οὕτως, ὅπερ ἂν εἴπῃ βλασφημῶν αὐτὸν, ἡδέως ἀκούσωσιν, ὡς ἐχθροῦ κοινοῦ βαλλομένου. ὁ οὖν λόγος τοιοῦτος· Πῶς ἐμὸς ὢν ἐχθρὸς—τοῦτο γὰρ ἂν ὁμολογήσειας ἐρωτηθεὶς—, οὐδαμοῦ φαίνῃ γεγονώς μου κατήγορος, οὐκ ἐν εὐθύναις, οὐκ ἐν γραφαῖς, οὐκ ἐν ἄλλαις κρίσεσιν ἁπλῶς; ὡς εἶναι δῆλον ἀφ' οὗ σεσιώπηκας ὡς οὐκ εἶ τῷ Δημοσθένει πολέμιος, ἄλλως τε ἡνίκα καθαρὸς ἐγὼ καὶ ἄμεμπτος ἐφάνην. T.C.V.

269, 2. ἐξέλιπες] ἀφῆκες.

εὐθύναις] εὔθυνα ἦν ὧν δημοσίᾳ τις ἐπιστεύθη· γραφὴ δὲ κυρίως ἡ ἐπὶ τῶν παρανόμων· κρίσις δὲ ἡ ἐπὶ ἐγκλήματος. A.H.R.F. T.C.P.

ἀθῷος] ἀζήμιος.

269, 6. τῇ πόλει δ' ἢ πλέον] ἀπὸ τοῦ λαβεῖν με, φησὶ, τὸν στέφανον, ὃ δημοσίᾳ ἐπράχθη, ἀνάγκη τῇ πόλει δόξης μετεῖναι ἢ πλέον ἢ ἔλαττον τοῦτ' ἔστιν ἢ μέρος τῆς δόξης, ἢ καὶ τὸ ὅλον. A.H.R.F. Y.S.T.C.P.

269, 8. ἐνταῦθα] ἐπὶ μάχης.

ὅρα μὴ τούτων μὲν ἐχθρὸς ᾖς] τὸ ὅρα καλῶς· οὐ θέλει γὰρ αὐτὸς ἀποφήνασθαι, ἀλλ' ἡ τῶν πραγμάτων ἀναγκάζει σε φύσις, φησὶν, ὁμολογεῖν. θαυμάζω δὲ τὴν δεινότητα, ὅτι πρώην, ὅτε τῆς αὐξήσεως χρεία ἦν, ὅλης τῆς πόλεως ἀπέδειξεν ἐχθρὸν τὸν Αἰσχίνην· ὅτε δὲ συνεπληρώθη πᾶσα ἡ περίοδος, οὐκέτι λέγει τὴν πόλιν, ἀλλὰ τοὺς

1. δεξάμενος] δυνάμενος R., non H. ἦν] ἐστὶν F.P. Iidem mox δὲ κυρίως ἡ et ἡ post κρίσις δὲ omittunt.
17. ἄλλως τε Wolfius pro ἀλλά.
19. εὔθυνα A. εὐθύνη ceteri.
32. λέγει Wolfius pro λέγειν.

δικαστὰς λέγων· "μὴ τούτων μὲν ἐχθρὸς ᾖς·" αὐτῶν γὰρ ἐδεῖτο νῦν τῆς εὐνοίας, ἵνα θηράσῃ μὲν τὴν ψῆφον οὕτως, ἐγείρῃ δὲ τῷ ἀντιδίκῳ τὸν πόλεμον. διὸ καὶ θαρρῶν εὐθὺς ἐπάγει. T.C.V.

269, 9. ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος] κινήσας αὐτάρκως εἰς δυσμένειαν τοὺς ἀκούοντας ἐπισημαίνεται ὡς νενικηκώς. "δέδεικται γὰρ," φησίν, "ἡ εὐσεβὴς καὶ δικαία ψῆφος τοῖς πᾶσι·" τὸ μὲν οἰκεῖον οὐ φανερῶς εἰπὼν, ὡς αὐτὸς ὀφείλει τὴν ψῆφον λαβεῖν, ὑπαινιττόμενος δὲ ἀπὸ τῆς τῶν πραγμάτων ἀποδείξεως τοῦτο. ἔστι δὲ αὐτῷ μέχρι τούτου τὸ μέρος τοῦ δικαίου τὸ περὶ τῶν εὐεργετημάτων, ᾧ καὶ τὸ νόμιμον συνῆψεν, ἀσθενὲς ὑπάρχον, ὡς ἔφαμεν. φυλάττει δὲ μετὰ τὰς λοιδορίας τῇ μνήμῃ τὸ ἄλλο τοῦ κεφαλαίου μέρος, ἐν ᾧ τῶν ἐν Χαιρωνείᾳ κακῶν γεγενημένων ἀναιρεῖ τὰ ἐγκλήματα. T.C.V.

ἐπειδὴ τοίνυν] ζητοῦσί τινες· καὶ ποῦ ἐστιν ἡ ἀπόδοσις τούτου τοῦ κώλου; οὐδὲν γὰρ ἐπήγαγε πρὸς ὃ εἶπεν· ἐπειδή. περὶ τούτου πολλοὶ ἐπεχείρησαν ἀπολογήσασθαι, καὶ σχεδὸν εἰπεῖν πάντες ἀπέσχον. οἱ μὲν γὰρ αὐτῶν ἔφασκον ὡς δεῖ ἐν ὑπερβατῷ αὐτὸ ἀναγινώσκεσθαι, ἄλλοι δὲ διέστρεφον τὴν φράσιν, ἐναλλάττοντες τοὺς συνδέσμους, ζητοῦντες στῆσαι τὴν ἀπόδοσιν. ἡμεῖς δέ φαμεν ὡς ὅτι Ἑρμογένης ἐν τῷ περὶ ἰδεῶν, ἐμπεσὼν εἰς τὸ ἐξηγήσασθαι τοῦτο τὸ κῶλον, οὕτως αὐτὸ ἔλυσεν, ὅτι ἀπὸ θυμοῦ ὁ Δημοσθένης ἐνταῦθα οὐδὲν ἐπήγαγεν. A.H.R.T.P. τοῦτο τὸ κῶλον οὐκ ἔχει ἀπόδοσιν· ἀλλ' εἰς θυμὸν ἐμπεσὼν ὁ ῥήτωρ καὶ πολλὰ μεταξὺ θεὶς ἀφῆκεν οὕτως. μαρτυρεῖ δὲ καὶ Ἑρμογένης ἐν τῷ περὶ ἰδεῶν, καταστὰς εἰς τὴν τούτου ἐξήγησιν. F.P.

269, 10. ψῆφος] ἡ περὶ τοῦ στεφάνου.

269, 11. δεῖ δέ με, ὡς ἔοικε] δύο συγγνώμας ἔθηκεν, ἐκ μὲν τοῦ δεῖ με τὴν ἀνάγκην δηλῶν, ἐκ δὲ τοῦ φιλολοίδορον, ὅτι οὐ μεθ' ἡδονῆς ἐντρυφᾷ τοῖς Αἰσχίνου κακοῖς, ἀποστρεφομένης τῆς φύσεως τὸ πρᾶγμα. T.C.V.

2. τῷ ἀντιδίκῳ Wolfius pro τῶν ἀντιδίκων.
6. τοῖς πᾶσι T. ἅπασι C.V.
14. τούτου] περὶ τούτου P.
15. Verba ὃ εἶπεν ἐπειδὴ legi non possunt in A.
16. πάντες (πάντας P.) ἀπέσχον] πάντες ἀπέτυχον Wolfius.
20. Ἑρμογένης] vol. 3. p. 342. ed. Walz.
21. ἀπὸ] ὑπὸ P. In A. est ἀποθύμως.

269, 14. τίς ὢν] ἤγουν οὐδαμινός.

269, 15. ἄρχει] ἀρχὴν ποιεῖ.

269, 17. Αἰακὸς, ἢ Ῥαδαμάνθυς, ἢ Μίνως] οὗτοι οἱ τρεῖς διεβεβόηντο ἐπὶ δικαιοσύνῃ. A.R.T.P.

269, 18. ἀλλὰ μὴ σπερμολόγος] τινές φασιν οὕτω καλεῖσθαι τὸν κολοιὸν, ὡς ἀλλοτρίοις πτεροῖς προσχρησάμενον· καὶ δὴ καὶ ὁ Αἰσχίνης οὐδὲν ἴδιον ἔχει, τοῖς δὲ τῶν ἄλλων λόγοις προσεκέχρητο, αὐτὸς ἀπαίδευτος ὤν. ἢ σπερμολόγος, ἀσεβὴς, ἀπὸ τῶν βωμῶν συλλέγων τὰ ἐπιτιθέμενα ὑπὸ τῶν ἄλλων. τάχα δὲ καὶ πένης, ὁ τὰ ἀποπίπτοντα ἀπὸ τῶν βασταζόντων ἀναλαμβάνων, τὰ κατὰ βραχὺ ἀπὸ τῆς γῆς συλλέγων καὶ οὕτω τρεφόμενος. T.C.V. εὐτελὴς καὶ φαῦλος ἄνθρωπος.

269, 19. ὄλεθρος] ἢ ὀλέθρου ἄξιος, ἢ ὁ πολλοῖς προξενήσας ὄλεθρον τῷ μεταβάλλειν τὰ γράμματα ἐν τῷ ἀναγινώσκειν. T.C.V.

γραμματεὺς] ὁ τῶν γραμμάτων τε κύριος καὶ τῶν ψηφισμάτων φύλαξ.

269, 21. ἐπαχθεῖς] φορτικούς.

πορίσασθαι] συναγαγεῖν, λαβεῖν.

269, 21. ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα, ὦ Γῆ καὶ Ἥλιε] ἔοικε γὰρ τραγικὰ εἶναι ταῦτα. καὶ ἅμα εἰς τὴν τέχνην ἀποσκώπτει σύνεσιν καὶ παιδείαν ἐπικαλούμενον. ὁ γὰρ Αἰσχίνης δυσχεραίνων εἰ Δημοσθένης ὀφθείη στεφανούμενος, καὶ ταῦτα ἐφθέγγετο. T.C.V.

269, 23. ἐπικαλούμενον] ἐπιβοώμενον.

269, 27. διάγνωσις] ἱστορία, γνῶσις τῶν πάλαι ποτὲ γεγονότων πραγμάτων.

270, 2. ἀπολειφθεῖσι] τῆς παιδείας ἐστερημένοις.

προσποιουμένοις] ἰδιοποιουμένοις.

270, 5. οὐκ ἀπορῶν δὲ ὅτι χρὴ περὶ σοῦ] ἐγκωμιαστικοῦ νοήματος ἐπελάβετο· ἐπεὶ καὶ ὁ ψόγος τῶν ἐγκωμιαστικῶν. T.C.V. ὃ λέγει τοιοῦτόν ἐστιν. οὐκ ἀπορῶν τοῦ εἰπεῖν πολλὰ κατὰ σοῦ, ἀλλ' εὐπορῶν, ἐν τούτῳ δοκῶ ἀπορεῖν, ἐν τῷ μὴ εἰδέναι με ποῖα πρῶτον προτάξω αὐτῶν τῶν πολλῶν. A.H.R.T.C.P.

10. κατὰ βραχὺ τὰ Wolfius pro τὰ καταβραχύ.

21. ἐπικαλούμενον] ἐπικαλούμενος C. P.

26. τῆς παιδείας est etiam in T.

30. οὐκ] ὅτι οὐκ A.

32. αὐτῶν A.T.C. αὐτῷ P. αὐτὸ R.

270, 7. παρ' Ἐλπίᾳ] οὗτος ὁ Ἐλπίας χαμαιδιδάσκαλος ἦν παρὰ τοῖς Ἀθηναίοις, ὑπόσχολον ἔχων τὸν πατέρα τοῦ Αἰσχίνου. A.F.P.

Θησείῳ] πρὸς τῷ ναῷ τοῦ Θησέως. B.F.S.Y.P.

270, 8. χοίνικας παχείας] εἰπὼν δουλεύειν αὐτὸν τὰ ἑπόμενα τοῖς φαύλοις τῶν δούλων ἐπήγαγε, τὰς πέδας λέγων· τοῦτο γὰρ καλεῖ χοίνικας, τὸ στρογγύλον δηλῶν. T.C.V. χοίνικας καλεῖ τὰς πέδας, τὸ δὲ ξύλον, ἢ πρὸς τὸ ἐπερείδεσθαι τὸν Τρόμην ἐν τῷ βαδίζειν καὶ ἐπαναπαύεσθαι, ἢ πρὸς τὸ δύνασθαι συνάπτειν τοὺς πόδας αὐτοῦ. B.F.Y.P.

270, 10. κλισίᾳ] τῷ προστώῳ. ἔστι δὲ ὄνομα τόπου.

270, 11. τὸν καλὸν ἀνδριάντα] μικρὸς γὰρ ἦν ὁ Αἰσχίνης τὸ σῶμα. T.C.V.

τριταγωνιστὴν ἄκρον] καὶ τοῦτο κατὰ τὸ ἦθος· ἔστι γὰρ ἀμαθέστατον. T.C.V.

270, 12. ἐξέθρεψε] τέλειον ἐξέθρεψέ σε καὶ ἐποίησε.

270, 13. ἀλλ' ὡς ὁ τριηραύλης] οὐχ ἁπλῶς αὐλητὴς—ἦσαν γὰρ καὶ ἐπίσημοι—, ἀλλ' ἐν τριήρει αὐλῶν ἄμουσον ῥυθμόν. T.C.V.

270, 15. τῆς καλῆς ἐργασίας] κατ' εἰρωνείαν· λέγει γὰρ τῆς πορνείας. A.T.C.P.

270, 16. ὀκνῶ μὴ περὶ σοῦ] δύο ἀνύει, καὶ τὸ δοκεῖν εἶναι σώφρων καὶ τὸ φεύγειν τὰς λοιδορίας, κἂν ὦσιν ἀληθεῖς. T.C.V.

270, 19. οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν] τὸ παρ' ὑπόνοιαν καλούμενον. ἐπειδὴ παρ' ὃ προσεδόκων οἱ ἀκροαταὶ τὸ ῥητὸν ἐπήγαγε. T.C.V.

270, 20. καταρᾶται] ἵνα λέγῃ τοῖς προδόταις· τοῖς τοιούτοις δὲ καταρᾶται ὁ δῆμος διὰ τοῦ κήρυκος. A.R.T.P.

2. τοῖς om. F.

3. πρὸς τῷ ναῷ S. τῷ ναῷ Y. τῷ τεμένει B.P. Post Θησέως S.F.Y. pergunt τὰς δὲ (δὲ om. S.) πέδας καλεῖ χοίνικας—πόδας αὐτοῦ.

6. χοίνικας κ. τὰς π.] Hæc verba sola habet H. hoc ordine πέδας καλεῖ τὰς χοίνικας.

10. τῷ—τόπου] κλίσιον ὄνομα τόπου B.

11. τὸν καλὸν ἀνδριάντα] *Elegantem statuam.* Videtur alludere ad id quod supra dixit ὥσπερ ἀνδριάντα ἐκδεδωκώς, et significare Æschinem imagini a se effictæ esse dissimillimum. Sed si pusillam Æschinis staturam exagitat, eodem modo est εἰρωνικῶς accipiendum. Ego de industria verti, *bellum homuncionem*, quasi esset ἀνδρίον ἢ ἀνδράριον. Aristoteles negat τὸ μικρὸν εἶναι καλόν, et Martialis Attalum "belle omnia, "nihil bene facere," affirmat. WOLF.

23. παρ' Wolfius pro γὰρ, quod om. C.

τὸ ῥητὸν Wolfius pro κρεῖττον.

24. τοῖς προδόταις] ὡς προδότης P.

ὀψὲ γάρ ποτε] δεῖ λαβεῖν τὸ μὲν πρῶτον ὀψέ ὥσπερ διηγουμένου, τὸ δὲ δεύτερον ὡς κατ' ἐρώτησιν καὶ ὡς ἐκπληττομένου ὅτι ἐλησμόνησεν εἰπεῖν. τὸ "ἐχθὲς μὲν οὖν καὶ πρῴην" ἀντὶ τοῦ ὀψέ· κατὰ κοινοῦ δὲ τὸ ἦν. A.H.R.T.P.

270, 22. καὶ δύο συλλαβὰς] μίαν μὲν εἰς τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ, μίαν δὲ εἰς τὸ τῆς μητρός. A.T.P. 5

270, 25. Ἔμπουσαν] ἐκ τοῦ πάντα αἰσχρῶς καὶ ἀνοσίως ποιεῖν· τοιαύτη γὰρ ἡ πάλαι Ἔμπουσα. F.Y.P.

270, 26. πάντα ποιεῖν] πάντα τὰ αἰσχρὰ καὶ ἀνόσια· τοιαύτη γὰρ ἡ πάλαι Ἔμπουσα. S. 10

271, 1. τουτουσὶ] τοὺς πολίτας. S.P.

οὐχ ὅπως] ἤγουν οὐ μόνον οὔ.

271, 2. κατὰ τουτωνὶ πολιτεύῃ] ἤγουν πράττεις πᾶσαν πρᾶξιν καὶ κινεῖς κατ' αὐτῶν.

271, 3. καὶ περὶ ὧν μέν ἐστί τις ἀμφισβήτησις] ἐπιδείκνυσιν ἐν τούτοις ὅτι οὐχ ὡς ἐχθρὸς ἀκριβολογεῖται, πάντα ἐξετάζων ἃ ἥμαρτεν, ἀλλὰ πλεῖστα καὶ παραπέμπεται. διηγεῖται δὲ τὰ σαφέστερα καὶ εὐδηλότερα· διὸ καὶ ἀκολούθως ἐπήγαγε. T.C.V. 15

271, 6. τὸν ἀποψηφισθέντα] οὗτος γὰρ ὁ Ἀντιφῶν Ἀθηναῖος ἐδόκει εἶναι τὸ πρότερον. γιγνομένων δὲ τῶν καλουμένων διαψηφίσεων, ὅ ἐστιν ἐξετάσεων ἐν τοῖς δήμοις ὡς ἔθος, εἰ ἄρα φύσει Ἀθηναῖος οὐκ ὢν ἐνέγραψεν ἑαυτὸν ἐκ σπουδῆς τινῶν εἰς τοὺς ἀστούς· ἀπεψηφίσθη δὲ καὶ ἀπεδοκιμάσθη ὡς οὐκ ὢν ἀστὸς καὶ ἐκβέβληται. λυπηθεὶς δ' ᾤχετο πρὸς τὸν Φίλιππον, καὶ ὑπέσχετο αὐτῷ λάθρα τῆς Ἀττικῆς ἐπιβὰς ἐμπρήσειν τῆς Ἀττικῆς τὰ νεώρια. T.C.V. 20 25

271, 8. τὰ νεώρια] τόποι εἰς οὓς αἱ νῆες ἀνέλκονται.

271, 9. λαβόντος] κατασχόντος.

κεκρυμμένον ἐν Πειραιεῖ] τὰ εἰκότα εἴρηκεν ὡς πεῖσαι δυνάμενα. ὅ τε γὰρ τόπος τοῦ Πειραιῶς ὕποπτος καὶ ὁ τρόπος· κεκρυμμένον γὰρ εἰπὼν εἰς πίστιν ἄγει τὴν τόλμαν. T.C.V. 30

2. ἐκπληττομένου] ἐκπληττόμενος T. P.

3. ἐχθὲς] χθὲς H.

μὲν οὖν καὶ πρῴην] μὲν οὖν καὶ τὸ πρῴην A. μὲν οὖν ὡς τὸ πρώτην R. μενοῦνγε τὸ πρώτην T.P.

ὀψὲ] ὀψίως P.

4. κοινοῦ] κοινὸν P.

6. αὐτοῦ om. T.P.

18. εὐδηλότερα] ἀκριβέστερα C.V.

20. διαψηφίσεων] ἀποψηφίσεων C.

23. ἀστὸς C. ut Wolfius. αὐτὸς T.V.

24. δ' add. Wolfius.

271, 10. καταστήσαντος] δῆλον ποιήσαντος ἐν τῇ ἐκκλησίᾳ τοῦ δήμου.

271, 11. ὡς ἐν δημοκρατίᾳ δεινὰ ποιῶ] μιμεῖται τοῦ Αἰσχίνου τοὺς λόγους, τὸ πιθανὸν αὐτοῖς εἰς ἀπάτην διδούς. ὅρα γὰρ ὅπως ὀνομάζει τὴν πολιτείαν ἐκ φιλανθρωπίας γνωριζομένην καὶ τοὺς 5 ἠτυχηκότας λέγων τῶν πολιτῶν μηχανᾶται τὴν ἄφεσιν. ποιεῖ δὲ λεληθότως πάλιν πολέμιον τῷ δήμῳ τὸν Αἰσχίνην, εἴ γε ὁ μὲν ὡς οὐκ ὄντα πολίτην ἐκάλει. T.C.V.

271, 13. καὶ ἐπ' οἰκίας βαδίζων] ἐγὼ δηλονότι βαδίζων ἐπὶ οἰκίας τὰς τῶν ἀνθρώπων. P. πολὺν ἔπαινον φέρει τῷ ῥήτορι. οὕτως ὑπὲρ 10 τοῦ κοινοῦ συμφέροντος ἀγρυπνεῖ, ὡς καὶ μηδενὸς εἰδότος καὶ ἐπιτρέψαντος αὐτὸν ἐπιζητεῖν τοὺς βλάπτειν ἐθέλοντας. τινὲς δὲ τῷ ἑξῆς συνῆψαν τὸ "ἄνευ ψηφίσματος ἀφεθῆναι ἐποίησεν" ἀπατήσας γὰρ τὸν δῆμον ἔπεισεν ἀφεθῆναι τὸν ἄνθρωπον ὀξέως, ὡς μηδὲ καιρὸν ἐγγενέσθαι τοῦ ψηφίσασθαι. ὅλον τοίνυν ἐξ ἀμφοῖν. T.C.V. 15

271, 14. καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου] συνάπτει ἑαυτὸν εὐτραπέλως σεμνοτάτῳ βουλευτηρίῳ καὶ καρποῦσθαι μετ' ἐκείνης πειρᾶται τὴν δόξαν· ὃν γὰρ εὗρε μὲν Δημοσθένης, ἀπέλυσε δὲ Αἰσχίνης, ἐπεζήτησεν ἡ βουλὴ καὶ ἀνέσωσε. T.C.V.

τὸ πρᾶγμα αἰσθομένη] τὴν ὑπόθεσιν νοήσασα. 20

ἐν οὐ δέοντι συμβεβηκυῖαν] ὀνειδίζει τρόπον τινὰ τῷ δήμῳ διὰ τοῦ προσώπου τῆς βουλῆς· ἔστι μὲν γὰρ ὡς ἀνθρώπους ἀγνοεῖν. τὸ δὲ, ἐν οὐ δέοντι, τοιοῦτόν ἐστιν, Οὐκ ἀγνοεῖν ἔδει διδαχθέντας ὑπὸ τοῦ ῥήτορος, καὶ εὔνουν ἔχοντες δημηγόρον τὴν ἐπιβουλὴν οὐ συνήκατε. συνηπίστατο τῷ συμβούλῳ ὁ προδότης καὶ ὑμᾶς ἐγοήτευσε. T.C.V. 25

271, 17. καὶ συλλαβοῦσα] πανταχόθεν ἀγρεύσασα, τὴν θήραν οὐκ ἀπολέσασα. κατασκευάζει δὲ διὰ τῆς φυγῆς τὴν ὑπόνοιαν· οὐ γὰρ ἂν οὕτω σπουδαίως ἔφυγεν, εἰ μὴ συνῄδει ὡς ὑπεύθυνος ἦν. T.C.V.

ἐπανήγαγεν ὡς ὑμᾶς] θέασαι τῆς λέξεως τὴν ἀκρίβειαν. ἐπειδὴ γὰρ εἶπεν αὐτὸν ἀπὸ τῆς ἐκκλησίας δι' Αἰσχίνην πεφευγέναι, κυρίως 30

7. ὁ μὲν delet Wolfius, nisi quid exciderit. ὡς om. V.

12. βλάπτειν] ἀδικεῖν C.G.

15. ψηφίσασθαι Wolfius pro φείσασθαι.

17. εὐτραπέλως Wolfius pro εὐτραπέλῳ.

18. ὃν Wolfius pro ὅ.

23. οὐκ et καὶ (post ῥήτορος) add. Wolfius.

28. ἔφυγεν (vel φεύγων ἔτυχεν) Wolfius pro ἔτυχεν.

εἶπε τὸ ἐπανήγαγεν, εἰς τὸν αὐτὸν τόπον αὖθις κατέστησεν αὐτὸν ἡ βουλή, ἐξ οὗ σέσωσται πρότερον. T.C.V.

271, 20. τοιγαροῦν εἰδυῖα ταῦτα ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου] συνάπτει καὶ ἕτερον πολίτευμα τῆς βουλῆς εὐκαίρως κατ' Αἰσχίνου λεγόμενον. καὶ ἔστι κἀνταῦθα τὴν δαιμονίαν αὐτοῦ κατοπτεῦσαι φύσιν. ἵνα γὰρ μὴ δόξῃ χάριτι Δημοσθένους γεγονέναι τὸ τοῦ Ἀντιφῶντος, εἰσάγει τὴν βουλὴν αὐτὴν καθ' αὑτήν, οὐκ ἐκ τοῦ ῥήτορος καταγινώσκουσαν, καὶ ποιεῖ κατὰ τῆς πονηρίας Αἰσχίνου τὴν ψῆφον τῆς βουλῆς ἐξ ἀμφοτέρων βεβαίαν. T.C.V.

271, 22. τούτῳ] τῷ Αἰσχίνῃ.

271, 25. προείλεσθε] προεκρίνατε.

κυρίαν] τὴν βουλὴν τοῦ Ἀρείου πάγου.

271, 27. καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα] ἀναιρεῖ τὰ ὑφορμοῦντα, ἵνα μὴ δυσμένειάν τις μαρτυρήσῃ τῇ βουλῇ. T.C.V.

271, 28. ἀπὸ τοῦ βωμοῦ] ἤτοι ὅτι ἐκεῖθεν λαμβάνουσα τὰς ψήφους οὕτως ἐδίδου, ἢ ὅτι τὰς χεῖρας ἐπιθεῖσα τῷ βωμῷ καὶ θύουσα μετετίθει τὰς χεῖρας ἐπὶ τὰς ψήφους, ὡς μηδὲν πρὸς ἔχθραν, ἀλλὰ δικαίως ψηφίζεσθαι. B.S.F.Y.H.R.T.C.V.

272, 1. ἠνέχθη] συνέβη.

272, 10. οὐκοῦν ὅτε τούτου μέλλοντος] δοὺς ἑκάστης μαρτυρίας τὴν πίστιν χρῆται λοιπὸν ἐνθυμήματι. ἡ δὲ σύνταξις ἐπικίνδυνος καὶ σολοικοφανής τισιν ἐνομίσθη· μεταχειριστέον δὲ αὐτὴν οὕτως, ἀμείβοντας μὲν, οὐδὲν δὲ τὸ παράπαν ἔξωθεν ἐπεισάγοντας. οὐκοῦν ὅτε, τούτου μέλλοντος λέγειν, προσέταξεν ἑτέρῳ δηλονότι λέγειν, καὶ ἀπήλασεν αὐτὸν ἡ βουλή. τίνος; τῆς συνδικίας. T.C.V.

272, 14. τοῦ νεανίου τούτου] τοῦ ἐξ ἐπάρσεως μωροῦ τοῖς αὐτοῦ πολιτεύμασιν· οὐ γὰρ ὅμοιον, δηλονότι οἷς ἐμοῦ κατηγορεῖ.

272, 18. ὡς ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν] αἰσχυνῶν τὴν πόλιν. P. ἐνήλλαξεν ὁ ῥήτωρ ἐξεπίτηδες, οἶμαι, τὰ ῥήματα, τὴν ἀτοπίαν τῆς Φιλίππου γνώμης δηλῶν, ἐπεὶ πρῶτόν τις ἐλέγχειν ὀφείλει τὸν ἀδικοῦντα, εἶτα καταισχύνειν. T.C.V.

1. ἡ βουλὴ, ἐξ οὗ Wolfius pro τῇ βουλῇ ὑφ' ἧς. Idem ἐσέσωστο pro σέσωσται.

5. λεγόμενον] γενόμενον T.P.

7. οὐκ add. Wolfius.

15. ἀπὸ] τὸ δὲ ἀπὸ T.C.V.

17. μετετίθει—ψηφίζεσθαι] μετέθηκεν ἐπὶ τὰς ψήφους τὴν χεῖρα γέμουσαν, ἢ τὸ βωμοῦ μετὰ τὸν βωμόν T.C.G.V.

23. ἀμείβοντας—ἐπεισάγοντας] ἀμείβοντες—ἐπεισάγοντες C.V.

272, 20. καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν] λόγους κινοῦντι δίκην ῥεύματος. P. σκόπει κἀνταῦθα τὸ μέγεθος τῆς μεγαλονοίας τοῦ ῥήτορος, ὅτι καὶ δοκῶν, ὡς οἴονταί τινες, θαυμάζειν τὸν Πύθωνα, οὐδὲ ἐπιστήμην αὐτῷ οὐδὲ σύνεσιν ἐμαρτύρησεν, ἀλλὰ τὸ ῥοῶδες καὶ λάλον ἁπλῶς περιττόν· ἅπερ οὐ τέχνης ἀληθοῦς γίγνεται σύμβολα, ῥητορικῆς δὲ ὡς εἰπεῖν εἴδωλα μᾶλλον. διὸ καὶ θρασὺν αὐτὸν εἰπὼν διέβαλε. T.C.V.

272, 21. καὶ τὰ τῆς πόλεως οὐχὶ προὔδωκα δίκαια] ἐπειδὴ εἶπεν οὐκ εἶξα οὐδ' ὑπεχώρησα, καὶ ἔμελλέ τις, τὸν ἀντίτεχνον ἐννοῶν, ὑπονοεῖν ὡς ἄρα ῥήτορι ῥήτωρ ἐβάσκηνε· διὸ καὶ σοφώτατα μετάγει τὴν αἰτίαν πρὸς τὸ εὐφημότερον, τὰ δίκαια τῆς πόλεως οὐ προὔδωκα φήσας. T.C.V.

272, 26. οὐκ ἀπέχρη] οὐκ ἀρεστά.

272, 27. συνιὼν] συνερχόμενος.

272, 28. ἐλήφθη] ἐφωράθη.

273, 1. συνῄει] συνήρχετο.

ἀπεδόθησαν] φανεραὶ ἐγένοντο.

ἑκατομβαιῶνος] ἀπριλλίου.

οὕτω πῶς ἔχει] ὡς μέλλω λέγειν.

ὑπηρετῶν] μισθωτὸς ὤν.

οὐ τίθεται ταῦτα] ἤγουν οὐκ ἀκριβῶς μνημονεύεται ταῦτα παρ' ὑμῖν τὰ πράγματα.

οὐδ' ἣν προσῆκεν] δώσετε τούτῳ.

φαύλῳ] κακῷ.

274, 1. αὐτῷ] τῷ Αἰσχίνῃ.

ἐσεσύλητο] ἐσκυλεύθησαν.

ἄνθρωπος] ὁ Φίλιππος.

3. θαυμάζειν Wolfius pro καὶ θαυμάζειν.

4. ἀλλὰ τὸ] ἀλλά τι Wolfius.

12. Hic desinunt scholia in T.C.V.: reliqua, quæ nihil fere sunt quam glossemata, partim antiquiora, quæ in nostris quoque codicibus exstant, partim recentia, qualia a Moschopulo aliisque grammaticis Byzantinis scribi solebant, primum edita sunt in P. ex uno pluribusve codicibus Parisinis collecta. His inseruimus quæ hic illic in nostris codicibus adscripta sunt, suis quæque siglis notata. Quibus nulla addita sigla est, uni debentur P., quæ facile ex aliis augere codicibus potuissem, si quis puerilium istiusmodi annotationum usus esset.

ὁ βάσκανος] ὁ φθονερός.

274, 6. ἰαμβειοφάγος] ἰαμβογράφος. R.

ὑπ' ἐμοῦ τότ' ἔχοντα] ἀντὶ τοῦ ἐμέ.

ταῦθ' ἕτερα] τὰ ἐμὰ ψηφίσματα.

τούτων] τῶν ἐμῶν ψηφισμάτων. 5

ὥσπερ οὐδὲ ἔγραφεν] ἀλλ' ἔλεγε μὲν, οὐκ ἔγραφε δὲ πλείονα ὧν εἴρηκα.

ἐπεξειργάσατο] ἐπὶ τοῖς προτέροις εἰργάσατο.

ἐκνίψῃ] καθάρῃς.

πεπραγμένα] εἰς τοὺς Ἀμφισσεῖς. 10

καλῶ δὲ] ἐπικαλοῦμαι.

275, 1. τοῦ πράγματος ἁπτόμενον] γενόμενον Πυλαγόραν.

ἀνόητον] ἐστερημένον.

τί οὖν;] τίνος οὖν ἕνεκα κατήραμαι;

διετεινάμην] διὰ συντόνου σπουδῆς ἀπηρνούμην. B.P. διϊσχυρισαίμην. 15

ἐν τῷ δημοσίῳ] οἴκῳ δηλονότι, ἐν ᾧ οἱ δημόσιοι χάρται ἔκειντο.

ἐξ ὧν ταῦτ'] ἃ κατηγορῶ τὸν Αἰσχίνην.

ὑποληφθῇ] δοξασθῇ.

ἐν Ἀμφίσσῃ] Ἀμφίσση πόλις τῆς Λοκρίδος· Ἐλάτεια δὲ μεγίστη πόλις τῆς Φωκίδος. F.P. 20

ἠρέθη] προεκρίθη.

συγκατασκευάσας] τῷ Φιλίππῳ δηλονότι.

ἐκ παρακλήσεως] ἀπὸ παρακινήσεως τοῦ Αἰσχίνου.

αἰτίαν] μέμψιν. 25

ἥτις δὲ ἡ φύσις] ἡ ἀρχὴ τῶν πραγμάτων.

συνεσκευάσθη] μετὰ τοῦ δόλου γέγονε.

συντεθὲν] συσκευασθέν.

ἱστορίαν] γνῶσιν.

276, 2. κακῶς] ἀνάνδρως. 30

αὐτῷ] τῷ Φιλίππῳ.

ἐκ τῆς χώρας] αὐτῆς δηλονότι.

ἐδεῖτο] χρεία ἦν.

διϊέντων] δίοδον διδόντων.

αὐτῷ] τῷ Φιλίππῳ. 35

τῷ πολέμῳ κρατοῦντι] τὴν ἰσχὺν ἔχοντι εἰς τὸν πόλεμον, νικῶντι.

τὰ μὲν παρακρούσασθαι] εἰς τινὰ μὲν ἀπατῆσαι.
ὡς εὖ] πῶς ἐπιτηδείως λέγω.
αὐτοὺς] τοὺς Θηβαίους.
δεήσεσθαι] χρείαν σχήσειν.
εἰσηγεῖτο] συνεβούλευε τοῖς Ἀθηναίοις. 5
ὑπόψεσθαι] ἐν ὑποψίᾳ ἔσεσθαι.
ὁ τοῦτο ποιῶν] τὸ εἰσηγεῖσθαι.
εὐπόρως λήσειν] ᾤετο λαθεῖν.
277, 1. προβληθεὶς] χειροτονηθείς.
ἀνερρήθη] ἀνηγορεύθη. 10
ἀξίωμα] τὴν τιμήν.
καθιερώθη] ἀφιερώθη τῷ Ἀπόλλωνι.
277, 6. ἡ Κιρραία χώρα] ὄνομα πόλεως. B.
συνθεὶς] πλασάμενος.
ἱερομνήμονος] οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον, 15
ὡς κύριοι τῶν ψήφων, ἐλέγοντο ἱερομνήμονες. B.F.Y.T.P.
ᾐτιᾶτο] ἐμέμφετο.
ἐκεῖθεν] ἀπὸ τῆς ῥηθησομένης αἰτίας.
τῆς πόλεως] τῆς Κιρραίας.
συντελέσασθαι] πρᾶξαι. 20
ἐκκλήτευσεν] εἰς κρίσιν προσεκαλέσατο ὡς κλητήρ· οὕτω γὰρ ἐκαλοῦντο οἱ τοὺς κρινομένους εἰς κρίσιν προκαλούμενοι.
προφάσει] εἰς τὸ κατηγορεῖν.
περιϊόντων] περιερχομένων.
ἐκ τούτων] ἀπὸ μιᾶς ἀρχῆς, αἰτίας μιᾶς. 25
ἐταράχθη] ἐπὶ ταραχῆς ἐγένετο.
277, 23. Κόττυφος] ἱερομνήμων ἦν Θετταλὸς ἢ Ἀρκὰς, πάντα πράττων ὑπὲρ Φιλίππου. B.F.R.T.P.
ὡς δὲ οἱ μὲν] τῶν Ἀμφικτυόνων.
εἰς τὴν ἐπιοῦσαν] εἰς τὴν ἑορτώδη ἡμέραν τὴν μετὰ ταῦτα. 30
οἱ κατεσκευασμένοι] οἱ συγκατασκευασάμενοι τὸν δόλον.

16. ἐλέγοντο ἱερομνήμονες om. B. Scholion a m. rec. scriptum in Y.T.
27. Θετταλὸς] θετταλῶν B.
ἢ Ἀρκὰς om. B.T., a m. rec. habent R.T.
π. π. ὑ. Φ.] ὑ. Φ. π. π. B. Absunt hæc verba a. T.

εἰλήφεσαν] ἔσχον ἀπὸ τῶν πραγμάτων.

278, 3. ἡγεμὼν] ὁ Φίλιππος δηλονότι.

διαλαβεῖν] περικυκλῶσαι.

τοῦ λοιποῦ] χρόνου.

ἐαρινῆς] κατὰ τὴν Πυλαίαν τὴν γενομένην εἰς τὸν καιρὸν τοῦ ἔαρος.

278, 27. Πυλαίας] πυλαία ἡ μέση τοῦ ἤπατος εὐρυχωρία παρὰ τοῖς θύταις. B.F.P.

279, 2. κατανειμάμενοι] διαμερισάμενοι ἑαυτοῖς τὴν γῆν.

βοσκήματα νέμουσι] κατατρίβουσι τῇ νομῇ τῶν βοσκημάτων.

πλημμελούμενον] ἀδικούμενον.

αὐτὸν] τὸν Φίλιππον.

ἐπυλαγόρησεν] πυλαγόρας ἐγένετο ὁ Αἰσχίνης.

ἀπεκρύπτετο] ἐν κρυπτῷ καὶ ἐν ἀπορρήτοις εἶχεν.

280, 3. τῶν ἐν τῇ συμμαχίᾳ] συμμάχων.

πλημμελοῦσιν] ἀδικοῦσιν.

λεηλατοῦσιν] ἀφανίζουσιν.

ἀμύνασθαι] κολάσαι.

παραβαίνοντας] ἀσεβεῖς.

συναντᾶτε] συνέρχεσθε ἡμῖν.

ἐπισιτισμὸν] ἐφόδια.

τοῖς δὲ μὴ συναντήσασι] τοῖς μὴ συνελθοῦσι, κολάσομεν κοινῇ συναθροισθέντες.

συμπαρασκευάσας] συγκατασκευάσας.

παρ' ἑκάστοις] ἔθνεσι δηλονότι.

ὀκνήσαιμι] ἀναβαλοίμην.

ἀλιτήριον] φθορέα. B.P.

ὅπως ποτὲ] τὸ ποτὲ ἀργόν.

281, 2. πρὸ τῆς ἀληθείας] ἔμπροσθεν.

ἐγὼ μὲν τὰ ἔργα] ἐγὼ ἐπόνησα ὑπὲρ ὑμῶν.

τῶν τὰ Φιλίππου πραττόντων] τῶν φιλιππιζόντων δηλονότι.

παρ' ἑκατέροις] παρ' ὑμῖν καὶ Θηβαίοις.

οὐδὲ καθὲν] οὐδ' ὅλως.

τοῦτο μὴ γενήσεται] αὐξάνεσθαι τὸν Φίλιππον.

γνώμης] διαγνώσεως.

πρᾶξαι] συνεργῆσαι.

φιλίαν] τοῦ Φιλίππου.
τῶν ἄλλων] τῶν πολιτικῶν πραγμάτων.
281, 22. κίναδος] θηρίον ἢ ἀλώπηξ. B.
τούτου μὲν] τοῦ Αἰσχίνου.
282, 1. συνέκρουον] εἰς στάσιν συνέβαλλον. 5
ἀναλαβεῖν] εἰς τὴν προτέραν κατάστασιν ποιῆσαι ἐλθεῖν.
προήγαγον] ηὔξησαν εἰς τέλος καὶ ἀκμὴν, προήγαγον τὸ δεινόν.
ἐλαφηβολιῶνος] Σεπτεβρίου εἰκοσιτετάρτῃ.
ἃς μὲν κατείληφε] τινὰς μὲν κατέσχε.
τῶν ἀστυγειτόνων] τῶν πλησιοχώρων. 10
εἰς τὴν Ἀττικὴν] κατὰ τῶν Ἀθηναίων.
ἐπιβάλλεται] ἅπτεται, ἀγαπᾷ.
πίστεις] συνθήκας.
διαλέξονται] ὁμιλήσουσιν.
παρακαλέσουσι] παρακινήσουσι. 15
χρόνον] τὸν τεταγμένον δηλονότι χρόνον.
ἀνοχὰς] ἤγουν τὴν μετὰ συμβιβάσεως ἀογίαν καὶ διακοπὴν τοῦ πολέμου.
Θαργηλιῶνος] Ἀπριλλίου.
Μουνυχιῶνος] Ἰανουαρίου τριακοστῇ. 20
γνώμη] ἡ ῥηθησομένη.
ἐπιβάλλεται] ἐπιχειρεῖ.
καταστῆσαι] ποιῆσαι.
283, 13. αἵρεσιν] σκοπόν.
βέλτιον δὲ] καλὸν, συμφέρον. 25
πεπλημμελημένοι] ἠδικημένοι.
τοῖς παρακαλουμένοις] πράγμασι δηλονότι.
ἐκομισάμην] ἔλαβον.
284, 2. προσφέρονται] προάγουσι τιμήν.
συγκαταίνους] συμφώνους, στοιχοῦντας τῇ ἐκείνου γνώμῃ. 30
παρακαλουμένοις] πράγμασι δηλονότι.
κατὰ πολλὰ] κατὰ πολύ.
τὰ πρὸς ἡμᾶς ἔχειν ἐν εὐνοίᾳ] ἤγουν εἴχετε εὐνοϊκῶς πρὸς ἐμέ.
οἴσειν] κομίσειν.

8. Σεπτεβρίου] Φεβρουαρίου margo P.

ῥοπὴν] βοήθειαν.
προθέσεως] προαιρέσεως.
ψηφίσμασι] τοῖς προειρημένοις.
συμπνευσόντων] ὁμονοησόντων.
κατείληφεν] ὁ Φίλιππος.
ἐξεῖργον] ἐκώλυον.
ἐνεπίμπρασαν] κατέκαυσαν.
285, 1. χρηματίσαι] ἤγουν ἐξ ὁμιλίας ἀποφήνασθαι τὰ δεδογμένα.
ἄνω καθῆτο] μετέωρος ἦν ἐκδεχόμενος τὰ βουλευθέντα.
ὡς εἰσῆλθεν] εἰς τὸ βουλευτήριον.
ῥητόρων] δημαγωγῶν.
ἐροῦνθ᾽] βουλευσόμενον.
παρελθεῖν] εἰς τὸ μέσον.
ἐπιδόσεις] χορηγίας.
συλλελογισμένον] ἐντεθυμημένον.
ὀρθῶς] ἀπλανῶς.
ἐξητακὼς] εἰς ἀκρίβειαν μεμαθηκώς.
οὐδὲν μᾶλλον] οὐδ᾽ ὅλως.
εἴσεσθαι] γνωρίσειν.
286, 1. ἅ μου ἀκούσατε] λέγοντος δηλονότι.
ἐξηταζόμην] ἐφαινόμην.
286, 9. φίλων Φιλίππῳ] παρίσωσις κατὰ τὴν ἀρχήν. B.Y.P.
πλησίον] τῶν Θηβαίων.
παραστήσας] πλησίον κατ᾽ ὀφθαλμοὺς στήσας.
ἐπᾶραι] παρακινῆσαι.
ἐν τῷ παρόντι] καιρῷ δηλονότι.
εἴ τι] δηλονότι τοῦ πολέμου.
287, 2. ἀμφότεροι] ὅ τε Φίλιππος καὶ οἱ Θηβαῖοι.
ἐφεστηκότα] ἐπικείμενον.
ἐπανεῖναι] ἄνεσιν δοῦναι.
μεταθέσθαι] μεταστῆσαι.
περὶ τῶν δικαίων] περὶ τῆς ὁμονοίας τῆς πόλεως.
εἴδόσι] νοήσασιν.
ἐκεῖσε βαδίζειν] εἰς τὰς Θήβας.
288, 1. διῳκημένοι] οἰκονομήσαντες.

προσχήματος] μετὰ τιμῆς ἀξίας.
κατασχεῖν] ἐπιτεύξεσθαι τοῦ ζητήματος τούτου.
οὐκ ἔγραψα] κλιμακωτὸν σχῆμα.
διεξῆλθον] ἐπέρανον.
ἁπλῶς] ἀφροντίστως. 5
εἶναι θῶ] ὀνοματοθετήσω.
Βάταλον] φλύαρον. ἔστιν ὄνομα αὐλητοῦ.
Κρεσφόντην] Ἡρακλέους ἦν υἱὸς ὁ Κρεσφόντης.
ἐγὼ Βάταλος] κατά σε.
χρήσιμος] τῇ πατρίδι. 10
Σκιροφοριῶνος] Μαΐου.
289, 4. ὑπεριδὼν] ἀθετήσας.
δίκαια] ἤγουν τὸ τηρεῖν τοὺς ὅρκους.
παραιρεῖται] δηλώσει.
προσηκούσας] ἁρμοζούσας. 15
δορυαλώτους] αἰχμαλώτους.
οὐδὲν] κατ' οὐδέν.
τῷ παρόντι] καιρῷ.
προάγει] προάγεται.
ἃς μὲν ἐμφρούρους ποιεῖ] εἰς τινὰς ἐνέβαλεν οἰκείαν φρουράν. 20
πολιτείας] δημοκρατίας.
κατασκάπτει] ἀφανίζει.
ἐπὶ τὰ ἱερὰ] ἐπὶ τὸ κατασκάψαι τοὺς τάφους καὶ τὰ ἱερά.
ἀνελπίστως] παρὰ τὴν ἑαυτοῦ ἐλπίδα.
πλημμελεῖσθαι] ἁμαρτάνειν. 25
τοῖς θεοῖς] ἤγουν τοῖς ἐγχωρίοις θεοῖς, ὡς Ἀθηνᾷ, καὶ τὰ ἑξῆς.
290, 3. ἐντὸς Πυλῶν] εἰς τὰς Θερμοπύλας.
τῆς ἐκείνων] τῶν Θηβαίων.
εἰδὼς] ὁ δῆμος.
τοῖς Ἡρακλέους ἐγγόνοις] ὅρα ὅτι Θηβαῖοι εὔχονται εἶναι ἀπό- 30
γονοι Ἡρακλέους, ὡς ἐκ Θηβῶν ἐκεῖνος.
291, 1. ἀποστήσεται] στερήσεται.
συνθέσθαι] συμφωνῆσαι.

8. υἱὸς] ἀπόγονος Wolfius. Hoc et præcedens scholion in unum conjunctum est in B. ὁ Βάταλος αὐλητής τις ἦν, ὁ δὲ κρεσφόντης ἡρακλέους υἱός.

αὕτη] σημείωσαι κατὰ ἀπόστασιν.
τὰ πρὸ τούτων] τῶν καιρῶν, τὰ πρότερον.
ὑπὸ τούτων] τῶν δωροδόκων.
ἄλλων] πραγμάτων.
ὁ μὲν γὰρ] σύμβουλος δηλαδή. 5
γνώμην] λογισμὸν, βουλήν.
ἀποφαίνεται] καθαρῶς.
σιγήσας] ὁ συκοφάντης.
δύσκολον] δυστυχὲς ἀπὸ τύχης.
βασκαίνει] μέμφεται. 10
φροντίζοντος ἀνδρὸς] τοῦ ἀρίστου συμβούλου.
βέλτιον] φρονιμώτερον.
ὅλως] καθολικῶς.
ἑώρακεν] ἐνόησε.
συνήνεγκεν] ὠφέλησε. 15
ἦν] ὁ νενοηκώς.
292, 2. ἐνόντων] δυνατῶν.
οὐ τότε] ἔδειξας δηλαδή.
τουτουσὶ] τοὺς Ἀθηναίους.
τὸ παρὸν] τὸ ἐνεστώς. 20
τότε τοίνυν] κατ' ἐκεῖνον τὸν καιρόν.
τότε τοίνυν τὰ μὲν] σημείωσαι· ζήτει τὸν Ἀπιανὸν λέγοντα τὸ ἐναντίον. B.
πέρας] ἡ ἔκβασις τοῦ πράγματος.
κρατῆσαι] νικῆσαι. 25
τῷ θεῷ] ἢ τῇ δυνάμει τοῦ θεοῦ.
κατ' ἀνθρώπινον λογισμὸν] καθὼς ἐστὶ λογισμὸν ἀνθρώπου νοῆσαι.
ἐνεστησάμην] ἔταξα.
σκηπτὸς] κεραυνός.
μείζων γέγονε] ἤγουν περιεγένετο. 30
293, 2. κατασκευάσαντα] ἀπαρτίσαντα.
χειμῶνι χρησάμενον] διαφθορὰν περιτυχόντα.
ἐκείνη τῶν πάντων] κυρία δηλονότι.
εἵμαρτο πρᾶξαι] πεπρωμένον ἦν δυστυχῆσαι δηλαδή.

26. ἢ] ἤγουν Wolfius.

ὑπὲρ τοῦ] ἤγουν ὑπὲρ τοῦ μὴ τοῖς Θηβαίοις ὁμόνοιαν μεθ' ἡμῶν ποιήσασθαι.

περιέστη] περιέσχε.

νῦν μὲν] τὸ νῦν ἐνταῦθα τμῆμα χρόνου δηλοῖ, καὶ ἔστιν ἐπὶ παρεληλυθότος.

θεῶν τινὸς εὔνοια] σὺν τῇ εὐνοίᾳ τῶν θεῶν. ἀντὶ τοῦ χρήσασθαι τῇ συμμαχίᾳ ὡς προβλήματι, τοῦτ' ἔστιν ἀσφαλείᾳ.

κατηγορεῖς] παραγραφικόν.

293, 21. ἔστι δὲ ταυτὶ πάντα] παραγραφικὸν προοίμιον σημείωσαι· ὡραῖον πάνυ καὶ ὅτι ἑβδομηκοντάκις διὰ τούτου τοῦ λόγου τοῦτο παρέλαβε. R.S.Y. σημείωσαι δὲ τὸ παραγραφικόν· θαυμασίως γὰρ καὶ ὑπὲρ λόγον ἐποίησε· τοὺς μὲν γὰρ παραγραφικοὺς λόγους τῷ ἀντιδίκῳ προσέπλεξε πρὸς αὐτὸν ἀποτεινόμενος καὶ ἀποστρέφων τὸν λόγον, τοὺς δὲ τῆς ἀπολογίας τοῖς παροῦσι καὶ τοῖς δικάζουσιν. R.

293, 24. ἐπεὶ] σημείωσαι· σχῆμα διλήμματον. B.

ἄλλων] πραγμάτων δηλονότι.

294, 5. ὀκνήσας] ἤγουν φοβηθεὶς τὸν κατ' ἐμὲ δοκοῦντα κίνδυνον.

ὑπολογισάμενος] φροντισάμενος.

τούτοις] τοῖς ῥηθεῖσιν ὑπ' ἐμοῦ δηλαδή.

χρήσιμον] χρειῶδες.

ἐνευδοκιμεῖν ἀπέκειτο] ἔμελλε τὰ Ἑλληνικὰ παθήματα εὐδοκιμεῖν, ἐπαγαγεῖν τούτῳ.

συνενηνόχασιν] ὠφέλειαν καὶ λυσιτέλειαν ἐκόμισαν οἱ τῆς δυστυχίας καιροί.

πολιτεύῃ] ἴδιον βασκανίας. B.Y.P.

οἷον οὐκ ἔδει] πρᾶγμα ἀσύμφορον.

ὥσπερ τὰ ῥήγματα] σημείωσαι· σχῆμα πάρισον κατ' ἀντιστροφήν. B.Y.P.

ἔγκειται] ἐπεμβαίνων δηλονότι.

295, 4. δοκῇ] τὸ ἀποτυχεῖν δηλαδή.

προεστάναι] καθ' ὃν καιρὸν λέγω ἐγώ.

τούτου] τοῦ ἄρχειν δηλονότι.

9. προοίμιον om. S.Y. σημείωσαι—πάνυ om. R.

16. σημείωσαι· σ. δ.] διλήμματον σχῆμα P.

αἰτίαν] μέμψιν.

προεῖτο ἀκονιτὶ] προδέδωκε χωρὶς ἀγῶνος ἢ βίας.

μὴ γὰρ τῆς πόλεως] οὐ γὰρ κατέπτυσε τῆς πόλεως δηλαδή.

περιέστη] εἰς δυστυχίαν δηλονότι.

πάτρια] τὰ ἔθη. 5

ἔμφυτα] φυσικά.

296, 1. σεμνὰ] σεβάσμια.

εἰς τὰς τριήρεις ἐμβάντες] αἰνίττεται τὸν Περσικὸν πόλεμον.

296, 9. τὸν δ' ὑπακούειν] περὶ Κυρσίλου. B.

τοῦτο ποιεῖν] τὸ ζῆν ἀσφαλῶς. 10

τῷ πατρὶ καὶ τῇ μητρὶ] ἤγουν χάριν τοῦ πατρὸς καὶ τῆς μητρός.

αὐτόματον] φυσικόν.

προήγαγον] προεκαλεσάμην.

ἐπιτιμήσειέ μοι] ἀντὶ τοῦ πᾶς ἂν ἐπετίμησε.

τὸ φρόνημα] τὴν προαίρεσιν. 15

ἐφ' ἑκάστοις] πράγμασι δηλονότι.

μετεῖναι] μετουσίαν εἶναι.

297, 1. πικρῶς ἔχειν] ὠμῶς διακεῖσθαι.

τὸ παρὸν] τὸ ἐνεστώς.

ἡμαρτηκέναι] ἐκπεσεῖν τοῦ ὀρθῶς ἔχειν ὡς πεισθέντες ἐμοὶ δη- 20
λονότι.

ἀγνωμοσύνῃ] ἤγουν ἀδικίᾳ.

παθεῖν] ἀλλ' ὑπ' ἐμοῦ δηλαδή.

δημοσίοις μνήμασι] ἤγουν κοινοταφίοις.

κρατήσαντας μόνους] ἀλλὰ καὶ τοὺς μηδοτιοῦν ἐκεῖ σε δηλαδὴ 25
ποιήσαντας.

γραμματοκύφων] ἀντὶ τοῦ ταπεινὲ γραμματεῦ, διότι οἱ γραμματεῖς προσκεκυφότες γράφουσιν. Y. ὑπογραμματεύς. P.

προσεδεῖτο] χρείαν εἶχον.

298, 3. καθ' ἡμέραν βίου] δεῖ κρίνειν ἑκάστους δηλαδή. 30

συμβόλαια] τὰ κοινῶς συναλλάγματα.

κοινὰς προαιρέσεις] δεῖ κρίνειν δηλονότι.

ἀξιώματα] φρονήματα.

συμβόλῳ] σημείῳ· σύμβολον σημεῖόν τι ὅπερ ἐπάνω τῆς κεφα-
λῆς εἶχον οἱ κριταί. 35

τὸ φρόνημα] τὸ διανόημα.

δημόσια] πράγματα δηλονότι.

ἐκείνων] τῶν προγόνων δηλαδή.

χρῆναι] χρεὼν εἶναι.

ἃ] τινά.

παρέβην] παρέδραμον. 5

συμμάχων] τοῦ Φιλίππου δηλονότι.

τύχην] φάσκει δηλαδή.

οὐδενὸς] οὐδὲν ὑμῖν προξενῶ ἀγαθόν.

αὐτῷ] κατὰ τὸν Αἰσχίνην, τουτέστιν ἡ ἐμὴ συμβουλὴ κατὰ τὸν Αἰσχίνην ἀλυσιτελής ἐστιν. 10

299, 1. μέχρι τούτου ἀνελλιπῶς ἔχει καὶ τὰς ἐπιστολὰς καὶ τὰ ψηφίσματα καὶ τοὺς μάρτυρας. R.

299, 2. ἐπειδὴ τοίνυν] μέχρι τούτου ἀνελλιπῶς ἔχει καὶ τὰς ἐπιστολὰς καὶ τὰ ψηφίσματα καὶ τοὺς μάρτυρας.

ἐκείνους] τοὺς Φιλίππου πρέσβεις. 15

προτέρους] ἡμῶν δηλαδή.

ἐπράξατε] ἠναντιώθητε.

διϊέντας] δίοδον διδόντας.

συνεμβαλόντας] συστρατεύοντας, καθ' ἡμῶν μετὰ τοῦ Φιλίππου.

ἔφασαν] ἔλεγον δηλαδὴ ὅτι ἐξ ὧν ὑμῖν συμβουλεύουσιν Ἀθηναῖοι 20 εἰ πεισθῆτε, διαρπασθήσεται τὰ βοσκήματα ὑμῶν.

καθ' ἕκαστα] ἤγουν κατὰ μέρος.

ἀντὶ παντὸς] ἀντὶ τῆς ζωῆς μου ἠρεθισάμην τὸ λεπτολογῆσαι αὐτὰ καθ' ἕκαστον.

κατακλυσμὸν] κατάχυσιν· ὡς γὰρ κατακλυσμὸς συνελθὼν ὁ Φί- 25 λιππος πάντα ὑφ' ἡμῶν ἀπῆρεν.

μετὰ ταῦτα] μετὰ τὸ πεῖσαι ἡμᾶς.

οἰκείως] συγγενικῶς.

300, 1. δέχεσθαι] καθ' ἣν εἰσεδέξαντο τὴν στρατιὰν ἐντὸς τῶν Πυλῶν. 30

300, 3. καθ' ὑμῶν] ἀντὶ τοῦ ὑπὲρ ὑμῶν· ὁ δ' Ὅμηρος τοὐναντίον τὸ ὑπὲρ ἀντὶ τοῦ κατά·

ὅθ' ὑπὲρ σέθεν αἶσχε' ἀκούω.

B.Y.

31. Ὅμηρος] Il. Z, 524. τοὐναντίον om. Y. 32. τοῦ] τῆς B.

ὑφ' ὑμῖν] ἐπὶ τῇ ἐξουσίᾳ τῇ ὑμετέρᾳ.
κατά γε ὑμᾶς] κατὰ τὴν ὑμετέραν γνώμην.
συμπαραταξάμενοι] μετὰ παρατάξεως πεποιηκότες τὰς μάχας.
τῷ κόσμῳ] τῶν ὅπλων δηλαδή.
ταῖς παρασκευαῖς] συντάξεσι δηλονότι. 5
πομπαὶ] πανηγύρεις.
καὶ ἔγωγε] σημείωσαι· σχῆμα διλήμματον. B.P.
ζήλου] μακαρισμοῦ.
δυσμεναίνων] φθονῶν, ἐχθαίρων, δηλαδή.
ἐξητάζετο] συνηριθμεῖτο. 10
301, 1. ὀμωμοκότας] δικαστάς.
περιειστήκει] περιεγένετο ἡμῖν.
οὗτοι] οἱ περὶ τὸν Αἰσχίνην.
ἐπὶ τούτοις] ἕνεκεν τῶν συμβάντων.
ἡ ἐμὴ συνέχεια] ἤγουν ἡ πλησμονὴ τοῦ δημηγορεῖν καὶ τοῦ ψη- 15
φίζεσθαι, ἐξ ὧν πεπλάνησθε καὶ τεταλαιπώρησθε, ὡς οὗτός με διαβάλλει λέγων.
ἔνδοξοι] ἐπὶ τῇ ἰσχύϊ τῆς γλώττης.
301, 19. Κέφαλος] πρὸ Δημοσθένους ἦν. B.P.
πρεσβεύων] πρεσβευτὴς γενόμενος. 20
ἀναφορὰν] μετάθεσιν τῆς ἀληθείας.
διδόναι] ἐμαυτῷ δηλαδή.
302, 1. ἐδόκει δηλονότι.
τούτων] τῶν λόγων δηλαδή.
τῇ πόλει] κατὰ τῆς πόλεως. 25
ἐπαιρόμενος] ἐπαίρων.
τουτωνὶ] τῶν δικαστῶν.
ἀποπεφευγότα] ἤγουν ἔξω τῆς κατηγορίας γιγνόμενα.
γραφέντα] κατηγορηθέντα.
τῷ γραψαμένῳ] τῷ Διώνδᾳ. 30
γράφοντα] περὶ ἐμοῦ δηλονότι.
τόνδ'] τὸν Κτησιφῶντα.
γνώσεις] ὅτι ἐκυρώθησαν ὑπὸ τῆς βουλῆς.
τοῦτον αὐτὸν] τὸν Αἰσχίνην.
ἐκείνων] τῶν ψηφισμάτων. 35
303, 1. γραψάντων] ψηφισαμένων.

οὗτος] ὁ Κτησιφῶν.

πραχθέντων] ὑπὲρ τῶν ἀρίστων πολιτευμάτων τῶν ὠφελούντων τὴν πολιτείαν.

τούτων] ὧν εἶπον.

ἐκλέξαντα] χωρίσαντα. 5

μετενεγκόντα] μεταβιβάσαντα.

μεταθέντα] μετὰ παραδρομὴν πολλῶν χρόνων ἐπάγοντα.

τὰ πράγματα] τὸ κατηγορῆσαι αὐτὰ τοῦτον.

ἐλέγχους φυγῶν] τοὺς ἐγγὺς τῶν πραγμάτων ἐλέγχους φυγών.

ῥητόρων] δημηγόρων. 10

λόγων] προφορικῶν δηλονότι.

ἥκετ' ἔχοντες] τουτέστι περὶ ἐμοῦ μὲν ὑπολαμβάνειν μεγάλα, περὶ δὲ τούτου μικρά.

μεταπείθειν] τὰς ὑπολήψεις, τουτέστιν, ἐμοῦ μὲν λέγοντος περὶ τῆς πατρίδος, τούτου δὲ ὑπὲρ Φιλίππου. 15

304, 3. τὴν δόξαν] περὶ ἑκατέρου ὑπόληψιν.

πραγμάτων] χρημάτων.

λογισμὸς] λογαριασμός.

βραχέσι] ῥήμασι.

304, 7. ἡ γὰρ ἐμὴ πολιτεία] κατὰ κῶλον ἐπαναφορά. B. 20

ἑπτακόσια στάδια] μίλια μή.

ἀνταναιρεῖν] ἀνταναιρεῖσθαι.

φιλανθρωπίας] τουτέστι διὰ τὸ φιλανθρωπεύεσθαι πρὸς ὑμᾶς ἐκεῖνον, ὅτι περ ἤμεν παρ' ἐκείνου ζητοῦντες.

περιβαλλόμενος] περιπλεκόμενος rec. T. μηχανὴν περιτιθεὶς 25 περὶ τὰ λοιπὰ τῶν πραγμάτων.

305, 3. γέγονε] ἤγουν αὔξησιν ἔλαβον.

ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων] ἀλλ' ἔξω τοῦ δέοντος ἐκίνησαν.

ἐσκόπει] ἀνελογίζετο ὁ βουλόμενος ἐξετάζειν ἐμέ.

ἐπιστὰς ἐγὼ] ἐπιστάτης γενόμενος τοῖς πράγμασι. 30

πέφευγας] τὸ τὰ πράγματα ἐξετάζειν.

δικαίως] μετρίως.

σύνταξιν] συγκρότησιν.

προεξηλεγμένα] προηπατημένα.

34. προεξηλεγμένα] F. legit προεξεληλεγμένα, a προεξελέγχω, pro προεξειλεγμένα: sed inepte. WOLF.

οἰκείων] ἐγχωρίων.

παρεσκευάκεισαν] ἡτοίμασαν.

ἐγγυτέρω] εἶναι δηλαδή.

οὗτοι] οἱ περὶ τὸν Φίλιππον.

ἔπραττεν] ἐκεῖνος. 5

306, 1. προλέγων] τὸν πόλεμον.

φεύγων] κατηγορούμενος.

ἁπλῶς] καθολικῶς εἰπεῖν.

τοῦτον] τὸν Φίλιππον.

περιγένοιντο] κρείττονες ἐγένοντο. 10

τύχοι πρόφασιν] διὰ τὴν τυχοῦσαν πρόφασιν.

ἀφ' ὧν] εἶπον δηλονότι.

συντέλειαν] συνεισφοράν.

εἰ δὲ λέγεις] ὅτι δίκαιον ἦν κἀκείνους ὡς τὴν αὐτὴν παρασκευὴν ἡμῖν ποιῆσαι. 15

ἐλαττοῦσθαι] ἔλαττον ἔχειν ἑαυτήν.

307, 1. τί γὰρ νῦν λέγεις] διφορεῖται ἡ ἀνάγνωσις· ἄλλως γὰρ ἀναγινώσκεται στιγμῆς ἐν τῷ λέγειν μεσιτευούσης, καὶ ἄλλως ἐν μόνῳ τῷ πράττειν τιθεμένης. B.F.P.

ἐνεδέχετο] δυνατὸν ἦν εἰπεῖν. 20

προσθήσων] δώσων ἐκείνοις.

ἕτοιμος] Φίλιππος.

ἀκριβολογουμένου] ἀκριβῶς περὶ τούτων ἐξετάζοντος τῶν δικαίων.

ἀπῆλθον] ἀφ' ἡμῶν.

ἐξεδόθησαν] ὑπ' ἐμοῦ παρεδόθησαν. 25

ἀπηλάθησαν] ὑφ' ὑμῶν.

ὅμορος] πλησιόχωρος.

βάσκανον] μεμψίμοιρον.

κίναδος] ἀναιδὴς καὶ ἀναίσχυντος ὁ Αἰσχίνης. πραγματικὴ ἡ σύνταξις· μαλθακὸς, ἀνδρόγυνος, βδελυρός. P. περιβολὴν ἐποίησεν 30 ἔξωθεν προσλαβών· γένος μέν ἐστιν ὁ συκοφάντης, εἶδος δὲ τοῦτο δὲ φύσει κίναδος τἀνθρώπιον. B.

ἐξαρχῆς] ἀφ' οὗ ἤρξατο πολιτεύεσθαι.

ἐλεύθερον] πεπαρρησιασμένον.

30. μαλακὸς, ἀνδρόγυνος] Hæc etiam Y.

αὐτοτραγικὸς πίθηκος] οἴκοθεν καὶ ἀφ' ἑαυτοῦ ἔχει τὸ πιθηκίζεσθαι.

κάμνουσι] νοσοῦσι.

308, 2. τὰ νομιζόμενα] τὰ κατὰ νόμους φερόμενα τοῖς νεκροῖς.

γαυριᾷς] ἀλαζονεύῃ. 5

τῶν παρ' ἐμοὶ] πολιτευμάτων δηλονότι.

λογίζεσθε] ὡς ῥηθήσεται δηλαδή.

τῷ λόγῳ] τῷ ἐμῷ δηλονότι.

κατεστρέφετο] ἐκεῖνος δηλαδή.

μαλακίαν] χαύνωσιν. 10

τοῖς λόγοις] κύριος ὤν.

σκαιὸς] ἀπαίδευτος.

οὐ παραιτοῦμαι] οὐκ ἀθετῶ.

τίνα οὖν ἐστι ταῦτα] ὧν εἰμι ὑπεύθυνος.

ὄκνους] ἀναβολάς. 15

309, 1. ἀναγκαῖα] φυσικά.

ἐλάχιστον] ὀλιγώτερον.

προτρέψαι] παρακινῆσαι.

κατ' ἐμὲ] ὅσον τὸ εἰς ἐμὲ ἧκον.

τίσι] διὰ τίνων ὀργάνων. 20

διδόναι] ἤγουν χρήματα.

διαφθείρειν] δωροδοκεῖν τοὺς ῥήτορας.

ὁ λόγος] ἡ ἀπολογία.

λαβὼν] τὰ χρήματα.

ὠνούμενον] τὸν δῶρα διδόντα. 25

κατ' ἐμὲ] κατὰ τὴν δύναμιν ἐμοῦ.

τοῦτον] τὸν Κτησιφῶντα.

τὰς ἐμὰς γνώμας] τὰ ἐμὰ ψηφίσματα.

φυλακῆς] τῆς τηρήσεως τῆς πόλεως.

310, 2. σιτώνην] ἀγοράζοντα σῖτον. 30

συστάντων] συναθροισθέντων.

γραφὰς] κατηγορίας.

δι' ἑαυτῶν] αὐτοπροσώπως.

ἀπείρατον] ἀπρόσβλητον.

7. ὡς] ἃ Wolfius.

τὰ εὔορκα] ἀληθῆ, δίκαια.

ἀπεψηφίζεσθέ μου] ἤγουν ἀπεκρούσασθε τὴν ψῆφον δι' ἐμὲ, ἀθῷόν με ἐποιεῖτε ταῖς ψήφοις.

310, 25. οὐχ ὁ τὸν δῆμον] κατὰ κῶλον ἐπαναφορά. B.R.Y.P.

μηδεμίαν γραφὴν φυγεῖν] τὸ μηδ' ὅλως κατηγορηθῆναι, ἤγουν ἴσως ἐστὶ τῷ μηδ' ὅλως φυγόντι.

310, 29. φυγεῖν] εὐθυνθῆναι. B.R.Y.

ἀλλὰ τί μᾶλλον] ἀντὶ τοῦ οὐδὲν μᾶλλον.

311, 1. φυγὼν] κατηγορηθείς. B.R.Y.P.

τοῦτον] τὸν Αἰσχίνην.

ἐγράψατό με] ὁ Αἰσχίνης.

ἀγνωμοσύνην] ἀκρισίαν.

τύχην προφέρει] τὰ τυχηρὰ συμπτώματα ὀνειδίζει.

θεωρήσατε] ἐξετάσατε.

ἀνθρωπινώτερον] ὅσον ἁρμόζει εἰς ἀνθρωπίνην φύσιν.

ἐπέχει] κρατεῖ.

προσκροῦσαι] πταῖσαι.

312, 2. μέρος μετειληφέναι] ἤγουν μετέσχομεν καὶ ἡμεῖς τῆς ἐναντίας τύχης ἐκ μέρους.

ἰδίαν τύχην] τὴν μερικὴν δυστυχίαν.

νομίζω δὲ] ὅμοιον τῷ καὶ ὡς ἐμαυτὸν πείθω λίαν ὀρθῶς.

κυριωτέραν] ἰσχυροτέραν.

ψυχρότητα] ἀναισθησίαν.

προπηλακίζει] φανερῶς ὑβρίζει.

χαλεποῦ] τοῦ ἐπικειμένου.

ἐνόντων] δυνατῶν.

ὑπῆρξεν] ἐγένετο.

τὰ προσήκοντα] ἁρμόδια.

τούτοις] τοῖς προϋπηργμένοις.

ἀπολείπεσθαι] ἀμοιρεῖν.

χρήσιμον] λυσιτελῆ.

πρὸς τὰ κοινὰ προσῆλθον] ἡψάμην τῶν πολιτικῶν πραγμάτων δηλαδή.

313, 3. τοὺς ἐχθροὺς] τοὺς κατὰ σὲ τὸν Αἰσχίνην.

συμβεβίωκα] συνεκληρώθην κατὰ τὸν βίον.

σεμνὸς ἀνὴρ] εἰρωνικῶς.

διαπτύων] φαυλίζων, ὑβρίζων.

παιδαγωγεῖον] σχολεῖον.

κορῶν] φιλοκαλῶν.

νεβρίζων] νεβρίδα περικείμενος.

κρατηρίζων] κρατῆρα κατέχων. 5

ἀπομάττων] ἀπομοργνύς.

ὑπέρλαμπρον] ταῖς μὲν νυξὶν οὕτως ἦσθα ποιῶν.

θιάσους ἄγων] ὁδηγῶν τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ τῶν θεῶν, ὑποκρινόμενος.

313, 26. εὐοῖ σαβοῖ] βακχικὸν τὸ ἐπίφθεγμα κατὰ τὴν τῶν 10 Φρυγῶν διάλεκτον, ἵνα οὕτως ἔχῃ, εὖ οἱ μύσται. ἀπὸ τούτου μέντοι καὶ ὁ Σαβάζιος Διόνυσος. B.F.H.R.Y.P.

313, 28. κιστοφόρος] ὁ φέρων τὰς κοίτας.

κιττοφόρος] ἐστεμμένος κιττῷ.

λικνοφόρος] παρὰ φύλαξι τιμώμενος. B.P. 15

314, 1. ἔνθρυπτα] τὸ ἐκ πέμματος, ὅς ἐστι πλακοῦς, ἢ τὸ ἐνθρυβόμενον βρῶμα. εἰσὶ δὲ ψωμοὶ οἴνῳ βεβρεγμένοι, οἷς ἐπίκειται, ὥς φασι, καὶ φακῆ. Y.H.R.

ψωμοὶ ἦσαν οἴνῳ βεβρεγμένοι, οὓς ἐποίουν εἰς σκάφην ἄρτους διαθρύψαντες καὶ φακῆν ἐπισκεδάσαντες. B.F.P. 20

νεήλατα] ἄλευρα νεωστὶ ἀληλεσμένα.

ἐνεγράφης] ἐνετάγης.

ἀρχιδίοις] ἤγουν τοῖς χαρτοφυλακείοις, τοῖς δημοσίοις οἴκοις, ἔνθα οἱ δημόσιοι χάρται ἔκειντο. P. γράφεται τοῖς ἀρχείοις. λέγει δὲ τοῖς χαρτυφύλαξιν. B. 25

τοῖς βαρυστόνοις] τοῖς ἀξίοις βαρέων στεναγμῶν.

ἐτριταγωνίστεις] πολλάκις ἠγωνίζου.

ὀπωρώνης] ὁ ὠνούμενος τὰς ὀπώρας.

ἀπὸ τούτων] τῶν βαρυστόνων ὑποκριτῶν.

ἠγωνίζεσθε] πρὸς τοὺς ἄλλους Ἀθηναίους τοῦτο λέγει. 30

ἄσπονδος] ἀκατάλλακτος.

ἀκήρυκτος] σύντονος.

10. τὸ] τι B.P.
τῶν om. B.F.Y.P.
11. ἔχῃ] ἔχωσιν P.
15. παρὰ φ. τ.] Scholiasta λυχνοφόρος explicat. SAUPP.
19. ψωμοὶ—ἐποίουν (ποιοῦσιν F.) om. B.
23. τοῖς χαρτοφυλακίοις gl. in Y.

ὑφ' ὧν] θεατῶν δηλονότι.

παρεὶς] ἐγώ, ὅτι πένης ὢν ταῦτα ἐποίει.

ἐπῆλθέ σοι] ἐνθύμιον ἔλαβες.

δι' ἣν] τὴν πολιτείαν δηλαδή.

συνῄδεις] διὰ τὰ ἀδικήματα ἅπερ ἐποίεις. 5

ὤψαι] ἐθεάθης.

315, 4. παράλληλα] παρακείμενα.

ἐτέλεις] τὰ τοῦ Διονύσου μυστήρια ἐδίδασκες.

ἐγραμμάτευες] ὑπογραμματεὺς ἦσθα.

ἐκκλησίαζον] τῆς βουλῆς μετεῖχον. 10

315, 6. εἶτ' ἐρώτησον τουτουσὶ] σημείωσαι· σχῆμα ἀντίθετον· ἀντίθετον δέ ἐστι σχῆμα τὸ διπλασιάζον πάντα τὸν ὑποκείμενον νοῦν, εἴ τις τοῦ κατὰ φύσιν ζητουμένου ἐναντίον λαμβάνων καταβαίνοι εἰς τὸ ὑποκείμενον. καὶ τοῦτο μέν ἐστι τῆς λέξεως, ὅπερ καὶ καθ' ὑπόθεσιν λέγεται· τοῦτο δὲ τὸ ἀντίθετον τῆς διανοίας ἐστὶ σχῆμα διανοήματι διανόημα ἀντικείμενον. B.Y. 15

315, 11. ἐσύριττον] φωνὴ ἄσημος. B.

δοκιμάζομαι] ἄξιος κρίνομαι.

ἀνωμολόγημαι] ἤγουν πεφανέρωμαι ἀπὸ τῆς ὁμολογίας πάντων ὅτι οὐκ ἀδικῶ. 20

τοῦτο ποιεῖν] συκοφαντεῖν.

316, 4. ἐλυσάμην] διὰ λύτρων ἠλευθέρωσα τινὰς ἐκ τῶν πολεμίων.

συνεξέδωκα] συνεπροίκισα.

ὑπείλημμαι] ὁποίαν ὑπόληψιν ἔχουσι πρός με. 25

πάντων] τῶν κακῶν δηλονότι.

τύχην κοινὴν] δυστυχίαν.

αἰτίαν] γενομένην δηλονότι.

317, 1. ὅλον μέρος] τῆς ἀτυχίας ἀφ' ὑμῶν ἣν δηλαδή.

παρῆτε] παρετυγχάνετε. 30

ἐλπίδων] ἕνεκα δηλονότι.

11. σημείωσαι om. B.
σχῆμα] σχῆμα τὸ R.
12. δέ om. B. Cum definitione ἀντιθέτου comparetur anonymus in Walzii Rhetor. vol. viii. p. 619.
νοῦν Y. τρόπον B. Apud anonymum est ὅρον τοῦτον τὸν τρόπον.
13. καταβαίνοι Y. καταβαίνει B.
15. τῆς δ. ἐ. σχ. Y. ἐ. σχ. τῆς δ. B.
διανοήματι] διανοήματος B.

ζήλου] μακαρισμοῦ.
διωρισμένα] διευκρινημένα, κεχωρισμένα.
ἐξήμαρτέ τις] ἔξω τοῦ δέοντος ἐγένετο.
οὕτως] ἔχοντα δηλαδή.
τοῖς ἄλλοις] οἷς εἶπε δηλονότι. 5
ἁπλῶς] περιέργως.
318, 1. ἐξαπατήσω] αὐτοὺς δηλαδή.
δεινὸν] πονηρόν.
γόητα] ἀπατεῶνα.
ἐν τοῖς κοινοῖς] πράγμασι δηλονότι. 10
ἐξεταζομένην] φαινομένην.
προσέκρουσε] ἠναντιώθη.
ἀλλὰ μάλιστα] παρέπονται τῇ φύσει ἐγκείμενα ἔχειν.
σφοδρὸν] τῷ θυμῷ δηλαδή.
κινδυνεύεται] εἰς κίνδυνον ἔχεταί τι τῆς πόλεως. 15
ἐν τούτοις] δεῖ ἔχειν τὴν ὀργήν.
319, 3. συνεσκευασμένον] αὐτὸν τὸν Αἰσχίνην τεχνουργήσαντα καὶ μεμηχανευμένον.
χρηστοῦ] ἀνθρώπου δηλαδή.
κακίαν] ἀκέραιον. 20
φωνασκίας] φωνῆς ἄσκησις καὶ μεγαλοφωνία. B.Y.P.
τοῖς πολλοῖς] τοῖς δημόταις.
319, 17. οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς] παροιμία ἐστὶν ἐλλειπτικῶς λεγομένη. προσυπακουστέον οὖν ἔξωθεν τὸ ἀγκύρας. A.
οὐκ ἐπὶ τῆς αὐτῆς] οὐ τὰ αὐτὰ λογίζεται. 25
χρείαν] ὑπηρεσίαν.
319, 26. καίτοι τίς] πολύπτωτον. B.
320, 2. οὗτος] ἀντὶ τοῦ τοιοῦτος. B.
320, 3. τουτωνὶ] τῶν δικαστῶν.
ἡγῇ] ἤγουν νομίζεις. 30
διομνύμενος] διϊσχυριζόμενος μετὰ ὅρκου.
ἀλλ' ἐμὲ] ἔφης δηλαδή.
τούτων] τῶν προειρημένων λόγων.
ξενίαν] ὑποδοχήν. Y.P.

29. δικαστῶν Wolfius pro δυναστῶν.

320, 15. ξένος] ὑποδεχόμενος. B.P.

ἠμνημόνησε] ἡ πόλις δηλαδή.

ἐροῦντα] τὸν λέξοντα ἐγκώμιον δηλαδή.

321, 15. ἐκείνους] τεθνεῶτας.

παιωνίζειν] εὔχεσθαι καὶ τοῖς θεοῖς χάριν ὁμολογεῖν· παιὼν γὰρ ὕμνος χαριστήριος. B.P.

αὐτοχείρων] αὐτοκοατόρων.

ἐπὶ τὰς ταφὰς] ἐπὶ τὸ θάπτειν.

ἄλλως πῶς] εἶπον δηλαδή.

ἀλλὰ δέον ποιεῖν] ἀλλὰ κἀκεῖνοι συνεφώνησαν τῇ χειροτονίᾳ τοῦ δήμου.

περίδειπνον] ἡ ἐπὶ τοῖς ἀποθανοῦσιν ἑστίασις γινομένη. A.R. τὴν εὐωχίαν τὴν ἐπιτάφιον.

παρ' ἐμοὶ] παρὰ τῇ ἐμῇ οἰκίᾳ.

διέφερεν] κέρδος ἦν.

δημοσίᾳ] συμφωνίᾳ τοῦ δήμου.

δῆριν] μάχην.

ἀντιπάλων] ἐχθρῶν.

ἀπεσκέδασαν] διεσκόρπισαν.

μαρνάμενοι] μαχόμενοι.

ἀρετῆς] ἕνεκα δηλαδή.

δείματος] φόβου οὗ εἶχον ὑπὲρ τῆς πατρίδος.

βράβην] βραβεῖον.

ἔστι] ἴδιον δηλονότι.

γνώμην] προαίρεσιν.

323, 1. λαρυγγίζων] πλατύνων τὴν φωνήν.

ἐξέφερε] κατὰ τὸ φαινόμενον.

καὶ εἰ μηδὲν ἄλλο] λέγει φροντίζειν τῶν νόμων καὶ τῆς πολιτείας.

πάντων] τῶν κακῶν.

πράγματα] ὀχλήσεις.

προαιρέσεως] θελήματος.

1. ὑποδεχόμενος] ξενίαν ὑποδεχόμενος B. In P. hoc et præcedente glossemate in unum conjuncto, ξενίαν] ὑποδοχὴν δηλονότι ξενίαν ὑποδεχόμενος.

5. παιωνίζειν—καὶ τοῖς—παιὼν B. παιανίζειν—τοῖς—παιὰν P.

28. λέγει] ἤγουν Wolfius.

ἐπιτιμῶ] ἐπιπλήττω αὐτῷ ὡς ἐψευσμένῳ.
φιλιππισμὸν] φρονοῦντα τὰ τοῦ Φιλίππου.
324, 6. ἕκαστοι] τῶν προδοτῶν.
ἐποίησαν] τοὺς ἑαυτῶν πολίτας.
μιαροὶ] φονεῖς. 5
προπεπωκότες] ἤγουν προδεδωκότες.
Ἕλλησιν] ἤγουν τοῖς προγόνοις τῶν Ἑλλήνων.
ἀνατετραφότες] καταλύσαντες.
συστάσεως] πλήθους τῶν πολιτῶν.
325, 1. ληρεῖν] πολυλογεῖν. 10
ἐπῆρεν] ἤγουν παρεκίνησεν.
προηγάγετο] ἐξήγαγε.
ἀδιαφθόρου] ἀδωροδοκήτου.
τῶν κατ' ἐμαυτὸν] τῶν κατὰ τὴν ἐμὴν τάξιν.
προστὰς] προστάτης γεγονώς. 15
τὸν δὲ τειχισμὸν] τὸν καθαρισμὸν τῆς τάφρου.
τίθεμαι] λογίζομαι.
οὐδ' ἐπὶ τούτοις] οὐκ ἐπὶ τῷ τειχισμῷ καὶ ἐπὶ τῇ ταφρείᾳ μέγα φρονῶ, ἀλλ' ἐπὶ τῶν ἑτέρων ἐμοῦ πράξεων.
προὐβαλόμην] φυλακτήριον ἔθηκα ἔμπροσθεν τῆς Ἀττικῆς. 20
326, 2. λογισμοῖς] ἐνθυμήμασι.
παρασκευαῖς] παρατάξεσι τῶν ὁπλιτῶν.
τῇ τύχῃ] ἡττήθησαν ὑπὸ τῆς τύχης.
ἀποδείξεις] ὅτι οὐχ ἡττήθην ἐγώ.
ὁμόρους] γείτονας τῇ Ἀττικῇ. 25
παρὰ πᾶσαν φιλίαν] διὰ πάσης φιλικῆς γῆς.
φαυλότης] ἀσθένεια.
ἐλυμήνατο] λύμην καὶ φθορὰν ἐποίησεν.
327, 18. ἀναμφισβητήτως] ὁμολογουμένως.
θεραπεύειν] δι' ἐπιμελείας ἔχειν. 30
βασκαίνειν] φθονεῖν.
ἡσυχίαν ἄγειν] χρὴ τὸν ἀγαθὸν πολίτην.
328, 1. ὕπουλον] δολεράν.
ἁπλῶς] ἀπεριέργως.

18. ταφρείᾳ] ταφρίᾳ P. 28. φθορὰν Wolfius pro βοράν.

328, 4. πολλοῦ γε καὶ δεῖ] ἀντὶ τοῦ οὐδ' ὅλως. B.

ἀνθρώπινα] συμπτώματα δηλαδή.

συνείρει] συμπλέκει.

ἀπνευστὶ] ἀδιακόπως.

τῆς μελέτης] τῆς περὶ τοὺς λόγους φροντίδος δηλαδή. 5

θέσεις] εἰσαγωγάς.

ἀποδειχθεῖσι] φανεροῖς.

τοῖς ἄνω] παλαιοῖς.

οὐχ ὁποστοσοῦν] ἤγουν ἐν οὐδενὶ ἀριθμῷ.

328, 27. τίς γὰρ συμμαχία] πολύπτωτον. B. 10

329, 2. πράξαντος] ὑπουργήσαντος.

ξενικῶν] συμμάχων.

ἐπισκευὴ] ἀνάκτησις.

ἐπεδίδοσαν] συνεκρότουν.

ἐπιτιμίαν] διὰ τιμὴν τῆς πόλεως. 15

ἡγεμόνων τῶν συμμοριῶν] ἀρχόντων τῶν πραγμάτων τῶν ναυτικῶν.

ἐκκρούσω] ἐκβαλῶ.

τούτων] τῶν πολιτῶν.

330, 2. συζῶντα] νῦν δηλονότι. 20

ὕπεστί τις] ὕπεστιν ἐκείνοις φθόνος.

κρίνομαι] ἐξετάζομαι.

θεωροῦμαι] παραβάλλομαι.

διὰ τὰς τῶν προτέρων εὐεργεσίας] διὰ ταύτας δηλαδὴ οὔσας μεγάλας κατηγορεῖν, καὶ τὰς παρ' ἡμῖν γενομένας τῇ πόλει οὔσας 25 οὐκ ἀναξίας ἐκείνων.

οἱ διασύροντες] οἱ διαβάλλοντες.

τοὺς ζῶντας] τὸν νῦν χρόνον δηλονότι.

331, 8. οὐδενὶ ἐξίσταμαι] οὐδενὶ παραχωρῶ τῶν πρωτείων δηλαδή. 30

ἐφαμίλλου] ἴσης.

ἐν κοινῷ] εἰς τὴν κοινότητα.

διῳκεῖτο] ᾠκονομεῖτο.

μισθαρνεῖν] δωροδοκεῖν.

14. συνεκρότουν] συνεπόρουν Wolfius.

ἀσθενὴς] ἐπὶ πτωχείας.

μέτριον πολίτην] τὴν ἰσότητα ἀγαπῶντα τῆς πόλεως, ἤγουν τῆς πολιτείας.

ἀνεπιφθονώτατον] ἀμεμπτότατον.

τοῦ γενναίου] γενναιότητα. 5

τούτου] τῆς εὐνοίας.

φύσις] τοῦ ἀνθρώπου.

ἑτέρα] ἡ τύχη.

ταύτην] τὴν εὔνοιαν.

παρ' ἐμοὶ μεμενηκυῖαν] ἐφ' ἡμῖν ἐστι τὸ ἀγαπᾶν. 10

332, 4. τὸ γὰρ ἐξαρχῆς] τοῦ πολιτεύεσθαί με.

τούτοις] τοῖς φιλιππίζουσι.

διαμενεῖ] ἤγουν ἡ εὐτυχία τῶν ἐχθρῶν.

ἐξώλεις] ἐξώλης ὁ ἄξιος ἀπωλείας, προώλης δὲ ὁ πρὸ τοῦ καιροῦ τοῦ θανεῖν αὐτὸν φθαρείς. 15

1. πτωχείας] πτωχίας P.

XIX.

ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ.

Ἡ μὲν ὑπόθεσις τοῦ λόγου στοχαστική· οὐ γὰρ συντρέχει τοῖς ἐγκαλουμένοις Αἰσχίνης, ἀλλ' ἀρνεῖται παντάπασι. τὸ δὲ εἶδος οἱ μὲν ἁπλοῦν νενομίκασιν, ὕλης πολλῆς ὡς ἐν ἀληθείαις συνδραμούσης, οἱ δὲ συγκατασκευαζόμενον, δύο λαβόντες ἐγκλήματα, τὸ κατὰ Φωκέας καὶ Θρᾴκην. Μένανδρος δὲ ἐμπίπτοντά φησιν. εἴληπται δὲ ἐκ διαβολῆς τὸ προοίμιον· δι' ὧν γὰρ αὐτὸν δεδιότα ποιεῖ καὶ δεόμενον, διὰ τούτων δείκνυσιν οὐ πάνυ τοῖς δικαίοις τεθαρρηκότα. B.F. S.Y.

341, 1. Ὅσῃ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, σπουδὴ περὶ τουτονὶ τὸν ἀγῶνα καὶ παραγγελία γέγονε, σχεδὸν, οἶμαι πάντας ὑμᾶς ᾐσθῆσθαι] συγκρουστικὸν εὐθὺς τὸ προοίμιον ἐκ διαβολῆς τοῦ τε ἀντιδίκου καὶ τῶν συνηγόρων αὐτοῦ, οἷον τοῦ Εὐβούλου καὶ τῶν περὶ αὐτόν. ἀεὶ γὰρ ὁ Εὔβουλος πολεμεῖ τῷ Δημοσθένει, ἐκ τῆς αἰτίας τῆς κατὰ Ἀρίσταρχον, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Μειδίου. A.T.C.V. σπουδὴ δὲ

In hac oratione quibus scholiis siglæ A.—V. cum lineola interposita additæ sunt, communia sunt librorum A.R.T.C.D.G.V.

1. Ἡ μὲν (μὲν om. B. syllabæ αστικὴ usque ad τὸ δ' εἶδος præsectæ sunt in S.) ὑπόθεσις—τεθαρρηκότα] Leguntur hæc in fine Argumenti alterius p. 340, 14—23., sed rectius inter scholia relata sunt in B. F.S.Y. Quæ post τεθαρρηκότα in libris vulgatis addita sunt καὶ ἅμα συγκρουστικὸν ἂν εἴη τὸ νόημα ἐκ διαβολῆς—κατὰ Μειδίου, quorum prima tantum verba καὶ ἅμα—νόημα habent B.F.S.Y., omisi, quum in primo quod sequitur scholio legantur.

13. πολεμεῖ] ἐπολέμει in Argumento.

14. σπουδὴ—συνηγόρων] In R. ad σπουδή adscriptum ἀντὶ τοῦ Αἰσχίνου καὶ τῶν ἄλλων συνηγόρων σπουδή. Tum sequuntur verba συγκρουστικὸν εὐθὺς —κατὰ μειδίου, post quæ sic pergit ἄρτι ἀντὶ τοῦ συνηγόρου λέγει τοῦ αἰσχίνου.

τοῦ Αἰσχίνου καὶ τῶν ἄλλων αὐτοῦ συνηγόρων. τὸ δὲ ἑορακότας ἄρτι κατασκευή ἐστι τῆς προτάσεως. δεῖ δὲ τὸν ῥήτορα μὴ μόνον τὴν κρινομένην ὑπόθεσιν συνορᾶν, ἀλλὰ καὶ τὰ λυποῦντα πρὸ τῆς ὑποθέσεως. ἐπεὶ τοίνυν ἑώρα συνεστηκότας οὐκ ὀλίγους περὶ τὸν Αἰσχίνην, καὶ Εὔβουλον ἄνδρα τῶν εὐδοκιμούντων ἕνα, πρὸς τούτους ἀποτεινόμε- 5 νος διδάσκει τοὺς ἀκούοντας πείθεσθαι τοῖς νόμοις καὶ τοῖς ὅρκοις μᾶλλον ἢ τοῖς συνηγόροις. φυλακτέον δὲ ἐν προοιμίοις ἐπ' αὐτῶν τῶν ὀνομάτων ποιεῖσθαι τὰς διαβολάς· οὐ γὰρ ῥητορικὸν ἀρχόμενον πολλοῖς προσκρούειν. ἀνύει δὲ πολλὰ διὰ τῆς ἐννοίας. καὶ γὰρ διαβάλλει τὸν Αἰσχίνην ὡς μὴ ὑποθαρροῦντα ἐπὶ τοῖς δικαίοις ἐκ τοῦ κατα- 10 φεύγειν ἐπὶ τοὺς βοηθήσοντας, καὶ πλήττει τοὺς περὶ τὸν Εὔβουλον ὡς κοινωνοῦντας, καὶ ὑπόπτους ποιεῖ τοῖς δικάζουσι τοὺς συνεστηκότας. ἔτι γε μὴν αἰνίττεται καὶ τὸ ἰσχύσειν τοῖς δικαίοις αὐτός· οὐ γὰρ ἂν πολλοὶ συνῆλθον ἐπὶ ταύτην τὴν σπουδήν, εἰ μὴ τὸν ἔλεγχον ἐδεδίεσαν. ἔπειτα κρείττους ἀποφαίνει καὶ ἰσχυροτέρους τοὺς δικά- 15 ζοντας τῆς τῶν πλουσίων δυνάμεως· ἐπ' αὐτοῖς γὰρ εἶναι ἰσχυροὺς ποιεῖν τοὺς πλουσίους καὶ μή. τοῦτο δὲ χρήσιμον αὐτῷ πρὸς τὸ παρασκευάζειν θαρρεῖν τοὺς δικαστάς. T.C.V.

τουτονὶ] τὸν προκείμενον. P.

341, 2. παραγγελία] παράκλησις, δέησις, προτροπή. P. 20

γέγονε] ἐκ τοῦ κατηγοροῦντος δηλονότι. P.

341, 3. ᾐσθῆσθαι] συνενοῆσθαι. P. τὸ δὲ ἄρτι ἀντὶ τοῦ πρὸ ὀλίγου. ἐνοχλοῦντας δὲ λέγει (ἤγουν οὐχὶ θαρροῦντας τῷ δικαίῳ, ἀλλὰ ὄχλησιν εἰσάγοντας. P.) ὄχλησιν καὶ ἀδικίαν ἀποκαλῶν τὴν παράκλησιν, ἵνα δείξῃ ὡς αὐτοὶ τὰς δεήσεις ὡς ἀδίκους οὐ προσεδέξαντο. 25 T.C.V.

ἑωρακότας ἄρτι] κατασκευὴ τῆς προτάσεως. A.R.

ἄρτι] ἀντὶ τοῦ πρὸ ὀλίγου. τοὺς συνηγόρους λέγει τοῦ Αἰσχίνου. —ἀντὶ τοῦ τοῦ τε Αἰσχίνου καὶ τῶν ἄλλων αὐτοῦ συνηγόρων εἶπεν. A. 30

1. ἑορακότας] Libri hic ut ubique ἑωρ— per ω, de quo semel monemus.

7. ἐπ'] ἀπ' C.

10. ὑποθαρροῦντα] Hoc verbo utitur Ælian. N. A. 16, 11.

13. ἰσχύσειν codices. ἰσχυρὸν V. ἰσχύειν W. (i. e. Wolfius.)

14. σπουδὴν] δίκην W.

21. κατηγοροῦντος] κατηγορουμένου W.

29. Addidi alterum τοῦ.

341, 5. δεήσομαι] τὸ δεήσομαι συμπέρασμα τῆς προτάσεως. τὸ δὲ ἄνδρα τὸν Εὔβουλον λέγει· οὐκ ὀνομάζει δ' αὐτὸν φανερῶς, ἀντιπαρατίθησι δὲ, ὅπως ὠφελῇ τὸ αὐτοῦ, τὸ δὲ Αἰσχίνου πως βλάπτῃ. A.—V.

δεήσομαι δὲ] οὗτοι μὲν παρενοχλοῦσιν, ἐγὼ δὲ ἱκετεύω. τίνων οὖν δέῃ τυχεῖν; οὐκ ἄλλων, ἀλλὰ ἃ καὶ τοῖς μὴ δεηθεῖσι δίκαιόν ἐστιν ὑπάρχειν. T.C.V.

341, 7. μήτ' ἄνδρα ποιεῖσθαι] πρὸς τὸν Εὔβουλον ἀποτείνεται πολέμιον ὄντα αὐτῷ, οὗ κἂν τῷ κατὰ Μειδίου ποιεῖται μνήμην. S. F.T.C.V. σωφρονεῖ δὲ καὶ ὀργιζόμενος ὁ ῥήτωρ· κρύπτει γὰρ ἐν προοιμίοις τὴν προσηγορίαν, τῇ τέχνῃ πειθόμενος. T.C.V.

ἢ τὸ δίκαιον καὶ τὸν ὅρκον] τὸ μὲν ἐντρέπει, τὸ δὲ φοβεῖ. T.C.V.

341, 9. ἐνθυμουμένους] * * * μετ' εὐνοίας ἀκοῦσαί μου λέγοντος, ὑπολογιζομένους τό τε μέγεθος τοῦ κινδύνου καὶ τὸ πλῆθος τῶν αἰτιῶν πρὸς ἃς ἀπολογήσασθαί με δεῖ καὶ τὰς τέχνας καὶ τὰς κατασκευὰς τοῦ κατηγόρου καὶ τὴν ὠμότητα. LESS.

341, 10, τῶν παρακλήτων] τῶν ἐκ παρακλήσεως, οὐ διὰ τὸ δίκαιον, παραγενομένων. B.S.F.Y.R. ἡ εὐθεῖα τοῦ πληθυντικοῦ οἱ παράκλητοι ἀπὸ τοῦ ὁ παράκλητος. λέγει δὲ τοὺς ἐκ παρακλήσεως ἐλθόντας συνηγορῆσαι, ἀλλ' οὐ τοῦ δικαίου ἕνεκεν. A.R.T.C.

341, 11. τῶν ἰδίων πλεονεξιῶν] κερδῶν καὶ δυναστειῶν, ὅταν ἴδωσιν αὐτοὺς προϊσταμένους τῶν κρινομένων καὶ σώζοντας, προξενοῦσιν αὐτοῖς κερδῶν ἀφορμάς. T.C.V.

1. δεήσομαι] ἔστι add. V.

2. τὸ δὲ om. A. Verba τὸ δὲ—φανερῶς om. R.

3. ἀντιπαρατίθησι δὲ ὅπως] ἀντιπαρατίθησιν ὅπως A.R. "Scil. τὸ δίκαιον καὶ τὸν ὅρκον τοῖς συνηγόροις." WOLF.

ὠφελῇ correctus T. ὠφελεῖ pr. T. et ceteri.

τὸ δὲ] τὰ δὲ A.R.

4. βλάπτῃ T.C. βλάπτει ceteri.

8. μήτ'] τὸ δὲ μήτε T.C.V. Verba μήτ' ἄνδρα—πολέμιον αὐτῷ sunt etiam in B.

9. κἂν τῷ (τῶν S.) κατὰ μειδίου S.F. κἂν τῷ μειδίου T.C. κἂν τῷ περὶ τοῦ μειδίου V.

ποιεῖται S.F. πεποίηται ceteri.

13. * * *μετ'] ἱκετεύω ὑμᾶς μετ' Sauppius.

18. ἡ εὐθεῖα τ. πληθυντικοῦ (sic correxi pro πλήθους) οἱ π. om. T.C.

19. ἀπὸ] ἐκ T.C.

τοὺς—ἐλθόντας A. τῶν ἐλθόντων ceteri. In V. totum scholion sic scriptum, τῶν παρακλήτων· ἤτοι τῶν ἐκ παρακλήσεως ἐλθόντων συνηγορῆσαι—ἕνεκα (παραγενομένων add. P.). Post συνηγορῆσαι excidisse videtur τῶν ἰδίων πλεονεξιῶν, aut τῶν ἰδίων κερδῶν, vel simile quid.

21. τῶν] τῶν δὲ T.C.

ἴδωσιν αὐτοὺς] Scil. οἱ πολῖται τοὺς παρακλήτους. WOLF.

ἃς ἵνα κωλύητε] ἀλλὰ μὴ φοβῆσθε· ἐφ' ὑμῖν γάρ ἐστι τὸ κωλῦσαι, τῶν νόμων παρεχόντων τὴν ἄδειαν. T.C.V.

341, 12. κυρίας] ὄνομα ἐκκλησίας, ὅτε ἀπεψήφιζον τῆς ἀρχῆς τοὺς ἀδικοῦντας. B.T.

341, 13. τοὺς μὲν οὖν ἄλλους] δεύτερον προοίμιον ἐκ διαβολῆς καὶ αὐτό. B.S.F.Y. δεύτερον προοίμιον "τοὺς μὲν οὖν ἄλλους" καὶ αὐτὸ εἰλημμένον ἐκ διαβολῆς τοῦ Αἰσχίνου ἐκ παραθέσεως ἑτέρων προσώπων. A.R.

τοὺς μὲν οὖν ἄλλους] ἐντεῦθέν ἐστι τὸ δεύτερον προοίμιον ἐκ διαβολῆς εἰλημμένον καὶ αὐτό, ὡς καὶ τὸ πρῶτον, ὡς οὐ θαρρεῖ τοῖς δικαίοις. ὅλη δὲ ἡ ὑπόθεσις κατὰ συμπλοκὴν προελήλυθεν· καὶ γὰρ κατηγορεῖ καὶ ἀπολογεῖται. τοιοῦτον αὐτῷ καὶ τὸ προοίμιον εἴληπται· καὶ γὰρ ἐπ' ἀμφότερα ἕλκεται. μόνου δὲ τούτου τοῦ ῥήτορος καὶ Θουκυδίδου καὶ Πλάτωνος καὶ τῶν ὁμοίων τούτοις διὰ τῆς αὐτῆς ἐννοίας πολλὰ κατορθοῦν. ἔχει δὲ καὶ τοῦτο μεταληπτικοῦ λύσιν· αὐτὸς μὴ δεδωκὼς εὐθύνας πῶς ἑτέρου κατηγορεῖς; ὁ δὲ ὅτι δέδωκε σημαίνει, καὶ ὅτι πάλιν περὶ τῶν αὐτῶν διδόναι βούλεται προκηρύττει. T.C.V.

ὅσοι πρὸς τὰ κοινὰ] τῷ γὰρ μηδὲν ἑαυτοῖς συνειδέναι κακὸν ἀεὶ θέλουσι καὶ ὑπομένουσι δοῦναι λόγον· τοῦτο γάρ ἐστιν ἀειλογία. ἐπειδὴ δὲ ἐπαχθὲς ἦν τὸ περὶ αὐτοῦ λέγειν, καθολικῶς ἐπήγαγε "τοὺς μὲν οὖν ἄλλους," καὶ ἀξιόπιστον ἑαυτὸν ποιεῖ, μονονουχὶ βοῶν, τίς τὰς εὐθύνας λαμβάνειν προῄρηται; μίμησαί μου πρὸς θεῶν, Αἰσχίνη, τὴν πρόκλησιν· ἢ καὶ ἄλλως καθολικῶς λέγει τὸν λόγον, ἵνα δείξῃ τοὺς μὲν ἄλλους πάντας βελτιωθέντας τοῖς τῶν Ἀθηναίων παιδεύμασι καὶ ταῖς ὁσημέραι διδαχαῖς, τουτονὶ δὲ μόνον Αἰσχίνην μηδὲ μετὰ τοσούτους λόγους καὶ πράξεις τοσαύτας τὰς εἰς ἄλλους βελτιωθέντα. κἀντεῦθεν ἐπαινεῖ καὶ τοὺς πολίτας, καὶ ἐκ παραθέσεως μεγίστως ψέγει καὶ διαβάλλει τὸν κατηγορούμενον. T.C.V.

τὴν ἀειλογίαν ὁρῶ] ἀειλογία ἐστὶ τὸ ἀεὶ προτείνεσθαι λόγον καὶ

1. φοβῆσθε W. pro φοβεῖσθε.

11. κατὰ συμπλοκὴν προελήλυθεν] Hoc est συμπεπλεγμένη ἐστὶ καὶ ἁπλῆ. WOLF.

17. προκηρύττει] κηρύττει C.G.

21. αὐτοῦ] αὐτοῦ codices. αὐτῶν V.

22. τοὺς μὲν οὖν ἄλλους W. pro τοῖς μὲν οὖν ἄλλοις.

27. τὰς εἰς ἄλλους] *Acta in alios.* Non satis placet. WOLF.

λέγειν, τίς ἡμῶν κατηγορεῖ; τοῦτο δὲ ποιοῦσιν οἱ συνειδότες ὅτι ὁσάκις κρίνονται καθαροὶ, τοσαυτάκις καὶ θαυμάζονται. φησὶ δὲ ὁ Γενέθλιος ὅτι πεποίηται ἡ λέξις τῷ ῥήτορι τῆς ἀειλογίας· σπανίως γὰρ εὑρίσκεται παρ' ἄλλῳ. A.T.C.V.

τὴν ἀειλογίαν] τὸ ἀεὶ λόγον ἐθέλειν τῶν πραττομένων διδόναι, διὰ τὸ μηδὲν αὐτοῖς τῶν φαύλων συνειδέναι. B.S.F.Y.R.

341, 16. πρὶν γὰρ εἰσελθεῖν εἰς ὑμᾶς] ἔδει μὲν γὰρ πρῶτον παρασχεῖν εὐθύνας, εἶθ' οὕτω τοῦ Τιμάρχου κατηγορεῖν· νυνὶ δὲ οὐκ ἀξιώσας εἰς ὑμᾶς εἰσελθεῖν, οὐδὲ θεάσασθαι τοὺς δικαστὰς ἀνεχόμενος, ἠτίμωσε τὸν ἄνθρωπον. εὖ δὲ καὶ τὸ προτεινομένους εἶπεν, ἵν' αὐτοὶ θαρροῦντες τοὺς μὴ βουλομένους προτρέψωσι. T.C.V.

πρὶν γὰρ εἰσελθεῖν] κατασκευὴ καὶ συμπλοκή. A.B.

ἀνῄρηκε] τὸ ἀνῄρηκεν ἀντὶ τοῦ ἄτιμον ἐποίησε τὸν Τίμαρχον. δύο γὰρ κατήγοροι ἐπέστησαν Αἰσχίνῃ, ὅ τε Δημοσθένης καὶ ὁ Τίμαρχος. καὶ τὸν μὲν Τίμαρχον παρεγράψατο ὡς ἑταιρηκότα, πρὸς δὲ τὸν Δημοσθένην ἔγραψεν ἀπολογίαν πρὸς τὴν κατηγορίαν τοῦ λόγου. A.R.

τὸν μὲν ἀνῄρηκε] Τίμαρχον δηλαδή. P. ἢ ὅτι ἄτιμος γέγονεν— οὗτοι δὲ τῷ μηδενὸς τῶν κοινῶν μετέχειν ἐγγὺς τῶν τεθνηκότων εἰσὶν — ἢ, ὥς τινές φασιν, ἐπειδὴ ἀπήγξατο, τὴν αἰσχύνην οὐκ ἐνεγκών. T.C.V.

341, 19. τοῖς δὲ ἀπειλεῖ περιϊὼν] ἦν μὲν ἀκόλουθον εἰπεῖν, ἐμοὶ δ' ἀπειλεῖ· ἀλλ', ἐπειδὴ αἰσχρὸν ἦν, ἀορίστως εἴρηκε. δείκνυσι δὲ ὅτι καὶ ἄλλοι ἦλθον ἂν ἐπὶ τὴν κατηγορίαν, εἰ μὴ ἐφοβοῦντο. τὸ δὲ περιϊὼν, οἷον ἔργον τοῦτο τιθέμενος, καὶ πολυπραγμονῶν μή τις ἄρα κατηγορήσῃ· οἷον, τίς ἄρα ἀπειλεῖ μοι γραφήν; τίς μοι σύνοιδεν ἐν τῇ πρεσβείᾳ τὰ σφάλματα; σεμνύνει δὲ καὶ ἄλλως ὁ ῥήτωρ ἑαυτὸν διὰ τούτων, εἰ, τῶν ἄλλων φοβουμένων καὶ οὐ κατηγορούντων, αὐτὸς τοῦτο οὐ πέπονθε. T.C.V.

1. ἡμῶν] ὑμῶν a pr. m. T. et C. Post ἡμῶν in P. additum διὰ τὸ μηδὲν αὐτοῖς τῶν φαύλων συνειδέναι.
ποιοῦσιν οἱ A. ποιοῦσι ceteri.
10. προτεινομένους W. pro προτεινόμενον.
11. τοὺς μὴ βουλομένους W. pro τοῖς βουλομένοις.
12. κ. καὶ συμπλοκή] ἡ κ. καὶ συμπέρασμα R.
14. Αἰσχίνῃ] αἰσχίνου A.
καὶ ὁ] ὁ om. A.
16. ἀπολογίαν] ἀπόλογον R.
24. τὴν] ταύτην τὴν C.G.
25. καὶ om. C.G.
29. οὐ πέπονθε] πεποίηκε C.G.

341, 20. καὶ βαρυσυμφορώτατον ὑμῖν] ὁ γὰρ ἀναιρῶν καὶ ἐπιστομίζων τὸν κατήγορον τὸν τόπον ἀναιρεῖ τοῦ δικάζοντος, εἰ μηδεὶς ἔτι δικάζεται. T.C.V.

341, 22. φόβῳ] μετὰ φόβου, ἤγουν διὰ φόβου. P.

342, 2. τὸ μὲν οὖν ἐξελέγξειν] τρίτον προοίμιον, μεταληπτικοῦ περιέχον λύσιν. B.F.S.Y. τρίτον προοίμιον μεταληπτικὸν ἀπὸ τοῦ χρόνου περιέχον λύσιν. ἔστι δὲ ἡ σύνταξις οὕτως· ὅπερ δὲ φοβοῦμαι, καίπερ ὑπειληφώς, (ὅ ἐστι θαρρῶν ἐπὶ ταῖς ἀποδείξεσιν, ὅπερ προεῖπε), τοῦτο φράσω, φησὶ, πρὸς ὑμᾶς καὶ οὐκ ἀποτρέψομαι. διὰ τί δὲ εἶπε φοβοῦμαι; ἐπειδὴ ἔμελλεν ὥσπερ ἐλέγχειν τοὺς δικαστὰς μὴ σφόδρα προσέχοντας τοῖς πράγμασιν, ἀλλ' ἐπιλανθανομένους τῷ χρόνῳ. καίπερ οὖν, φησὶ, φοβούμενος τοῦτο, οὐκ ἀποτρέψομαι εἰπεῖν τῷ φόβῳ τῷ πρὸς ὑμᾶς. γράφεται δὲ καὶ ἀποκρύψομαι. A.R.T. C.V. σημειωτέον δὲ ὡς ὅπερ ἦν Αἰσχίνου καὶ τοῦ φεύγοντος παραγραφικὸν, τοῦτο δι' ὑπερβολὴν τέχνης ὁ Δημοσθένης προήρπασεν, ἵνα μὴ εὕρῃ χρήσασθαι αὐτῷ ὁ Αἰσχίνης. ἀεὶ δὲ τὸ ἐναντίον οὗ βούλεται ποιεῖν κατασκευάζειν εἴωθεν. αὐτὸς γὰρ μέλλων τι τῶν καθ' ἑαυτὸν διοικεῖσθαι, καὶ προορώμενος τὰς παρ' Αἰσχίνου διαβολὰς, δεδοικέναι φησὶ τῶν δικαζόντων τὴν λήθην, ὡς ἂν τῆς ἀληθείας πολλάκις διαμαρτόντων αὐτῶν διὰ χρόνου πλῆθος καὶ λήθην· ἵνα ἃ μὲν προτίθησι πιστευθῇ, ἃ δ' Αἰσχίνης ἐρεῖ, ὕποπτα γένηται. T.C.V.

342, 5. ὃ δὲ καίπερ ὑπειληφὼς] ἔστι μὲν ἀντὶ τοῦ πιστεύων. ἐκόλασε δὲ τῇ λέξει τὸ ὑπερήφανον. τὸ δὲ οὐχ ἧττον, ὦ ἄνδρες Ἀθηναῖοι, οἱονεὶ, οὐχ ἧττον ἰσχύει καιρὸς ἢ πραγμάτων φύσις, ἢ οὕτως, οὐ μᾶλλον ἐξελέγχονται τοῖς πράγμασιν οἱ ἀδικοῦντες ἢ τοῖς καιροῖς, ὅταν ἐπὶ προσφάτοις κρίνωνται. T.C.V.

1. βαρυσυμφορώτατον] Legitur ἀσυμφορώτατον.
6. ἀπὸ] ἐκ T.C.V.
7. περιέχον λύσιν add. R.P., om. ceteri.
8. θαρρῶν] πιστεύων καὶ θαρρῶν P. ἐπὶ W. pro ἐν.
9. ἀποτρέψομαι] ἀποκρύψομαι C.V.
12. ἀποτρέψομαι εἰπεῖν A.R. ἀποκρύψομαί φησι ceteri.
13. δὲ καὶ ἀποκρύψομαι A.R. γὰρ καὶ ἀποκρύψομαι ceteri.
16. εὕρῃ] εὕροι T. ἔχῃ P.
23. ἀντὶ τοῦ πιστεύων] Hæc verba sunt etiam B.F.S.Y.
26. οὐ μᾶλλον—ἀγαπῶμεν] Hæc leguntur etiam in F. sic scripta, ἤγουν μᾶλλον ἐξελέγχονται τοῖς πράγμασιν οἱ ἀδικοῦντες ἢ τοῖς καιροῖς ὅταν ἐπιπροσφάτοις κρίνωνται. τῷ γὰρ χρόνῳ ἢ ἐπιλανθανόμεθα ἢ σ. ὡς κ. ἀγαπῶμεν.

ταῦτα] τὸν ἐξέλεγχον. P.

342, 7. ἀγῶνες] ἤγουν αἱ κρίσεις.

342, 8. τῶν καιρῶν] τῶν παρελθότων, ὁπότε ἐγένοντο. P.

342, 10. λήθην ἡ συνήθειαν] δύο γὰρ ταῦτα ὁ χρόνος ποιεῖ. ἢ γὰρ ἐπιλανθανόμεθα, ἢ συνεθισθέντες ὡς καλὰ ἀγαπῶμεν. T.C.V. 5

342, 11. ἐμπεποιήκῃ] ὑποτακτικῆς ἐστιν ἐγκλίσεως παρακειμένη καὶ ὑπερσυντελική· οἷον ἐὰν ἐμπεποιήκω. ἐὰν ἐμπεποιήκῃ. διὸ καὶ ὑποτακτικὸν ἔχει προσγραφόμενον τὸ ι. A.

ὡς δή μοι δοκοῖτ' ἂν] τοῦτο τὸ νόημα ἐπισφραγίζεται μὲν τὰ προειρημένα καὶ τῶν μελλόντων κατάρχεται, ἅπτεται δὲ ἤδη λοιπὸν 10 τῆς προκατασκευῆς. B.F.R.S.Y.

συμπέρασμά ἐστι τοῦ προοιμίου. ὡς γὰρ ὡμολογημένην λαβὼν τὴν πρότασιν οὐκ εἶπε κατασκευὴν, εὐθὺς δὲ εἰσβάλλει εἰς τὴν προκατασκευὴν ἐκ τοῦ εἰ σκέψαισθε παρ' ὑμῖν. A.—V. τοῦτο δὲ τὸ νόημα διπλῆν ἔχει τὴν δύναμιν. ἐπισφραγίζεται γὰρ τὰ προειρη- 15 μένα διὰ τοῦ προοιμίου καὶ τῶν μελλόντων κατάρχεται, ἅπτεται δὲ ἤδη λοιπὸν τῆς προκατασκευῆς. ἔχει δὲ τοιαύτην ἡ προκατασκευὴ δύναμιν, ὥστε τινὰ τῶν λυπούντων περὶ τὴν ὑπόθεσιν διορθοῦσθαι. ἔστι δὲ ἡ χρεία αὐτῆς καὶ οὗπερ ἕνεκα τοῖς ῥήτορσιν ἐπιτετήδευται αὕτη· ἤτοι γὰρ τὴν ὑπόθεσιν ἅπασαν ὁ ῥήτωρ συμπεπλεγμένην ὁρῶν 20 καὶ πολλῶν πραγμάτων περιεκτικὴν καὶ δυσδιάκριτον, διὰ τοῦτο δεῖται τῆς προκατασκευῆς, ἵνα τὴν σύγχυσιν ἅπασαν διαλύσῃ καὶ εἰς κεφάλαια τὴν ὑπόθεσιν ἀνάγων παρασκευάσῃ τοὺς ἀκροατὰς, ὥσπερ πρός τινας κανόνας ἀποβλέποντας, οὕτως ἀπαιτεῖν παρ' αὐτοῦ τὰς ἀποδείξεις καὶ περὶ ταῦτα τὰ κεφάλαια ἵστασθαι, ἢ πρὸς τὸν ὅλον 25 ἀγῶνα τοὺς δικάζοντας ἐναντίως ἔχοντας ὁρᾶν, καὶ δεῖται προδιορθώσασθαι τὴν γνώμην αὐτῶν, ὡς ἐν τῷ κατὰ Μειδίου πεποίηκεν, ἢ μέρος τι τῆς ὑποθέσεως ὁρῶν δεόμενον μεθόδου τινὸς κέχρηται τῇ προκατασκευῇ, καθάπερ ἐν τῷ κατὰ Ἀριστοκράτους λόγῳ. T.C.V.

342, 13. εἰ σκέψαισθε παρ' ὑμῖν αὐτοῖς] προκατασκευὴ διακρί- 30

10. κατάρχεται] κατατρέχεται R. δὲ ἤδη] δὲ om. S.

11. προκατασκευῆς] ἥτις εὐθὺς μετὰ τὸ προοίμιον πρὸ τῆς διηγήσεως add. F.

12. ὡμολογημένην] ὁμολογουμένην T. ὡμολογουμένην (sic) V.

14. σκέψαισθε] σκέψασθε codices et V. ὑμῖν] εἰπεῖν add. V.

26. ὁρᾶν V. ὁρᾷ codices.

30. σκέψαισθε] σκέψασθε codices et V.

νουσα τὰ ἐν τῇ ὑποθέσει ζητούμενα. T.C.V. Μενάνδρου· προκατασκευή. Ἀσκληπιοῦ· προκατασκευῆς δίκην διευκρινεῖ τὰ ἐν τῇ ὑποθέσει ζητούμενα. S.Y.

342, 15. λόγον] ἤγουν ἀπολογίαν. P.

πρῶτον μὲν τοίνυν] ἡ προκατασκευὴ μετὰ τὸ προοίμιον εὐθὺς πρὸ τῆς διηγήσεως. B.F.Y. περὶ τῶν κεφαλαίων τῆς κατασκευῆς· α' περὶ ὧν ἀπήγγειλε, β' περὶ ὧν ἔπεισε, γ' περὶ ὧν προσετάξατε αὐτῷ, δ' περὶ χρόνων, ε' περὶ τοῦ ἀδωροδοκήτως ἢ μὴ ταῦτα πεπρᾶχθαι. B.

πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε] οὐκ ἦν μὲν τῇ τάξει πρῶτον τὸ ἀπαγγεῖλαι, ἀλλὰ τὸ ἰσχυρότερον καὶ τὸ σημεῖον προέθηκεν, ἐφ' ᾧ μάλιστα κρίνεται ὁ Αἰσχίνης. ἐλάβετο οὖν εὐθὺς τοῦ μεγίστου τῶν τεκμηρίων. τοῦτο δὲ γένεσις αὐτῷ τῆς ὑποθέσεως ὅλης. ἐπειδὴ γὰρ οὔτε ἐκ γραμμάτων οὔτε ἐκ ψηφισμάτων οὔτε ἐξ ἄλλων ἀποδείξεων ἔχει τὸν ἔλεγχον, εἰκότως ἐχώρησεν ἐπὶ τοὺς Αἰσχίνου λόγους, καὶ τούτων καθάπτεται ὡσπερεί τινος ἀρχῆς καὶ κρηπῖδος, καὶ πρὸς τούτους ἀποβλέπων τὴν ὅλην κατηγορίαν ποιεῖται. ἔστι τοίνυν τὸ ὧν ἀπήγγειλε διπλοῦν καὶ τοῦ ἐγκλήματος ἔχει δύο τεκμήρια, ἓν μέν, ὅτι ἀπήγγειλεν ἀπολεῖσθαι Θηβαίους, ἕτερον δέ, ὅτι ὑπέσχετο σωθήσεσθαι Φωκέας. καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον καὶ αὐτὸς προϊὼν ἔδειξεν· ἰδίαν τε γὰρ ἑκατέρῳ τούτων ἀποδέδωκεν ἐργασίαν καὶ διττὰ τούτοις ἀντέθηκεν ἐπιχειρήματα, ὡς ἐπ' αὐτῶν τῶν ῥητῶν ἐπιδείξομεν. T.C.V.

342, 16. δεύτερον δὲ, ὧν ἔπεισεν] ἢ ὑμᾶς, εἰπὼν ταῦτα δι' ὧν ἀπώλετο τὰ πράγματα· ἢ τούτους πρὸς οὓς ἐπέμφθη· ἢ ὅτι, ἡνίκα ἐβουλεύετο ἡ πόλις περὶ τοῦ πῶς χρὴ ποιήσασθαι τὴν εἰρήνην, ἔπεισεν ἄνευ Φωκέων ποιήσασθαι καὶ χωρὶς τῶν ἄλλων Ἑλλήνων, καὶ ἡνίκα λέγειν ἐβούλετο Δημοσθένης, ἔπεισε μὴ ἀκοῦσαι τῶν Δημο-

1. Μενάνδρου] Nomen in S.Y. sola litera M cum E superscripto expressum. Similiter in scholio ad p. 375, 25. Μενάνδρου et Ἀσκληπιοῦ nomina præfixa.

2. Ἀσκληπιοῦ, quod in S. scriptum ασκλῆ, om. Y.

διευκρινεῖ] διευκρινοῦσα Y. Sic etiam R. in quo hoc scholion ad τρίτον δέ (v. 16.) adscriptum est hoc modo μέση προκατασκευὴ προκατασκευῆς δίκην διευκρινοῦσα τὰ—ζητούμενα.

17. καὶ τῷ] Legebatur καὶ τούτου τοῦ. τοῦ om. codices præter G.

20. ἑκατέρῳ] ἑκατέρᾳ T.

21. ἀντέθηκεν ἐπιχειρήματα W. pro ἀντέθηκε χρήματα.

23. εἰπὼν] δηλωσάτι εἰπὼν V.

24. πράγματα] τάγματα T. solus.

σθένους λόγων τὸν δῆμον. ἐπὶ τούτοις ἔπεισε μήτε στρατεύσασθαι ὑπὲρ Φωκέων μήτε ψηφίσασθαί τι ἄξιον ὑπὲρ τῆς αὐτῶν σωτηρίας, μηδὲ μὴν ἀπιστεῖν τῷ Φιλίππῳ· ταῦτα γὰρ πάντα συμπεριέλαβε μὲν ἐνταῦθα βραχέσι ῥήμασιν, ἐπὶ δὲ τῆς ἐργασίας ἔδειξεν οὐκ ὄντα μικρὰ οὐδὲ ὀλίγα, πλείστας αὐτοῖς καὶ ἰσχυροτάτας ἀποδοὺς 5 ἐργασίας. ὁμοῦ τε διὰ τούτων διαγράφει τοὺς Αἰσχίνου λόγους, οὓς ποιήσεται περὶ τῆς εἰρήνης αἰτιώμενος Δημοσθένην ὡς εἰσηγησάμενον τὴν εἰρήνην. τοῦτο δὲ τὸ μέρος δέδοικε Δημοσθένης. λύει δὲ οὐδὲν ἧττον διὰ τοῦ δευτέρου τὸ ἰσχυρότατον Αἰσχίνου χρῶμα καὶ τὸ μεταληπτικὸν ἅμα· τοῦ γὰρ Αἰσχίνου δυναμένου κατὰ φύσιν ἀναχωρεῖν ἐπὶ τὴν ἀπάτην ἣν ὑπὸ Φιλίππου ἠπάτηται, καὶ λέγειν ἐξεῖναι καὶ ἀπαγγέλλειν ἅ τις ἀκήκοεν, ἐπενεγκὼν ὧν ἔπεισε, δι' ἑνὸς ῥήματος ἀμφότερα ταῦτα ἀνῄρηκε. T.C.V. 10

τρίτον δὲ ὧν προσετάξατε αὐτῷ· εἶτα τῶν χρόνων] ταῦτα αὐτὰ καθ' αὑτὰ κρινόμενα ἐγκλήματ' ἂν εἴη· νῦν δὲ πρὸς ἀπόδειξιν ἑτέρου παραλαμβανόμενα, τεκμήρια γίνεται. προσέταξαν δὲ αὐτῷ ταῦτα, πρῶτον μὲν λαβεῖν τοὺς ὅρκους παρὰ τῶν συμμάχων, λέγει δὲ Θετταλῶν· εἶτα προσέταξαν αὐτῷ πεῖσαι Φίλιππον Ἀμφίπολιν ἀποδοῦναι τῇ πόλει· ἐπειδὴ γὰρ ἐκ ψηφισμάτων καὶ προσταγμάτων ἐγγράφων οὐκ ἔχει ταῦτ' ἐγκαλεῖν, ἀορίστως ἐχρήσατο τῷ ῥήματι, εἰπὼν "ὧν προσετάξατε αὐτῷ·" τὸ γὰρ προσετάξατε ἀπροσδιορίστως τεθὲν, πότερον ἐγγράφως ἢ οὔ, δίδωσιν αὐτῷ χορηγίαν ἐφ' ἅπαντα τὰ ἐγκλήματα. τῶν γὰρ προσταγμάτων ἃ μέν ἐστιν ἔγγραφα, ἃ δὲ ἄγραφα· ἔγγραφα μὲν τὰ περὶ τῶν ὅρκων, ἄγραφα δὲ τὰ περὶ τῆς Ἀμφιπόλεως καὶ τῶν Φωκέων. ἐν ᾧ καὶ τῷ καθ' ἑαυτὸν προδιορθοῦται ὁ ῥήτωρ· ἐπειδὴ γὰρ Αἰσχίνης ἀποσκώπτων φησὶ λέγοντα αὐτὸν προοίμιον ὑπὲρ τῆς Ἀμφιπόλεως ἐκπεσεῖν, ἐντεῦθεν ἤδη διωθεῖται τὸ ἔγκλημα, καὶ δίδωσιν Αἰσχίνῃ προσῆκον λέγειν, οὐχ ἑαυ-

3. γὰρ π. codices. π. γὰρ V.
6. διαγράφει (id est διαλύει καὶ ἀφανίζει) W. pro παραγράφει.
9. διὰ τοῦ δευτέρου] Quodnam est illud secundum? WOLF.
10. μεταληπτικὸν W. pro ἀντιληπτικόν. "Nam in Philippi calliditatem "transfert causam Æschines." WOLF.
12. καὶ ἀπ.] καὶ om. codices.
16. προσέταξαν correcti T.D. qui primo προσέταξε habuerunt ut C. G.V.
αὐτῷ] αὐτοῖς pr. T. et pr. D.
20. ταῦτ' W. pro τούτῳ.
25. καὶ τῷ W. pro καὶ τό.
28. προσῆκον] προσήκειν W.

τῷ, εἴπερ αὐτῷ ἡ πόλις προσέταξεν. εἰκότως δὲ προσέταξε τούτῳ· μόνος γὰρ ἐφώρασε Φίλιππον ἐπιβουλεύοντα τοῖς Ἕλλησι, καὶ μόνος παρεκάλει τὸν δῆμον καὶ τοὺς Ἕλληνας ἐπὶ τὴν ἀκόλουθον τάξιν τῶν πραγμάτων. ἔστι μὲν οὖν ἰσχυρότατον μέρος πρὸς τὴν κατηγορίαν οἱ παρ' Αἰσχίνου λόγοι, οὓς διεῖλε δίχα, εἴς τε τὸ εἰπεῖν καὶ πεῖσαι. καίτοι γε ἓν πρᾶγμα εἶναι δοκεῖ τό τε εἰπεῖν καὶ πεῖσαι· ἅμα γὰρ τῷ λέγειν καὶ πείθει τις. ἀλλ' ἐπειδὴ τὸ μὲν λέγειν ἀπαγγελίαν περιέχειν δύναται, τὸ δὲ πείθειν συμβουλὴν, διὰ τοῦτο τὸ μὲν ὡς γένος, τὸ δὲ ὡς εἶδος εἴληφεν. ἕπεται δὲ τούτῳ τῷ μέρει καὶ τὰ λοιπά. εἰ γὰρ αὐτὸς ἀπήγγειλεν, αὐτὸς ἠπάτησεν, αὐτοῦ ἄρα εἴη ἂν καὶ τὰ λοιπὰ ἁμαρτήματα. ὅρα δὲ ὅτι τῶν προκειμένων τὰ μὲν ἴδια Αἰσχίνου, τὰ δὲ λοιπὰ κοινὰ τῶν πρέσβεων· ἴδια μὲν ἅ τε ἀπήγγειλεν ἅ τε ἔπεισε· τὸ δὲ ὧν προσετάξατε αὐτῷ κοινὸν γενέσθαι δυνάμενον κατὰ τῶν πρέσβεων ἔγκλημα, ἐπ' αὐτὸν ἀνενήνοχε τὸν Αἰσχίνην. τοῦτον γὰρ εἰκὸς τὰ πάντα ἠδικηκέναι, τὸν ἑλόμενον ὑπὲρ ἁπάντων καὶ εἰπεῖν καὶ ψεύσασθαι. μετὰ ταῦτα τῶν χρόνων, καθ' οὓς ἐποίησεν ὑμᾶς μὴ βοηθῆσαι Φωκεῦσι, μελλήσας ἕως ἂν εἴσω Πυλῶν γένηται Φίλιππος. δοκεῖ δὲ καὶ τοῦτο κοινὸν ἔγκλημα εἶναι τῶν πρέσβεων· ἀλλὰ προταχθὲν μὲν ἐγένετο ἂν τῶν πάντων, ὑποταχθὲν δὲ τοῖς ἄλλοις ἴδιον Αἰσχίνου γίνεται. τίνες τοίνυν εἰσὶν οἱ χρόνοι; ἤγουν πρῶτον ἐκεῖνοι, οὓς ἀνάλωσε παρασκευαζομένου Φιλίππου ἐπὶ Φωκέας· εἶθ', ὅτι ὀψέ ποτε Φιλίππου χωρισθεὶς, καταλαβόντος σχεδὸν ἤδη τὰς Πύλας, οὐκ ἐνέδωκε τῷ δήμῳ περιπλεύσαντι κλεῖσαι τὸν τόπον. πρὸς τούτοις ἐν οἷς ἀντεξετάζει οὓς ἀνάλωσε χρόνους ἐπὶ τῆς προτέρας πρεσβείας καὶ οὓς ἐπὶ τῆς δευτέρας, τεκμήριον τὸν χρόνον λαμβάνων τῆς δωροδοκίας. εἰ δέ τις οἴεται τῶν χρόνων μεμνημένον αὐτὸν τὴν Θράκην λέγειν, οὐκ ὀρθῶς ὑπείληφεν—οὐ γὰρ χρόνος

1. προσέταξεν T. προσετάξατο ceteri.
εἰκότως V. εἰκὸς codices.
6. εἶναι om. C.G.V.
8. τὸ μὲν ὡς γένος (μέρος C.G.), τὸ δὲ ὡς εἶδος codices. τὸ μὲν ὡς εἶδος, τὸ δὲ ὡς γένος V.
10. εἴη ἂν T.D. ἂν εἴη V. ἂν om. C.G.
18. ἔ. εἶναι] εἶναι ἔ. V.
21. ἤγουν—ἐκεῖνοι W. pro οὐκοῦν—ἐκείνων.
23. τὸν τόπον T. τὰς πύλας ceteri.
25. τῆς δευτέρας] τῇ δευτέρᾳ T. In C.G. hæc sic scripta ἐπὶ τῆς δωροδοκίας. τεκμήριον τῆς δωροδοκίας τὸν χρόνον ποιούμενος. εἰ δέ—.

ἐστὶν ἡ Θράκη—, ἀλλ' ὅτι δῶρα εἴληφε, τεκμήριον ἡ ταχύτης καὶ ἡ βραδύτης. T.C.V.

342, 18. εἰ ἀδωροδοκήτως] καλῶς ἐπήγαγε τὸ ἀδωροδοκήτως μετὰ τὰ ἄλλα ὅλα ὡς ἰσχυρότερον. ἀεὶ γὰρ ἐν τοῖς ἄκροις τάττεται τὰ ἰσχυρὰ, τὰ δὲ ἥττονα καὶ ἀσθενῆ ἐν τῷ μέσῳ. ἐπειδὴ πρὸς ἕκαστον τῶν προειρημένων ἐστί τις αὐτῷ ἀπολογία· οἷον ἐπὶ τῆς ἀπαγγελίας, ὅτι ἠπατήθην ὑπὸ Φιλίππου· ἐπὶ τοῦ πεῖσαι, ὅτι ἀγνοῶν οὕτως ὑμᾶς ἔπειθον, ὡς νομίζων τὰ παρ' ἐκείνου εἶναι ἀληθῆ· ἐπὶ τῶν χρόνων, ὅτι ἄκων ἐβράδυνα, ἢ διὰ νόσον ἢ δι' ἄλλο τι· ἐπὶ δὲ τοῦ δωροδοκεῖν οὐδὲν ἔχει ἔτι εἰπεῖν. A.—V. τελευταῖον ταχθὲν τοῦτο ἀνῄρηκεν Αἰσχίνου πᾶσαν ἀπολογίαν· ὥστε μὴ δοκῶν ἀγωνίζεσθαι ἀποδείκνυσιν. εἰ γὰρ ἀπήγγειλε τὰ ψευδῆ, καὶ ἔπεισεν ἀπατῶν, καὶ τῶν προστεταγμένων πεποίηκεν οὐδὲ ἕν, καὶ τοὺς χρόνους ἀνήλωσεν, ἔχει μὲν ἴσως ἀπολογίαν, εἰ μὴ φανῇ δωροδόκος· ὀφθεὶς δὲ ἔνοχος τῇ μισθαρνίᾳ οὐδεμίαν ἕξει τῶν ἐγκλημάτων ἀπολογίαν, ἵνα καὶ τὰ κοινὰ ἴδια γένηται. εἰ γὰρ ἁπάντων εἴη τὰ ἐγκλήματα, μόνος δὲ εἴληφε δῶρα, καὶ τοῦ τοὺς ἄλλους ἡμαρτηκέναι καθέστηκεν αἴτιος. ἔστιν οὖν τριμερὴς ἡ προκατασκευή. καὶ τἆλλα μέν ἐστιν ὡς ἐν γένει κατὰ πάντων πρέσβεων, τὸ δὲ τρίτον μέρος τῆς προκατασκευῆς ἴδιόν ἐστιν Αἰσχίνου. T.C.V. ἰστέον ὅτι τὸ πέμπτον ἐν τῇ προκατασκευῇ κεφάλαιον τεθειμένον πρῶτον διαπεραίνει τὰς τῶν ἐπιχειρήσεων προσάγων δυνάμεις. P.

342, 19. πάντα ταῦτα πέπρακται] δεινότατον πάνυ· οὐ γὰρ εἶπεν εἴρηται, ἀλλὰ πέπρακται, συνεθίζων αὐτοὺς ἔργα νομίζειν τὰ ῥήματα. T.C.V.

342, 27. περὶ ὧν γε] προσήκει τῷ πρεσβευτῇ. P.

342, 29. εἶεν. τῶν δὲ δὴ χρόνων διὰ τί; ὃν ἄν τις ἑκὼν καθυφῇ] διὰ μὲν δὴ τοῦ ἑκὼν τὸ χρῶμα ἀναιρεῖ, διὰ δὲ τοῦ καθυφῇ τὸν δωροδοκίαν μηνύει. ὅθεν ἐπήνεγκε καὶ προδῷ. T.C.V.

343, 8. διώρισε] διέστειλε, διεχώρισε. P.

1. ταχύτης—βραδύτης] ταχυτής—βραδυτής codices.
4. ἄλλα om. A.R.
ἰσχυρότερον] ἰσχυρότατον R.C.G.
6. αὐτῷ om. R.
7. ὅτι ἀγνοῶν om. R.
8. ἔπειθον] ἔπιθον A.
ἐπὶ τῶν χρόνων W. τὸν χρόνον, omissa præpositione, libri.
23. δεινότατον] δεινότατα V.
28. καθυφῇ] καθυφῆναι codices.

343, 19. δῶρα καὶ μισθοὺς εἰληφότα] συνέζευξε τοῖς δώροις τὸν μισθὸν, ἐπονείδιστον ὄνομα, πρὸς δὲ καὶ τῇ ποιότητι τοῦ Φιλοκράτους τὴν διαφθορὰν τῆς γνώμης πιστούμενος. T.C.V.

343, 22. ἐμὲ μὲν φαῦλον ἡγεῖσθε] τιμωρία γὰρ αὐτάρκης τὸν Ἀθηναίων σύμβουλον καὶ πρεσβευτὴν φαῦλον παρ' Ἀθηναίοις νομί- 5 ζεσθαι. T.C.V. φαῦλον, ἤγουν ψεύστην. P.

343, 23. ἄφετε] ἤγουν ἀπολύσατε τῆς κατακρίσεως. P.

πολλὰ δὲ καὶ δεινὰ κατηγορεῖν ἔχων] προκαταστατικὸν ἐννόημα. πληρώσας τὴν προκατασκευὴν, εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὴν προκατάστασιν. A.R.P. αἰνίττεται ἴσως τὴν ἐν Μακεδονίᾳ μέθην, καὶ τὴν 10 Ὀλυνθίαν αἰχμάλωτον, καὶ τὴν αἰσχρὰν παροινίαν, καὶ τὰ κατὰ Θράκην. ἔφη δ' ὅτι τὸ ἦθος Αἰσχίνου, καὶ ἡ προειληφυῖα δόξα καὶ ἡ πρόληψις ταράττει τὸν ῥήτορα. ἐπειδὴ γὰρ ἀφ' ἧς ἡμέρας εἷλε τὸν Τίμαρχον, εὐδοκιμεῖν ἐπὶ σωφροσύνῃ ἐδόκει, πόρρωθεν κατεπαγγέλλεται τοῦ ἤθους καὶ τῆς ὑποκρίσεως τὸν ἔλεγχον. τὸ δὲ "ἐξ ὧν οὐκ 15 "ἔστιν ὃς ἂν οὐκ εἰκότως μισήσειεν αὐτὸν" σημαντικόν ἐστιν ὅτι καὶ παρ' ἡμῖν οἱ φαυλότατοι μαθόντες τὸν βίον Αἰσχίνου μισήσουσιν. αἰνίττεται δὲ, ὡς εἶπον, τὴν ἐν Μακεδονίᾳ μέθην, καὶ ἑξῆς. T. C.V.

343, 26. μνημονεύοντας ὑμῶν] θηρεύει μαρτυρίαν ἤδη παρὰ τῶν 20 ἀκουόντων, ἵνα καὶ τὴν κατάστασιν μόνον οὐκ ἀγῶνα ἐργάσηται καὶ τὸ ἐπενεχθὲν πιστεύηται, ὅτι τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν ἀρχῇ μάλιστα ἐξελεγχθήσεται δῶρα ἔχων. διχόθεν δὲ ὁ ἔλεγχος, καὶ παρὰ τῶν ἀκροατῶν καὶ παρὰ τοῦ φεύγοντος. λέγει δὲ οὐ πάντα ἐν τῷ προκαταστατικῷ τὰ μέρη τῆς καταστάσεως, 25 φοβηθεὶς τῶν λόγων τὸν ὄχλον, ἀλλ' ἐπαγγέλλεται μὲν περὶ τῆς δωροδοκίας εἰπεῖν, σιγᾷ δὲ τὸ κατὰ Φωκέας, ὡς ἑπόμενον καὶ ἀκόλουθον. T.C.V.

3. διαφθορὰν W. pro διαφορά.

8. π. ἐννόημα] Hæc duo verba sunt etiam in S.Y.: absunt ab T., qui reliquam scholii partem in margine habet.

10. τὴν ὀλ. T. τὴν γυναῖκα τὴν ὀλ. ceteri.

12. ἔφη W. pro ἔφην. "Sc. ὁ "Δημοσθένης ταῦτα. Sin ἔφην, ad "Ulpianum pertinet, qui in hoc "commentario nihil hujusmodi "dixit." WOLF.

14. σωφροσύνῃ] σωφροσύνην T.D.

15. τὸ δὲ] τὸ γὰρ T.

16. καὶ om. V.

17. ἡμῖν] ὑμῖν C.G.

18. καὶ ἑξῆς codices. καὶ τὰ ἑξῆς V.

22. ἐπενεχθὲν W. pro ἐπενεχθέν (sic).

ὑφ' ἑαυτοῦ] ἑαυτῷ V.

27. σιγᾷ δὲ] Fort. σιγᾷ δὲ (sc.

343, 27. ὑπομνῆσαι] ἤγουν εἰς μετρίαν μνήμην ἀγαγεῖν. P.

343, 29. δημηγορεῖν] παρρησίᾳ λέγειν προσῆκον εἶναι. P.

344, 1. εἰδῆτε] ἰστέον ὅτι τὸ πέμπτον ἐν τῇ προκατασκευῇ κεφάλαιον τεθειμένον πρῶτον διαπεραίνει, τὰς τῶν ἐπιχειρήσεων προσάγων δυνάμεις. B.F.Y.

344, 3. ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων] ἡ κατάστασις. ἔστι δὲ διμερής, καὶ τὸ μὲν πρῶτον μέρος αὐτῆς περιεκτικόν ἐστι τῆς δωροδοκίας, τὸ δὲ δεύτερον περιεκτικὸν τοῦ κατὰ Φωκέας ἐγκλήματος. B.F.R.S.Y.

ἔστι τοίνυν—Ἀθηναίων] αὕτη ἐστὶν ἡ κατάστασις. διῴκηται δὲ σοφώτατα, ἵνα δι' ὧν ὡς φρόνιμον καὶ πρὸ τῶν ἄλλων αἰσθόμενον εἰσάγει, διὰ τοῦτο ἀνέλῃ τὸ ὅτι οὐκ ἠπάτηται. διμερὴς δ' ἐστὶν ἡ κατάστασις, ὥσπερ καὶ ἡ ὑπόθεσις. καὶ τὸ μὲν πρῶτον μέρος αὐτῆς περιεκτικὸν τῆς δωροδοκίας ἐστὶ, καὶ λαμβάνει πέρας τοῦτο τὸ μέρος ἐνταῦθα· "καὶ ταῦθ' ὁ σχετλιώτατος καὶ ἀναιδὴς "οὗτος ἐτόλμα λέγειν, ἐφεστηκότων τῶν πέρσβεων καὶ ἀκουόντων, "οὓς ἀπὸ τῶν Ἑλλήνων ὑμεῖς μετεπέμψασθε, ὑπὸ τούτου πεισθέν-"τες, ὅτ' οὔπω πεπρακὼς αὐτὸν ἦν." τὸ δὲ δεύτερον μέρος ἐστὶ περιεκτικὸν τοῦ κατὰ Φωκέας ἐγκλήματος, οὗ ἡ ἀρχή· "ἃν μὲν οὖν τρόπον, "ὦ ἄνδρες Ἀθηναῖοι, χειροτονησάντων ὑμῶν ἐπὶ τοὺς ὅρκους αὐτὸν "πάλιν." ὁρᾷς γὰρ ὅπως ἡ μετάβασις σαφὴς καὶ πρόδηλος, πρῶτον μὲν εἰσαχθεῖσα ἐν προοιμίου εἴδει, ἔπειθ' ὅτι κατεπαγγέλλεται πραγμάτων ἑτέρων ἀπόδειξιν. ἔστι καὶ τρίτον μέρος τῆς καταστάσεως, ἐν ᾧ τὰς αἰτίας ἀποδίδωσι τῶν προειρημένων, οὗ ἡ ἀρχή· "τοῦ χάριν "δὴ ταῦτα πρῶτον ὑπέμνησα;" ἐπειδὴ δὲ διαίρεσιν εἰπεῖν τοῦ λόγου προὐθέμεθα, κωλύει δὲ οὐδὲν διὰ βραχέων ὥσπερεὶ σπέρματα καταβαλλομένους ἐφοδεῦσαι τοὺς ἐντυγχάνοντας, δεῖ τῆς δεινότητος πανταχοῦ στοχάζεσθαι τοῦ ῥήτορος. ἐπεὶ τοίνυν οὐκ ἦν εἰκὸς τὸν Φίλιππον δῶρα δοῦναι ἀνδρὶ τῶν τυχόντων, ἀλλὰ τῷ δοκοῦντι τῶν ἄλλων

τὴν δωροδοκίαν), τὸ κατὰ Φωκέας τιθεὶς, ὡς ἑπόμενον. WOLF.

3. ἰστέον ὅτι om. B.

6. ἡ κατάστασις] Hoc est etiam in A. In S. α' μέρος ἢ (vel ἡ) κατάστασις.

7. ἔστι δὲ] δὲ om. R.

π. ἐστι] ἐστὶ π. R. ἐστὶ om. Y.

12. εἰσάγει codices. εἰσάγῃ V.

14. λαμβάνει] καταλαμβάνει C.G.

15. καὶ ταῦθ'] p. 346, 1.

21. σαφὴς] σαφὴς πάνυ V.

24. τοῦ χάριν] p. 348, 25.

28. τοῦ ῥήτορος W. pro τὸν ῥήτορα. Verbum στοχάζεσθαι in V. legitur post τὸν ῥήτορα.

ἦν εἰκὸς] εἰκὸς ἦν V.

κατὰ τὴν πρεσβείαν κρατεῖν· καὶ, ἐπειδὴ οὐχ οἷόν τε ἦν προδοῦναι Φωκέας τὸν μὴ μάλιστα πάντων δυνάμενον οὐδὲ μὴν οἷόν τε ἦν πεῖσαι τοὺς ἀκούοντας ὅτι πάντων τῶν πρέσβεων ὄντων μόνος Αἰσχίνης προδότης, ἀναγκαίως εἰδὼς τοῦτο εὐθὺς ἐν ἀρχῇ τῆς καταστάσεως θεραπεύει τὸ ἀντικείμενον. τὰ πρῶτα γὰρ Αἰσχίνῃ διδοὺς τῆς πολιτείας, καὶ μονονουχὶ Περικλέους ἀξίωμα περιτιθεὶς, τὴν δύναμιν αὔξει καὶ τῷ προσώπῳ μέγιστον ἀξίωμα περιτίθησιν, ἵνα καὶ ἀναγκαίως φαίνηται Φίλιππος τοῦτον θεραπεύων, ὃν μάλιστα κρατοῦντα τῆς πρεσβείας ἑώρα, καὶ τῷ παντὶ ἀγῶνι παρασκευάζῃ τὴν πιθανότητα. τὸ δὲ θαυμασιώτατον ἐκεῖνό ἐστιν, ὅτι αὐτὸν Αἰσχίνην παρέχεται τῶν δωροδόκων κατήγορον καὶ μάρτυρα τοῦ διαφθείρεσθαι ὑπὸ Φιλίππου τοὺς εἰς Μακεδονίαν ἀφικνουμένους. ἐπὶ τούτοις καὶ τρίτον, ὅτι οὐ διελάνθανεν αὐτὸν ἡ τοῦ Φιλίππου προαίρεσις, οἵα τε ἦν περὶ τὴν πόλιν καὶ τὴν Ἑλλάδα, ἵνα καὶ τὸ χρῶμα φαίνηται διὰ τούτων λύων· οὐ γὰρ ἦν εἰκὸς ἀγνοῆσαι τοῦ Φιλίππου τὴν γνώμην τὸν πάλαι ποτὲ κατηγοροῦντα τοῦ Φιλίππου τῶν τρόπων. T.C.V. τοῦτο περιέχει τὸ τοῦ χρώματος· ὁ γὰρ αἰσθόμενος πρῶτος Φίλιππον ἐπιβουλεύοντα τοῖς Ἕλλησι καὶ Φωκεῦσιν ᾔδει ἐπιβουλεύοντα καὶ διαφθείροντά τινας τῶν ἐν Ἀρκαδίᾳ, ἵνα ἐξ ἀκολουθίας τὸν προεστηκότα τῆς πρεσβείας φαίνηται διαφθείρων. T.C.V.

344, 7. καὶ ἔχων Ἴσχανδρον] παρέχεται μὲν τοῖς Αἰσχίνου λόγοις ἡ μαρτυρία· οὐκ ἀπήλλακται δὲ καὶ σκώμματος. ὑποκριτὴν γὰρ ἔχει τὸν συναγωνιζόμενον. T.C.V.

344, 8. προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ] κατὰ κῶλον ἐπαναφορά. Y. θεώρησον πόσην αὐτῷ μαρτυρεῖ τὴν σπουδήν τε καὶ εὔνοιαν· παρηνώχλει γὰρ πᾶσιν ὁρῶν ἀδικοῦντα τὸν Φίλιππον. διὰ δὲ τοῦ ἥκων τὴν ἔξοδον καὶ τὸ ἀπελθεῖν ἐδήλωσεν, εἰ καὶ μὴ εἴρηκε φανερῶς. τὸν δὲ Ἱερώνυμον προδότην τινὰ λέγει Ἀρκάδων ἐναντιού-

2. οὐδὲ] Legebatur οὔτε.
3. ὄντων add. T., om. ceteri.
μόνος codices. μόνος ἦν V.
9. παρασκευάζῃ W. pro παρασκευάζει.
16. τῶν τρόπων W. pro τὸν τρόπον.
τὸ τοῦ W. Aberat τό.
17. ὁ P. οὐ codices et V.
18. ᾔδει W. pro ᾔδη.
21. παρέχεται W. dubitanter pro παρέχει.
25. τὴν σπ. τε καὶ εὔνοιαν] τὴν εὔνοιαν καὶ σπ. C.V.
26. ὁρῶν] ὁρᾶν λέγων P.
28. ἀρκάδων T. τῶν ἀρκάδων V. In C.G. et τῶν Ἀρκάδων et mox ἐν Ἀρκαδίᾳ omissa sunt. Conf. p. 348, 9.

μενον αὐτῷ ἐν Ἀρκαδίᾳ περὶ τοῦ πολέμου τοῦ πρὸς Φίλιππον, μαθητὴν γενόμενον Ἰσοκράτους. T.C.V.

344, 10. *συνάξοντας*] *συναγαγόντας.* P.

344, 12. *ἐξ Ἀρκαδίας*] *οὗτος ἦν ἐν Ἀρκαδίᾳ, ἥτις οὕτω Μεγάλη πόλις ἐκαλεῖτο, ὅθεν ὑπὲρ Μεγαλοπολιτῶν Δημοσθένης γράφει.* Less.

καλοὺς] *οὐ κεῖται ὡς ἐν εἰρωνείᾳ, ἀλλὰ κατ' ἀλήθειαν. ὕστερον γὰρ μέλλει ἐπιφέρειν τὸ κατ' εἰρωνείαν.* A.R.T.P.

344, 14. *Ἱερώνυμον*] *προδότην τινὰ λέγει Ἀρκάδων, ἐναντιούμενον αὐτῷ ἐν Ἀρκαδίᾳ περὶ τοῦ πολέμου τοῦ πρὸς Φίλιππον, μαθητὴν γενόμενον Ἰσοκράτους.* A.R.

344, 16. *οὐχὶ τὰς ἰδίας ἀδικοῦσιν*] *αὐτὸν ποιεῖ τὸ μέγεθος τοῦ κακοῦ τοῦ κατὰ τὴν προδοσίαν ὁρίζοντα.* T.C.V.

344, 18. *πολιτευομένου*] *τὰ τῆς πολιτείας οἰκονομοῦντος, τούτου φροντίζοντος, ὑπὲρ τῶν πολιτικῶν.* P.

344, 19. *δεῖγμα*] *ἤγουν ἀπόδειξιν δείξαντος.* P.

344, 21. *καὶ Κτησιφῶντος*] *οὐκ ἔστιν οὗτος εἷς τῶν ὑποκριτῶν, ἀλλ' ἑτέρας ἕνεκα προφάσεως ἀποσταλεὶς εἰς τὴν Μακεδονίαν, καὶ παρὰ τοῦ Φιλίππου ἀκηκοὼς ὡς βούλεται σπείσασθαι, οὕτως ἀπήγγειλε.* T.C.V.

344, 23. *γίνεται τῶν πρέσβεων οὗτος*] *παρὰ χρόνον ἐναλλαγή· ἔστι γὰρ ἀντὶ τοῦ ἐγένετο. ὅμοιον δὲ τῷ Θουκυδίδου· "ἐπαινοῦσι "τὸν προσθέντα," ἀντὶ τοῦ, ἐπῄνεσαν.* T.C.V.

344, 24. *οὐχ ὡς τῶν*] *ἐγκατάσκευος διήγησις, ὡς ταῖς αἰτίαις κατασκευαζομένη, διότι ἐστὶ σύντομος καὶ πολιτική.* B.F.Y.P. *τὸ συμβεβηκὸς κατὰ ἄρνησιν.* B.

ἀποδωσομένων] *ἤγουν ἐμπολησόντων.* P.

344, 25. *πεπιστευκότων*] *πληροφορίαν ἐχόντων δηλαδὴ τῶν εὐνοούντων τῷ Φιλίππῳ.* P.

344, 26. *διὰ γὰρ τοὺς προειρημένους λόγους*] *συγγνώμη τῆς χειροτονίας Αἰσχίνου.* B.

5. *γράφει* Sauppius. In Less. solæ supersunt literæ *φει*.

7. *οὐ κεῖται ὡς ἐν εἰρωνείᾳ* R. *οὐκ ἔστιν ὡς ἐν εἰρωνείᾳ* A. *οὐκ ἔστιν εἰρωνικῶς* T.; qui hoc scholion in marg. habet, unde sumsit P.

17. *ὑποκριτῶν*] *πρεσβευτῶν* W.

21. *ἐναλλαγή* add. W.

22. *τῷ* codices. *τῷ τοῦ* V.

23. *προσθέντα* codices. *προσθέντα τῷ νόμῳ* V.

344, 28. δόξαν] ὑπόληψιν. P.

προσελθὼν τοίνυν ἐμοὶ μετὰ ταῦτα] παρὰ τοῦ ἀντιδίκου λαμβάνει τῆς οἰκείας δόξης καὶ προαιρέσεως μαρτυρίαν· οὐδενὶ γὰρ τῶν πρέσβεων περὶ σωτηρίας πραγμάτων Αἰσχίνης φαίνεται διαλεγόμενος, εἰ μὴ μόνον τῷ ῥήτορι· ὥστε τὸν ἔπαινον τὸν οἰκεῖον ἀνεπαχθῆ γενέσθαι, μὴ παρ' αὐτοῦ λεγόμενον, ἀλλὰ παρὰ τοῦ ἀντιδίκου μαρτυρούμενον. T.C.V.

344, 29. συνετάττετο] συνεφώνει, παρεκάλει ὁμογνωμονεῖν. P.

345, 1. καὶ ὅπως τὸν μιαρὸν] ἄνοια, φησὶ, τοῦ δήμου πολλὴ, εἴ γε ᾔδεσαν ὡς προδότης ἦν ὁ Φιλοκράτης. ὅτι δὲ ἀμφοτέροις ἐχθρὸς ὁ Φιλοκράτης Αἰσχίνης ὁμολογεῖ. πῶς οὖν καλούμενος ἐπὶ τὴν μαρτυρίαν Φιλοκράτους Αἰσχίνης σιγᾷ· καὶ τίς ἡ κοινωνία τῆς πολλῆς προνοίας ὑπὲρ Φιλοκράτους αὕτη; πῶς δὲ πολλὴν ὑπὲρ αὐτοῦ ποιεῖται πρόνοιαν; τίνα δὲ ἄλλον παρεχόμεθα μάρτυρα τοῦ πολεμεῖν αὐτῷ Δημοσθένη, σαφῶς καὶ διαρρήδην μαρτυροῦντος Αἰσχίνου; ἄνοια οὖν, ὡς εἴρηται, τοῦ δήμου πολλὴ, εἴ γε εἰδότες ὡς προδότης Φιλοκράτης, ἐχειροτόνησαν αὐτόν. ἔστι δὲ οὐ τοιοῦτον· ἀλλ' ἐπειδὴ χρεία πολλάκις ἐν ταῖς πρεσβείαις ἰταμωτέρων καὶ παρρησιαστικῶν, ἵνα μὴ τὰ δίκαια διὰ τὴν ἐπιείκειαν πρόωνται τῆς πόλεως, ἐδόκει δὲ τοιοῦτος ὁ Φιλοκράτης, ἕνεκεν τούτου εἵλοντο αὐτόν. ὡς οὖν εὐχερῆ ὄντα εἰς τὸ μεταπεισθῆναι καὶ διαφθαρῆναι, εἶπε τὸ φυλάξωμεν. διὰ τοῦτο γὰρ μιαρὸν καὶ ἀναιδῆ ἐκάλεσεν, οὐ προδότην. T.C.V.

345, 2. καὶ μέχρι] σύστασις τοῦ οἰκείου πρὸ τῆς ἐπικρίσεως τοῦ κατηγορουμένου. B.

345, 5. χωρὶς] πρὸς διαστολὴν τῶν ἀκουόντων. B.

345, 12. ἄριστα] ἰσχυρότερα, ῥητορικώτερα. P.

345, 6. δεῖν] ἀντὶ τοῦ ἀναγκαίαν εἶναι. A.T.P.

βραχεῖς τε καὶ μετρίους] τὸ μὲν τῆς συντομίας, τὸ δὲ τῆς ἀρετῆς τῶν εἰρημένων. T.C.V. βραχεῖς, ἤγουν συντόμους· μετρίους, ἤγουν ἐπιεικεῖς, φιλανθρώπους. T.P.

5. τὸν ἔπαινον τὸν οἰκεῖον T.D. τὸν οἰκεῖον ἔπαινον ceteri.

11. ὁμολογεῖ codices. μαρτυρεῖ V.

13. προνοίας codices. εὐνοίας V. In T. aliquis mutare voluit, sed non perfecit.

15. ἄνοια C.G. ἄγνοια T.D.V.

17. χρεία] χειροτονία C.G.

19. τὰ δίκαια post ἐπιείκειαν C.G.

24. κατηγορουμένου Sauppius pro κατηγόρου.

27. ἀναγκαίαν Sauppius. ἀναγκαῖον T.P. ἀναγκαίους A.

30. Gl. φιλανθρώπους habet etiam

345, 19. τῷ τῶν συμμάχων] ὡς εἰ ἔλεγεν· ἅπασιν Αἰσχίνης ἠναντιώθη, τοῖς συμμάχοις καὶ νυνὶ δὲ τοῖς ἀκροαταῖς. B.

345, 20. συνηγοροῦντος δόγματι] συμμαχοῦντος δόξῃ. P.

345, 21. πράττοντος] ἀγωνιζομένου. P.

345, 22. ταῦτα] ἐμά. P.

345, 24. συνηγόρει ἐκείνῳ] μεθ' ἑτέρας διανοίας ἐξετάζει τοῦ κατηγορουμένου τὰ ῥήματα. B.

345, 25. ὡς οὔτε τῶν προγόνων ὑμᾶς] ὁ μὲν Αἰσχίνης περὶ τῶν φαυλοτέρων ἔφη, οὓς καὶ ζηλοῦν ἐκώλυσεν, ὁ δὲ τῷ κοινῷ τὸν λόγον ἐτράχυνε. T.C.V. ἰστέον ὅτι σοφίζεται ἐνταῦθα ὁ ῥήτωρ· ὁ μὲν γὰρ Αἰσχίνης τὸ ἄκαιρον τοῦ μιμεῖσθαί τινας τῶν προγόνων ἔλεγε φυλάττεσθαι, αἰνιττόμενος τοὺς ἐν Σικελίᾳ μόνους· οὐ γὰρ ἔλεγε περὶ πάντων τῶν προγόνων· ὁ δὲ ῥήτωρ τῷ καθολικῷ ὀνόματι τῶν προγόνων διαβάλλει τὸν λόγον. A.—V.

345, 27. νόμον τε θήσειν] ἰδοὺ καὶ νομοθέτην αὐτὸν ἀποφαίνει, πανταχόθεν αὔξων τὴν φρόνησιν. T.C.V.

345, 28. μηδενὶ τῶν Ἑλλήνων] παραινεῖ τῇ πόλει τὴν αὐτοῦ δωροδοκίαν μιμήσασθαι καὶ μισθοῦ βοηθῆσαι τοῖς Ἕλλησι. T. C.V.

346, 1. σχέτλιος] δυστυχής. P.

καὶ ταῦτα ὁ σχέτλιος] εὐκαίρως ἐπιφύεται κατ' αὐτοῦ μετὰ τὴν δείνωσιν. B.F.

346, 5. δεύτερον μέρος τῆς καταστάσεως. S.

346, 7. κατέτριψε] ἤγουν ἀργῶς καὶ ἀμελῶς διετρίβασε. P.

346, 10. ἀλλ' ἐπειδὴ πάλιν ἥκομεν] τὸ εἶδος τοῦ λόγου περιβληττικὸν κατὰ τὴν μέθοδον. τὸ γοῦν ἀναστρέφειν τὰ πράγματα καὶ τὰ

margo T. et ἀντὶ τοῦ φιλανθρώπους A.

7. κατηγορουμένου Sauppius pro κατηγόρου.

10. ἰστέον ὅτι σοφίζεται A.R. σοφίζεται γὰρ ceteri.

11. προγόνων R. idque haud dubie fuit etiam in A., in quo verba τὸ ἄκαιρον—ἔλεγε verbique φυλάττεσθαι quattuor primæ literæ perierunt. γονέων ceteri.

17. παραινεῖ] παρῄνει W.

24. διετρίβασε] διέτριψε W.

25. περιβλητικὸν] Idem quod περιβολικόν, *comprehensivum*, *comprehensione constans*. περὶ περιβολῆς ἐν ταύτῳ καὶ μεστότητος. Hermogenes primo tomo περὶ ἰδεῶν. Bonfinus περιβολὴν vertit, alias *circuitionem*, alias *comprehensionem*: Comes, *inflexionem*. WOLF.

26. γοῦν] γὰρ A.

δεύτερα πρῶτα λέγειν, εἶτα ἐπεμβάλλειν τὰ πρῶτα, περιβολῆς ἴδιον. A.—V.

346, 12. εὔθυναι] ἐξετάσεις, ἔρευναι. P.

346, 14. καὶ προσδοκηθέντων] ὑπὲρ τῶν περὶ Ἀριστόδημον λέγει καὶ Νεοπτόλεμον. A.R.T.C.V. 5

346, 15. καὶ τούτων ἕτερα] τὴν Θρᾴκην λέγει. A.R.T.C.V.

346, 16. προσῄειμεν] πρῶτον γὰρ ἔδει εἰσελθεῖν ἐν τῇ βουλῇ, εἶτα ἐν τῷ δήμῳ. A.—V.

346, 18. τὸ γὰρ βουλευτήριον μεστὸν] τὴν ἐπιθυμίαν αἰνίττεται τοῦ μαθεῖν· οὐ γὰρ ἀνέμειναν τὴν ἐκκλησίαν κατὰ τὸ ἔθος, ἀλλ' ἀνε- 10 μίχθησαν οἱ ἰδιῶται τοῖς βουλευταῖς. T.C.V.

346, 20. κατηγόρησα τούτων] οὐ λέγει περὶ πάντων τῶν πρέσβεων, ἀλλὰ τῶν αἰτίων. A.—V.

346, 26. προέσθαι] προδοῦναι. P.

346, 27. ἀναρτωμένους] ἐκκρεμαμένους. P. 15

346, 28. εἰς τοὔσχατον] ἀπώλειαν. P.

346, 29. ἐπειδὴ δὲ ἦχεν ἡ ἐκκλησία] ἐνταῦθα ἀποδείκνυσι τῆς προκατασκευῆς τὸ δεύτερον κεφάλαιον, δεύτερον τιθείς· οὐ γὰρ τῇ τάξει ἐχρήσατο τῆς ἐπαγγελίας, ἀλλὰ τὴν τάξιν συγχέας τῶν κεφαλαίων τῆς προκατασκευῆς, οὐχ ὡς ἐπηγγείλατο κατασκευάζει, ἀλλὰ 20 τῆς ἐπαγγελίας τὸ πέμπτον τίθησι πρῶτον, τὸ δὲ δεύτερον τίθησι δεύτερον· κατασκευάζει δὲ μόνον τὸ δεύτερον νῦν. B.Y.

ἧκεν] συνηθροίσθη. P.

347, 1. πρῶτος] ἐν πρωτολογίᾳ. P.

347, 2. πειρᾶσθε συνδιαμνημονεύειν] αἰσχυνθήσεται γὰρ ἕκαστος 25 τῶν ἀκουόντων μόνος ἀπολειφθῆναι τῆς μνήμης. T.C.V.

347, 8. πάμπληθες] παντελῶς, ὅλως.

347, 9. ὥσθ' ἅπαντας] ἀντὶ τοῦ δουλώσας ὑμᾶς τοῖς ἡδέσι λόγοις, ὥσπερ αἰχμαλώτους ἀπήγαγεν. P.

347, 10. ἔφη γὰρ ἥκειν πεπεικὼς] καλῶς εἶπεν οὐκ ἀκηκοὼς παρὰ 30

1. τὰ πρῶτα] τῷ πρώτῳ R.
4. ὑπὲρ] περὶ W.
τῶν περὶ—Νεοπτόλεμον A.R.T. τῶν πρὸς νεοπτόλεμον λέγει καὶ ἀριστόδημον ceteri.
λέγει om. R. In A. sola litera λ superest.
7. πρῶτον γὰρ] πρῶτον μὲν R.
13. ἀλλὰ] ἀλλὰ περὶ V. In R. scholion brevius οὐ λέγει πάντων, ἀλλὰ τῶν αἰτίων.
18. δεύτερον] πρῶτον, superscripto δεύτερον, Y. πρῶτον δεύτερον B.
30. εἶπεν] εἶπε πεπεικὼς V.

Φιλίππου ἁπλῶς, ἀλλὰ πεπεικὼς Φίλιππον, ἵνα μὴ ὡς ἐξαπατηθεὶς φαίνηται. προδιαλύει δὲ καὶ οὕτω τὸ χρῶμα· πῶς γὰρ ὁ τότε πείσας ἠπάτηται; T.C.V.

347, 12. καὶ περὶ τῶν ἐν Ἀμφικτύοσιν] ὥστε ζητῆσαι καὶ μαθεῖν τίνες ἐσύλησαν τοῦ ἱεροῦ τὰ χρήματα. ἔμελε γὰρ τοῖς Ἀμφικτυόσι τούτου. T.C.V. ὅτι Θηβαίων καὶ Φωκέων πολεμούντων πρὸς ἑαυτοὺς διὰ τὴν παραποταμίαν γῆν, οἱ Θηβαῖοι μᾶλλον ἱεροσύλησαν τὸ ἐν Δελφοῖς ἱερὸν ἤπερ οἱ Φωκεῖς, εἰ καὶ οἱ Φωκεῖς κατὰ τὸ ἀληθὲς τοῦτο πεποιήκασιν. πρῶτοι γάρ, φησίν, ἐπεχείρησαν οἱ Θηβαῖοι τοῦτο ποιῆσαι καὶ "οὐδὲν ἧττον ἠσεβήκασιν οἱ βεβουλευκότες τῶν "ταῖς χερσὶ διαπραξάντων," ὡς ἐπιφέρει μετὰ μικρὸν λόγον. A.—V.

347, 15. ἀπελογίζετο] ἐστοχάζετο, ἐπελάμβανε. ἀντὶ τοῦ, ὑπὸ λόγους καὶ ἀριθμοὺς ἐπετίθει. P.

347, 16. πεπρεσβευμένων] ἤγουν ἐκ τῆς πρεσβείας ἑαυτοῦ ὡς τεθαρρηκὼς αὐτῇ. P.

δυοῖν ἢ τριῶν ἡμερῶν] τὸ τάχος τῆς ἐπαγγελίας τὴν ἀπάτην ἐπηύξησε. T.C.V.

καθ' αὑτὰς] μόνας. P.

εἰσπραττόμενα] ζητούμενα. P.

347, 23. διδάσκειν γὰρ αὐτὸς ἔφη] ὅρα ὅπως πάλιν προδιοικεῖται τὴν λύσιν. ὁ γὰρ διδάσκων οὐ φενακίζεται. καὶ τὸ αὐτὸς δὲ τὴν ἐξοχὴν δηλοῖ τῆς εὑρέσεως. οὐκ ἂν οὖν ὁ τοιοῦτος ἀπατηθείη. T.C.V.

347, 26. ἐπικεκηρυχέναι] ὁμολογεῖται ὑποσχέσθαι δοῦναι. P. ὅταν πόλις ἔχῃ πρός τινα δυσμένειαν, ἐπιβοᾷ καὶ κηρύττει μισθὸν καὶ χρήματα τῷ φονεύοντι. T.C.V. ἄλλο ἐστὶν ἐπικηρυκεία καὶ ἄλλο ἐπικήρυξις. ἐπικηρυκεία μὲν ἡ φιλία, ἐπικήρυξις δέ· πολλάκις

5. ἔμελε P. Libri ἔμελλε.
6. ὅτι addidi ex R.
Θ. καὶ Φ.] Φ. γὰρ καὶ Θ. T.C.V.
7. γῆν] γυναῖκα R. et superscripto ab eadem manu γῆν T. In A. verba πρὸς ἑαυτοὺς—γῆν detrita sunt.
8. ἤπερ] εἴπερ T.
11. μικρὸν λόγον Sauppius pro μικρὸν λόγον μακρόν.
27. φονεύοντι] φονεύσαντι V.
ἄλλο] ἄλλο γὰρ T.C.D.G. ἄλλο δέ V.
ἐπικηρυκεία] ἐπικηρυκία R. hic et infra. In A. utrobique cum aliquot aliis verbis detritum est.
28. πολλάκις om. V. Delevi quod ante π. legebatur ὅταν.

πόλις ἔχουσα ἐχθρόν τινα ἐπιβουλεύοντα αὐτῇ ἐβούλετο αὐτὸν ἀνελεῖν ὡς βαρὺν ἑαυτῇ καὶ ἐπεκήρυττε χρήματα κατ' αὐτοῦ τῷ βουλομένῳ λαβεῖν καὶ φονεῦσαι αὐτόν. πολλάκις δὲ καὶ ἐπὶ ἰδιωτῶν τοῦτο ἐγίνετο. A.—V.

347, 29. ὦ ἄνδρες πρέσβεις] τοῦτο ὥσπερ ἠθοποιία ἐστίν, ὡς ἀπὸ τῶν Εὐβοέων λεγόντων πρὸς τὸν Αἰσχίνην καὶ τοὺς ἄλλους πρέσβεις. καὶ πῶς εὑρέθησαν αὐτοὶ οἱ πρέσβεις ἐν τῇ Εὐβοίᾳ; λεγομεν ὅτι δι' αὐτῆς παρῆλθον, ἐπανερχόμενοι ἐπὶ τὰς Ἀθήνας· οὐ γὰρ ἠδύναντο διὰ τῆς Βοιωτίας ἐπανελθεῖν διὰ τὴν ἔχθραν ἣν εἶχον πρὸς τοὺς Θηβαίους. ἦσαν δὲ οἱ Εὐβοεῖς Ἀθηναίων ἀποστάντες ἐκ τῶν ὑστέρων Θουκυδίδου μέχρι τοῦ νῦν χρόνου. A.—V.

348, 3. ὡμολόγηκε] καθυπέσχετο. P.

εὐδοκιμῶν] ἤγουν δόκιμος δόξας ἕνεκεν τούτων. P.

ῥήτωρ ἄριστος] πιθανολόγος ἐπὶ τέχνης. P.

ἀνὴρ θαυμαστὸς] ἐπαινετὸς ἐπὶ γνώμης. P.

348, 9. κατέβη μάλα σεμνῶς] πλήττει λεληθότως τὸν δῆμον, ὅτι ὑπερευδοκιμοῦσιν οἱ φενακίζοντες. T.C.V. σεμνῶς, ἤγουν μεγαλοπρεπῶς. P.

348, 10. ἀναστὰς δ' ἐγὼ] παραγραφικὸν λύει "καὶ διὰ τί οὐκ "ἀντελέγες;" A.R.

348, 13. ἐβόων, ἐξέκρουόν με] Αἰσχίνου βοῶντος, Φιλοκράτους παροινοῦντος, προκατειλημμένου τοῦ δήμου, ποῦ Δημοσθένης ὀφθήσεται; T.C.V. ἐξέκρουον μὲν, ἀντὶ τοῦ, ἐπωνείδιζον· ἐχλεύαζον, δὲ, ἐνέπαιζον μετ' εἰρωνείας. P.

1. πόλις] ὡς ἔφημεν add. V., non T. de quo hic ut alibi falsa refert P.

ἔχουσα ἐχθρόν] ἐχθρὸν ἔχουσα V.

ἐβούλετο] καὶ ἐβούλετο codices. καὶ βούλωτο V. Delevi καί.

ἀνελεῖν ὡς βαρὺν—φονεῦσαι αὐτόν codices cuncti, nisi quod καὶ abest, quod ego ante ἐπεκήρυττε addidi. ἀνελεῖν χρήματα κηρύττει δοῦναι τῷ ἀνελόντι αὐτόν V. In A. hæc ita detrita sunt ut quæ et quot verba scripta fuerint non liqueat.

3. καὶ ἐπὶ ἰδιωτῶν] Hoc est, ut opinor, καὶ τοῖς ἰδιώταις ἐπεκηρύττετο χρήματα. Nisi placeat, ὑπὸ τῶν ἰδιωτῶν: quod per leges non licuisse existimo. Clam quidem subornari percussores etiam a privatis nihil est novi. WOLF.

5. ἠθοποιία] ἠθοποιίας R.

ἀπὸ] ἐκ T.C.V.

8. παρῆλθον] προσῆλθον C.

10. ἀποστάντες] ἐκστάντες T.C.V.

11. Θουκυδίδου] Fort. post ea tempora quæ descripsit Thucydides. WOLF.

19. παραγραφικὸν—ἀντέλεγες] Hoc scholion est etiam in marg. T. sed partim detritum: in quo scriptum παραγραφικὴ λύσις.

348, 14. ὑμεῖς δ' ἐγελᾶτε] καθάπτεται τῶν πολιτῶν, ὅτι τοῖς φενακίζουσι τὴν πόλιν ἐπίστευον, τὸν δὲ φιλόπολιν καταγέλαστον ἐποίουν. A.R.T.

348, 16. νὴ τοὺς θεοὺς εἰκός τι παθεῖν] θεραπεύει τὸν δῆμον μετὰ τὴν ἐπιτίμησιν. T.C.V. θεραπεία τῆς ἐπιτιμήσεως. B. καθαψάμενος τῶν πολιτῶν πάλιν αὐτοὺς θεραπεύει. A.R.

δεύτερα] ἐλάττονα. P.

ὑποκειμένων] παρισταμένων. P.

ὄχλος] ταὐτόν ἐστιν εἰπεῖν, ὀχλοῦντες ἦσαν καὶ φθονοῦντες. P.

348, 25. τοῦ χάριν δὴ] τρίτον μέρος τῆς καταστάσεως αἰτιολογικόν· τὰς αἰτίας γὰρ ἀποδίδωσι τῶν προειρημένων. S. πληρώσας τὴν διήγησιν εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὸ πρῶτον κεφάλαιον τοῦ στοχασμοῦ, ὅπερ ἐστὶ τὸ παραγραφικόν. λαμβάνει δὲ αὐτὸ ἐκ τοῦ χρόνου. οἷον, καὶ διὰ τί μὴ τότε ἀντέλεγες; A.—V.

349, 2. παραχρῆμα] ἤγουν συντόμως μετὰ τὴν πρεσβείαν. P.

349, 11. οὔπερ εἶπον] ὅτι οὐκ ἐδίδασκον ταῦτα παραχρῆμα, ἀλλὰ μετὰ ταῦτα. P.

349, 15. προβεβλημένη] εὐλαβῶς ἔχουσα καὶ φυλαττομένη. B. Y.P. πρὸ τῶν ἄλλων ἦν, ἔμπροσθεν μαχομένη. P.

καλῶς] συμφερόντως. P.

διὰ τὴν ἀλήθειαν] τοῦ Αἰσχίνου δηλαδή. P.

διὰ τὴν αἰσχροκέρδειαν] νομίσητε γεγενῆσθαι. P.

ἀποδόσθαι] πωλῆσαι. P.

349, 25. βούλομαι δὲ] συμπεράνας τὴν κατάστασιν ἄρχεται ἐντεῦθεν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ὧν ἐστι τὸ προοίμιον. ἐπειδὴ δὲ κινηθέντος τοῦ ἐγκλήματος ἐδείχθη τὸ μέγεθος, ἀφέμενος ἀναγκαίως ὧν προήρξατο, τὴν λυποῦσαν αὐτὸν ἀντίθεσιν διαβάλλειν πειρᾶται. ἔστι δὲ αὕτη τίς; ἡ ἀπὸ τῆς Αἰσχίνου δυνάμεως. ἀλλ' οὐχ ἱκανὸς Αἰσχίνης, οὐδὲ τοσαύτην ἔχει δύναμιν ὥστε εἴκοσι δύο πόλεων προδοῦναι κατάλογον. τί δήποτε δὲ στοχαστικῆς οὔσης τῆς ὑποθέσεως ἐλέγχων ἀπαιτήσει οὐ κέχρηται; καὶ λέγομεν ὅτι γνώμης ἐστὶ στοχασμός. οὐχ οἷόν τε δὲ προδήλων ὄντων τῶν πραγμάτων

1. καθάπτεται—ἐποίουν] Hoc quoque scholion detritum in marg. T. qui ὅτι γὰρ φενακίζουσι—ἐγγέλαστον.

14. καὶ διὰ] καὶ om. C.G.

30. δὲ T.D. δὴ C.G. om. V.

31. οὐ κέχρηται] οὐ om. C.G.

ὑφ' ὧν πέπρακται, καὶ καταφανοῦς ὑπάρχοντος τοῦ πεποιηκότος ἐλέγχων ἀπαίτησιν γενέσθαι. ἐνταῦθα γὰρ τῆς βουλήσεως μόνης ἐξέτασις καὶ τῶν τεκμηρίων. ἐλέγχους δὲ οὐκ ἀπαιτοῦμεν, ὅτι μὴ τὴν ἑτέρου γνώμην οἶδέ τις εἰ ἑκὼν ἢ ἄκων καὶ ἐξηπατημένος τοὺς λόγους εἴρηκε. καὶ ἡ βούλησις δὲ ἠρέμα μὲν δηλοῦται, φυλάττεται 5 δὲ ἡ πλείων ἐξέτασις ἐν τῷ χρώματι. τὴν δὲ δύναμιν βλάπτουσαν καὶ ὑπερβαίνουσαν τὴν ποιότητα κατέμιξε τῇ θέσει τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, πιθανὰ ποιῶν τὰ ἐγκλήματα. T.C.V.

βούλομαι δὲ] τί δήποτε στοχαστικῆς οὔσης τῆς ζητήσεως οὔτε ἐλέγχων ἀπαιτήσει κέχρηται οὔτε μὴν βουλήσει πρὸ τῆς δυνάμεως; 10 λύσις, ὅτι γνώμης ἐστὶ στοχασμός. B.F.R.S.Y. πληρώσας τὸ παραγραφικὸν εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὸ δεύτερον κεφάλαιον τοῦ στοχασμοῦ, ὅπερ ἐστὶν ἡ τῶν ἐλέγχων ἀπαίτησις. A.T.C.V.

349, 26. ὃν τρόπον] ἀντὶ τοῦ, καθ' ὃν ὑστέρησαν τρόπον ποτὲ ὑμᾶς τοὺς Φωκεῖς. P. 15

349, 28. δεῖ δὲ μηδένα ὑμῶν] ἔστιν οὖν τῆς ἀντιθέσεως ἡ δύναμις ἐν τούτοις κατὰ ἀναίρεσιν εἰσηγμένη· ἐνταῦθα γὰρ τῆς βουλήσεως μόνης ἡ ἐξέτασις καὶ τῶν τεκμηρίων. B.F.S.Y.

ἡ μὲν βούλησις μέχρι τοῦ μετρίου συμπέπλεκται ἐκ τούτου. εἶθ' οὗτος, εἴπερ ὥσπερ οὗτος, ἠβουλήθη μισθώσας αὐτὸν τοῖς ἐχθροῖς 20 ἐξαπατᾶν ὑμᾶς καὶ φενακίζειν, τῶν ἴσων αἴτιος ἦν κακῶν ὅσων περ καὶ οὗτος. τὴν δέ γε δύναμιν ηὔξησεν ἐκ τῆς ποιότητος, εἰπὼν ὅτι ὑμεῖς κατεστήσατε κύριον, καὶ τοὺς καιροὺς συνῆψεν ἐπὶ τούτοις, μέρος τῆς δυνάμεως ὄντας. T.C.V.

350, 3. ὅτι ὅντιν' ἂν ὑμεῖς] εἰ καὶ τοῦ Αἰσχίνου ταπεινότερόν τε 25 καὶ ἥττω. T.C.V.

350, 5. εἶθ' οὗτος] συνέζευξε τῇ δυνάμει τὴν βούλησιν, κρατύνων αὐτὴν τῇ κοινωνίᾳ. T.C.V.

1. ὑπάρχοντος] ὄντος C.G.V.

5. εἴρηκε] ἐποίησε C.G.

7. κατέμιξε τῇ θέσει] Dubito. WOLF.

9. τί δήποτε] πῶς B. In S. ante τί δήποτε legitur τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, quocum confer scholion præcedens.

11. λύσις—στοχασμός] Hæc solus habet B. et a m. sec. Y.

14. ὑστέρησαν] ἐστέρησαν W.

16. ἔστιν οὖν om. S., sed habet ἐστιν post εἰσηγμένη.

19. συμπέπλεκται T. συμπλέκεται ceteri, etiam D. qui alibi ubique fere cum T. consentit.

20. οὗτος (οὕτως C.G.V.), εἴπερ] εἴπερ om. V.

350, 6. ἐβουλήθη] διὰ τί ἐπ' ἐλάχιστον χρῆται νῦν τῇ βουλήσει; λέγομεν ὅτι τεχνικῶς τοῦτο ποιεῖ. βούλεται γὰρ αὐτὴν τηρῆσαι ἐν τῷ δευτέρῳ στοχασμῷ. δεύτερος γὰρ ἐμπίπτει μεταξὺ τοῦ λόγου ἀπ' ἀντιθέσεως, οἷον "καὶ πόθεν δῆλον ὅτι ταῦτα ἠβου-
"λόμην ποιεῖν;"—διὰ τοῦ εἰπεῖν ἐβουλήθη ἐσήμανε τὴν βούλησιν· 5
τὴν γὰρ δύναμιν προειπὼν ἐπήγαγε τὴν βούλησιν. A.—V.

350, 8. οὐ γὰρ εἰ φαύλοις] τοῦτο μέν ἐστι μέρος τῆς ἀντιθέσεως, ὅτι φαῦλος καὶ τῶν τυχόντων καὶ οὐδὲ τῶν σεμνῶν οὐδὲ τῶν λαμπρῶν Αἰσχίνης, ὁμοῦ ἐξεπίτηδες φαυλίζων, οὐ παρ' ἑαυτοῦ δὲ φαυλίζων—ἐναντίου γὰρ ἦν—, ἀλλὰ παρὰ τῶν ἐχόντων ταύτην τὴν ὑπόληψιν 10
λαμβάνων τὸν λόγον. ἔστι δὲ καὶ τῶν ἀσαφῶν τὸ χωρίον. τί γοῦν βούλεται λέγειν ἐν τούτῳ; ὅτι οἱ Φωκεῖς, εἰ καὶ φαύλῳ κατεχρήσασθε διακόνῳ καὶ πρεσβευτῇ, οὐ πρὸς ἐκεῖνον εἶδον, ἀλλὰ πρὸς τὴν πόλιν. T.C.V.

350, 10. ἀξιοῦται] ἄξια κρίνεται. P. τί γάρ; ὧν ἡ πόλις 15
ἀξιοῦται παρὰ τοῖς ἄλλοις, ἐπ' αὐτοὺς ἀναφέρεται, ἀντὶ τοῦ, οὐκ ἠξίωσαν ὀλιγωρῆσαι τῶν Αἰσχίνου λόγων, ἀλλ' ἀπεῖδον πρός τε τὸ τῆς πόλεως πρόσωπον καὶ ἀξίωμα, καὶ τούτοις πιστεύσαντες ἀπώλοντο. ἵνα δὲ ἡ δύναμις ἰσχυρὰ γένηται, προσέθηκε καὶ τοὺς ἄλλους πρέσβεις, καὶ διηυκρίνησεν ἐπὶ τίνι κατηγορεῖ, προσθεὶς καὶ εἰπών, 20
"εἰ ὅσα τῆς Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἧκε, ταῦθ' ἅπαντ'
"ἀπώλεσαν οὗτοι." καὶ προσέθηκε πάλιν τὴν βούλησιν, εἰπών,
"καὶ διέφθειραν ἑκόντες." τὸ δέ γε ἰσχυρότερον μέρος τῆς βουλήσεως, τὴν αἰτίαν, οὐ λέγει· τούτου γὰρ τοῦ κεφαλαίου τὸ μέγιστον μέρος ἐστὶν ἡ αἰτία, ἣν ἐν τῷ δευτέρῳ στοχασμῷ διεφύλαξε. T.C.V. 25

350, 17. δὸς δέ μοι τὸ προβούλευμα] εἰσβάλλει ἐπὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν, πληρώσας τὴν δύναμιν. προβούλευμα δὲ λέγει τὸ ἀκοῦσαι τὴν βουλὴν πρὸ τοῦ δήμου Δημοσθένους κατηγοροῦντος

1. διὰ τί] διὰ τί δὲ T.C.V. in quibus hoc scholion sequitur post verba δυνάμεως ὄντας in fine scholii ad p. 349, 28.
4. ἀπ'] ἐξ C.G.V.
5. διὰ] ἰστέον δὲ διὰ T.C.D.G.V.
ἐβουλήθη] ἠβουλήθη A.
9. οὐ παρ' ἑαυτοῦ δὲ] οὐ γὰρ παρ' ἑαυτοῦ V.
10. ἐναντίου T.D. τοὐναντίον C.G. ἐναντίον V.
11. γοῦν] οὖν V.
12. κατέχρησασθε T.D. ἐχρήσασθε ceteri.
17. ἀπεῖδον] ἐπεῖδον V.
28. ἀκοῦσαι] βουλεῦσαι R.
δήμου om. V.

τοῦ Αἰσχίνου καὶ τῶν ἄλλων πρέσβεων ὅτι παρεπρέσβευσαν καὶ καταψηφίσασθαι αὐτῶν ὡς ἀδικησάντων καὶ γράψαι καὶ ψήφισμα ἕνα αὐτῶν τῶν βουλευτῶν, ὥστε μὴ κληθῆναι εἰς τὸ πρυτανεῖον πρὸς δεῖπνον. ἀεὶ γὰρ οἱ πρέσβεις ἐπανερχόμενοι ἐκαλοῦντο εἰς δεῖπνον ἔθει τινὶ τιμῆς χάριν. τοῦτο γοῦν παραφέρει εἰς ἔλεγχον αὐτῶν τῆς 5 προδοσίας, ὅτι ὡς προδοτῶν καταγνοῦσα ἡ βουλὴ οὐκ ἐκάλεσεν αὐτοὺς εἰς δεῖπνον. A.—V. μετέβη πάλιν ἐντεῦθεν ἐπὶ τὸ κεφάλαιον, οὗπερ ἦν ἐξ ἀρχῆς τὸ προοίμιον, λέγω δὴ τοῦ ἀπ' ἀρχῆς ἄχρι τέλους. ἄρχεται δὲ ἐκ μεταληπτικοῦ, "νῦν ἡμῖν λέγεις περὶ τῆς προδοσίας, "ἐξὸν πρὸ τῶν πραγμάτων εἰπεῖν καὶ σῶσαι;" ὁ δὲ ὅτι οὐκ ἐσίγησε 10 συνίστησι, παρεχόμενος τὸ προβούλευμα· εἶναι γὰρ σημεῖον τῶν αὐτοῦ λόγων, ὅπερ ἐψηφίσατο πρὸς τὰς ἐπαγγελίας τοῦ ῥήτορος. πληρώσας δὲ διὰ τῆς προσηκούσης ἐξεργασίας τὸν τρόπον μεταβέβηκεν ἐπ' αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, καθαρῶς ἀπὸ τῶν χρόνων ἀρξάμενος. αἰτιᾶται γὰρ τὸν Αἰσχίνην ὡς ἐξεπίτηδες ἀποκλείσαντα τῶν 15 καιρῶν τὴν πόλιν, ὡς μηδὲ ἐγγενέσθαι βουλεύεσθαι περὶ τῶν προκειμένων, τοῦ Φιλίππου κατειληφότος τὰς Πύλας· ἅμα τε γὰρ ἤκουσε κἀκεῖνος παρῆν. εὔδηλον ὡς ἀπωλώλει τῆς βοηθείας ὁ χρόνος, ἐν ᾧ κλεῖσαι τὰς Πύλας οἷόν τε ἦν τῷ δήμῳ. εἶτ', ἐπειδὴ ἀντέπιπτεν, Οὐ γὰρ ἦν ἑτέρως βοηθεῖν ἢ προειπόντας Φωκεῦσιν ἀσφαλέστερόν τι περὶ 20 αὐτῶν βουλεύσασθαι, ἔλυσε δύο λύσεσι· μιᾷ μὲν, ὅτι οὐδεὶς ἀνέγνω τῷ δήμῳ τὸ προβούλευμα· ἢ γὰρ ἂν ὁ δῆμος ἐβουλεύσατο· ἑτέρᾳ δὲ, ὅτι εἰ καὶ βουλεύσασθαι ὁ δῆμος οἷός τε ἦν, ἐξηπάτησεν αὐτὸν Αἰσχίνης ἐλπίσι καὶ ὑποσχέσεσιν. ἐν ᾧ καὶ εἰσάγει τὰ ἰσχυρότατα τῶν τεκμηρίων, λέγων τοὺς Αἰσχίνου λόγους. T.C.V. 25

1. ὅτι παρεπρέσβευσαν] παραπρεσβείαν A.
καταψηφίσασθαι A.R. κατεψηφίσασθε ceteri.
3. κληθῆναι] βληθῆναι R. κληθέντα T.D.V.
πρὸς] ἐπὶ C.G.V.
4. δεῖπνον] τὸν (sic) δεῖπνον T.D.
ἀεὶ] αἰεὶ A.R.
εἰς A.R. ἐπὶ ceteri.
5. γοῦν] οὖν A.R. γὰρ V.
παραφέρει A.R. περιφέρει ceteri.
7. μετέβη — μεταληπτικοῦ] Hæc scholii pars est etiam in B.F.R.S.Y. sic scripta, μετέβη πάλιν ἐπὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ἄρχεται δὲ ἐκ τοῦ (τοῦ om. R.S.) μεταληπτικοῦ.
9. περὶ τῆς προδοσίας] ἐπὶ προδοσίᾳ C.G.
13. τὸν τρόπον] τῶν τόπων W.
16. ὡς μηδὲ] ὡς δὲ μηδὲ V.
βουλεύεσθαι] βούλεσθαι T.D. δύνασθαι C.G.V.
18. εὔδηλον] οὖν add. W.
ἀπωλώλει T.D. ἀπολώλει ceteri.
20. βοηθεῖν ἢ W. Aberat ἤ.

350, 18. ἐπαγγελίαν] πρόσταξιν ἢ αἴτησιν. B.R.P.

κωλυθεῖσα] ὡς πρότερον. P.

τούτους] τοὺς πρεσβέας. P.

350, 24. οὔτε εἰς τὸ πρυτανεῖον] ἐνεδέχετο ὑπερτεθῆναι τὴν κλῆσιν, ἕως ἂν γνῷ ἡ βουλὴ τὴν ἀκρίβειαν· ἢ ὅτι οὔπω ἐν τῷ δήμῳ ἀπεπρέσβευσαν. ὁ δὲ τὴν ὑπέρθεσιν εἰς τὸ μὴ γενέσθαι μηδὲ ἔσεσθαι παραλαμβάνει. T.C.V.

350, 26. οὗ θάνατον κατεχειροτόνησεν] κατεδίκασε, κατέκρινεν. P. ἐνήλλαξε τὸν χρόνον· δῆλον γὰρ ὡς ἐκλήθη πρότερον, εἶθ' ὕστερον καταγνωσθεὶς ἀνῃρέθη. T.C.V.

351, 2. ἐνταῦθ' οὔτ' ἔπαινος] τρίτον κεφάλαιον περὶ ὧν ἀπήγγειλεν· ὃ τῆς προκατασκευῆς ἐστι πρῶτον κεφάλαιον, τρίτον δὲ τῆς κατασκευῆς καὶ ἀποδείξεως. B.F.Y.

351, 5. εἰ μὲν τοίνυν ταὐτὰ] λύει οὖν τοῦτο διλημμάτῳ σχήματι, ὅτι, εἰ μὲν πάντες οἱ πρέσβεις ταὐτὰ ἐπρεσβεύομεν, ὅ ἐστιν, εἰ πάντες ἐγενόμεθα προδόται, δικαίως ἂν πάντες οὐκ ἐκλήθημεν· εἰ δὲ οἱ μὲν ἡμῶν τὰ δίκαια ἔπραττον, οἱ δὲ παρεπρέσβευσαν, διὰ τοὺς παραπρεσβεύσαντας συνέβη καὶ τοὺς ἄλλους μὴ κληθῆναι. A.—V.

δεινὰ] φοβερά. P.

διακρουσαμένῳ] ἐκφυγόντι, ἀποπεμψαμένῳ. P.

351, 19. τούτων δὲ] ἤτοι τὸ μὴ κληθῆναι. R.

351, 20. ἡ μὲν οὖν βουλὴ ταῦτα] ἐντεῦθεν ἄρχεται τῶν σημείων, ὅπερ κεφάλαιον καλεῖται, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. A.—V.

352, 1. ἀναστὰς δ' οὗτος ἐδημηγόρει] δύο θεὶς ἀπ' ἀρχῆς ἄχρι τέλους, τόν τε χρόνον καὶ τοὺς λόγους Αἰσχίνου, ἀναγκαίως καὶ χρῶμα ἐπήγαγεν· ἑκάστῳ γὰρ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀποδοτέον χρῶμα. B.F.R.S.Y.T.C.V.

352, 4. ἐπικεκηρυχέναι] ὁπότε βούλοιτο ἡ πόλις, ἢ ἄρχων, ἀναιρεθῆναί τινα τῶν μὴ ὄντων ὑφ' ἑαυτοῖς, ἐκήρυττον δώσειν χρήματα, εἴ τις αὐτὸν ἀνέλοι, τόσα καὶ τόσα. B.F.

5. κλῆσιν] κρίσιν C.G.

11. τρίτον κεφάλαιον om. B.F.

14. οὖν add. A.R., om. ceteri.

15. ἐστιν, εἰ πάντες] ἐστι, πάντες R.

17. ἡμῶν] ὑμῶν T.

24. θεὶς post ἄχρι τέλους habet V.

Pars hujus scholii est in B.F.R. S.Y. sic scripta, τὸ χρῶμα (hoc om. S.) ἑκάστῳ (ἑκάστου B.) γὰρ τῶν— ἀποδοτέον χρῶμα.

28. ἡ πόλις] ἡ om. F.

29. ἑαυτοῖς, ἐκήρυττον] ἑαυτῷ ἐκήρυττε F.

παρουσίᾳ] *ἐπιδημίᾳ*. P.

τούτοις] *τοῖς πρέσβεσι*. P.

προηγγελκέναι] *ὡς τὸ βοηθῆσαι Φωκεῦσι*. P.

352, 7. *πρᾳοτέρους γενέσθαι τινὸς*] *ἢ παντὸς ἀνθρώπου βούλεται τὸ τινός, ἢ τίνος λέγει· πόρρω γὰρ εὑρεῖν παραπλήσιον εἰς φιλανθρωπίαν*. T.C.V.

352, 10. *καὶ μετὰ ταῦτα*] *ἡ λύσις*. S.

καὶ μετὰ ταῦτα ἀνεγινώσκετο ἡ ἐπιστολὴ ἡ παρὰ Φιλίππου] *τοῦτο δέ ἐστι τὸ χρῶμα τὸ ὑπὲρ τῶν χρόνων ἐν οἷς ὁ Φίλιππος κατέσχε τὰς Πύλας, καὶ τούτου γέγονεν ἐκεῖνος αἴτιος. εἶτα ἡ λύσις εὐθύς· οὗτος ἔγραψε τὴν ἐπιστολὴν ἀπολειφθεὶς ἡμῶν, οἱονεὶ χωρισθείς· πρὸς δὲ τοὺς Αἰσχίνου λόγους ἀπήντησεν οὕτω λέγων· Φίλιππος οὐκ ἐξηπάτησεν, ἀλλ' Αἰσχίνης*. T.C.V.

352, 11. *ἣν οὗτος ἔγραψεν ἀπολειφθεὶς ἡμῶν*] *τὸ μὲν ἀπολειφθεὶς ἡμῶν, ἵνα μὴ δόξῃ κοινωνεῖν τῶν πραχθέντων· τὸ δὲ οὗτος ἔγραψεν, ἵνα μὴ ἐπὶ Φίλιππον ἄγῃ τὴν αἰτίαν· ἐπὶ τὰς πόλεις δὲ, ἵνα τὰς συμμαχικὰς δηλοῖ, ἃς καὶ ὁρκοῦν ἔδει· οὐκ ἀπὸ ταὐτομάτου δὲ, ἵνα δείξῃ τὴν κακουργίαν, ὅτι ἐμερίσαντο τὴν ἐπιβουλὴν Αἰσχίνης καὶ Φίλιππος*. T.C.V.

352, 13. *διαρρήδην*] *μεγαλοφώνως*. P.

352, 16. *συνδιαλλάττωσιν*] *φιλιώσωσιν*. P.

352, 17. *τοὺς Ἀλεῖς πρὸς τοὺς Φαρσαλίους*] *πολίτας*. B. *ἤδη ἔγνωμεν ἐν τοῖς Φιλιππικοῖς ὅτι αἱ δύο πόλεις αὗται τῆς Θετταλίας ἐστασίαζον πρὸς ἑαυτὰς, ἡ μὲν Φάρσαλος φίλη οὖσα τοῦ Φιλίππου, ὁ δὲ Ἅλος τῶν Ἀθηναίων*. A.—V.

353, 3. *λέγε αὐτοῖς τὴν ἐπιστολὴν*] *τὸ θαυμαστότατον τοῦτό ἐστιν, ὅτι ᾗπερ ἂν Αἰσχίνης ἐχρήσατο πρὸς ἀπολογίαν ἐπιστολῇ, ταύτην ἔλαβε πρὸς κατηγορίαν Δημοσθένης· σύνηθες γὰρ αὐτῷ τὰ*

4. *παντὸς* W. pro *πάντως*.

9. *ἐν οἷς* et *τὰς Πύλας* add. W.

12. *χωρισθεὶς*] Gl. *ἀντὶ τοῦ χωρισθεὶς* habet R, et addito *ἡμῶν* A.

Αἰσχίνου λόγους] *ἐκείνου λόγους, τοῦ αἰσχίνου δηλαδὴ* V.

17. *ταὐτομάτου δὲ*] *καὶ ἁπλῶς καὶ ὡς ἔτυχεν* add. P.

18. *ἵνα δείξῃ* W. *ἵνα μὴ δείξῃ* V. *ἵνα μὴ δόξῃ* codices, librario ad superius *ἵνα μὴ δόξῃ* aberrante.

23. *ἐν τοῖς Φιλιππικοῖς*] Vid. schol. ad p. 152, 4.

25. *ὁ δὲ Ἅλος*] *ἡ δὲ ἅλος* (sic, non *ἅλος*) T.C.D.G.V.

Ἀθηναίων] *Φίλιππος δὲ αὐτοὺς συνετάραττε* add. V., quod est in nullo codice.

ἰσχυρὰ τῶν ἀντιδίκων διὰ ἰσχὺν δεινότητος αὐτοῦ ποιεῖσθαι. T.C.V.

353, 9. περὶ δὲ Φωκέων] μετὰ τὴν ἀνάγνωσιν τῆς ἐπιστολῆς, ὥσπερ ἐπιβεβαιούμενος τὴν ἐξ αὐτῆς ὠφέλειαν, πάλιν ἐπάγει "περὶ "δὲ Φωκέων, ἢ Θηβαίων, ἢ τῶν ἄλλων ὧν οὗτος ἀπήγγειλε πρὸς 5 "ὑμᾶς, οὐδὲ γρῦ." οὗτος, οὐκ ἄρα Φίλιππος, ἐξηπάτηκε. τοῦτο γάρ ἐστιν ὃ προορᾶται. λύσας δὲ ἐν τῷ μεταξὺ τὰ λυποῦντα, καὶ συστήσας τὴν ἐπιστολὴν Αἰσχίνου μᾶλλον ἢ Φιλίππου εἶναι, πάλιν ἐπὶ τοὺς Αἰσχίνου λόγους ἐπανῆκεν, οὐκ ἀναχωρῶν τῶν ἰσχυροτάτων, θεώρημα παραδιδοὺς, ἐνδιατρίβειν τοῖς ἀναγκαίοις. T.C.V. 10

353, 11. οὐδὲ γρῦ] γράφει δηλονότι. P. ἀντὶ τοῦ οὐδὲ ὅλως. εἴρηται δὲ τὸ γρῦ τὸ μικρὸν ἀπὸ μεταφορᾶς τοῦ ῥύπου τοῦ γινομένου ἐν τοῖς ὄνυξιν, τοῦ οὕτω καλουμένου. A.R.T.P.

353, 13. Ἀλεῖς] Ἅλος πόλις καὶ Ἀλεῖς οἱ πολῖται. B.F.

353, 16. ὁ σκοπῶν] Φίλιππος δηλονότι. ἐκείνου γράψαντος πρὸς 15 Ἀθηναίους ὅτι σκοπῶ τί ποιῶν ἡμῖν χαρίσαιμι. P.

λύσασθαι] διὰ λύτρων ἀποδοῦναι. P.

ἐγγράψαι] μὴ λῦσαι τοὺς Ἀλεῖς. P.

353, 22. ὃ τοίνυν μέγιστον] ἀποκοπὴ τὸ σχῆμα, ἀντὶ τοῦ ἀκούσατέ μου. A.T.P. 20

353, 24. ἠνέγκαμεν ἡμεῖς] μετὰ Ἀντιπάτρου καὶ Παρμενίωνος. A.R.

354, 11. ἐπαγγείλασθαι] ἀντὶ τοῦ αἰτῆσαι. A.R.T.P.

354, 14. προῖεσθαι] προδιδόναι. P.

354, 15. εἰ μὴ Θεσπιαὶ καὶ Πλαταιαὶ] πάλιν ἐνταῦθα προσέ- 25 θηκε τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους Θηβαίους, οὐκ ἀθρόως ἐκχέας ἅπαντα, κατὰ δὲ μέρος ἀεὶ προστίθησιν, ἵνα καὶ αἱ λύσεις ἀκόλουθοι καὶ οἱ λόγοι σαφεῖς γένωνται. εὐθὺς γοῦν ἐπὶ τὴν μνήμην Θηβαίων ἐλθὼν πάλιν τὸ χρῶμα ἐζήτησεν, ὥσπερ καὶ ἐπὶ τῶν προτέρων· ἔφη

3. μετὰ τὴν ἀνάγνωσιν τῆς ἐπιστολῆς] ἀναγνώσας τὴν ἐπιστολὴν C.G.

4. ἐπάγει] λέγει V.

6. γρῦ T.D. γρύ ceteri.

12. τὸ γρῦ τὸ μικρὸν om. P.

ῥύπου] ῥύπους T.C.V.

13. τοῦ οὕτω καλουμένου om. T. C.V.

14. Ἅλος—Ἀλεῖς] ἅλις—ἅλεις B.

16. χαρίσαιμι] Solœce pro χαρισαίμην.

21. μετὰ Ἀντιπάτρου] μετὰ τοῦ ἀντιπάλου R.

26. ἀθρόως] ἀθρόα C.G.

γὰρ καὶ τὸ Θηβαίους αὐτίκα δὴ μάλα δώσειν δίκην. ποῦ τοίνυν ἡ δίκη; ἤκουσαν οἱ Θηβαῖοι, φησὶ, καὶ διὰ τοῦτο ἐφυλάξαντο· καὶ Φίλιππος οὐκ ἔσχεν ἀνελεῖν τὰς Θήβας. εἰ τοίνυν παρὰ τὸ προαισθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας; οὐχ οὗτος; ἔχει δὲ τὸ χρῶμα καὶ τὴν λύσιν εὐθὺς τοῦ χρώματος, ἐπὶ τούτοις ἀκολούθως ζητήσας 5 τὸ μεταληπτικόν· πῶς οὖν ἐσιώπησας ἀπατωμένης τῆς πόλεως; καὶ πρὸς τοῦτο ἁπαντῶν ὑπομιμνήσκει τῆς ἑαυτοῦ παρῴδου καὶ ὧν ἔπαθε λέγειν βουλόμενος. εἶτ' ἐπειδήπερ οὐκ εἶχε μαρτυρίαν τῶν λόγων, ὡς ἐν ποιήματι ἠθοποιΐας συνέπλασεν· ἔχει γὰρ καὶ τὸ μεγαλεῖον τῶν λόγων ἐκ τοῦ Πλάτωνος, καὶ λαμβάνει τὸ χρήσιμον ἐκ τῶν δια- 10 λόγων τῶν ἀμοιβαίων, εἶδος καινὸν καὶ πιθανὸν εἰσάγων. οὐδὲ γὰρ ἀκατάσκευον ἀφῆκεν ὅ τι εἴρηκεν, ἀλλ' ἐν τῇ τῆς πλάσεως εὑρέσει τὴν πίστιν παρέσχετο· μᾶλλον γὰρ ἐνδιατιθέμεθα πρὸς τοὺς ἐγκατασκεύους λόγους ἢ τοὺς ἁπλούστερον εἰρημένους. T.C.V.

354, 17. καίτοι ταῦτα εἰ μὲν ἀκοῦσαι] λύσις ἰσχυροτάτη ἀντιθέ- 15 σεως, οἷον, ἀλλ' ἀκούσαντες οἱ Θηβαῖοι ἐφυλάξαντο καὶ δι' αὐτὸ οὐ διεφθάρησαν· εἶτα λύει αὐτὴν διλημμάτῳ σχήματι. ἔμελλε κατὰ τὸ ἀληθὲς ταῦτα ποιεῖν ὁ Φίλιππος, ἢ οὔ. εἰ μὲν γὰρ οὐκ ἔμελλε ποιῆσαι, ἀλλὰ σὺ ἠπάτας, εἰκότως ἐφυλάρεις ταῦτα ἀπατῶν ἡμᾶς, εἰδὼς ὅτι οὐ γενήσεται· εἰ δὲ διὰ τὸ προαισθέσθαι κεκώλυται, διὰ τί 20 μὴ ἐσιώπας; εἰ μὲν γὰρ ἐγίνωσκες ὅτι, ἐὰν καὶ ἀκούσωσιν οἱ Θηβαῖοι, οὐ δυνήσονται φυλάξεσθαι, ὡς ὄντες ἀσθενεῖς, τί οὖν μὴ διεφθάρησαν; εἰ δὲ ἐγίνωσκες ὅτι ἰσχυροί εἰσι, καὶ ἐὰν προακούσωσι φυλάττονται, τί ἐφλυάρεις; A.—V.

οὗτος] ὁ Αἰσχίνης. P. 25

354, 29. ἐσπαθᾶτο] ἀντὶ τοῦ συνετίθετο μεταφορικῶς ἀπὸ τῆς τῶν ὑφαντῶν σπάθης. B.R.Y. ὑφαίνετο, κατεσκευάζετο, ἢ ἐπεδαψιλεύετο, ἀπὸ τοῦ σπαθᾶν καὶ πολλὴν κρόκην ἐμβάλλειν τῇ ἐσθῆτι,

1. ἡ δίκη] φησίν add. C.G. qui mox om. φησὶ, καί.
4. ἔχει δὲ W. pro ἔχει καί.
10. ἐκ τοῦ T. correctus et D.V. τῶν C.G. et pr. T.
12. ἀλλ' ἐν codices. ἀλλ' ἐπὶ V.
17. διλημμάτῳ] χρησάμενος add. V.
ἔμελλε] ἢ γὰρ ἔμελλε W.
19. ποιῆσαι] ποιήσειν V.
23. προακούσωσι] προσκρούσωσι R.
φυλάττονται] φυλάττωνται C.G. φυλάξονται V.
26. μεταφορικῶς om. R. Habet hoc scholion etiam P. sic scriptum, συνετέθη, ὑφαίνετο, μεταφορικῶς—σπάθης.
28. ἀπὸ] ἐκ T.C.V.

ὡς ἔχομεν τὴν χρῆσιν παρὰ τῷ Ἀριστοφάνει ἐν ταῖς Νεφέλαις "ὦ "γύναι, λίαν σπαθᾷς." A.—V.

355, 3. καὶ ὅθεν] ἐψεύδετο. P.

355, 6. ὑπὸ τούτων] ὑπὸ Φιλίππου καὶ Αἰσχίνου. T.C.V.

355, 7. σιωπᾶν] τοῦτο γὰρ ἔδει τὸν Φίλιππον σιωπᾶν, καὶ μὴ 5 προσθεῖναι τῇ εἰρήνῃ, τὸ, πλὴν Φωκέων καὶ Ἀλέων, εἴπερ ἔμελλεν αὐτοὺς σῶσαι καὶ μὴ τῷ ἐκσπόνδους ἀφεῖναι καταστρέψασθαι. A.—V.

355, 15. ταχέως δ' ὑμῶν] ἐδόκει γάρ πως βασκαίνειν τῇ εὐπραξίᾳ τῆς πόλεως, δι' ὧν οὐδὲ προσδοκᾶν ἀνέχεται. T.C.P. ἐπειδὴ ὥσπερ ἐδόκει ἀπεύχεσθαι τὰ ἀγαθὰ τῇ πόλει τῷ μὴ προσδοκᾶν. 10 A.—V.

355, 16. ἐχόντων] εἰς ἐμὲ, διὰ τὸ εἰπεῖν ἐμὲ προσδοκᾶν. καὶ ὅπως γε ἔφην καὶ τοῦτο, ὅτι ἀντὶ τούτων, καὶ τὰ λοιπά. P.

μὴ νῦν ὑπολαμβάνων] οὐ νῦν ὀφείλεις ἐκστῆναι τοῦ δοκεῖν κεκοινωνηκέναι ἡμῖν τῆς πρεσβείας, ἀλλὰ τότε ἀφίστασο, καὶ μὴ προσ- 15 ποιήσῃ κοινωνεῖν ἡμῖν, ὅταν ταῦτα γένηται καὶ ἡμεῖς μέλλωμεν στεφανοῦσθαι διὰ ταῦτα. A.—V.

355, 25. οὗτος μὲν γὰρ ὕδωρ] ἐπειδὴ ἡμέρᾳ τροφῇ καὶ ποτῷ χρῶνται οἱ ἄνθρωποι, ὕδατι δὲ τὰ θηρία, σκώπτων αὐτὸν εἰς θηριώδη βίον ὁ Φιλοκράτης ταῦτα ἔλεγεν. ἄγει δὲ αὐτοὺς εἰς ὑπόμνησιν τοῦ 20 σκώμματος, ἵν' ἐπιταράξας τῷ γελοίῳ τῶν δικαστῶν τὰς κρίσεις συμμάχῳ τῷ πάθει πρὸς τὴν πειθὼ καταχρήσηται. θαυμαστὴ δὲ καὶ τῆς ὕβρεως ἡ προσποίησις. ἐκ γὰρ τῆς τοῦ ἐχθροῦ κρίσεως τοῦ βίου τὴν ἐγκράτειαν ἐσέμνυνε, καὶ πρὸς τὰ τῆς μισθαρνίας ἐγκλήματα ἀπολογεῖται· ὁ γὰρ ὕδωρ πίνων πῶς ἀπρεπὲς κέρδος ἐπόθει; 25 T.C.V.

355, 26. σκέψασθε δὴ τὸ ψήφισμα] ταῦτα αἰτίαν καὶ πίστιν περιέχει τοῦ διὰ τοὺς Αἰσχίνου λόγους ἰσχῦσαι τὸ Φιλοκράτους ψήφισμα· εἰ γὰρ ἅμα τε εἶπεν Αἰσχίνης ἅμα τε Φιλοκράτης ἔγραψεν,

1. Νεφέλαις] 55.
6. Ἀλέων] ἀλέων C.G.V.
9. ἐπειδὴ ὥσπερ ἐδόκει A.R. ἐδόκει γὰρ ceteri.
10. τῷ μὴ προσδοκᾶν] τῶν μὴ προσδοκούντων R.
12. ἐμὲ προσδοκᾶν] μὴ προσδοκᾶν W.
16. γένηται] λέγηται T.C.V. μέλλωμεν] μέλλομεν A.T.
19. θηρία] μόνῳ εἰς πόσιν add. V.
25. ἀπολογεῖται add. W.
28. ἰσχῦσαι] ἐνισχύσαι C.G.
29. Φ. ἔγραψεν] ἔγραψε Φ. C.G.

εἴη ἂν τὸ ψήφισμα περιεκτικὸν τῶν Αἰσχίνου λόγων. ὅτι μὲν οὖν καὶ τοῦτο τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους δῆλον. ὅτι δὲ λυπεῖ τὸν ῥήτορα γνοίη τις ἂν ἐνθυμηθεὶς ὅτι ῥᾴδιον Αἰσχίνῃ μεταστατικῷ χρωμένῳ εἰς τὴν ἀπολογίαν μετενεγκεῖν ἐπὶ τὸν Φιλοκράτην τὸ ἔγκλημα· ἐρεῖ γὰρ ὡς ὁ γράψας τὸ ψήφισμα καὶ τὸν Φίλιππον ἐπαινέσας αἴτιος γέγονε τοῦ μὴ τὴν πόλιν ψηφίσασθαί τι χρηστὸν ὑπὲρ Φωκέων. τοῦτο οὖν εὐλαβηθεὶς ὁ ῥήτωρ δεινότητι κέχρηται, πρῶτον μὲν ἀποδεικνὺς ταὐτὸν Αἰσχίνου τὴν δημηγορίαν καὶ τὸ ψήφισμα, ἔπειτα ὅτι οὐκ ἂν παρεδέξατο τὸ Φιλοκράτους γράμμα ἡ πόλις, μὴ τῶν ὑποσχέσεων τούτων προειρημένων· ὅπερ γὰρ ἐπὶ τῆς ἐπιστολῆς εἴπομεν, τοῦτο κἀνταῦθα ἐποίησεν, τὸ ἰσχυρὸν τοῦ ἀντιδίκου συναγωνιστικὸν ἑαυτῷ πεποίηκεν. εἶτα πάλιν ἐνταῦθα φοβηθεὶς τὸ παρ' Αἰσχίνου χρῶμα—ἠδύνατο γὰρ ἐκ τῶν γεγραμμένων ἐν τῷ ψηφίσματι μαρτυρίαν λαβεῖν, ὅτι Φίλιππος ἦν ὁ ὑπισχνούμενος—εἴρηκεν εἰπὼν, "ἀλλ' "οὐδὲν ἐκεῖνος ἐπηγγέλλετο," ἀλλ' οὗτος ἦν ὁ λέγων ὑπὲρ αὐτοῦ καὶ ὑπισχνούμενος. εἶτα ἐπιβεβαιῶν ὅτι Αἰσχίνου μᾶλλον ἢ Φιλοκράτους τὸ ψήφισμα, πάλιν ἐπάγει λέγων, "πρὸς δὲ τοὺς παρὰ τούτου "λόγους ὡρμηκότας ὑμᾶς λαβὼν ὁ Φιλοκράτης ἐγγράφει τοῦτο εἰς "τὸ ψήφισμα." διορίζεται γὰρ ἐν τούτοις κατασκευὴν εἶναι τῆς τοῦ ψηφίσματος ἀπάτης τοὺς Αἰσχίνου λόγους. T.C.V.

355, 27. μετὰ ταῦτα] μετὰ τὸ σκῶψαι. A.R.

355, 28. οὑτωσὶ] ἁπλῶς καὶ μὴ μετ' ἐπιστασίας. Less.

356, 3. μόνον οὐκ ὀπίσω] ἔδει πληθυντικῶς εἰπεῖν τὰς χεῖρας, ἵνα ᾖ ἐπὶ πάντων. T.C.V.

τὼ χεῖρε] ἐπὶ ἑνὸς ἑκάστου τῶν Φωκέων. A.R.T.P.

356, 6. ὅσων] ὅσα ἔγραψε, φησὶν, ὁ Φιλοκράτης περὶ Φιλίππου. A.R.P.

356, 10. ἐκεῖνός γε ἐπηγγέλλετο] εἴποι ἄν τις ὅτι ἐναντιοῦται ἑαυτῷ λέγων, "ἀλλ' οὐδὲν ἐπηγγέλλετο." λέγομεν ὅτι αὕτη λύσις ἐστὶ τοῦ ἐναντίου, ἵνα, ὅταν λέγῃ τὸ, οὐδὲν ὑπισχνεῖτο, νοήσωμεν

6. τὴν πόλιν om. C.G.
ὑπὲρ] ὑπὲρ τῶν V.
7. ἀποδεικνὺς] εἶναι add. V.
8. τὸ ψήφισμα] τοῦ Φιλοκράτους add. W.
9. παρεδέξατο] προσεδέξατο C.G.
τὸ] τὸ τοῦ V.
18. εἰς add. W.
26. ὅσα] ὅσων A.
Φιλίππου] τοῦ Φιλίππου A.
29. λέγομεν] καὶ λέγομεν V.

ὡρισμένως, ὅταν δὲ λέγῃ ὅτι ὑπισχνεῖτο, ἵνα λάβωμεν ἀορίστως. A.—V.

356, 14. ὡρμηκότας ὑμᾶς λαβὼν] ἀλόγως αὐτῷ πεισθέντας καὶ προσχωρήσαντας. φρονίμως δὲ ἐπάγει τὴν αἰτίαν ἐπὶ τὸν Αἰσχίνην. οὐκ ἂν γὰρ εὗρε, φησὶν, ἀπατῆσαι ὁ Φιλοκράτης, εἰ μὴ τὴν ἀπάτην Αἰσχίνης προκατεσκεύασεν. T.C.V.

356, 18. τοὺς διακωλύοντας] οὐκ εἶπε φανερῶς τοὺς Φωκέας· οὐ γὰρ ἂν ἠνέσχοντο Ἀθηναῖοι· ἀλλὰ τῷ ἀορίστῳ ἔλαθε τὴν κακουργίαν ἐργασάμενος. T.C.V.

356, 19. οὐκοῦν] διὰ τὰς ὑποσχέσεις τοῦ Αἰσχίνου. A.R.

356, 23. εὐφημότατα ἀνθρώπων] τοῦτο, φασὶ, τεχνικῶς ἐξεῦρε· παρεδωκε γὰρ τοῖς ἐχθροῖς αὐτῶν εὐφήμως, τῷ κοινῷ ὀνόματι χρησάμενος τῶν Ἀμφικτυόνων. A.—V.

356, 26. ἀλλ' οὐδὲ συγκαλέσαι] ταῦτα ἀπὸ τῶν παρειμένων λοιπόν. ἔστι δὲ καὶ αὐτὸ μέρος τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. T.C.V. ὁ Πρόξενος στρατηγὸς ἦν Ἀθηναίων. διέτριβε δὲ περὶ Πύλας, ἐπιτηρῶν τὴν Φιλίππου πάροδον. A.—V.

356, 29. καίτοι καὶ ἐπιστολὰς] πάλιν ἕτερον καὶ τοῦτο μεταστατικόν. διωθούμενος γὰρ ἀφ' ἑαυτοῦ τὰς αἰτίας Αἰσχίνης, τὰς μὲν ἐπὶ Φιλοκράτην ἀναθήσει, τὰς δὲ τῇ πόλει. τί γὰρ ἐρεῖ; ὑμεῖς αἴτιοι γεγόνατε τῆς Φωκέων ἁλώσεως, κληθέντες μὲν ὑπὸ Φιλίππου, ταῖς δὲ ἐπιστολαῖς μὴ ὑπακούσαντες. ἡ λύσις τοίνυν εὐθὺς καὶ συνεχὴς, τὸ οὐχ ἵνα ἐξέλθητε. T.C.V.

357, 2. πώμαλα] ὑφ' ἓν ἀναγνωστέον· λέγουσι δὲ Συρακοσίων εἶναι τὴν φωνὴν ἀντὶ τοῦ οὐδαμῶς, ἔμαθον δὲ αὐτὴν οἱ Ἀθηναῖοι ἀπὸ τῶν φυγάδων. A.R.

πώμαλα] ὄνομα δέ ἐστιν ὑφ' ἓν ἀναγινωσκόμενον, ὡς μέν τινές φασι, Σικελῶν κομισάντων τῶν ἐκεῖθεν φυγάδων. ἰσοδυναμεῖ δὲ τῷ κατ' οὐδένα τρόπον καὶ τῷ οὐδ' ὅλως. καὶ ἄλλην δὲ λύσιν ἐπήγαγε

1. ἵνα λάβωμεν] νοήσωμεν C.G.V. ἀορίστως R.V. ὅτι ἀορίστως ceteri.
3. ὑμᾶς om. T.
16. ὁ Π.] ὁ δὲ π. T.C.V.
18. Verba ἕτερον μεταστατικόν sunt etiam in B.R.S.
19. διωθούμενας γὰρ ἀφ' W. pro διορθούμενος γὰρ ἐφ'.
24. λέγουσι δὲ] λέγουσι δὲ ὅτι A. R.
Συρακοσίων] συρακουσίων A.R.
27. ὄνομα] ὄνομα δέ libri, in quibus hoc scholion cum superiore cohæret, ἐξέλθητε πώμαλα. ὄνομα δέ ἐστιν, &c.

τῷ αὐτῷ μεταστατικῷ "ἵνα μὴ ἀμύναιντο, μηδὲ ἀντέχοιεν οἱ Φωκεῖς, "ἐπὶ ταῖς παρ' ὑμῶν ἐπανέχοντες ἐλπίσιν." ἀναγινώσκει δὲ καὶ τὰς ἐπιστολὰς τοῦ Μακεδόνος, αἷς οἷόν τε ἦν χρήσασθαι Αἰσχίνην, ἵνα τὰ ἰσχυρὰ πανταχοῦ ὑφέληται καὶ τὰς ἀπολογίας αὐτοῦ σαθρὰς ἐργάζηται. T.C.V. 5

χρόνους] οὐ τοὺς περὶ Θρᾴκην λέγει νῦν, ἐν οἷς τὰ ἐκεῖ πράγματα ἀπώλετο, ἀλλὰ τοὺς Φωκέων. P.

ἀνελὼν] φθείρας. P.

τηνικαῦτα] τότε. P.

τούτῳ] τῷ Αἰσχίνῃ. P. 10

ἥκιστα] οὐδαμῶς. P.

357, 7. ἀλλ' ἵνα] ἄλλη λύσις μεταστατική. B.S.Y.P.

αὐτὸν] τὸν Φίλιππον. P.

ἀμύνοιντο] τιμωροῖεν. P.

ἐπανέχοντες] θαρροῦντες. P. 15

καλοῦσιν] ἡμᾶς. P.

ἤδη γε] τὸ τάχος δηλοῖ διὰ τῆς λέξεως· οἷον ἤπειγεν ἡμᾶς ἐξιέναι ταῖς ἐπιστολαῖς ὁ Φίλιππος τοῖς ἔργοις ἐναντιούμενος. F.Y.P. Less.

συνειπεῖν] ἀναγκάσαι. P. 20

357, 17. καὶ τὸν Πρόξενον ὄν] τρίτην ἐπήνεγκε λύσιν ἀγωνιστικωτέραν. ἀπὸ δὲ τοῦ ἐναντίου τὸ ἐπιχείρημα. εἰ Φίλιππος ἐκάλει καθαρᾷ τῇ γνώμῃ, "τί ἄλλο προσῆκεν ἢ συνειπεῖν ὅπως ἐξέλθητε "ὑμεῖς, καὶ τὸν Πρόξενον, ὃν περὶ τοὺς τόπους ᾔδεσαν ὄντα, γράφειν "εὐθέως βοηθεῖν;" ἀλλὰ μὴν οὐ συνεβούλευον ταῦτα, οὐδὲ ἔγραφον. 25 ᾔδεσαν ἄρα ἃ φρονῶν ταῦτ' ἔγραψεν ὁ Φίλιππος. T.C.V.

τούτων] ὧν ἀπήγγειλε. P.

τούτοις οὖν] οἷς ὁ Φίλιππος ἐφρόνει. P.

357, 22. οἱ μὲν τοίνυν Φωκεῖς] τέταρτον μεταστατικόν· ἀλλ' οἱ

1. ἀντέχοιεν] ἀντέχοιντο, superscripto ab eadem manu ωιεν, T.

4. ὑφέληται καὶ add. W.

12. ἄλλη λύσις] ἀνάλυσις P.

17. τῆς λέξεως] τῆς καλοῦσιν F. Less.

21. τρίτην—ἐναντίου] Hæc sunt etiam in S. sic scripta γ' λύσις ἀγωνιστικωτέρα ἀπὸ τοῦ ἐναντίου.

22. ἐκάλει W. pro ἐκβάλλει.

23. ἐξέλθητε] ἐξέλθοιτε T.D.

29. τέταρτον—Φίλιππον] Hæc sunt etiam in S. in quo εἴσω τειχῶν δεξάμενοι τὸν Φίλιππον.

Φωκεῖς αἴτιοι γεγόνασιν, εἴσω Πυλῶν δεξάμενοι Φίλιππον σὺν τῇ δυνάμει. προλαμβάνει δὲ τὴν ἀντίθεσιν τῇ λύσει. τί γάρ, φησί; πυθόμενοι Φωκεῖς τὸ ψήφισμα καὶ τὴν ἀπαγγελίαν τούτου καὶ τὰς ὑποσχέσεις ἐθάρρησαν τῷ Μακεδόνι· ἐπεὶ πρό γε τούτων τῶν λόγων "ἦσαν οἱ ἀπιστοῦντές τινες αὐτόθι τῷ Φιλίππῳ καὶ νοῦν ἔχοντες," 5 ἀλλὰ νομίσαντες μὴ ἀπατηθῆναι τὸν δῆμον ὑπὸ τῶν πρέσβεων ἠναγκάσθησαν πιστεῦσαι. οὐ μὴν οὐδὲ ἀπαράσκευοι πρὸς πόλεμον καὶ πολιορκίαν ἦσαν Φωκεῖς, ὡς ἂν Αἰσχίνου τὴν ἀσθένειαν αἰτιωμένου Φωκέων καὶ λέγοντος διὰ ταῦτ' ἀναγκασθῆναι αὐτοὺς ὑποκατακλίνεσθαι. ἀνάγκη γὰρ ἦν τὸν μεθιστάντα ἐπὶ Φωκέας τὴν 10 αἰτίαν εἰπεῖν τοὺς τρόπους δι' οὓς ἑάλωσαν· ἢ γὰρ ὅτι ἐξηπατήθησαν, ἢ ὅτι ἀμύνασθαι οὐκ ἠδυνήθησαν. T.C.V.

αὐτόθι] ἐν Φωκεῦσι. P.

οὓς βοηθήσειν] ἡμᾶς. P.

τούτοις ὅτι] τοῖς οὕτως οἰομένοις. P. 15

358, 14. διόπερ ταῦτα πάντα] ἐκ τῆς ἐργασίας τῶν λύσεων ἀντιπῖπτον πάλιν ἀνέκυψεν· οὐκοῦν ὁ δῆμος αἴτιος, τὸ Φιλοκράτους κυρώσας ψήφισμα. τούτου ἡ λύσις· τοῦτο τοίνυν οὐδέποτ' ἂν ὑμεῖς ὑπεμείνατε ὕστερον προσγράψαι. B.F.R.S.Y. ἰστέον ὅτι πολλὰ χρώματα λέγει, ἐπειδὴ πολλὰ καὶ τὰ σημεῖα· ἀλλὰ ταῦτα μὲν μερικά, 20 ἐκεῖνο δὲ κυριώτερον καὶ πρὸς τὸ ἔγκλημα τὸ κατὰ Φωκέας, τὸ τῆς ἀπάτης. A.R.T.P.

358, 20. παρὰ τῆς τύχης εὐεργεσιῶν] εἰ γὰρ βουληθείη, φησίν, ἡ τύχη εὐεργετῆσαι ἡμᾶς διὰ τοῦ ἀνελεῖν τὸν Φίλιππον, ἄχρηστος αὐτῆς γίνεται ἡ δωρεά, ὡς εἰ ἔλεγεν· προδόται καὶ τῆς τύχης γεγε- 25 νήμεθα. A.R.

359, 2. ἵνα δὲ εἰδῆτε σαφῶς] τοῦτο μὲν ᾠήθησάν τινες τῶν πρὸ ἡμῶν ἀντὶ τῆς τῶν μαρτύρων κεῖσθαι παραγωγῆς· ἡμεῖς εἰρήκαμεν ὅτι οὐχ οἷόν τε ἐν τῷ ἀπὸ γνώμης στοχασμῷ μάρτυρας παρέχεσθαι, μὴ ὡμολογημένων τῶν πραγμάτων ὑφ' ὧν πέπρακται. ἀλλ' εἶδος 30

1. σὺν—τὴν W. pro προλαμβάνει δὲ τῇ δυνάμει τήν.

3. ἀπαγγελίαν margo P. ἐπαγγελίαν libri.

5. τινες om. V.

16. ἐκ] εἶτα ἐκ S.

18. ὑπεμείνατε—προσγράψαι] ὑπεμείνατε καὶ τὰ ἑξῆς S.

28. παραγωγῆς] προσαγωγῆς C.G.V.

30. μὴ add. W.

εἶδος—ἀπολωλέναι] Hæc verba sunt etiam in B.S.Y., omisso ἐστι.

ἐλέγχων τοῦτό ἐστι καὶ ἀπόδειξις τοῦ διὰ τὸν Αἰσχίνην Φωκέας ἀπολωλέναι. λέγει γάρ, ἵνα τοίνυν εἰδῆτε ὅτι οὐ δι' ὑμᾶς οὐδὲ δι' αὐτοὺς οὐδὲ διὰ Φίλιππον ἠπατηκότα Φωκεῖς ἀπολώλασι, τοὺς χρόνους ὑμῖν λογιοῦμαι· ἐκ τῶν χρόνων γὰρ βούλεται συλλογίσασθαι τὴν ἀπόδειξιν, ἵν' ἡ τοῦ χρόνου βραδύτης καὶ τὸ δὴ λεγόμενον ἀκαρὲς σύστασιν ἐργάσηται τοῦ διὰ τὸν Αἰσχίνην ἀπολωλέναι Φωκέας· εἰ γὰρ πρὸ τῆς εἰρήνης ἐσώζοντο, καὶ μετὰ τὴν εἰρήνην, ἐπαγγελλομένου δὲ καὶ ὑποσχομένου τὴν σωτηρίαν Αἰσχίνου, τρεῖς ἡμέραι γεγόνασιν ἐξ οὗπερ Φωκεῖς ἐπύθοντο· εἶτα συνθεμένων πρὸς Φίλιππον ἅλωσις γέγονε· πῶς οὐκ εὔδηλον δι' Αἰσχίνην ἀπολωλέναι; μὴ γὰρ δὴ λογιζώμεθα μηδὲ τὰς πέντε ἡμέρας, ἐν αἷς οἱ Φωκεῖς ἐπύθοντο· λέγει γὰρ αὐτοὺς ἐγνωκέναι μετὰ τὰς πέντε ἡμέρας, δύο δὲ ἐν τῷ μεταξὺ μόνας τῆς ἀπαγγελίας γεγενῆσθαι καὶ τῆς ἁλώσεως. πάλιν Αἰσχίνου τῷ μεταληπτικῷ δυναμένου χρήσασθαι καὶ λέγειν ὅτι αὐτοὶ πιστεύσαντες τῷ Φιλίππῳ, τοῦτον τὸν τρόπον σπεισάμενοι, ἀπώλοντο, ἑτέραν ἐπάγει ἀπόδειξιν, μεθ' ὑπερβαλλούσης δεινότητος. ἐκ περιτροπῆς γὰρ τὸ αὐτὸ πάλιν εἰς τοὐναντίον λαμβάνει. τὸ γὰρ μὴ ἀπολέσθαι τὰς πόλεις ἐκ πολιορκίας, ἀλλ' ἐκ συμβάσεως καὶ σπονδῶν, σημεῖον εἶναι λέγει τοῦ πιστεύσαντας αὐτοὺς τοῖς λόγοις Αἰσχίνου τὰς πίστεις προσδέξασθαι. T.C.V.

359, 4. λογιοῦμαι] ἀντὶ τοῦ ἀπαριθμοῦμαι. A.

359, 6. Ἐλαφηβολιῶνος] Δεκεμβρίου. P. Δεκεβρίου. B.

Σκιροφοριῶνος] Μαρτίου. P.

ἀπὸ τοίνυν ταύτης] ἀπὸ ταύτης οὖν τῆς ιϛ' τοῦ Μαρτίου διαγενομένων ἡμερῶν ἀκηκόασι ταῦτα οἱ Φωκεῖς. P.

ταύτην] εἰκοστήν. P.

359, 29. ἧκε δὲ Δέρκυλλος] ὁ πεμφθεὶς ἀπαιτῆσαι παρὰ Φιλίππου τὰς ὑποσχέσεις, ὃς ἤκουσεν ἐν Χαλκίδι τὰ συμβάντα Φωκεῦσι. T.C.V.

καὶ πέμπτην] τῇ γὰρ κγ' ἐγίνοντο αἱ σπονδαί. P.

αὐτὸ συμβαίνει] ἀντὶ τοῦ ἀκριβῶς συμβαίνει πέμπτην εἶναι, εἰς

5. βραδύτης] βραδυτής codices et V. hic ut alibi.

13. τῆς (τὰς C.G.) ἀπαγγελίας] Legebatur τῆς ἐπαγγελίας.

14. τῷ μεταληπτικῷ add. W.

15. τοῦτον] καὶ τοῦτον W.

ἀπώλοντο add. W.

19. λέγει V. λέγειν codices.

31. Gl. ἀντὶ τοῦ ἀκριβῶς habet etiam A.

ἦν καὶ ἐσπείσαντο καὶ ἀπώλοντο. T.C.V. ἀριθμοῦσιν οἱ Ἀθηναῖοι ἕως τῆς ιβ' ὡς ἡμεῖς, ὡς ἔχομεν τὴν χρῆσιν ἐν τῷ κατὰ Τιμοκράτους, ἐν οἷς λέγει· "ια' καὶ ιβ' τὸν νόμον εἰσήνεγκεν ὄντων Κρονίων." εἶτα λοιπὸν οὐκέτι ὁμοίως ἡμῖν, ἀλλὰ κατὰ προσθήκην ἀριθμοῦσιν, οἷον οὕτως· τρίτη ἐπὶ δέκα, τετάρτη ἐπὶ δέκα, ἐπὶ τὰ πλείονα προστιθέντες τὰ ἥττονα, ἕως ἁπλῶς τῆς εἰκάδος. εἶτα λοιπὸν ἀπὸ τῆς α' καὶ εἰκάδος ἐξ ὑποστροφῆς, λέγοντες τὴν α' καὶ εἰκάδα ὑστέραν δεκάτην, καὶ τὴν β' εἰκάδα ἐνάτην, καὶ τὴν γ' εἰκάδα ὀγδόην, καὶ ὁμοίως οὕτως ἕως τριακάδος, ἐπειδήπερ, ὡς ἔγνωμεν, κατὰ σελήνην ἀριθμοῦσιν οἱ Ἀθηναῖοι καὶ ἀπὸ τῆς α' καὶ εἰκάδος τὰ πλεῖστα αὐτῆς φῶτα μειούμενα φαίνεται. τὸ δὲ γ' ἐπὶ δέκα καὶ τὰς ἄλλας ἕως εἰκάδος Ἀττικῇ συνηθείᾳ λέγουσιν. ἃς δὲ εἴπαμεν λέγεσθαι ἐξ ὑποστροφῆς, ταύτας καὶ φθινούσας καλοῦσι μετὰ τοῦ προσθεῖναι τὴν ἡμέραν ἑκάστην ἀπὸ α' ἀρξαμένης, οἷον α' φθίνοντος καὶ β' καὶ ἀκολούθως ἀεὶ

1. ἀριθμοῦσιν] ἰστέον δὲ ὅτι ἀριθμοῦσιν T.C.V.

2. τῆς ιβ' A. τῆς ια' R. τῶν δώδεκα ceteri.

κατὰ Τιμοκράτους] p. 708, 13.

3. ια' καὶ ιβ' A.R. ἑνδέκατον καὶ (καὶ om. V.) δωδέκατον ceteri.

εἰσήνεγκεν ὄντων] εἰσήνεγκε τὸν τῶν libri. Correxi ex Demosthene.

5. τετάρτη ἐπὶ δέκα] ἐπὶ δέκα om. A.R.

προστιθέντες] προτιθέντες A.R.

6. ἁπλῶς τῆς εἰκάδος] τῆς εἰκάδος ἁπλῆς R.

λοιπὸν om. V.

ἀπὸ A.R. ἐκ ceteri.

7. ἐξ ὑποστροφῆς λέγοντες] Fateor me hæc non assequi, et emendationis conjecturis probabilibus destitui. Quare verba auctoris utcunque consarcinata stellula notavi. Ratio autem pronunciandi numerum dierum mensis a Gaza, Camerario, et aliis tradita, cum hac Ulpiani (qui Latinus fuisse videtur, cum dicat: ἀριθμοῦσιν οἱ Ἀθηναῖοι ἕως τῶν δώδεκα ὡς ἡμεῖς) non consentiunt. Ulpiani verba hæc sunt: εἶτα ἐκ τῆς πρώτης καὶ εἰκάδος ἐξ ὑποστροφῆς λέγοντες τὴν πρώτην καὶ τὴν δευτέραν εἰκάδα ὑστέραν δεκάτην, καὶ τὴν δευτέραν εἰκάδα ἐνάτην, καὶ τὴν τρίτην εἰκάδα ὀγδόην. Quæ quemadmodum et distinguenda et corrigenda et explicanda sint viderit Œdipus quispiam. WOLF. In P. hæc sic interpolata, λέγοντες τὴν πρώτην εἰκάδα δεκάτην καὶ τὴν δευτέραν εἰκάδα etc. Nos rectam scripturam ex A.R. exhibemus, quacum comparentur annotationes scholiastarum ad Aristoph. Nub. 1129. et grammatici in Append. ad Photium p. 668. ed. Dobr.

τὴν α' καὶ εἰκάδα A.R.T. τὴν πρώτην καὶ τὴν (τὴν om. C.) δευτέραν εἰκάδα ceteri.

9. τριακάδος] τῆς τριακάδος V.

ἐπειδήπερ A.R. hic et infra. ἐπειδὴ ceteri utrobique.

10. ἀπὸ τῆς α' καὶ εἰκάδος A.R. ἐκ τῆς εἰκοστῆς πρώτης ceteri.

12. εἴπαμεν A.R. εἴπομεν ceteri.

14. ἀρξαμένης A.R. ἀρξάμενοι C. G. ἀρξαμένους V. ἀρξαμένην D. In T. terminatio compendio expressa.

καὶ β'] φθίνοντος add. V.

χρήσασθαι τῇ προσθήκῃ, ἐπειδήπερ, ὡς εἴπαμεν, φθίνειν ὥσπερ καὶ φθείρεσθαι δοκεῖ τὰ φῶτα. τὴν δὲ τριακάδα καλοῦσιν ἕνην τε καὶ νέαν. A.—V.

360, 9. ἔτι τοίνυν τὸ μηδεμίαν] ἄχρι τούτων αὐτῷ προκεχώρηκεν ἡ ἀπόδειξις τοῦ κατὰ Φωκέας κεφαλαίου, καὶ τὰς οἰκείας πίστεις παρέσχετο, ἀνελὼν δηλαδὴ τὰ ὑφορμοῦντα ταῖς ἑαυτοῦ πίστεσιν, ἵνα πανταχόθεν τὸ πιθανὸν ὁ λόγος συνερανίσηται. ἐντεῦθεν δ' ἀφίσταται τῶν τοῦ ἐγκλήματος ἀποδείξεων, χωρεῖ δ' ἐπὶ τὰς ἀπὸ τῆς ποιότητος ἀντιθέσεις, ὡς Αἰσχίνου μηδὲν ἔτι ἔχοντος εἰπεῖν ἰσχυρὸν, ἀποστῆσαι δὲ τοὺς Ἀθηναίους σπουδάζοντος τῆς ὀργῆς, καὶ πραΰνοντος τοὺς ἀκούοντας, καὶ ἀξιοῦντος μὴ ὀργίζεσθαι ὑπὲρ Φωκέων, μὴ γὰρ συμμάχους εἴχετε; βούλεται ὁ Δημοσθένης ἐκ τῆς ἀντιθέσεως πλείονα τὸν παροξυσμὸν ἐργάσασθαι, καὶ προλαμβάνει τὴν ἀντίθεσιν καὶ τὴν λύσιν ἐργάζεται. ὁμοῦ δὲ καὶ ἐπίλογός ἐστι τὸ γινόμενον. ἴδιον δὲ τῶν ἐπιλόγων αὔξησις. αὐξάνομεν δὲ ἢ ἀπὸ ποιότητος προσώπων ἢ ἀπὸ ποιότητος πραγμάτων. ὁ μὲν οὖν Αἰσχίνης καθαιρεῖ τὴν ποιότητα, ἀλλ' οὐκ ἦσαν σύμμαχοι καὶ πολλὰ τὴν πόλιν ἠδίκησαν· ὁ δὲ προλαμβάνων τὰς ἀντιθέσεις συνίστησι διὰ τῶν λύσεων τὴν ποιότητα, σύμμαχοι τῆς πόλεως οἱ Φωκεῖς καὶ εὐεργέται τοῦ δήμου, "φέρε δή μοι τὴν συμμαχίαν τὴν τῶν Φωκέων" λέγων. T.C.V.

360, 11. ἄρδην] ἀντὶ τοῦ παντελῶς, παρὰ τὸ αἴρειν τε καὶ λαμβάνειν ἐν εἱρκτῇ. A.P.

διὰ τούτους] τὸν Αἰσχίνην καὶ Φιλοκράτη. P.

αὐτοὺς] τοὺς Φωκέας. P.

360, 14. οὐ γὰρ ἐκεῖνόν γε ἠγνόουν] ἵνα μὴ λέγωσι, διὰ τί γὰρ αὐτῷ ἐπείθοντο οἱ Φωκεῖς; δείκνυσιν ὅτι ᾔδεσαν αὐτὸν καὶ οὐκ ἂν ἐθάρρησαν αὐτῷ εἰ μὴ διὰ τούτους. οὐ γὰρ οἱ Ἀθηναῖοι, ἀλλ' οἱ περὶ τὸν Αἰσχίνην, τοῦ πάθους αἴτιοι. T.C.V.

ἐκεῖνόν γε] τὸν Φίλιππον. P.

360, 21. ὧν δ' ἔτυχον] ἵνα μὴ δοκῇ συντρέχειν τοῖς τοῦ ἀντιδίκου λόγοις, τὸ τῆς πόλεως μέρος ἐξήτασεν. εἶτ', ἐπειδήπερ ἐναντίον πρὸς

1. εἴπαμεν] εἴπομεν V.
8. ἀπὸ add. W.
9. ὡς W. pro ὡς γάρ.
14. λύσιν] λήθην V.
16. ὁ μὲν—ποιότητα om. C.G.
21. αἴρειν—εἱρκτῇ] αἴρειν καὶ λογιζόμενον P.
26. αὐτῷ] ἐκείνῳ C.G.
27. εἰ μὴ add. W.

τὴν χρείαν αὐτῷ γέγονε τὸ ῥηθὲν, πῶς οὖν οὐκ ἐβοηθήσαμεν τοῖς συμμάχοις; ἵνα μὴ δοκοίη κατηγορεῖν τῆς πόλεως, μεταστήσας εὐθὺς ἅμα τῇ ἐργασίᾳ τὸ ἔγκλημα εἶπε "διὰ τοῦτον τὸν βοηθῆσαι "κωλύσαντα." T.C.V.

360, 25. ἀκούετε] ἕτερον μεταστατικὸν ὡς ἐν ἐπιλόγῳ· Θηβαίοις 5 ἑαυτοὺς οἱ Φωκεῖς ἐνέδοσαν, Θετταλοῖς ἐπίστευσαν, πρὸς Λοκροὺς ἐσπείσαντο. ἀνῄρηκε τοίνυν ἅπαντα τὰ μεταστατικὰ, εἰπὼν πρὸς Φίλιππον αὐτὸν γεγενῆσθαι τὰς συνθήκας, ἵνα πανταχοθεν ἀφέλῃ ταύτην τὴν συγγνώμην Αἰσχίνου, καθαρῶς ἐπ' αὐτὸν ἐλθόντος τοῦ ἐγκλήματος. ἐπιλογίζεται δ' ἐν τούτοις ἅμα καὶ ἀγωνίζεται αὔξων 10 τὰς συμφορὰς καὶ πάντας ἀφιεὶς πλὴν Αἰσχίνου τῶν ἐγκλημάτων. B.F.R.S.Y.

361, 10. τούτων, ὦ ἄνδρες Ἀθηναῖοι] ἐν τούτοις ἐπιλογίζεται ἅμα καὶ ἀγωνίζεται· ἐπίλογος γὰρ αὔξει τὰς συμφορὰς, ἐπαγωνίζεται δὲ πάντας ἀφεὶς πλὴν Αἰσχίνου τῶν ἐγκλημάτων, αὔξει τε τὸ πάθος τῇ 15 δεινώσει χρώμενος· ἡ δὲ δείνωσις ἐκ τῆς συγκρίσεως. αἱ γὰρ συγκρίσεις εἰσὶ τῶν αὐξήσεων· αὔξομεν δὲ οὐ τὰ ἀγαθὰ μόνον, ἀλλὰ καὶ τὰ ἐναντία. εἶθ' ἵνα ὄγκον ἡ δείνωσις λάβῃ, ἐμέρισε τὸν χρόνον εἰς ἐνεστῶτα καὶ παρῳχηκότα, καὶ τὰ πράγματα εἰς πηλικότητα καὶ ποιότητα, καὶ δεινότερα εἰπὼν καὶ μείζονα. ἵνα δὲ μὴ ψιλὸν ποιήσηται τὸν λόγον, 20 ὥσπερ ἐν τραγῳδίᾳ δεινολογούμενος παραμίγνυσι καὶ τὸν ἐκ τῶν πραγμάτων παρεπόμενον φόβον, ἵνα καὶ ὁ τῆς πόλεως κίνδυνος προστεθεὶς χαλεπώτερον τὸ πάθος ἐργάσηται. B.F.R.S.Y.

τούτῳ δὴ] τῷ Αἰσχίνῃ. P.

τούτων, ὦ Ἀθηναῖοι] τῇ δεινώσει χρώμενος αὔξει τὸ πάθος. κινεῖ 25 δὲ καὶ φόβον ἀπὸ τῶν πολεμίων, ἵνα πανταχόθεν ὀργὴ συλλέγηται,

5. ὡς om. R.

6. ἑαυτοὺς οἱ Sauppius. ἑαυτοὺς ἐπίστευσαν οἱ libri.

9. Αἰσχίνου] τοῦ αἰσχίνου B.

αὐτὸν ἐλθόντος—ἐγκλημάτων] αὐτὸν ἐλθεῖν B. reliquis verbis omissis.

11. ἀφιεὶς] ἀφεὶς F.R.Y.

15. πάντας—ἐγκλημάτων F.R.Y. πάντα ἀφεὶς λέγειν τὰ ἐγκλήματα B. In S. brevius est scholii initium, ἐν τούτοις ἐπιλογίζεται ἅμα καὶ ἀγωνίζεται μόνον τὸν (verba μόνον τὸν in litura ab eadem m. scripta) αἰσχίνην τῶν ἐγκλημάτων οὐκ ἀφιείς. αὔξει τε etc.

αὔξει τε] αὔξει δὲ B.F.R.

16. δεινώσει] δεινότητε B.S.

χρώμενος om. B.

ἡ δὲ δ.] ἡ δ. δὲ B. Proximum τῆς om. S.

18. χρόνον—παρῳχηκότα] λόγον—παρῳχημένον B.

20. μείζονα] μείζω S.

ἀπὸ τῆς ποιότητος, ἀπὸ τῶν χρόνων, ἀπὸ τῆς τῶν πολεμίων αὐξήσεως. εἶτα καὶ ἄλλο δεινώσεως εἶδος, ὅτι καὶ οὔσης τῆς Ἀθηναίων πόλεως αἱ τῶν Ἑλλήνων ἀπόλλυνται πόλεις. καὶ διὰ τίνας; διὰ τοὺς Ἀθηναίων πρέσβεις, ἵνα διχόθεν τὸ τῆς ὀργῆς γένηται, καὶ ὅτι σωζομένης τῆς πόλεως, καὶ ὅτι ἣν σώζειν ἔδει, ταύτης οἱ πρέσβεις ἀπώλλυον. 5 καὶ ἡ ἀκρίβεια δὲ, ὅτι ᾗ προεστάναι τῶν Ἑλλήνων πάτριον, ἵνα κἂν ἠδικηκότες ὀφθῶσι Φωκεῖς, δοκῇ πάτριον τῇ πόλει τὸ σώζειν καὶ τοὺς ἀδικοῦντας. T.C.V.

χρόνῳ] γενήσεται δηλονότι. P.

πάτριον] ἔστι σύνηθες καὶ ἴδιον. P. 10

361, 15. προεστάναι] ἔμπροσθεν στῆναι· ὡς τὸ "πρός τε θεῶν," ἔμπροσθεν, ἐνώπιον τῶν θεῶν, "πρός τε θνητῶν ἀνθρώπων." B.Y.

361, 16. καὶ μηδὲν τοιοῦτον περιορᾶν γινόμενον] τοῦτο πολλὴν ἔχει τὴν ἔμφασιν τῆς ἀτοπίας. τὴν κατὰ τῆς πόλεως γὰρ βλασφημίαν αὔξει διὰ τούτου, ὅτι δέδωκε λαβὰς Αἰσχίνης τοῖς βουλομένοις 15 κατηγορεῖν τοῦ δήμου, ὥσπερ ἤδη παροξύνων ἐπὶ τιμωρίαν τοὺς δικάζοντας· ἓν γὰρ εἶδος τοῦ περιορᾶν τὰ τοιαῦτα, τὸ μὴ τιμωρήσασθαι τὸν αἴτιον. T.C.V.

ὃν μὲν τοίνυν τρόπον] προοίμιον. B. ἐμέρισε τὸ πάθος εἴς τε τὴν δείνωσιν καὶ τὴν διατύπωσιν. ἐξ αὐτοῦ δὲ τοῦ εἴδους καὶ τοῦ τρόπου 20 τοῦ πάθους ὑπ' ὄψιν ἄγει τῷ λόγῳ τὰς συμφοράς. βούλεται δὲ ἡ διατύπωσις τὰ καθ' ἕκαστον περιεργάζεσθαι, καὶ, ἵνα ὁ μερισμὸς κατάδηλος γένηται, προοιμίῳ κέχρηται γόον καὶ θρῆνον ἐμποιοῦντι τοῖς ἀκούουσι· ταλαιπώρους γὰρ ὀνομάσας τὴν τύχην ὠδύρατο. T.C.V. 25

361, 19. θέαμα δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι] διασκευή τις ἐπιλογικὴ, ἐκ μέρους τὰ κατὰ Φωκέας αὔξουσα πάθη. ἀπὸ τῶν φόβων δὲ ἄρχεται, ἵνα εἰκὼν καὶ παράδειγμα γένηται τὸ γεγονὸς τοῦ μέλλοντος, καὶ μὴ μόνον ὀδύρωνται Φωκέας, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων Ἑλλήνων δεδίωσι. T.C.V. 30

3. ἀπόλλυνται] ἀπώλλυνται T. ἀπόλλυντο C.G.

5. ταύτης] ταύτην V.

ἀπώλλυον] Non Athenas, sed Græcas urbes. WOLF.

7. ὀφθῶσι codices. ὀφθῶσιν οἱ V.

τῇ π. τὸ σ. καὶ W. pro τῇ π. καὶ τὸ σ.

11. ὡς τὸ] Hom. Iliad. A, 339.

12. θεῶν] τῶν μακαρίων add. B.

14. γὰρ ante κατὰ posuit P.

20. αὐτοῦ δὲ P. δὲ om. V. et codices.

30. δεδίωσι W. pro δεδιῶσι.

θέαμα δεινὸν] ἐνδιάσκευος διήγησις. φησὶ γὰρ Ἑρμογένης· "ὅταν "σύντομος καὶ φαιδροτέρα ἡ διήγησις ὑπάρχῃ, τῷ ἐνδιασκεύῳ χρη- "σόμεθα τρόπῳ, μὴ φειδόμενοι μηδὲ τῶν ἀπὸ τοῦ τρόπου κατα- "σκευῶν. εἶτα· αἰτία μὲν γὰρ διήγησιν, τρόπος δὲ διασκευὴν "κατασκευάζει." B.Y. διατύπωσις τὸ σχῆμα, ὅταν ὥσπερ διατυ- 5 ποῖ καὶ εἰς ὄψιν ἄγῃ τὰ πράγματα διὰ τῶν λόγων. διαφέρει δὲ ἡ διατύπωσις τῆς ἐκφράσεως τῷ τὴν μὲν διατύπωσιν διὰ πάθος τι λέγεσθαι, τὴν δὲ ἔκφρασιν ὥσπερ διήγημά τι εἶναι. A.—V.

361, 20. ὅτε γὰρ νῦν ἐπορευόμεθα εἰς Δελφοὺς] ἀπόδειξις ἅμα καὶ πίστις τοῖς λεγομένοις γέγονε. πόθεν γινώσκεις; νῦν ἐπορευόμεθα 10 εἰς Δελφοὺς, καὶ τὰ λεγόμενα ἡ ὁδὸς πιστοῦται. T.C.V.

361, 21. ἐξ ἀνάγκης ἦν] ὥσπερ δυσχεραίνων ὅτι θεατὴς γέγονεν Ἑλληνικῶν συμφορῶν, ἀπὸ τοῦ γένους ἄρχεται. αἱ γὰρ αὐξήσεις ἀπὸ τῶν γενῶν καὶ ἀπὸ τῶν εἰδῶν γίγνονται. T.C.V.

οἰκίας κατεσκαμμένας] μεταβέβηκεν ἐπὶ τὰ εἴδη· τὰ γὰρ καθ' 15 ἕκαστον ἐμψυχότερον τὸν λόγον ἐργάζεται, καὶ χαίρει τούτῳ ἡ διατύπωσις. τῶν οἰκιῶν, φησὶ, κατεσκαμμένων, ἀπολώλασι καὶ οἱ ἔνοικοι. ἔχει δὲ καὶ τῆς ὕβρεως τῶν πολεμίων ἔμφασιν· ἡ γὰρ κατασκαφὴ περιεργότερον εἶδος τῆς συμφορᾶς. T.C.V.

361, 22. τείχη περιῃρημένα] διὰ μὲν τῶν οἰκιῶν τὸν γόον ηὔξησε, 20 διὰ δὲ τῶν τειχῶν τὸν φόβον. T.C.V.

χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ] διπλοῦν τὸ πάθος· ἐνταῦθα γὰρ ὁμοῦ καὶ φόβος καὶ ἔλεος. τίνες γὰρ οἱ ἀνῃρημένοι; οἱ ἄνδρες οἱ ἐπὶ τῆς ἡλικίας. ἀπὸ δὲ τῶν ἀψύχων μεθίστησι τὸ πάθος ἐπὶ τὰ ἔμψυχα. T.C.D. 25

τῶν ἐν ἡλικίᾳ] νέων. P.

361, 23. γύναια δὲ καὶ παιδάρια] ἄχρηστα πρὸς τὸν πόλεμον. οὐκ ἀφῆκε μάρτυρα τῶν ἀπὸ τῆς χώρας οὐδένα, τὴν συμφορὰν συναύξων. ὄντος δὲ ἀσθενοῦς φύσει τοῦ γυναικείου φύλου, ἔτι καὶ τῷ ὑποκοριστικῷ ὀνόματι γύναια ἀσθενέστερον ἔδειξεν. οὐδὲ παῖδας ἡβῶντας 30

1. Ἑρμογένης] vol. 3. p. 94.
5. διατύπωσις] δὲ add. T.C.V.
διατυποῖ] διατυπῇ C.G. Tum τις add. P., om. codices et V.
6. ἄγῃ V. ἄγοι T.C.D.G. sed superscripto ῃ in T.D. ἄγει A.R.
8. ὥσπερ διήγημά τι] ὥσπερ ἐν διηγήματι V. ἐν διηγήματι ὥσπερ T.C. D.G.
17. ἀπολώλασι καὶ οἱ T.D. ἀπολώλασιν οἱ ceteri.
24. δὲ om. V.
30. γύναια W. pro παιδάρια.
ἔδειξεν] ἀπέδειξεν V.

εἶπεν, ἵνα κἂν παραμυθία ταῖς μητράσι γένηται, ἀλλὰ παιδάρια. T.C.V.

361, 24. καὶ πρεσβύτας ἀνθρώπους οἰκτροὺς] πρεσβύτης μὲν γὰρ αὐτὸς καθ' ἑαυτὸν δεῖται τοῦ συμμαχήσοντος· νῦν δὲ καὶ ἡ οἰκτρότης συμπεσοῦσα παραμυθίαν οὐ δέδωκε. πῶς μὲν οὖν ἐν τούτοις τὸ Φωκέων πάθος εἰργάσατο, καὶ ὅπως ἐμψύχως ἕκαστος τῶν ἡλικιῶν ἐπεξελήλυθεν, ἔξεστι μὲν ἐκ τῶν εἰρημένων συνιδεῖν, ἔξεστι δὲ μιμουμένους καὶ ἕτερα πλείω προσθεῖναι. ἐξελέγχει μέντοι ὁ Δημοσθένης ἐν τούτοις τοὺς τολμήσαντας εἰπεῖν ὅτι οὐχ ἱκανός ἐστιν ἐλεεινολογήσασθαι. ἐπεὶ δὲ παροξῦναι κατὰ τοῦ τολμήσαντος ἔδει, ὁ δὲ παροξυσμὸς γένοιτ' ἂν ἐξ ὀργῆς, μᾶλλον ἐχρῆν φόβον ἐμποιῆσαι καὶ ἔλεον, ἅπερ συνεκέρασεν, ἐξ ἀμφοτέρων τὴν οἰκείαν ἐργασίαν ἀποδιδοὺς καὶ τὴν προσήκουσαν ἑκάστῳ μέρει. T.C.V.

361, 26. ἀλλὰ μὴν ὅτι τὴν ἐναντίαν] μετὰ τὸν Πελοποννησιακὸν πόλεμον κατακρατήσαντες ἰσχυρῶς οἱ Λακεδαιμόνιοι τῶν Ἀθηναίων προέθεντο ψῆφον περὶ τῶν Ἀθηναίων τοῖς ἰδίοις συμμάχοις, ὥστε ἀποκρίνασθαι ἕκαστον τί βούλεται παθεῖν τοὺς Ἀθηναίους. εἶτα Εὔανθός τις Θηβαῖος ἐψηφίσατο τὴν μὲν πόλιν αὐτῶν κατασκαφῆναι, τὴν δὲ χώραν μηλόβοτον γενέσθαι, ἵνα ἐκεῖ νέμωνται τὰ τῶν Βοιωτῶν πρόβατα. οἱ δὲ Φωκεῖς ὄντες καὶ αὐτοὶ τότε ὑπὸ τοὺς Λακεδαιμονίους ἀντέλεξαν, συμβουλεύοντες μὴ ἑτερόφθαλμον τὴν Ἑλλάδα ποιῆσαι, αἰνιττόμενοι δύο ὀφθαλμοὺς εἶναι τῆς Ἑλλάδος, τήν τε Ἀθηναίων πόλιν καὶ τὴν Λακεδαιμονίων. καὶ οὕτω πεισθέντες οἱ Λακεδαιμόνιοι οὐ κατέσκαψαν λοιπὸν τὴν πόλιν. A.—V.

αὐτοὶ γὰρ περὶ ἡμῶν ἀντέφησαν, προκειμένης σκέψεως τί δεῖ παθεῖν, παραινούντων Θηβαίων μηλόβοτον ποιῆσαι τὴν Ἀττικήν. ἐνταῦθα συνίστησι καὶ πότε εὐεργέτησαν, ὅτε οὐκ ἦσαν σύμμαχοι, ἵνα εἰ καὶ μὴ νῦν ἦσαν σύμμαχοι, φανῶσιν ἄξιοι τῆς ἰσορρόπου βοηθείας· περὶ ἁλώσεως γὰρ κινδυνευούσῃ τῇ πόλει ποτε συνέστησαν, ἐναντιουμένων μὲν Θηβαίων, παρόντων δὲ Λακεδαιμονίων. οὐκοῦν ἔδει

1. ἀλλὰ παιδάρια add. W.
6. ἐμψύχως ἕκαστος] ἔμψυχος ἕκαστον V.
7. ἡλικιῶν] ἡλικιωτῶν C.G.V.
10. κατὰ τοῦ] κατὰ τοῦτο T. solus.
12. ἔλεον, ἅπερ W. pro δέος, ὅπερ.
19. τὰ τῶν B. π.] τὰ π. τῶν β. A.
23. καὶ τὴν] καὶ τὴν τῶν T.C.V.
29. ποτε hoc loco codices, post ἁλώσεως γὰρ V.

καὶ αὐτοὺς τῆς αὐτῆς βοηθείας παρ' ὑμῶν τετυχηκέναι. τὸ δὲ "τὴν "ἐναντίαν ποτὲ Θηβαίοις" προσθεὶς χαλεπωτέραν τὴν ὀργὴν εἰργάσατο, εἰ αὐτοὶ μὲν Θηβαίοις ὑπὲρ Ἀθηναίων διηνέχθησαν, νῦν δὲ διὰ τοὺς προδότας ἐτιμωρήθησαν. ἔστιν οὖν ἔτι καὶ ταῦτα τῶν ἐπιλόγων. T.C.V. 5

οὗτοι] οἱ Φωκεῖς. P.

ἀνδραποδισμοῦ] τῆς πόλεως. P.

361, 28. ὑμῶν ἔγωγε ἀκούω] ὑμῶν ὁ λόγος ὃν Δημοσθένης ἐπλάσατο. T.C.V.

καταλεύσαντας] λιθοστρώτους ποιήσαντας. P. 10

καὶ περιῶφθαι] τοὺς Φωκεῖς. P.

362, 11. πολλὰ τοίνυν ἄν τις] πληρώσας τὸν ὑπὲρ Φωκέων ἐπίλογον ἐκ τῆς δεινώσεως, ἐκ τῆς διατυπώσεως, ἐκ τῆς ποιότητος τῶν παθόντων, μεταβέβηκεν ἐνταῦθα ἐπὶ τὴν ποιότητα τοῦ πολέμου, πληρῶν καὶ διὰ τούτων τὸ θεώρημα· φοβῆσαι γὰρ αὐτῷ πρόκειται. αὔξει 15 τοιγαροῦν τὴν δύναμιν τοῦ Μακεδόνος, δύο διὰ τούτων κατασκευάζων, ὅτι τε χρήσιμοι ἦσαν Φωκεῖς καὶ δι' αὐτοὺς ἐσώζετο καὶ τὸ κοινὸν τῶν Ἑλλήνων καὶ τὸ ἀκίνδυνον εἶχεν ἡ πόλις, καὶ ὅτι ηὔξηται καὶ διπλασίων γέγονε τῇ παρασκευῇ καὶ τῇ δυνάμει Φίλιππος, καὶ τρίτον ἐπὶ τούτοις προστίθησι καταδρομὴν τῶν δωροδόκων, ὡς ἐν ἐπιλόγῳ 20 τῷ κοινῷ τύπῳ χρησάμενος, εἶτ' ἐπὶ τούτοις ἀναγινώσκει τὴν ἀρὰν, φοβῶν διὰ τούτων τοὺς ἀκούοντας, καὶ συμβουλεύων φυλάττεσθαι τὴν ἐπιορκίαν, καὶ ἅμα καθαιρῶν καὶ τὴν Αἰσχίνου ποιότητα. B.F. R.S.Y.

ἐδέησε] συνέβη. P. 25

362, 24. τηλικούτων οὐσῶν αὐτῷ τῶν διαφορῶν] πολὺ γὰρ ὑμῶν κἀκείνου τὸ μέσον, καὶ μεγάλη τις πρὸς αὐτὸν ἡμῖν διαφορά. T.C.V.

363, 3. τῆς ἐλευθερωτάτης πόλεως] οἱ κύριοί εἰσι τοῦ πράττειν ὃ βούλονται, οὐχ ὥσπερ ἐκεῖνοι δεσπότῃ διακονούμενοι. T.C.V. 30

363, 10. λέγε τὴν ἀρὰν] δείκνυσιν ὅτι οὐδενὸς τῶν Ἀλκμαιωνιδῶν καταψηφιοῦνται, ἀλλ' ἀνδρὸς φαύλου καὶ τῶν τυχόντων ἑνὸς, ὃν ὑπο-

1. ὑμῶν] ἡμῶν V.

12. πληρώσας τὸν ὑπὲρ Φωκέων ἐπίλογον] ἐκ τοῦ ἐπιλόγου B.

23. καὶ τὴν] καὶ om. S.

27. διαφορά] ἡ διαφορὰ V.

31. οὐδενὸς W. pro οὐδενί.

32. ὃν ὑπογραμματεύοντα ἀναγινώσκειν W. pro δι' ὃν (δι' οὗ C. δι' ὃν G. V.) γραμματεύοντα ὑπαναγινώσκειν.

γραμματεύοντα ἀναγινώσκειν τὴν ἀρὰν ποιεῖ. δι' ὧν δέ φησι μηδὲν λανθάνειν τῶν πραττομένων τοὺς θεούς, φόβον ἐφίστησιν αὐτοῖς τὸν παρὰ τῶν κρειττόνων, μάλιστα δὲ Ἀθηναίοις. T.C.V.

βούλεται λεληθότως δόγματα ἀνύσαι ἐνταῦθα Πλατωνικά, ὅτι περὶ ὧν δυνάμεθα πρᾶξαι καὶ ἐν ἡμῖν, τοῦτο οὐ δεῖ ἀφέντας ἡμᾶς τὸ πράττειν σχολάζειν ταῖς εὐχαῖς, ἐν οἷς δ' οὐ δυνάμεθα, δεῖ εὔχεσθαι, οἷον εὐτυχεῖν, ὑγιαίνειν. A.—V.

363, 19. ὑπερφυὲς] σημείωσαι· ἐπὶ κακῷ. B.

πάλιν] εὔχεται. P.

ἐκείνοις] τοῖς θεοῖς. P.

καὶ γένος] αὐτοῦ. P.

μηδαμῶς] ἀφήσητε. P.

363, 27. εἰς τοῦτο τοίνυν ἀναιδείας] ἀρχὴ ἑτέρας ἀποδείξεως πρὸς τὰ προτεινόμενα παρὰ τοῦ ἀντιδίκου. B.R.S.Y.V. μέχρις ὧδε ἡ διήγησις, ἐντεῦθεν λοιπὸν οἱ ἀγῶνες. Ἄλλως. ἡ μετάθεσις τῆς αἰτίας κατ' ἀντίθεσιν. ἔστι δὲ μεταστατικῆς. σημείωσαι δὲ ὅτι τούτου μνημονεύει ὁ Ἑρμογένης τοῦ κεφαλαίου ἐν τῷ γ' τόμῳ τῶν εὑρέσεων, ἡνίκα λέγει τάδε "ἐπεὶ μηδὲ Δημοσθένης ἡδύσθη πολλάκις ἑνὶ χρησάμενος ἐπιχειρήματι· καὶ ποτὲ μὲν αὐτὸ τρέψας, ποτὲ δὲ μεταποιήσας, ὡς ἐν τῷ Παραπρεσβείας τοῦ σχήματος τοῦ μεταστατικοῦ δ'." P.

ἰστέον ὅτι πληρώσας τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐπὶ τὰς ἀντιθέσεις αὐτοῦ τοῦ Αἰσχίνου μετέρχεται. πρῶτον γὰρ ἔδειξε τὰ σημεῖα τὰ αὐτοῦ οἷς κατηγορεῖ· εἶτα καὶ τὰ ἀντιλεγόμενα ὑπὸ τοῦ ἀντιδίκου θέλει λῦσαι. οὐ γὰρ δεῖ μόνον τὰ ἴδια συνιστάναι, ἀλλὰ καὶ ἐκβάλλειν τὰ παρὰ τῶν ἀντιδίκων. χωρεῖ οὖν ἐπὶ τὰς ἀντιθέσεις αὐτοῦ τοῦ Αἰσχίνου, ὁμοῦ τρεῖς οὔσας, οἷον περὶ Λακεδαιμονίων καὶ Φωκέων καὶ

4. βούλεται] δὲ add. T.C.V.

5. καὶ ἐν] καὶ ἐφ' T.C.V.

13. ἀ. πρὸς τὰ προτεινόμενα] ἀ. προτεινομένη B.

14. μέχρις ὧδε—μεταστατικοῦ δ'] Duo novitii grammatici scholia absunt ab nostris codicibus omnibus.

23. τὰ σημεῖα] τὰ om. R.

24. οἷς κατηγορεῖ] οἶ (sic) ἐκατηγόρει pr. C. οἷς κατηγόρει correctus C. οἷς ἐκατηγόρει V. Verba μετέρχεται usque ad ἀντιθέσεις αὐτοῦ τοῦ Αἰσχίνου absunt ab T.D. librario a superiore Αἰσχίνου ad inferius aberrante.

27. Φωκέων] περὶ φωκέων R.

Ἡγησίππου, καὶ τὰς μὲν Λακεδαιμονίων καὶ Ἡγησίππου μεταστατικὰς οὔσας, τὴν δὲ Φωκέων ἀντεγκληματικήν. A.—V.

ἐντεῦθεν τῶν ἐπιλόγων τῶν μερικῶν πεπαυμένων εἰσάγει τὰς ἀντιθέσεις πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. καὶ ἔστιν ἡ μὲν μεταστατικὴ, ὅταν ἄγῃ ἐπὶ Λακεδαιμονίους καὶ Ἡγήσιππον τὰς αἰτίας, ἡ δὲ ἀντεγκληματική· μέμφεται γὰρ τοῖς Φωκεῦσιν ἀξίως παθεῖν. τὴν δὲ τοιαύτην τίθησιν ὑπερβαλλούσῃ καὶ ἀρρήτῳ τέχνῃ. κατεδέχετο γὰρ ὁ Αἰσχίνης διὰ τούτου τὸ ἔγκλημα· ὁ γὰρ ἀξίους ἀποφαίνων ὡς πεπόνθασι τοὺς Φωκέας ἐν τῇ τοῦ μίσους ὁμολογίᾳ τὴν ἐπιβουλὴν ἐλέγχει. ὁ δὲ ῥήτωρ Ἡγήσιππος οὐκ ἐδόκει τὰ Φωκέων φρονεῖν· ὃς παροξύνας τὸν Φίλιππον αἴτιος ἐγένετο τοῦ ἀπολέσθαι αὐτούς. πολλὰς δὲ ὁμοῦ καὶ διαφόρους τεθεικὼς ἀντιθέσεις μίαν κατὰ πασῶν λύσιν τέως ἀπὸ τοῦ χρόνου προσήγαγεν. εἶτα πρὸς τῷ ἀντεγκληματικῷ τό τε ἔθος καὶ τὸ συμφέρον ἀντέθηκεν. δοκείτω δὲ μηδενὶ θαυμαστὸν εἶναι καὶ ἐπίλογον ἐν μέσῳ λόγου τυγχάνειν· μέθοδος γὰρ τοῖς παλαιοῖς, καὶ μάλιστά γε τῷ ῥήτορι πληρώσαντι μὴ μόνον ἔγκλημα, ἀλλὰ καὶ κεφάλαιον, ἐπιλογίζεσθαι, καὶ οὐκ ἐπιλογίζεσθαι μόνον, ἀλλὰ καὶ προοιμιάζεσθαι περὶ τῶν δευτέρων, ὡς πολλὰ μὲν ἔχειν προοίμια τὸν λόγον, πολλοὺς δὲ καὶ ἐπιλόγους καθ' ἕκαστον μέρος τῶν κεφαλαίων· καὶ οἱ ἐπίλογοι δὲ οἱ μὲν τελευταῖοι πάσης ἂν εἶεν τῆς ὑποθέσεως, οἱ δὲ κατὰ μέρος ἑκάστου τῶν κεφαλαίων. πληρώσας τοίνυν ἐνταῦθα τὰς ἀποδείξεις τοῦ διὰ τὸν Αἰσχίνην ἀπολωλέναι Φωκέας, ἀναγκαίως μετὰ τὴν προδοσίαν καὶ τὴν ἅλωσιν ηὔξησε τὰ συμβεβηκότα· ὅταν δὲ τὴν αὔξησιν εἴπω, τοὺς ἐπιλόγους λέγω. κατασκευάσαντος οὖν ἐνταῦθα τοῦ Αἰσχίνου ὅτι ἄξιοι ἦσαν ἀπολέσθαι Φωκεῖς, ἀκολούθως πρὸς τὴν τοσαύτην ἐναντιότητα ἀπαντήσας ὁ ῥήτωρ εἶπεν· "εἰς τοῦτο τοίνυν ἀναιδείας καὶ τόλμης αὐτὸν "ἥξειν ἀκούω·" ἀναιδὴς γὰρ ὁ τολμῶν ἐπὶ τῶν αὐτῶν τἀναντία λέγειν αὐτὸς ἑαυτῷ, πάλαι ὑποσχόμενος πείσειν τὸν Φίλιππον σώσειν Φω-

1. Ἡγησίππου—τὰς] περὶ ἡγησίππου —τὴν T.C.V.
2. Φωκέων] τῶν φωκέων V.
8. ἀποφαίνων ὡς πεπόνθασιν codices. προφαίνων παθεῖν V.
10. οὐκ ἐδόκει W. pro ἐδόκει.
12. τεθεικὼς ἀ.] ἀ. τεθεικὼς V.
14. δοκείτω δὲ μηδενὶ W. δοκεῖ δὲ τῷ δὲ μηδενὶ (sic) T.D. δοκεῖ (δοκείτω P.) δὲ τῷ μηδενὶ C.G.V.
15. λόγου] τοῦ λόγου C.G.
26. ἀπολέσθαι] ἀπολωλέναι C.G.
28. τἀναντία λέγειν] ἀντιλέγειν V.

κέας· καὶ μετὰ τὴν ἐπάνοδον εἰπὼν ὅτι σωθήσονται, νῦν φησιν ἀξίους αὐτοὺς εἶναι τῆς ἁλώσεως. T.C.V.

364, 1. πρῶτον μὲν Λακεδαιμονίων] ἀφίκοντο Λακεδαιμόνιοι πλείστας ἐλπίδας ἔχοντες ἀποδοθήσεσθαι τῇ ἑαυτῶν μητροπόλει, Δωριεῦσι λέγω, τὸ ἱερόν· τούτων γὰρ ἦν τὸ ἀρχαῖον. ἀλλὰ καὶ τούτους 5 ἐξηπάτησε Φίλιππος. γνόντες δὲ αὐτὸν ἐν παρασκευῇ τῆς ἁλώσεως, εἰκότως ἐξέκλιναν. Ἡγησίππου δὲ μέμνηται, διότι Φιλίππῳ πρεσβευομένῳ περὶ τῆς εἰρήνης ὁ πρῶτος εἰπὼν καὶ διακωλύσας Ἡγήσιππος ἦν. Φωκέων δὲ κατηγορεῖ, διότι καθ' ὃν χρόνον ἔνσπονδοι τοῖς Ἀθηναίοις ἦσαν, ἀπέστειλαν Πρόξενον αὐτοῖς βοηθήσοντα οἱ Ἀθη- 10 ναῖοι· οἱ δὲ οὐ προσεδέξαντο, κατάλυσιν τῶν πόλεων ὑποπτεύσαντες. ἐντεῦθεν πονηροὺς Φωκέας ἐκάλεσεν. ἀσεβεῖς δὲ, ὅτι μετὰ τὸ τὸν Πρόξενον μὴ προσδέξασθαι, μελλόντων Ἀθηναίων ἐπιτελεῖν τὰ μυστήρια κατὰ τὸ σύνηθες, τὰς μυστηριώδεις σπονδὰς οὐκ ἐδέξαντο οὐδὲ ταύτας Φωκεῖς. ὅθεν αὐτοὺς καὶ ἀσεβεῖς ὠνόμασεν. T.C.V. 15

364, 14. ἀλλὰ πάντα ταῦθ' ὑπερβὰς] πορρώθεν ἤδη προαναιρεῖ τὸ χρῶμα· οὐ γὰρ ἦν εἰκὸς τὸν διδάξαντα καὶ πείσαντα τοῦτον ὑπὸ τοῦ διδασκομένου καὶ πεπεισμένου ἐξαπατᾶσθαι. T.C.V.

364, 16. Βοιωτίαν οἰκίζειν] οὐ λέγει τὴν πᾶσαν, ἀλλ' ἃς κατέσκαψαν οἱ Θηβαῖοι μὴ βουλομένας αὐτοῖς ὑπακούειν, φημὶ δὴ 20 Θεσπιὰς καὶ Πλαταιάς. κατέσκαψαν δὲ αὐτὰς ἰσχύσαντες μετὰ τὰ ἐν Λεύκτροις. A.—V.

364, 19. μὴ τοίνυν] ἑτέρα μεταποίησις τοῦ αὐτοῦ ἐπιχειρήματος. P.

364, 22. Φωκέων, ὡς πονηροί] σημείωσαι· ἐναλλαγὴ πτώ- 25 σεως. B.

365, 1. πέντε γὰρ γεγόνασιν] τὰ ὀνόματα τῶν πραγμάτων ἡμέρας ἐκάλεσεν. T.C.V.

365, 11. ὑποποιήσωνται] ἀντὶ τοῦ φίλους ποιήσωνται τοὺς Λακεδαιμονίους δι' ὑμῶν. A.R.P. 30

365, 18. μὴ οὖν ὅτι καὶ Λακεδαιμονίους] κατηγορεῖ γὰρ Φωκέων

13. προσδέξασθαι] δέξασθαι V.

14. τὰς μυστηριώδεις σπονδὰς] Utrum libationes initiorum? an inducias propter initia? Nam αἱ ἱερομηνιαι pacatæ erant. WOLF.

19. ἀλλ' ἃς codices. ἀλλὰ πόλεις αὐτῆς ἃς V.

21. Θεσπιὰς V. θεσπειὰς codices.

ὡς ἠπατημένων. Φωκεῖς πονηροὶ, Φωκεῖς ἀσεβεῖς· εἶτα δὲ καὶ ἐξηπατήθησαν ὑπὸ Φιλίππου. T.C.V.

ἂν τοίνυν ἀντὶ Φωκέων] ἑτέρα μετάθεσις τῆς αἰτίας κατ' ἀντίθεσιν. ἔστι δὲ ἀντιστατική. P. τὸ ἀντιστατικόν ἐστι κεφάλαιον τῆς ἀντιστάσεως. ἔστι δὲ καὶ ἐνθύμημα ἀντιστατικόν. διαφέρει δὲ, ὅτι ἐν 5 μὲν τῇ ἀντιστάσει ἐξ αὐτοῦ τοῦ ἀδικήματός ἐστι τὸ εὐεργέτημα, ἐν δὲ τῷ ἐνθυμήματι ἄλλο τὸ ἀδίκημα καὶ ἕτερον τὸ εὐεργέτημα. A.—V. ἀντιστατικὴ τὸ συμφέρον ἐπεισάγουσα ἀφ' ὧν ἠδίκησε. συνέζευκται δέ πως τῇ ἀντεγκληματικῇ, ὡς ἔχουσα πρὸς αὐτὴν καὶ συγγένειαν· ἐν οἷς γὰρ λέγει ὅτι Καλῶς καὶ ἀξίως ἀπολώλασιν οἱ 10 Φωκεῖς, ἐπάγει ὅτι Καὶ ἄλλα ἔχομεν ἀντὶ τῶν ἀπολωλότων χωρία σωζόμενα. Εἰς τὸ αὐτό. πρῶτον ἦν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ὡς ἐν ἀρχῇ ἐξέθετο ὧν ἀπήγγειλε. δεύτερον δὲ, ὧν ἔπεισεν. οὐκοῦν τὸ ἔπεισε φαίνεται τριμερές· ἓν μὲν, ὅτι ἔπεισε τὴν πόλιν μὴ βοηθεῖν Φωκεῦσιν, εἰπὼν σωθήσεσθαι Φωκέας παρὰ Φιλίππου· δεύτερον, 15 ἔπεισε καὶ περὶ Θηβαίων ὅτι ἀπολοῦνται Θηβαῖοι· τρίτον, ἔπεισεν, ἡνίκα ἐποιεῖτο τὴν εἰρήνην, Φωκέας μὲν ἐξαλεῖψαι τοῦ ψηφίσματος, πιστεῦσαι δὲ ἐπαγγελλομένῳ αὐτῷ πείσειν τὸν Φίλιππον. οὐκοῦν πρὸς τοῦτό ἐστιν ἡ παροῦσα ἀντίθεσις. πῶς ἔπεισας τὴν πόλιν ἄνευ Φωκέων τὴν εἰρήνην ποιήσασθαι; ὃ δὲ βούλεται εἰπεῖν τοιοῦτόν 20 ἐστι, κρυπτόμενον μὲν ὑπὸ τοῦ ῥήτορος διὰ τὸ χρήσιμον, δεικνύμενον δὲ διὰ τῆς ἐργασίας· εἰ μὴ τὴν εἰρήνην ἐποιησάμεθα, ὥσπερ ἠξίου Φίλιππος, ἄνευ Φωκέων, οὐδὲν ἂν ἐκώλυσεν ἐπὶ Θρᾴκης ὄντα λαβεῖν τὴν Χερρόνησον, καὶ διὰ τοῦτο ἀνάγκη γέγονεν οὕτω ποιήσασθαι τὴν εἰρήνην, ὡς ἐβούλετο Φίλιππος, διότι ἐδεδοίκειμεν ὑπὲρ Χερρονήσου. 25 ἐπειδὴ δὲ ἡ ἀντίθεσις μία ἐστὶν ἐκ τῶν ἀντιθετικῶν—ἀντιστατικὴ γάρ ἐστι—, ζητοῦμεν ὅθεν πέπτωκεν. οὐκοῦν τὸ μὲν ἔγκλημά ἐστιν, ὅτι Προδέδωκας τοὺς Φωκέας· αἱ δὲ ἀποδείξεις τούτου ποικίλαι καὶ πολλὰ τεκμήρια. ἓν τοίνυν ἐστὶ τῶν τεκμηρίων τῆς προδοσίας, ὅτι βουλευομένης τῆς πόλεως ὅπως χρὴ ποιήσασθαι τὴν εἰρήνην, παρελ- 30

4. τῆς ἀντιστάσεως delet W.
7. ἕτερον] ἄλλο C.G.
8. ἀντιστατικὴ] ἀντίθεσις add. W. ἀφ' ὧν] δι' ὧν C.G.
9. αὐτὴν καὶ] καὶ om. V.
12. Εἰς τὸ αὐτὸ] ἄλλως C.G.V.
15. δεύτερον—ὅτι codices. δεύτερον ὅτι ἔπεισε περὶ θηβαίων ὡς V.
26. ἐπειδὴ δὲ ἡ ἀντίθεσις μία ἐστὶν ἐπὶ τῶν ἀντιθετικῶν] Est hæc tautologia. Ego me hæc non intelligere fateor. WOLF.
27. ὅθεν] πόθεν V.
30. ὅπως] πῶς V.

θὼν Αἰσχίνης ἀνέπεισεν ἄνευ Φωκέων ποιήσασθαι. ὁ μὲν οὖν Δημοσθένης τοῦτο προτείνεται ὡς τεκμήριον, ὁ δὲ Αἰσχίνης ἐπὶ τὴν χρείαν μεθιστὰς τῷ συμφέροντι κέχρηται· λέγει γὰρ, οὐκ ἐνῆν ἄλλως πεῖσαι Φίλιππον δέξασθαι τοὺς παρὰ τῆς πόλεως ὅρκους, μὴ τῶν Φωκέων ἐξῃρημένων· εἰ δὲ μὴ βεβουλήμεθα ἐξελεῖν τοὺς Φωκέας, πολεμῶν 5 ἂν ὁ Φίλιππος τῇ πόλει τὴν Χερρόνησον ἔλαβεν. κηδόμενος ταύτην τῇ πόλει σώζεσθαι παρῄνεσα τῷ δήμῳ πλὴν Φωκέων ποιήσασθαι τὴν εἰρήνην. ἐπεὶ τοίνυν τεκμήριον ἦν τῆς προδοσίας τὸ πεῖσαι τὴν πόλιν ἐξελεῖν τῶν ὅρκων Φωκέας, ἀναγκαίως ἀπαντῶν πρὸς τοῦτο Αἰσχίνης τὴν αἰτίαν λέγει δι' ἣν κατηναγκάσθη τοῦτο ποιῆσαι. 10 ἔστιν οὖν ἡ αἰτία ἀντιστατική. ἦν μὲν οὖν δυσχερὴς ἡ λύσις τῆς ἀντιθέσεως τῷ ῥήτορι· δοκεῖ γὰρ ὡς ἀληθῶς ἔχεσθαι τῆς ἀληθείας, ὅτι δεδοικότες περὶ τῆς Χερρονήσου τότε τὴν εἰρήνην ἐδέξαντο. ἵνα τοίνυν μὴ συνδραμὼν ταῖς ἀληθείαις ὁ δικαστὴς ἀποδέξηται τοὺς Αἰσχίνου λόγους, προλαβὼν ὁ Δημοσθένης συγχεῖ καὶ ταράττει τὸν 15 λόγον, ἀσάφειαν ἐντεῦθεν ταῖς ἀπολογίαις κατασκευάζων· λέγει γὰρ συγκρουστικῶς, ὡς ἂν Αἰσχίνου λέγοντος, πανούργως τὴν πόλιν τὰς συνθήκας πεποιῆσθαι, ὠνουμένην τὴν σωτηρίαν τῆς Χερρονήσου τῇ τῶν Φωκέων ἁλώσει, ἵνα τῷ αἰσχρῷ τὸ ἰσχυρὸν ἐκλύσῃ. T.C.V.

365, 25. καὶ ἐκ τῆς ἀπολογίας ὄνειδος] πολέμιος τοίνυν Αἰσχί- 20 νης καὶ πρεσβεύων ἐστὶ καὶ φθεγγόμενος. T.C.V.

366, 3. εἶτα καὶ νῦν ἐν μείζονι] τοῦτο εἶπε διὰ τὴν ἀντίθεσιν τὴν λέγουσαν ὅτι ἔχετε τὴν Χερρόνησον ἀντὶ Φωκέων· καὶ πρῶτον μὲν ἔλυσε λέγων ὅτι οὐκ ἀντὶ Φωκέων ἔχομεν Χερρόνησον· εἴχομεν γὰρ αὐτὴν καὶ ἤδη σωζομένων. εἶτα καὶ ὅτι νῦν οὐδὲ τὴν Χερρόνησον 25 ἔχομεν ἀσφαλῶς· κινδυνεύσει γὰρ καὶ αὐτὴ ἀπολέσθαι, ἀπολομένων Φωκέων. A.—V.

366, 5. τότε] ὅτε, φησὶν, ἐσώζοντο οἱ Φωκεῖς. A.—V.

2. προτείνεται] προτίθεται V.
3. λέγει] ἐρεῖ V.
5. εἰ δὲ μὴ βεβουλήμεθα W. pro εἰ μὴ βεβουλεύμεθα.
6. κηδόμενος] βουλόμενος οὖν W.
12. τῷ ῥήτορι ante τῆς ἀντιθέσεως V.
17. συγκρουστικῶς] *Concitate, odiose*, aut etiam *callide et fraudulenter*, cum σύγκρουσιν etiam παραλογισμὸν interpretentur. WOLF.
19. τῷ αἰσχρῷ τὸ ἰσχυρὸν] τὸ αἰσχρὸν τῷ ἰσχυρῷ C.G.
21. φθεγγόμενος] φεύγων margo P. ἀπολογούμενος W.
24. ἔλυσε λέγων ὅτι] ἔλυσεν ὅτι R. οὐκ om. T.C.V.
26. κινδυνεύσει] κινδυνεύομεν R. αὐτὴ ἀπολέσθαι] αὐτὴν ἀπολέσαι R. ἀπολομένων] ἀπολουμένων V.

366, 6. εἰς αὐτὴν] εἰς τὴν Χερρόνησον. A.—V.

πρὶν τούτων τι τῆς πόλεως] καὶ μάλιστα μὲν καὶ σωζομένων Φωκέων εἴχομεν ἀσφαλῶς τὴν Χερρόνησον. εἶτα οὐδὲ ἔχειν αὐτὴν νῦν ἀπολομένων Φωκέων ῥᾳδίως δυνήσεσθε. T.C.V.

τούτων] τῶν Φωκικῶν πόλεων. A.—V. 5

366, 8. τίς οὖν ἡ ταύτης περιουσία] τί οὖν χρησιμεύει ὑμῖν τὸ σώζεσθαι τὴν Χερρόνησον, ὁπότε ἀφῃρέθησαν οἱ φόβοι ἐξ αὐτῆς τῷ Φιλίππῳ βουλομένῳ αὐτὴν ἀδικῆσαι; A.—V.

366, 10. ἔτι τοίνυν καὶ τοιοῦτόν τι] ἀντίθεσις μεταληπτικὴ ἀπὸ προσώπου. διαφέρει δὲ παραγραφῆς ἐν τῷ δοκεῖν ἑκατέρας ἐκβάλ- 10 λειν τὰς κρίσεις, καθὸ ἡ μὲν παραγραφὴ παντελῶς ἐκβάλλει τὴν κρίσιν, ὅτι οὐ δεῖ περὶ τῶν αὐτῶν ἀγωνίζεσθαι, ἡ δὲ μεταληπτικὴ οὐ πάντως ἐκβάλλει τὴν κρίσιν, ἀλλὰ μεταλαμβάνει ὅτι ἄλλως ἔδει αὐτὴν γενέσθαι, ὥσπερ καὶ ἐνταῦθα ἐκ προσώπου Δημοσθένους μεταλαμβάνει καὶ λέγει ὅτι οὐ σύ μου ὀφείλεις κατηγορεῖν, ἀλλ' οἱ 15 Φωκεῖς οἱ πεπονθότες. A.—V. ἄλλη μεταληπτικὴ ἀντίθεσις, τὸ πρόσωπον λαμβάνουσα κατὰ παραγραφήν· οὐ γὰρ εἶπε, περιττὸς εἶ σὺ, ἀλλὰ τί σὺ καὶ μὴ Φωκεῖς; χρησίμως καὶ διὰ πολλὰς αἰτίας ταύτῃ τῇ ἀντιθέσει κέχρηται. πρῶτον μὲν, ἵνα τοὺς Αἰσχίνου μάρτυρας διαβάλλῃ. ἔπειτα, ἵνα τοῖς λόγοις Αἰσχίνου βεβαιωθῇ τὸ 20 ἔγκλημα· ἰδὼν γὰρ οὐ μικρὰν ῥοπὴν γεγενημένην τῷ ἀντιδίκῳ ἐκ τοῦ παρέχεσθαι μάρτυρας Φωκεῖς ἀρνουμένους διὰ τὸν Αἰσχίνην ἀπολωλέναι, ἠναγκάσθη ὥσπερ ἐκ διορθώσεως ταύτῃ χρήσασθαι τῇ ἀντιθέσει πρὸς ἀναίρεσιν τῶν ἰσχυρῶν τῶν ἐκείνου. ἔστι δὲ μεταληπτική. μεθώδευται δὲ οὐχ ὡς παραγραφομένου Αἰσχίνου, ἀλλ' ὡς μετὰ τοῦ 25 Δημοσθένους ἀπαιτοῦντος καὶ τοὺς Φωκέας, ἵνα καὶ αὐτὸς τῇ οἰκείᾳ φωνῇ κατήγορον φαίνηται παραδεχόμενος τὸν ῥήτορα. κατὰ δὲ τὴν λύσιν ἄξιον θαυμάσαι τὸν ῥήτορα τῆς μεθόδου, ὅπως, μὴ δοκῶν πρὸς

1. εἰς τὴν] εἶτα τὴν V.
4. ἀπολομένων] ἀπολουμένων V.
6. ὑμῖν] ἡμῖν T.C.V.
8. βουλομένῳ W. τῷ βουλομένῳ A. R. τῶν βουλομένων ceteri.
12. ὅτι οὐ δεῖ—τὴν κρίσιν om. R.
14. ἐκ] ἀπὸ R.
δημοσθένους A., ut videtur. δημοσθένης ceteri.
μεταλαμβάνει] τὴν κρίσιν add. T. C.V.
17. εἶ σὺ, ἀλλὰ τί σὺ καὶ μὴ] εἶ σὺ, τί σύ μου κατηγορεῖς, ἀλλὰ καὶ μὴ P.
21. οὐ μικρὰν] οὐδὲ μικρὰν C.G.
25. μεθώδευται codices. μεμεθώδευται V.
27. παραδεχόμενος] παρεχόμενος C.G.

τοὺς Αἰσχίνου μάρτυρας διαλέγεσθαι, λεληθότως ἐκβάλλει τοὺς μάρτυρας οὓς Αἰσχίνης παρέχεται· ἐπειδὴ γὰρ Αἰσχίνης παρέσχετο μάρτυρας Φωκεῖς, οἵ φασι μηδενὸς τῶν κακῶν αἴτιον γεγενῆσθαι αὐτοῖς τὸν Αἰσχίνην, ἀναγκαίως ὁ Δημοσθένης τὸ μεταληπτικὸν πρὸς τὴν οἰκείαν χρείαν ἐξεῦρεν, ἵνα τοὺς ἐκείνου μάρτυρας ἐκβάλλειν δοκῇ, καὶ, εἰ κινοῖτο λόγος παρ' Αἰσχίνου, μεταληπτικῶς φαίνοιτο καὶ τοῦτον λύων. T.C.V.

366, 19. οὐ γὰρ ἂν ἔγωγ' ἂν ἔδωκα] ἀντιπίπτοντος λύσις· διὰ τί σὺ μὴ δέδωκας; ἤρκει μοι καὶ μόνα βοῶντα τὰ πράγματα. καὶ ἄλλην δὲ ἀδοξίαν διωθεῖται· τοῦ γὰρ Αἰσχίνου λέγοντος, ἐμισθώσαντό τινας τῶν Ὀλυνθίων ὥστε μου καταμαρτυρεῖν, ἀπὸ τῶν Φωκέων ἐκβάλλει τὴν ὑπόνοιαν. T.C.V.

366, 24. τὰς Ἀθήνησιν εὐθύνας] ὥστε μὴ εἶναι ἑκάστῳ τὸν λόγον, εἴ τις Ἀθήνησιν εὐθύνας δίδωσιν. οἱ δὲ ἐνήλλαξαν ὡς ἐν σχήματι τὰς πτώσεις, γενικὴν ἀντὶ αἰτιατικῆς εἰληφότες καὶ εὐθυνῶν εἰπόντες. τὸ δὲ παρῃρημένοι ἀντὶ τοῦ ἀφῃρημένοι. ἡ δὲ σύνταξις πρὸς τὸ ἄνω, ὅτι, διὰ τί Δημοσθένης μου κατηγορεῖ, Φωκέων δὲ οὐδὲ εἷς. A.T.C.V.

367, 3. σώζου] ἐν τοῖς ἄνω ἔλεγεν ὅτι πάρεισιν ἐν ταῖς Ἀθήναις, ἀλλ' οὐ διὰ τοῦτο ὥστε συνηγορῆσαι μὲν τῷ Δημοσθένει καὶ καταμαρτυρῆσαι τοῦ Αἰσχίνου. A.—V.

367, 7. καὶ μὴν ὅτι χωρὶς] ἐνταῦθα ἀκολουθία σώζεται πρὸς τὴν λύσιν τῆς ἀντιστατικῆς ἀντιθέσεως· τῆς γὰρ λύσεως λεγούσης μετὰ τὴν εἰρήνην γεγενῆσθαι τὴν ἅλωσιν, ἀκολούθως ἐζήτησεν ὁ Αἰσχίνης, εἰ τοίνυν ἔγωγε τοὺς Φωκέας προδέδωκα, ὡς σὺ φῄς, τίνος ἕνεκεν οὐκ ἐλθόντες αὐτοὶ κατηγοροῦσιν; ἡ μέντοι ἀντίθεσις Αἰσχίνου τοῦτο ἐβούλετο λέγειν, ὅτι χρησιμώτερον ἡ Χερρόνησος Φωκέων τῇ πόλει. οὐκοῦν πρὸς τοῦτο ἁπαντῶν ὁ Δημοσθένης δείκνυσι τοὐναντίον, ὅτι χρησιμώτεροι Φωκεῖς ἦσαν μᾶλλον τῇ πόλει. εἶτα ἐπειδήπερ ἀντέ-

6. Αἰσχίνου] αἰσχίνη C.G.
7. τοῦτον W. pro τοῦτο.
10. ἐμισθώσαντο] ἐμισθώσατο T. C.D.G.
12. ὑπόνοιαν W. pro ἀπόνοιαν.
13. ὥστε μὴ—τὸ δὲ] ἀντίπτωσις ἀντὶ τοῦ περὶ τῶν ἀθήνησιν A.
ἑκάστῳ W. pro ἕκαστον.
τὸν λόγον codices et W. τῶν λόγων V.
17. οὐδὲ εἷς A. οὐδείς ceteri.
20. ἀλλ'—ὥστε A. ἀλλ' ἐν τῷ ceteri.
23. ἀντιστατικῆς] μεταστατικῆς C. G.

πιπτεν ὅτι ἀσθενεῖς ἦσαν Φωκεῖς, ἐκ τῆς θέσεως καὶ τοῦ τόπου καὶ τῶν τότε συμβεβηκότων πολέμων αὔξει τὴν δύναμιν. λέγει δὲ ἀντικρυς, "τίς γὰρ οὐκ οἶδεν ὑμῶν ὅτι τῷ Φωκέων πολέμῳ καὶ τῷ "κυρίους εἶναι Πυλῶν Φωκέας ἥ τε ἀπὸ Θηβαίων ἄδεια ὑπῆρχεν "ὑμῖν καὶ τὸ μηδέποτε ἐλθεῖν ἂν εἰς Πελοπόννησον μηδ' εἰς τὴν 5 "Ἀττικὴν Φίλιππον;" οὕτω χρησιμώτεροι Φωκεῖς ἦσαν σωζόμενοι Χερρονήσου τῇ πόλει. μὴ γὰρ ἔχων ἐκ τῆς δυνάμεως τῆς Φωκέων συστῆσαι τὴν ὠφέλειαν, μηδὲ μὴν ἐκ τῆς προαιρέσεως, ἐκ τῆς φύσεως τῶν τόπων καὶ τῶν συμβεβηκότων τὴν ὠφέλειαν ηὔξησε· καὶ πρὸς σύστασιν τούτου τοῦ μέρους, ὅτι μεγάλα ὠφέλουν τὴν πόλιν 10 σωζόμενοι, παρέχεται δύο ψηφίσματα, τό τε Διοφάντου, καθ' ὃ ἔδοξεν αὐτοῖς θύειν τοῖς θεοῖς εἴρξασι Φιλίππου τὴν ἐπὶ τὰς Πύλας ὁδὸν τὸ πρότερον, καὶ τὸ Καλλισθένους, καθ' ὃ μετὰ τὴν ἅλωσιν ἐσκευαγώγουν ἐκ τῆς χώρας. T.C.V.

367, 9. καὶ μεγάλοι κίνδυνοι περιεστᾶσιν] λογισμῷ λοιπὸν τοῦ 15 συμφέροντος φοβεῖ τοὺς Ἀθηναίους, αὔξων τὰ Φωκέων καὶ δεικνὺς τὴν ἀπὸ τῆς ἐκείνων σωτηρίας ἀσφάλειαν, ἧς ἀπολομένης συναπολεῖται καὶ τὰ φρουρούμενα. ὅρα γὰρ ὅτι καὶ ἀπὸ γῆς καὶ ἀπὸ θαλάττης μαρτυρεῖ τὴν Ἀττικὴν ὑπ' ἐκείνων πεφρουρῆσθαι τῇ θέσει. T.C.V. 20

367, 14. ὅτι τῷ Φωκέων πολέμῳ] ἵνα σημαίνῃ τὸν κατὰ γῆν καὶ κατὰ θάλατταν πόλεμον. A.R.T.P.

367, 21. καὶ ματαία μὲν ἡ προτέρα βοήθεια] ἧς μέμνηται ἐν τοῖς Φιλιππικοῖς "καὶ τὰ τελευταῖα πρώην εἰς Πύλας." T.C.V.

367, 23. ἰδίας] ἀντὶ τοῦ ἰδιωτικάς· οὐ γὰρ μόνον δημόσια χρή- 25 ματα ἀνάλωσαν τότε, ἀλλὰ καὶ εἰσφορὰς ἐποιήσαντο ἐκ τῶν ἰδίων οὐσιῶν. A.R.T.P.

368, 6. τὸ τοῦ Διοφάντου καὶ τὸ τοῦ Καλλισθένους] οὗτος ὁ Διόφαντος, τῶν συμμάχων περισωθέντων καὶ ἀπελαθέντος ἐκ τῆς Φωκίδος Φιλίππου, ἔγραψε χαριστηρίους θυσίας θύειν τοῖς θεοῖς· τὸ 30 δὲ τοῦ Καλλισθένους ἐκ τῶν ἐναντίων, ἑαλωκότων Φωκέων καὶ φόβου κατασχόντος πολλοὺς, κελεύει σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν καὶ μηδένα

21. σημαίνῃ] σημάνῃ P.
25. ἰδίας—μόνον] μάταιαι δέ· ὅτι οὐ μόνον P.
31. τῶν ἐναντίων] τοῦ ἐναντίου V.
32. πολλοὺς] πολλοῦ V.

ἔξω μένειν, ὡς τῶν πολεμίων ἐπιόντων, διὸ καὶ τὰ Ἡράκλεια εἴσω τῆς πόλεως τελεῖν, ἃ δέον ἦν ἔξω τείχους ἄγειν. T.C.V.

368, 15. ΨΗΦΙΣΜΑ] Διοφάντου· οἷον τὸ θῦσαι τοῖς θεοῖς ὑπὲρ τοῦ διῶξαι Φίλιππον. A.R.

368, 18. ΨΗΦΙΣΜΑ] Καλλισθένους· οἷον τὸ σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν δι' ἅπερ ἐποίησε Φίλιππος εἰς τοὺς Φωκέας. A.R.T.

368, 23. θαυμάσια] ἐπὶ καλοῦ τέθεικε τὴν λέξιν. A.R.P.

368, 24. πρὸς Πορθμῷ] πάλιν ἀπὸ θαλάττης καὶ ἀπὸ γῆς ὁ φόβος. Πορθμὸς μὲν γὰρ τῆς Εὐβοίας· αὕτη δὲ νῆσος· τὰ δὲ Μέγαρα ἐν ἠπείρῳ. T.C.V.

οἶδα τοίνυν ὅτι] ἔστι μὲν καὶ αὕτη ἡ ἀντίθεσις πρός τι τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἔχεται δὲ τῆς προτέρας ἔτι. σχεδὸν γὰρ καὶ αὕτη τοῦ αὐτοῦ γένους ἐστὶν ἀντιστατική. οὐκοῦν ἔχει τὴν ἀναφορὰν πρὸς ἐκεῖνο τὸ ἀπ' ἀρχῆς, ὅτι αὐτὸς ἔπεισας τὴν εἰρήνην ποιήσασθαι· ἵνα φαίνηται ἀποκρινόμενος Αἰσχίνης ὅτι ἔπεισα βελτίονα τῶν πολέμων τὴν εἰρήνην ἡγούμενος. ἀνύει δὲ κατὰ ταύτην τὴν ἀντίθεσιν πολλὰ καὶ οὐ μικρά. πρῶτον μέν, ὅτι τὸ ἑαυτῷ πεπραγμένον μετατίθησιν ἐπὶ τὸν ἀντίδικον. δοκεῖ γὰρ συμβεβουλευκέναι καὶ αὐτὸς περὶ τοῦ δεῖν γενέσθαι τὴν εἰρήνην. οὐκοῦν, ἵνα φαίνηται αὐτὸς Αἰσχίνης ἀναδεχόμενος τὸ κατὰ τὴν εἰρήνην, οὕτως εἰσῆξε τῇ ἀντιθέσει χρώμενος. διόπερ ἄξιον ἄγασθαι τῆς δεινότητος ὅτι ὑπὲρ ὧν αὐτὸς ἔμελλεν ἐγκλημάτων ἀπολογεῖσθαι, ταῦτα ἤδη πεποίηκεν ἐγκλήματα τῆς ἀπολογίας Αἰσχίνου. εἰ γὰρ ὁ ἀντίδικος ἐγκώμια τῆς εἰρήνης ἐρεῖ, τίς ἂν ἔτι τοῦ τὴν εἰρήνην πείσαντος γενέσθαι κατηγορήσειε; καὶ ἡ ἀπόκρισις δὲ ἀκόλουθος τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους· Ναί, φησίν· οὐδὲν γὰρ ἄτοπον συμβουλεύειν εἰρήνην ἄγειν, ἐπειδὴ πολλῶν ἀγαθῶν τοῖς ἀνθρώποις ἡ εἰρήνη αἰτία καθίσταται. οὐκ ἀνατρέπει δὲ τὴν ἀντίθεσιν, ὅπερ οἰκεῖον τοῦ ἀντιλέγοντος, ἀλλὰ καὶ καταδέχεται. τί γάρ; φησὶν ὅτι δῶρα λαμβάνοντες οὗτοι τὸ καλὸν πρᾶγμα φύσει κακῶς διέθηκαν· ἵνα ἡ μὲν εἰρήνη μὴ κατηγορῆται, τὰ δὲ ἐν τῇ εἰρήνῃ πραχθέντα ποιῆται ἐγκλήματα. καὶ πόθεν δῆλον ὅτι τὸ ἔγκλημα τὸ περὶ τῆς εἰρήνης Δημοσθένης δέδοικεν; ἐν

1. πολεμίων] ἐναντίων C.G.
διὸ καὶ] διὰ τὸ V.
6. ἐποίησε Φ.] ἐποίησεν ὁ φ. T.
23. ἐγκλήματα W. pro ἐγκώμια.
28. ἀντιλέγοντος W. pro λέγοντος.
32. δέδοικεν W. pro δέδωκεν.

τῷ ὑπὲρ τοῦ στεφάνου δεδήλωκε λόγῳ· τὴν γὰρ πρώτην ἀντίθεσιν καὶ τὸ πρῶτον ἔγκλημα, τὸ τὴν εἰρήνην γενέσθαι, ἔθηκεν, ἀρνούμενος αὐτὸς μὴ πεποιηκέναι. οὐκοῦν οὐδὲ τῆς ἐξ ἀρχῆς εἰρήνης ἡγεμὼν οὐδ' αἴτιος ἐγὼ φαίνομαι, καλῶς προσθεὶς τὸ ἐξ ἀρχῆς· ἐπειδὴ γὰρ ψήφισμα παρέσχετο Δημοσθένους Αἰσχίνης, διαρρήδην περὶ τῆς εἰρήνης λέγοντος, διὰ τοῦτο τὰ δεύτερα σιωπήσας ἐπὶ τὴν ἀρχὴν ἵεται, ἀναφέρων ἐπὶ τὸν Ἀριστόδημον καὶ Νεοπτόλεμον αὐτήν. T.C.V.

369, 11. τί τις εἶναι τοῦτο φαίη] φανερῶς ἐνταῦθα προκαλεῖται τὸ κεφάλαιον τὸ λεγόμενον χρῶμα, εἰ καὶ διέσπαρται ἐν τῷ λόγῳ. A.R.

369, 14. κτήμαθ' ὑμῖν περίεστι] ὑπερθέσει λύει τὴν ἀντίθεσιν, πλείονα τὸν Φίλιππον λέγων κτησάμενον ἀπὸ τῆς εἰρήνης. A.R.

369, 23. ἡ μὲν ἡμετέρα] λέγει δὲ τὴν εἰρήνην. A.T.Y.P. ἢ γὰρ ἑαυτοῖς περιποιοῦσι συμμαχοῦντες τὰ ἀγαθὰ, ἢ τοῖς κρείττοσιν ἑαυτῶν καὶ δυνατωτέροις, οἷς καὶ συνάπτονται διὰ τὴν χρείαν. T.C.V.

370, 3. ὅλως, ὦ ἄνδρες Ἀθηναῖοι] ἵνα μὴ τὸ σόφισμα αὐτῷ κατάφωρον γένηται καὶ φανῇ δεδοικὼς τοὺς περὶ τῆς εἰρήνης λόγους, ἀνέδραμεν ἐπὶ τὸν πόλεμον, τὸ ζητούμενον τῷ ζητουμένῳ συσκιάζων. ἐν γὰρ τῷ πλήθει τῶν πραγμάτων οὐκ ἄν τις ῥᾳδίως φωράσειεν, ὑπὲρ οὗ καὶ δέδοικεν. ἀμέλει γοῦν πολλὰ προτείνας εἰς αὐτὸ τὸ ἰσχυρότερον κατέληξεν, εἰπὼν, "εἴργετε οὖν, εἴργετε, αὐτὸν τῶν ὑπὲρ "τῆς εἰρήνης λόγων." ἐπειδὴ δὲ δοκεῖ γεγραφέναι ψήφισμα περὶ τῆς εἰρήνης, ἀπολογούμενος ὑπὲρ τούτου, ποτὲ μὲν μεταστατικῶς ἐπὶ τοὺς περὶ Νεοπτόλεμον καὶ Ἀριστόδημον τὴν αἰτίαν φέρει, ποτὲ δὲ συμπεριλαμβάνει τὴν πόλιν, ποτὲ δὲ τὴν ἐκ τῆς ἀνάγκης χρείαν προβάλλεται εἰπὼν, "ἤγαγον ἄρα τοὺς ποιησομένους," πάλιν ἐπὶ τὴν πρεσβείαν. κἀνταῦθα μεθιστὰς, ἐπειδήπερ αὐτὸς φαίνεται καὶ τοὺς παρὰ Φιλίππου πρέσβεις ἥκοντας τῇ βουλῇ προσάγων, καὶ ὅλως τοῦτο τὸ μέρος διοικησάμενος, ὑπὲρ οὗ λαμπρῶς ἐν τῷ περὶ τοῦ στεφάνου ἀπολελόγηται, μεταβέβηκεν ἐπὶ τὸ χρῶμα. διὰ τί δὲ

7. ἵεται T. ἴεται ceteri.
11. ὑπερθέσει] ἐκ παραθέσεως A.
13. δὲ om. P.
18. κατάφωρον T. κατάφορον ceteri.
φανῇ om. V.
27. ἄρα] Corrige δεῦρο ex p. 370, 25.
30. ὑπὲρ οὗ W. ὑπὲρ om. libri.

κἀνταῦθα οὐχ ὁμοίως ἀπολογεῖται ὑπὲρ τῆς εἰρήνης, ὥσπερ ἐν τῷ περὶ τοῦ στεφάνου; ὅτι ἐνταῦθα μὲν αὐτὸς ἔχων πρωτολογίαν, καὶ δυνάμενος ὡς ἐβούλετο τὰ συμφέροντα διοικήσασθαι, πρὸς τὴν χρείαν μεθώδευσεν, ἐν δὲ τῷ περὶ στεφάνου κατηγορούμενος καὶ τῆς αἰτίας λαμπρῶς ἐπ' αὐτὸν φερομένης ἠνάγκασται διὰ τῆς εἰρήνης διαρρήδην ποιήσασθαι τὴν ἀπολογίαν. T.C.V.

370, 15. ἣν ὑμῖν πόλεμος] κύκλος. B.Y. διηγηματικῶς ἐνταῦθα. A.

371, 6. τοῖς τὰ δίκαια γράφουσιν] εἰς ἑαυτὸν αἰνίττεται. A.R.T.

371, 7. τῷ μισθοῦ] τῷ Φιλοκράτει. A.P.

371, 10. τοὺς δ' ἐπὶ τοῦ πολέμου] τρίτον κεφάλαιον τῆς προκατασκευῆς. B.Y.P.

371, 18. τούτῳ] Αἰσχίνῃ. P.

δεξάμενοι] οἱονεὶ διαδεξάμενοι τοὺς περὶ Ἀριστόδημον εἰς τὸ φενακίσαι ὑμᾶς. A.R.T.P.

371, 29. ἣν δέδοικα] κύκλος. B.

372, 1. πολλῷ] κακῷ δηλονότι. T. λείπει κακῷ. A.R. κακῷ ἢ τόκῳ. P.

372, 14. οὐ γὰρ Αἰσχίνης] κύκλος. B.Y.

372, 18. ἔξω τοῦ ἀδόξως γεγενῆσθαι] ὅτι οὐκ ἐχωρίζετο τῇ ἀδοξίᾳ, ἀλλ' ἐνυπῆρχον τοῖς πράγμασιν. T.C.V.

ἀνήκεστον] λύσις τοῦ χρώματος τοῦ πρὸς τὰς ἐπαγγελίας. A.R.P.

372, 22. ὅτι μὲν τοίνυν αἰσχρῶς] πολλῶν ὄντων, ὡς ἔφαμεν, τεκμηρίων κατὰ τὴν ὑπόθεσιν, οὐδενὶ τούτων οὕτως ὥστε ταῖς ἐπαγγελίαις καὶ ταῖς ὑποσχέσεσι διϊσχυρίζεσθαι. ἀναγκαίως οὖν ἐνταῦθα λοιπὸν αὐτό τε τὸ τεκμήριον προτείνει καὶ τὴν ἀντίθεσιν τὴν πρὸς

1. ὑπὲρ τῆς] περὶ τῆς V.
4. τοῦ στεφάνου] τοῦ om. C.G.V.
11. τῷ Φιλοκράτει] αἰνίττεται τῷ φιλοκράτει P. αἰνίττεται ex fine præcedentis scholii sumtum, quod om. P.
15. οἱονεὶ] ἤγουν P.
18. δηλονότι] δῆλον T.
21. τῇ ἀδοξίᾳ, ἀλλ' ἐνυπῆρχον codices. τῇ ἀδοξίᾳ (ἡ ἀδοξία W.), ἀλλ' ἐν ὑπῆρχε (sic) V.
26. τεκμηρίων post ὄντων habet V.
ὥστε codices. ὡς τὸ V. Ante ὥστε verbum excidit. Wolfius hæc sic interpolavit ὡς ταῖς—διισχυρίζεσθαι ἀναγκαῖον ἦν. ἐνταῦθα τοίνυν αὐτό—.
27. οὖν codices. ἦν V.

αὐτὸ θεὶς λύειν πειρᾶται. οὐ μὴν τέθεικεν οὕτως ἐκ τοῦ προφανοῦς, ὡς ἐν ἀντιθέσεως εἴδει, ἀλλὰ τὴν λύσιν εἰσάγων τὸ χρῶμα ἐνέφηνεν. ὡς γὰρ Αἰσχίνου δυναμένου λέγειν ὅτι δι' ἀβελτερίαν ἢ δι' εὐήθειαν ἢ δι' ἄγνοιαν τοῦ Φιλίππου τρόπου ταῦτα εἴρηκεν, οὕτω καὶ αὐτὸς συντρέχων φησὶν, ἐὰν ταῦθ' οὗτος ὑπ' ἀβελτερίας φανῇ πεπραγμένα. 5 οὐ γὰρ ἁπλῶς παραδέχεται τὸν παρ' Αἰσχίνου λόγον, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων μόνην ἐπίδειξιν ἐπιζητεῖ· τί γάρ; φησὶν, "εἰ ταῦθ' "ὑπὸ ἀβελτερίας ἢ δι' εὐήθειαν ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν τούτῳ "πέπρακται," ἀντὶ τῶν λόγων τὰς πράξεις ἐπιζητῶν, ἐξ ὧν αἱ ἀποδείξεις εἰσὶν ἰσχυραί. καὶ πάλιν ὀλίγον προελθὼν εἰς τὴν αὐτὴν 10 λύσιν ἐπάγει "ἀλλ' ὑμεῖς ἄφετε Αἰσχίνῃ τὰ δεινὰ ταῦτα καὶ ὑπερ- "βάλλοντα, ἂν δι' εὐήθειαν ἢ δι' ἄλλην ἄγνοιαν λελυμασμένος "φανῇ." T.C.V.

372, 24. ἐγὼ δὲ, ὦ ἄνδρες] ἰστέον ὅτι ἐκλείπει ἡ πιθανὴ ἀπολογία. A.R.T.P. 15

372, 27. ωστε εἰ ταῦθ' ὑπὸ ἀβελτερίας] ἐπὶ τὸ χρῶμα τὸ κυριώτερον ἔρχεται λοιπὸν, ὅ ἐστι πρὸς τὰ σημεῖα τοῦ Αἰσχίνου, ἃ ἐστιν ἐν οἷς ἀπήγγειλε, πρὸ δὲ τῆς θέσεως διαβάλλει, ὡς ἔθος, σαθρότερα οὕτω ποιῶν. T.C.V.

373, 9. ἐὰν δ' ἀποτυγχάνῃ] σημείωσαι· περὶ τοῦ μὴ ἔχειν 20 ἄδειαν τὸν κριτὴν λέγειν ἔλαθέ με ἐν οἷς ψηφίζεται. Y.P.

373, 10. οὐ γὰρ ἂν ἐξαρκέσειεν] οἷον λέγε Φωκεῦσι τὴν ἄγνοιαν, καὶ στῆσον τὰς συμφορὰς, ὁμολόγει τὴν ἀβελτερίαν. T.C.V.

373, 17. ἂν μέντοι διὰ πονηρίαν] ἕως ὧδε ἐπλήρωσε τὸν πρῶτον στοχασμὸν, καὶ ἄρχεται ἐντεῦθεν τοῦ δευτέρου· δείξας γὰρ ἐν τῷ 25 πρώτῳ ὅτι ἀπώλεσε Φωκέας, καὶ ἐλθὼν ἕως τοῦ χρώματος, ἐμπεσόντος ἄλλου ζητήματος, ὅτι διὰ δῶρα ταῦτα ἐποίησας, τοῦτο μεταχειρίζεται. A.—V.

3. ὅτι] ὅτι ἔτι V.
ἀβελτερίαν] Scribebatur ἀβελτηρίαν per η hic et infra.
4. εἴρηκεν, οὕτω καὶ αὐτὸς] εἴρηκεν τούτῳ καὶ εἰς τὴν αὐτὴν λύσιν καὶ αὐτὸς W.
5. οὗτος] οὕτως V.
6. παρ'] κατ' C., non G.
7. μόνην] μόνον V.
11. ἐπάγει] ἐπανάγει W.
14. ἰστέον ὅτι om. P.
18. σαθρότερα] τὰ σαθρότερα C.G.
20. σημείωσαι om. P.
21. τὸν κριτὴν] αὐτὸν κριτὴν P.
26. ἐλθὼν] διελθὼν T.C.V.
27. ἐποίησας] ἐποίησεν W.
τοῦτο μεταχειριζεται add. P.

373, 18. ἀργύριον λαβὼν καὶ δῶρα] ὁρᾷς ὅπως ἀπὸ τοῦ χρώματος δεύτερον ἀναφαίνεται ζήτημα τὸ περὶ τῆς δωροδοκίας; ὁ μὲν γὰρ ἐρεῖ ὡς ἠπάτηται, ἡμεῖς δὲ ἀποδείνυμεν ὡς ἑκὼν εἴρηκεν, ἀπατῆσαι διὰ τὴν μισθαρνίαν ἑλόμενος. T.C.V.

373, 21. σκοπεῖτε δὴ] ἐντεῦθεν ἀποδεικτικῶς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἄρχεται. P.

373, 22. ὡς δίκαιος ἔσται μεθ' ὑμῶν] ὁ νοῦς οὕτως, σκοπεῖτε μεθ' ἡμῶν ὡς δίκαιος ἔσται ὁ ἔλεγχος. ἐὰν δὲ ᾖ μεθ' ὑμῶν, μένει ὡς ἔχει τὸ ῥητὸν, ἵνα ᾖ, ὁ ἔλεγχος δίκαιος ἔσται μεθ' ὑμῶν· καὶ ὑμεῖς γὰρ δίκαιοι. ἐντεῦθεν δὲ προσπλέκει καὶ τὸν δεύτερον στοχασμόν· ἐὰν δῶρα μὲν λαβὼν φανῇ, φανήσεται οὐδαμῶς ἐξηπατημένος· "ἂν μέντοι διὰ πονηρίαν ἀργύριον λαβὼν καὶ δῶρα, καὶ "τοῦτ' ἐξελεγχθῇ σαφῶς ὑπ' αὐτῶν τῶν πεπραγμένων." ἐπειδὴ γὰρ οὐκ ἔχει μάρτυρας οὐδ' αὐτὸς παρασχέσθαι τῆς δωροδοκίας, ἀξιοῖ διὰ τῶν πεπραγμένων ἐξελέγχειν ὅτι ἠπατήθη. ἐντεῦθεν δὲ ἐπὶ τὰς ἀποδείξεις χωρεῖ λοιπὸν καὶ τὰς λύσεις τοῦ μηδαμῶς Αἰσχίνην ἐξηπατῆσθαι. λέγομεν δὲ πολλάκις ὅτι πᾶν χρῶμα ἐκ τῆς τοῦ ἀκολούθου ἀπαιτήσεως λύεται. εἰ ἐξηπατήθη, ἀναγκαῖον ἦν αὐτὸν μισεῖν τὸν ἐξηπατηκότα· ἀλλὰ μὴν οὐ μισεῖ τὸν Φίλιππον, οὐκ ἄρα ἐξηπατήθη. διαιρεῖ δὲ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους εἰς αἰτίας διττάς. εἴρηκας, Αἰσχίνη, ἢ αὐτὸς πιστεύσας τῷ Φιλίππου τρόπῳ, ὅτι Φωκέας σώσει, ἢ διαρρήδην ἀκούσας τοῦ Φιλίππου λέγοντος. εἰ μὲν οὖν ἐκεῖνος ἐξηπάτησε, δίκαιος ὑπὸ σοῦ μισεῖσθαι· εἰ δὲ αὐτὸς ἐξηπατήθης πιστεύσας τῷ Φιλίππου τρόπῳ, καὶ κατὰ τοῦτο εἶ πολεμεῖν δίκαιος· οὐ γὰρ ἐφάνη τοιοῦτος οἷον καὶ ἤλπισας. οὐκοῦν δι' ἀμφότερα ταῦτα δίκαιος ἦσθα μισεῖν. ἀλλ' οὐδεὶς ἀκήκοε λόγῳ μισοῦντά σε Φίλιππον, οὐδὲ μὴν διὰ τῶν ἔργων τοῦτο ἐπέδειξας· τοὐναντίον δὲ καὶ ὑπὲρ ἐκείνου λέγεις. πῶς οὖν ἐξηπατήθης, οὐχὶ δὲ χρήματα λαβὼν τούτους προήκω τοὺς λόγους; ἄξιον δὲ ζητῆσαι περὶ ὧν Ἑρμογένης ἐτεχνολόγησε περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους· Ἐὰν μὲν ἐν

7. οὕτως] ἐστὶν οὗτος V.
10. ὑμεῖς γὰρ] ὑμεῖς δὲ C.
15. ὅτι] ὡς V. ὡς οὐκ P.
22. σώσει W. pro σώζει.
23. ἐκεῖνος] ἐκεῖνός σε V.
24. πολεμεῖν] αὐτῷ add. P.
25. οἷον] ἁποῖον C.G.
26. ἀκήκοε—ἐπέδειξας] ἀκήκοεν οὐδὲ λόγῳ—Φίλιππον, ἐπεὶ οὐ διὰ—ἀπέδειξας V.
29. προήκω margo P. pro προσήκω.

λόγοις ᾖ, κατὰ ῥητὸν καὶ διάνοιαν λύεται, ἐὰν δὲ ἐν πάθεσι, συγγνωμονικῶς, ἐὰν δὲ ἐν ἔργοις, θετικῶς. εὑρήσομεν δὲ ἀπὸ τῶν ἐν λόγοις ὄντων οὐχ ὑγιὲς ὂν τὸ θεώρημα. ῥητὸν μὲν γάρ ἐστι τοῦ Αἰσχίνου, ὅτι σωθήσονται οἱ Φωκεῖς. τοῦτο γὰρ ἦν ὃ ὑπέσχετο. λύσις δὲ, εἰ κατὰ διάνοιαν ἦν, οὕτως ἂν εἶπε, σωθήσονται Φωκεῖς. πῶς; ἐξελθούσης τῆς πόλεως καὶ ψηφιζομένης τι χρηστὸν ὑπὲρ Φωκέων. αἱ γὰρ λύσεις τοῦ ῥητοῦ κατὰ προσθήκην τοῦ ἐμπίπτοντος γίνονται, οἷον ὡς ἐπ' ἐκείνου, ξένον μὴ ἀναβαίνειν ἐπὶ τὸ τεῖχος, τοῦτό ἐστι τὸ ῥητόν· ἡ δὲ λύσις ὀλίγον τι προσθεῖσα τῷ ῥητῷ ποιεῖ τὴν διάνοιαν, ξένον μὴ ἀναβαίνειν, λέγει τὸν κατασκοπήσαντα, τὸν ἐπὶ βλάβῃ τῆς πόλεως περιαθροῦντα καὶ περιεργαζόμενον, οὐ μὴν τὸν ἐπὶ σωτηρίᾳ ἀναβαίνοντα λέγει. ὁρᾷς ὅτι τῷ ῥητῷ ὡς λείποντι προσθεὶς λύειν τὸ ῥητὸν δοκεῖ; ἐπὶ στοχαστικοῦ πάλιν ζητήματος ἐκείνου, θαρσεῖτε, ὧ δεσμῶται, οὐκ εἰς μακρὰν λυθήσεσθε, τοῦτό ἐστι τὸ ῥητὸν καὶ δοκεῖ τὸ θεώρημα σώζεσθαι· προσθήκῃ γὰρ βραχείᾳ τινὸς δοκεῖ λύεσθαι τὸ ῥητόν. ἐνταῦθα δὲ ἐπὶ τοῦ κατ' Αἰσχίνου λόγου σωζόμενον οὐχ εὑρίσκομεν τὸ θεώρημα, ἀλλ' ἔστιν ἐνταῦθα τὸ χρῶμα μεταστατικὸν ὁμοῦ καὶ συγγνωμονικόν· ἐξαπατηθεὶς γὰρ ὑπὸ Φιλίππου λέγει ταῦτα εἰρηκέναι. οὐκοῦν εἰ μὲν ἐπὶ τὸν Φίλιππον μεθίστησι, μεταστατικόν· εἰ δὲ συγγνώμης τυχεῖν ἀξιοῖ ὡς ἐξηπατημένος, συγγνωμονικὸν γίνεται. δεῖ τοίνυν μὴ ἀνεξετάστως παραδέχεσθαι τὰ ἐν ταῖς τέχναις ὥσπερ νενομοθετημένα, ἀλλ' ἐπὶ πολλὰς καὶ διαφόρους ἄγειν ὑποθέσεις, κἂν εὕρῃς ἐφαρμόττον τὸ θεώρημα, τότε θαρρεῖν καὶ χρῆσθαι· ἐὰν δὲ ὀλίγοις μὲν ἐφαρμόττῃ, μὴ πᾶσι δὲ, δῆλον ὅτι φανήσεται οὐκ ἔχον ὑγιῶς. καὶ γὰρ οὐδ' ἐπὶ τοῦ πλάσματος τούτου σώζεται τὸ θεώρημα. πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικά. ἐν συμποσίῳ ὤμοσεν ὁ πλούσιος τυραννήσειν· ἀντώμοσεν ὁ πένης τυραννοκτονήσειν. εὕρηται νεκρὸς ἀσκύλευτος ὁ πένης ἀναχωρῶν ἀπὸ τοῦ δείπνου, καὶ κρίνεται φόνου ὁ πλούσιος. ποῖον γάρ ἐστι τὸ πρῶτον ἀπ' ἀρχῆς ἄχρι τέλους; ὤμοσε τυραννήσειν ὁ πλούσιος. οὐκοῦν τοῦτο ἐν ῥητῷ κεῖται. ἡ λύσις ἐνταῦθα οὐκ ἐκ διανοίας, ἀλλὰ συγγνω-

6. καὶ ψ. W. Aberat καί.
10. κατασκοπήσαντα] κατασκοπήσοντα T.V. soli.
14. δεσμῶται] δημόται V.
20. συγγνώμης τυχεῖν add. W. αὐτῷ συγγινώσκεσθαι add. P.
25. τούτου σώζεται] τοῦ ξένου φανήσεται V.

μονικὴ γίνεται· περὶ γὰρ μέθην εἰρηκέναι φησί. πῶς οὖν λέξομεν ἀληθῆ νομοθετεῖν τὸν τεχνικόν; ἵνα δὲ μὴ ἀπερίσκεπτον τοῦτο ὑποληφθῇ, λέγω ὅτι τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ὅσα ἐν λόγοις ἐστὶ, τὰ μὲν οὕτως εἴρηται, καὶ ἔστιν ὡς μηδεμιᾶς δεῖσθαι προσθήκης, τὰ δὲ οὕτως εἴρηται, ὥστε ἐπὶ δύο ὁδοὺς φέρεσθαι τὴν ἐξήγησιν. οἷς μὲν οὖν οἷόν τέ ἐστι προσθεῖναι ὡς ἐλλεῖπον, διανοίᾳ λύεται· ἃ δὲ ἀπηρτισμένην ἔχει τὴν διάνοιαν, ταῦτα ἢ μεταστατικῶς ἢ συγγνωμονικῶς λυθήσονται. τῶν δὲ συγγνωμονικῶν ἐστι καὶ ὁ ἔρως καὶ ἡ ἄγνοια καὶ ἡ μέθη καὶ εὐήθεια καὶ ἀβελτερία, καὶ ὅσα τοῦ γένους ἐστὶ τούτου· ἡ γὰρ συγγνώμη ἀπὸ τῶν παθῶν χαρακτηρίζεται τῆς ψυχῆς. ἐπειδὴ δὲ πολλάκις ἀναμεμιγμέναι εὑρίσκονται αἱ ἀντιθέσεις ἐν τῷ αὐτῷ ζητήματι, καὶ συγγνωμονικὴ καὶ μεταστατικὴ, ἀπὸ τῆς πρώτης δεῖ χαρακτηρίζειν τὸ ζήτημα. ἐὰν μὲν γὰρ ἡ συγγνωμονικὴ πρώτη, συγγνωμονικὸν ποιεῖ τὸ ζήτημα· ἐὰν δὲ ἡ μεταστατικὴ, μεταστατικόν· ἐπεί γε εἰς τύχην μεταφέρων ὁ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου τὸ πταῖσμα μεταστατικῶς ἀπολογεῖται, καὶ οὐ δύναται ὑπεύθυνον γενέσθαι ἡ τύχη, ὥς φησιν ὁ Ἑρμογένης. ἐνταῦθα δὲ τὴν ἄγνοιαν ὡς λύσιν λαβὼν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἠγνόησα γὰρ, φησὶ, τὸν Φιλίππου τρόπον, συγγνωμονικῶς λύει· εἰ μὲν ὄντως ἠγνόησας ἢ ἐξηπατήθης, συγγνώμης ἀξιωθήσῃ. ἐπεὶ καὶ τὴν ὀργὴν ἐν τῷ κατὰ Μειδίου πάθος οὖσαν τῶν περὶ τὴν ψυχὴν, συγγνωμονικῶς ἔλυσεν· "εἰ μὲν δι' ὀργὴν ταῦτα πεποίηκε Μειδίας," καὶ ἑξῆς. ἐπανέλθωμεν δὲ ἐπὶ τὸ προκείμενον. οὐκοῦν ἡ λύσις τοῦ χρώματος εἰσάγει τὴν βούλησιν· καὶ τίνα τρόπον; "ἂν μέντοι διὰ πονηρίαν "ἀργύριον λαβὼν καὶ δῶρα," καὶ πάλιν ἐφεξῆς, διότι "οὐ παρα-"κρουσθεὶς οὐδὲ ἐξαπατηθεὶς, ἀλλὰ μισθώσας αὐτὸν καὶ λαβὼν ἀρ-"γύριον, ταῦτα εἶπε καὶ προὔδωκεν ἐκεῖνος." ἐλέγομεν δὲ ἀρχόμενοι τοῦ λόγου ὅτι ἤρξατο μὲν καὶ τῆς βουλήσεως ἐν τῷ κεφαλαίῳ τῷ περὶ τῆς δυνάμεως· τὴν δὲ πλείονα ἐργασίαν ἐτήρησεν ἐν τῷ δευτέρῳ στοχασμῷ· ἡ γὰρ βούλησις γέγονε μεταξὺ τῶν δύο στοχασμῶν, λύουσα μὲν τὸ χρῶμα, εἰσάγουσα δὲ τὸν δεύτερον στοχασμόν. εἰσάγει δὲ αὐτὸν ἀπὸ τῆς αἰτίας, εἰπὼν ὅτι "μισθώσας αὐτὸν καὶ λαβὼν

1. περὶ] παρὰ C.G.
4. τὰ δὲ οὕτως εἴρηται W. pro τὰ δὲ οὕτω τηρεῖται V.
13. γὰρ ἡ—δὲ ἡ] γὰρ ἢ—δὲ ἢ V.
17. ὑπεύθυνον] ὑπεύθυνος V.
23. δὲ ἐπὶ] τοίνυν ἐπὶ C.G.
25. ἐφεξῆς] ἑξῆς C.G.

"ἀργύριον προὔδωκεν ἐκείνῳ." ἡ γὰρ αἰτία ἐνταῦθα ζητεῖται, διὰ τί ἂν ἐβουλήθη ὁ Αἰσχίνης τὸν δῆμον ἐξαπατῆσαι. τὸ δὲ μέγιστον τῶν ἐν βουλήσει ἔστιν ἡ αἰτία· δεῖ γὰρ πανταχοῦ βούλησιν ἐξετάζοντα τὴν αἰτίαν ζητεῖν· ὡς ἂν ἐξέλῃς τὴν αἰτίαν τῆς βουλήσεως, ἄχρηστον καὶ ἀνωφελῆ ποιήσεις τὴν βούλησιν. δι' ἣν αἰτίαν ἠβουλήθη προδοῦναι; δι' ἣν αἰτίαν ἠβουλήθη ἐξαπατῆσαι; ἵνα ἀργύριον λάβῃς, φησίν. εἶτ' ἐπειδὴ ἀντέπιπτεν ἐκ τῆς ἐργασίας, οὐ γέγονε καιρὸς ὥστε μνησθῆναι Φιλίππου, εὐκαίρως ἔλυσεν εἰπών, "καὶ μὴν ἧκον "παρ' ὑμῶν ἔναγχος Ἀμφικτύονα ψηφίσασθαι." ὅτε τοσοῦτον ἀπέσχες ἀντειπεῖν, ὥστε καὶ συναγωνίσασθαι προείλου. ἄχρι μὲν τούτου ἔστι τὰ τῆς βουλήσεως, κοινά τε ὄντα τῆς λύσεως τοῦ χρώματος καὶ εἰσακτικὰ τοῦ περὶ τῶν δώρων ζητήματος. ἐπισημήνασθαι δὲ ἄξιον ὃ περὶ τῶν ἐμπιπτόντων εἰώθασιν αἱ τέχναι λέγειν. λέγουσι γὰρ ὅτι τὸ χρῶμα ποιεῖ τὸ δεύτερον ζήτημα. αὐτὸ γὰρ τὸ χρῶμα οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ εἰσαγόμενον ζήτημα. ἐνταῦθα δὲ εὑρίσκεται ἄλλο μὲν τὸ χρῶμα, ἄλλο δὲ τὸ ἀγωνιζόμενον ζήτημα. χρῶμα μὲν γάρ ἐστιν, ὅτι ἐξαπατηθεὶς ὑπὸ Φιλίππου ταῦτα εἴρηκα· ἡ δὲ λύσις, ὅτι οὐκ ἐξαπατηθεὶς ταῦτα εἴρηκας. εἰ γὰρ ἐξηπατήθης, καὶ ἐμίσησας ἂν Φίλιππον. ἀλλὰ μὴν οὐκ ἐμίσησας, οὐκ ἄρα ἐξηπατήθης· δῶρα δὲ λαβὼν εἴρηκας. καὶ αὕτη εὑρίσκεται ἡ αἰτία δι' ἣν ἐξηπάτησας. ἡ αἰτία οὖν γέγονεν ἐνταῦθα ὁ δεύτερος στοχασμός, εἰ δῶρα εἴληφα, παράσχου μάρτυρας, ὦ Δημόσθενες. καὶ γίγνεται ἐνταῦθα ἐμπῖπτον ζήτημα. εἰ δὲ μὴ συντρέχει ταῖς νῦν τέχναις ὁ τοῦ ῥήτορος λόγος, οὐ τὰς τέχνας δεῖ κυριωτέρας ἡγεῖσθαι τῶν Δημοσθένους λόγων· τοὺς γὰρ ἀρχετύπους νομοθέτας ὑπολαμβάνειν δεῖ, οὐ τοὺς παρ' αὐτῶν μικρὰ λαμβάνοντας. δεῖ οὖν ἐπὶ τὸν ῥήτορα καταφεύγειν. καὶ γὰρ ἐν τῷ τοῦ ἀσώτου προβλήματι καθολικῶς Ἑρμογένης ἡμῖν ἀποφαίνεται μὴ οἷόν τε εἶναι ἁπλοῦν στοχασμὸν ἄνευ πραγμάτων, ἄντικρυς Ἰσοκράτους ἡμῖν ἐν τῷ πρὸς Εὔθυνον τἀναντία νενομοτεθηκότος. T.C.V.

373, 26. δυοῖν θάτερον] οἱ εἰρημένοι λόγοι, φησὶ, παρὰ σοῦ ἐν ταῖς ἐπαγγελίαις δι' ἕτερον τῶν δύο πάντως ἐλέχθησαν· ἢ γὰρ φα-

8. εἰπών] p. 374, 29.
9. ψηφίσασθαι] ψηλαφήσασθαι T. ψηλαφίσασθαι ceteri.
ὅτε W. pro ὥστε.
10. ἀντειπεῖν P. εἰπεῖν T.C.V. μὲν] μὲν οὖν V.
20. ἐξηπάτησας] ἐξηπάτησεν T.D. ἐξηπάτησας C.G.

νερῶς εἰπόντος τοῦ Φιλίππου, σώσω Φωκέας καὶ ἀπολῶ Θηβαίους, ἀκούσας καὶ πιστεύσας ἀπήγγειλας· ἢ πρᾷον αὐτὸν καὶ φιλάνθρωπον ἐν τοῖς ἄλλοις ἰδὼν ἤλπισας καὶ ταῦτα ποιήσειν αὐτὸν καὶ θαρσήσας ὑπέσχου. οὐκοῦν ἐξ ἀμφοτέρων ἀποτυχὼν μισεῖν ὀφείλεις τὸν Φίλιππον, ὅτι οὔτε τοὺς λόγους οὓς εἶπεν ἐβεβαίωσεν, οὔτε τὰς 5 ἐλπίδας ἃς ἔσχες ἐπλήρωσεν. ἀλλὰ μὴν φαίνῃ καὶ ἐπαινῶν αὐτὸν καὶ θαυμάζων· καὶ οὐ δύνασαι εἰπεῖν ὡς ἠπάτησαι. T.C.V.

ἡ σύνταξις. ἔστι δὲ τὸ νόημα παραγραφικὸν τοῦ δευτέρου στοχασμοῦ. ἐκ γὰρ τῶν παραλελειμμένων αὐτῷ παραγράφεται, ἐξ ὧν ἔδει αὐτὸν ποιῆσαι καὶ οὐκ ἐποίησεν. A.R.T. 10

374, 8. εἰσαγγελίᾳ] εἰσαγγελία ἐστὶ τὸ παρέχειν εὐθύνας ὡς ὑπὲρ καταλύσεως τοῦ δήμου. A.R.T.

374, 13. ἀλλὰ πάντες Ἀθηναῖοι πρότερον κατηγοροῦσι Φιλίππου] ἵνα μὴ εἴπῃ τις, ἀλλὰ καιρὸς οὐκ ἦν τοῦ κατηγορεῖν. T.C.V.

374, 15. ἰδίᾳ] ἀσφαλῶς εἶπεν ἰδίᾳ. ἠδίκηνται γὰρ κοινῇ πάντες 15 οἱ Ἀθηναῖοι νῦν παρ' αὐτοῦ, οὐ μέντοι ἰδίᾳ, ἀλλὰ γενικῶς. A.R.T.

ἐγὼ δὲ ἐκείνους] οὗτος καὶ ἰδίᾳ ἀδικηθεὶς οὐδ' οὕτως κατηγόρει. P.

374, 17. ἐμοὶ μὲν χρήσασθε] τῶν ἰσούντων διαλύει τὴν ἁρμονίαν. τὸ γὰρ ἠθικὸν οὐκ ἐθέλει τὴν τῆς λέξεως εὐρυθμίαν ἐνδύεσθαι. 20 T.C.V.

374, 27. τρὶς] ἀντὶ τοῦ πολλάκις. ἔστι γὰρ ἀρχαϊσμὸς, ὡς παρὰ τῷ ποιητῇ "τρὶς μάκαρες Δαναοί." A.R.T.

375, 7. καὶ τοὺς μὲν Φωκέας οὐκ ἀπολεῖν] πρὸς τῷ μὴ σῶσαι Φωκέας καὶ Θεσπιὰς, ὡς ὑπέσχετο, καὶ ἄλλα ἠδίκησεν. προσεξηνδραπόδισε γὰρ τὸν Ὀρχομενὸν καὶ τὴν Κορώνειαν, ὅπερ πάλιν συνέφερε Θηβαίοις, ἐπειδὴ αὗται ἦσαν αὐτῶν ἀφεστηκυῖαι. A. 25

375, 12. προσεξηνδραπόδισται] οὐ γὰρ μόνον φάσκει μὴ γεγενῆσθαι ἃ ὑπέσχετο, ἀλλὰ καὶ προσθήκας ἐπεισάγει κακῶν, ἐπὶ μὲν Θηβαίων εἰπὼν τὸ, "μείζους ἢ προσῆκε πεποίηκεν," ἐπὶ δὲ Θεσπιέων 30 Ὀρχομενὸν καὶ Κορώνειαν ὅτι προσαπώλεσεν. T.C.V.

23. τῷ ποιητῇ] Hom. Od. E, 306.
24. πρὸς τῷ] πρὸς τὸ A.R.
25. Θεσπιὰς] θεσπειὰς R.
προσεξηνδραπόδισε] καὶ ἐξηνδραπόδισε T.
26. πάλιν] πάλαι R.
30. πεποίηκεν] ἐπὶ δὲ Φωκέων ὅτι πανωλεθρίᾳ διεφθάρησαν add. W.
Θεσπιέων] ὅτι οὐ μόνον οὐ συνῳκίσθησαν, ἀλλὰ καὶ add. W.

375, 21. ἐνδεικνύμενος τοῖς πρέσβεσι] ὅλην ἀπογυμνῶν τὴν προαίρεσιν ἐκ τῶν λόγων. T.C.V.

375, 24. αὐτὸς, οἶμαι] ἐν ἤθει τοῦτο ἀναγνωστέον. A.T.P.

375, 25. ἔτι τοίνυν] Μενάνδρου· ἐντεῦθεν ἄρχεται τῆς τῶν μαρτύρων συστάσεως τῆς περὶ τῶν δώρων. Ἀσκληπιοῦ· ἐπὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν χωρεῖ τοῦ δευτέρου ζητήματος. B.F.S.Y. εἰσβάλλει εἰς τὴν τῶν ἐλέγχων ἀπαίτησιν. βούλεται δὲ εἰπεῖν ὅτι, εἰ μὴ ἦν τὰ πράγματα καταμαρτυροῦντα αὐτοῦ, βασάνους καὶ τὰ τοιαῦτα. A.—V.

ἔτι τοίνυν] ἐπὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν χωρεῖ τοῦ δευτέρου ζητήματος. ὡς δὲ Αἰσχίνου τοὺς μάρτυρας ἀπαιτήσαντος, οὕτως ἀπήντησεν, Εἰ μηδὲν μηδένα εἴχομεν δεῖξαι τῶν πρέσβεων ἔχοντα, τῶν οἰκετῶν ἔδει βασανίσαι τινάς. τῆς τῶν μαρτύρων συστάσεως ἐντεῦθεν ἄρχεται, τῆς περὶ τῶν δώρων λέγω. καὶ ζητοῦμεν τί δήποτε ἐνταῦθα μέλλων μεταβαίνειν ἀπὸ στοχασμοῦ ἐφ' ἕτερον στοχασμὸν, οὔτε ἐπελογίσατο οὔτε προοιμίῳ κατεχρήσατο ἀρχόμενος δευτέρου ζητήματος, ἀλλὰ συνῆψεν οὕτως ὥστε δὶς διάκριτον δοκεῖν εἶναι τὴν εἴσοδον, καίτοι εἰωθὼς τοῦτο ποιεῖν. καὶ φαμὲν ὅτι ἔνθα μὲν διῄρηται τὰ πράγματα ἀπὸ τῶν πραγμάτων, ἐκεῖ καὶ ἐπιλογίζεται καὶ προοιμιάζεται, ἔνθα δὲ συμπλοκή τίς ἐστι καὶ οὐκ ἔστιν ἁπλῆ ὑπόθεσις, ἐκεῖ συμπλέκει καὶ τὰ κεφάλαια καὶ τὰ πράγματα. ὃ δὴ καὶ δείκνυσι μὴ ἁπλοῦν εἶναι στοχασμὸν τὸν παρόντα λόγον, ὥς τινες ᾠήθησαν. ἐπεὶ γὰρ ὁ ἐμπίπτων πρὸς ἀπόδειξιν τοῦ προτέρου λαμβάνεται, διὰ τοῦτο οὐχ ἡγήσατο καιρὸν εἶναι διελεῖν τὴν ἑκάστου ἀπόδειξιν, τοὐναντίον δὲ καὶ συνάψαι τῷ δευτέρῳ τὰ πρότερα. ἡ γὰρ ἐπαγωγὴ τοῦ ἐμπίπτοντος ἀπόδειξις γέγονε τοῦ ἑκόντα αὐτὸν ἐξαπατῆσαι. γίνεται δὲ ἐμπῖπτον, διότι καὶ τελείαν ἐργασίαν ἐπεδείξατο ἀπὸ τοῦ χρώματος ἀναφύεσθαι, ἀλλ' οὐ πάντως αὐτὸ τὸ χρῶμα γίνεται δευτέρου ζήτημα. ἔθος δὲ τῷ Δημοσθένει καὶ πρὸ τῶν ἀντιθέσεων τιθέναι λύσιν καὶ μετὰ τὰς ἀντιθέσεις. ὅρα γὰρ πῶς ἄντικρυς λύσις ἐστὶ τῆς τῶν ἐλέγχων ἀπαιτήσεως. ὡς γὰρ Αἰσχίνου τοὺς μάρτυρας ἀπαιτοῦντος ἀπήντηκεν, εἰ μὲν μηδένα μηδὲν ἔχοντα

3. τοῦτο om. T.
4. Μενάνδρου om. S.Y. Sed conf. schol. ad p. 342, 11.
8. τοιαῦτα] ὑπόλοιπον ἦν σκοπεῖν add. P. ex p. 375, 27.
12. τῶν πρέσβεων ἔχοντα add. P.
17. δὶς διάκριτον W. pro δισδιάκριτον (sic).

εἴχομεν δεῖξαι τῶν πρέσβεων εἰληφότα, τινὰς τῶν οἰκετῶν ἔδει βασανίζειν. οὐ γὰρ ἐξῆν ἐλεύθερον βασανίζεσθαι τότε, ἀλλ' ἢ δούλους τῆς πόλεως ἢ οἰκέτας ἰδιωτῶν. εἰ δὲ δείκνυται Φιλοκράτης εἰληφώς, τούτου δὲ φίλος Αἰσχίνης, εἴληφεν ἄρα καὶ μετὰ Φιλοκράτους Αἰσχίνης. ἐπειδὴ γὰρ καὶ αὐτὸ τοῦτο στοχαστικὸν ἐγίνετο ζήτημα, εἰληφότος Φιλοκράτους καὶ Αἰσχίνης εἴληφεν, ἐνδιατρίβει τῷ μέρει τούτῳ, συνιστὰς ἐκ τῆς πάνυ φιλίας καὶ τῆς πολλῆς οἰκειότητος εἰληφέναι τὸν Αἰσχίνην· καὶ διὰ τοῦτο καὶ ἀπὸ τῶν ἐναντίων ἐξετάζει. οὐ μόνον γὰρ ἀπὸ τῆς οἰκειότητος, ἀλλὰ καὶ ἀπὸ τοῦ ἐξὸν διαμαρτυράμενον τῆς τοιαύτης ὑποψίας αὐτὸν ἀπολύσασθαι, οὐκ ἐποίησε τοῦτο παρελθών, καίτοι καλοῦντος αὐτὸν τοῦ ῥήτορος. λέγει γοῦν, οὐ τοίνυν παρῆλθεν Αἰσχίνης οὐδ' ἔδειξεν αὐτόν, ἵν' ἀπ' ἀρχῆς ἄχρι τέλους γένηται τὰ ἀπὸ τῶν πεπραγμένων καὶ ἀπὸ τῶν παρειμένων, ὅτι σύνεστιν ἀεὶ τῷ Φιλοκράτει. καὶ τοῦτο μὲν ἀπὸ τῶν πεπραγμένων· ἀπὸ δὲ τῶν παρειμένων, ὅτι καλούμενος οὐχ ὑπήκουεν. εἶτ' ἐπειδὴ καὶ τοῦτο κοινὸν ἦν—οὐδὲ γὰρ ἄλλος οὐδεὶς κατεμαρτύρησε Φιλοκράτους—, τοῖς μὲν ἄλλοις συγγνώμην ἔχει, Αἰσχίνην δὲ οὐκ ἀφίησι τοῦ ἐγκλήματος, λέγων, "καὶ τῶν μὲν ἄλλων ἑκάστῳ "ἔστι τις πρόφασις, τούτῳ δὲ οὐδὲν τούτων." ἐν τούτῳ τῷ μέρει καὶ φανερῶς ἐμνημόνευσε Φρύνωνος, ἀμφότερα διὰ τοῦ αὐτοῦ θεωρήματος διοικούμενος, καὶ τὸ μὴ προσκροῦσαί τισι τῶν πρέσβεων καὶ τὸ ἐπαγαγέσθαι. ἐὰν μὲν γὰρ προσκρούσῃ, παροξυνεῖ καὶ προάξεται εἰς λοιδορίαν, καὶ διὰ τούτου συστήσει μὴ κεκοινωνηκέναι τῆς δωροδοκίας αὐτοῖς· ἐὰν δὲ ἐπαγάγηται, ἕξει καταμαρτυροῦντας Αἰσχίνου, ὅπερ καὶ βούλεται καὶ τοῦτο διὰ παντὸς διοικεῖται τοῦ δευτέρου στοχασμοῦ. ἐπιμένει δὲ τῷ κατὰ Φιλοκράτους λόγῳ, βουλόμενος κατὰ πλείονα εἴδη τῶν ἐπιχειρημάτων καὶ τὴν σύστασιν ἐργάσασθαι τῆς δωροδοκίας. T.C.V.

376, 1. πυροπωλῶν] τὸν σῖτον πωλῶν. P.

ξυληγῶν] ξύλα λέγων. P.

376, 2. τὸ χρυσίον] ὅπερ εἴληφεν ἐκ Μακεδονίας ἀπὸ τοῦ Φι-

10. ἀπολύσασθαι W. pro ἀπολύσεσθαι.

22. γὰρ addidit W.

23. συστήσει W. στήσει T.D. στήσῃ C.G.V.

δωροδοκίας margo P. λοιδορίας libri.

26. κατὰ W. pro περί.

31. τὸ χρ. ὅπερ] τὸ δὲ χρ. ὅπερ T.C.V. qui hoc scholion habent post τοιαῦτα p. 392, 8.

τοῦ om. T.C.V.

λίππου ἀντικατήλλασεν εἰς Ἀττικὰ νομισμάτια, ἵνα ἔχῃ ταῦτα ἀναλίσκειν εἰς αὐτὰς τὰς Ἀθήνας. T.C.V.

376, 9. πρὸς δ' ἐκεῖνον ἐλθὼν] προσχωρήσας δὲ τῷ Φιλοκράτει καὶ μετ' αὐτοῦ γεγονώς. T.C.V.

376, 19. εἰ μόνος Φιλοκράτης] ὅτι Φιλοκράτης μόνος ἐστὶν αἴτιος τῶν τοιούτων κακῶν, ἄλλος δὲ οὐδείς. P.

376, 28. μηδὲ ἀρέσκειν αὐτῷ] δελεάζει πρὸς τὸ μαρτυρῆσαι τοὺς πρέσβεις ἁπλούστερον ὁ ῥήτωρ εἰπών. οὐδὲν γὰρ μέγα καὶ ἄτοπον λέγειν ὡς οὐκ ἀρέσκει μοι. T.C.V.

377, 1. ἀφίημ' ἔγωγε] ὅρα τοῦ ἀξιώματος τὸ μέγεθος, εἴ γε αὐτὸς ἀντὶ τῆς πόλεως ἀποφαίνεται. T.C.V.

377, 5. ὁ μὲν οὐχ ὑπεύθυνος] ἀντὶ τοῦ ἐγὼ ὁ Δημοσθένης, ἀλλ' ἢ σὺ δῆλον ὁ Φιλοκράτης. P.

ὁ δ' οὐχὶ παρῆν] εἷς τῶν πρέσβεων, τοὔνομα Ἰατροκλῆς, οὐ παρῆν. A.R.T.

τῷ δὲ κηδεστὴς ἦν ἐκεῖ] πολλὴ καὶ δριμύτης καὶ σωφροσύνη. δι' ὧν μὲν γὰρ ἀπολογεῖται καθάπτεται, τῷ δὲ κρύπτειν τὴν αἰσχύνην καρτερεῖ γαμβρὸν αὐτοῦ εὐφήμως ἀποκαλῶν τὸν Φίλιππον διὰ τὸν υἱόν. T.C.V.

τῷ δὲ] τῷ Φρύνωνι λέγει. οὗτος γὰρ κηδεστὴν ἐποιήσατο ἑαυτῷ τὸν Φίλιππον, ἐκδοὺς ἑαυτοῦ υἱὸν τῷ Φιλίππῳ. A.R.T.

377, 6. τούτῳ δ'] Αἰσχίνῃ. P.

377, 11. οὐδ' ἀφιέντων ἀφίησιν] οὕτως οὐ βούλεται κατὰ Φιλίππου λέγειν ὥστε ζημίαν ἡγεῖται τὸ μὴ συνηγορεῖν αὐτῷ. κἂν γὰρ ὑμεῖς ἀφῆτε αὐτόν, ἀνεύθυνος εἶ, φάσκοντες, μὴ πολιτεύου, ἀπαλλάττου, οὐκ ἀφίσταται ὑμῶν. T.C.V.

οὐδ' ἀφιέντων ἀφίεται] ὅτι κἂν ὑμεῖς αὐτὸν ἐάσητε τῆς τιμωρίας, αὐτὸς οὐκ ἀφίσταται τῆς Φιλίππου φιλίας. A.R.T.

377, 14. καίτοι, τίς] ἡ τῶν ἐλέγχων ἀπαίτησις ἐνταῦθα πάλιν. A.R.T.P.

1. Ἀττικὰ] ἀττικὴν T.C.V.
2. αὐτὰς τὰς Ἀθήνας] τὴν ἀττικὴν αὐτὴν G.G.
8. ὁ ῥήτωρ addidi ex T. solo.
9. λέγειν W. pro λέγει. Verba οὐδὲν—λέγειν ὡς absunt ab C.G.
12. ἀντὶ τοῦ—Δημοσθένης habent etiam A.R.T. In A. omissum ὁ.
17. τῷ δὲ T. τὸ δὲ ceteri.
18. καρτερεῖ] σωφρονεῖ W. ἀποκαλῶν] ἀποφαίνων C.G.
24. ὥστε add. P.
29. ἐνταῦθα πάλιν] κατ' ἀντίθεσιν T.P.

377, 22. βοᾷ] μικροῦ καὶ φωνὴν τοῖς πράγμασι περιέθηκεν ἔμψυχον ποιῶν τὸν λόγον. B.F.R.S.Y.T.C.V. καὶ τὸ συνεχῶς δὲ τὸ πλῆθος τῶν ἀποδείξεων ἐμφαίνει. T.C.V.

377, 25. καὶ τίς μου καταμαρτυρεῖ, φησὶν] ἐν βαρύτητι κεῖται οὕτως. ὡς τῆς ἀποδείξεως δὲ τῆς διὰ τῶν πραγμάτων ἐλεγχούσης 5 εἰληφότα, ἐν ἤθει τὴν ἀντίθεσιν εἰσήγαγε. καὶ τούτων οὕτω δεικνυμένων, φησὶ, τολμᾷ λέγειν, "καὶ τίς μου καταμαρτυρεῖ δῶρα λα-"βεῖν;" ἡ λύσις δὲ κατὰ ἀντεξέτασιν τῶν πραγμάτων τε καὶ ῥημάτων· τίνα τούτων ἀξιοπιστότερα; δῆλον ὅτι τὰ πράγματα. T.C.V. 10

377, 26. τοῦτο γάρ ἐστι τὸ λαμπρὸν] ἢ ὅτι τοῦτο ὡς μέγα καὶ λαμπρὸν Αἰσχίνης προτείνει, ἢ ὅτι τὸ φανερῶς σε πλέον ἐλέγχον, τοῦτό ἐστιν. T.C.V.

378, 2. πρὸς δὲ τοῖς πράγμασιν] σημείωσαι· κλητικὴ περίοδος, μέρος πνεύματος, ὡς ἀποστροφὴν ἐργαζόμενον καὶ καταφοράν. B.Y.P. 15

378, 3. ἀπόκριναι] δύο βήματα ἦν, τοῦ κατηγόρου καὶ τοῦ ἀπολογουμένου, καὶ τοῦ ἑνὸς λέγοντος ἐκαθέζετο ὁ ἕτερος, ἕως οὗ εἴπῃ. τὸ δὲ ἀπόκριναι εἰπὼν οὐκ ἀπέδωκεν, ἀλλ' εὐθὺς πρὸς ἄλλο ἐτράπη. λέγομεν ὅτι πρὸς τὸ ἀνώτερον κῶλον ἀπέδωκεν οἷον· τίς ἡ πρόνοια αὕτη ἡ ὑπὲρ τοῦ Φιλοκράτους; A.R.T. 20

ἀπόκριναι γὰρ δεῦρο] ἢ πρὸς τὸ ἀνωτέρω ἔχει τὴν ἀναφορὰν τοῦτο, ἢ ὅτι τῶν ἄλλων πρέσβεων ἐχόντων πρόφασιν σὺ οὐδεμίαν ἔχεις τοῦ μὴ ὑπακοῦσαι· ἐπεὶ ἀπόκριναι, διὰ τί οὐχ ὑπήκουσας καλούμενος; τὸ δὲ ἀναστὰς, ἐπειδὴ εἰς τὸ ἕτερον βῆμα ὁ κρινόμενος ἐκαθέζετο, ἕως ἂν πληρώσῃ τὸν λόγον ἐπὶ τοῦ ἑτέρου βήματος ὁ 25 κατήγορος. ἢ πρὸς τὸ νῦν ἀπόκριναι εἰρημένον. ἀπόκριναι ὅτι οὐ τὰ πράγματά ἐστι τῶν μαρτύρων πιστότερα. T.C.V.

1. μικροῦ] δὲ add. V., δεῖν P.
τοῖς πράγμασι περιέθηκεν] περιῆψε τοῖς πράγμασιν B.
2. ποιῶν τὸν λόγον] τὸν λόγον ποιῶν T.C.V.
8. τε καὶ ῥημάτων add. W.
14. σημείωσαι om. Y.P.
15. ἐργαζόμενον] ἐργαζομένου P.
καταφοράν] καταφορὰν, διότι κατηγόρησεν—ἑταιρικότος P. quæ sunt ex scholio ad p. 378, 5.
17. εἴπῃ] εἴποι T.
20. ὑπὲρ] ἀπὸ R.
τοῦ om. T.
21. πρὸς τὸ] τὸ om. V.
24. ὁ κρινόμενος W. pro τοῦ κρινομένου.
27. ἐστι] εἰσι V.

378, 5. ὃς γὰρ ἀγῶνας] διὰ Τίμαρχον λέγει, διότι κατηγόρησεν αὐτοῦ, γέροντος ἀνδρὸς, ὡς ἡταιρηκότος. A.R.T.

ἀγῶνας καινοὺς] παράδοξος γὰρ ὁ κατὰ Τιμάρχου ἀγών· ἐπειδὴ σχεδὸν γεγηρακότος αὐτοῦ λοιπὸν περὶ τῆς ἑταιρήσεως κατηγόρησεν, ἐάσας τὴν νέαν ἡλικίαν τὴν ὕποπτον. ἄνω δ' εἰπὼν τίνος ἕνεκα καλούμενος, ὅτε Ὑπερίδης τὴν εἰσαγγελίαν ἐποιεῖτο, οὐχ ὑπήκουσας, ἐπειδήπερ ἀντέπιπτεν, Οὐ γὰρ ἐσκέμμην οὐδ' ἑτοίμως ἔχω λέγειν, τὴν αἰτίαν· ἐξεῖλεν εἰπὼν, "ὃς γὰρ ἀγῶνας καινοὺς, ὥσπερ δράματα, "καὶ τούτους ἁμαρτύρους, πρὸς διαμεμετρημένην τὴν ἡμέραν αἱρεῖς "διώκων." τὸ δὲ ὥσπερ δράματα διὰ τὸ εἶναι ὑποκριτὴν εἶπεν, οἱονεὶ πλάσματα. εἰσάγονται γὰρ κἀκεῖ ὥσπερ ἐπὶ τῆς σκηνῆς καινὰ δράματα. τὸ δὲ "καὶ τούτους ἁμαρτύρους" ἔμφασιν ἔχει τοῦ μηδεμίαν ἀπόδειξιν ἀκριβῆ παρασχόμενον Τίμαρχον καταδικάσασθαι, χρήσιμον δὲ καὶ πρὸς τὴν παροῦσαν ὑπόθεσιν· οὐδὲ γὰρ αὐτὸς παρέχεται μάρτυρας, ἵνα τὸ ὅμοιον τῷ ὁμοίῳ παραβληθὲν τὴν ἴσην ἀξίαν παρὰ τοῖς ἀκούουσι λάβῃ. τὸ δὲ πρὸς διαμεμετρημένην τὴν ἡμέραν φησὶν, ὅτι τινὲς τῶν ἀγώνων διὰ τὸ μέγεθος λαμβάνουσιν ὅρον τὴν ἡμέραν καὶ ὕδωρ τὸ ἐξαρκοῦν. αἱρεῖς δὲ διώκων, κατηγορῶν. T.C.V.

378, 7. αἱρεῖς] ἀντὶ τοῦ νικᾷς. ὀξυτόνως ἀναγνωστέον. A.R.T.

378, 8. πολλῶν τοίνυν καὶ δεινῶν ὄντων] ἄλλο ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ τοῦτο ἐκ τῶν πεπραγμένων, καὶ ἄλλη ἀπόδειξις τῆς δωροδοκίας. B.F.R.S.Y.T.C.V. ἁμαρτάνει δέ τι περὶ τοῦτο τὸ μέρος γενόμενος, οὐκ ἐπιστήσας τῷ καιρῷ, καθ' ὃν ἡ πρεσβεία γέγονε. γίνεται γὰρ αὕτη τρίτη πρεσβεία πρὸς Φίλιππον, ὄντα ἐν Φωκεῦσιν ἤδη. συνίστησί τε διὰ τούτου τόν τε ἔλεγχον τῆς δωροδοκίας καὶ τὸ παρειμένον αὐτό. δι' ἣν γὰρ αἰτίαν οὐκ ἐφώρασε τοὺς

3. ἐπειδὴ] δὲ add. C.G.
7. Οὐ γὰρ] οὐδὲ γὰρ C.G.
9. τούτους ἁμαρτύρους] τούτους ἁμάρτυρας C.G. ταῦτα ἁμάρτυρα V.
αἱρεῖς] ἐρεῖς C.G.V.
10. ὥσπερ add. W.
13. ἀκριβῆ] ἐμφανῆ C.G.
18. αἱρεῖς codices. ἐρεῖς V.
διώκων] ὁ διώκων καὶ ὁ V.
20. νικᾷς] (νικᾷ· ὁ R.) ὀξυτόνως A. νικᾷς παροξυτόνως A. correctus a m. rec. et R.T. In textu T. duplicem habet accentum αἱρεῖς. In P. hoc scholion sic scriptum αἱρεῖς· ἀντὶ τοῦ νικᾷς· ὁ παροξυτόνως ἀναγνωστέον πώμαλα, ἀλλὰ περισπωμένως.
22. καὶ τοῦτο om. B.F.R.Y.
καὶ ἄλλη—δωροδοκίας om. S.T.C. V.

Αἰσχίνου λόγους μετὰ τὴν ἔξοδον, συνίστησιν ἐκ τοῦ τὸν Αἰσχίνην καταμεῖναι δεῦρο. T.C.V.

378, 10. δοκεῖν] ἀντὶ τοῦ φαίνεσθαι. A.R.T.P.

378, 15. καλαῖς καὶ μεγάλαις] κατ' εἰρωνείαν. A.R.T.

378, 18. ἐξωμοσάμην εὐθέως] τί διαφέρει ἐξωμοσία καὶ ὑπωμοσία; ἐξωμοσία μὲν γάρ ἐστιν ἡ παντελὴς ἄρνησις μεθ' ὅρκου, ὑπωμοσία δὲ ἡ ἔνορκος ἀναβολή, ὅταν ὀμνύῃ τις ὅτι νῦν μὲν οὐ δύναμαι τόδε ποιῆσαι, ὕστερον δὲ αὐτὸ ποιήσω. διωμοσία δὲ ἡ γινομένη ἐν τοῖς δικαστηρίοις, ὅταν ὀμνύῃ καὶ ὁ κατήγορος καὶ ὁ φεύγων· αὕτη δὲ καὶ ἀντωμοσία λέγεται. A.—V.

εὐθέως] Ἀσκληπιοῦ· τὸ εὐθέως σοφώτατα πρόσκειται· ἐπειδὴ γὰρ καὶ Αἰσχίνης ἐξωμόσατο καὶ ἰσάζει, τὸ μὲν αὐτοῦ δείκνυσιν εὐλόγως γινόμενον, τὸν δὲ Αἰσχίνην μετὰ τὸ στέρξαι κακούργως ἀρνησάμενον. B.F.A.S.Y.T.C.V. δηλοῖ δὲ ἅμα καὶ τὴν εὔνοιαν· ὡς γὰρ φιλόπολίν με ἠναγκάσατε. T.C.V.

378, 26. μὴ σύγκλητος ἐκκλησία γένηται] σύγκλητος ἐκκλησία ἡ γινομένη ἐξαίφνης διὰ τὸ κατεπεῖγον. B.Y. τρεῖς γὰρ ἐκκλησίαι τοῦ μηνὸς γίνονται ὡρισμέναι· ἡ δὲ σύγκλητος οὐχ ὡρισμένη. A.—V. σύγκλητος δὲ ἐκκλησία ἐκλήθη, ἐπειδὴ ἐν μὲν τοῖς νομίμοις καὶ συνήθεσιν ἀφ' ἑαυτοῦ ὁ δῆμος συνέτρεχεν· ὅταν δὲ ἐξ ἀνάγκης τινὸς σύλλογος γένηται, συγκαλοῦσι τινὲς περιιόντες. T.C.V.

378, 28. καὶ τὰ πράγματα ἐκφύγῃ τὸν Φίλιππον] οἷον τὸ κατασκάψαι Φωκέας. ὅρα δὲ πῶς ἡμᾶς ἐδίδαξεν ἐνταῦθα ὅτι καὶ τῆς τρίτης πρεσβείας πεμφθείσης παρὰ τῶν Ἀθηναίων ἔτι ἐσώζοντο οἱ Φωκεῖς. A.T.C.V.

379, 3. οὔτε γὰρ σῖτος ἦν] οἱ μὲν περὶ τῆς Μακεδονίας ἔλαβον,

5. τί—ὑπωμοσίας] ἐξωμοσία δὲ διαφέρει ὑπωμοσίας T.C.V. in quibus hoc scholion sequitur post scholion inferius ad εὐθέως verbo ἠναγκάσατε finitum.

9. ὀμνύῃ V. ὄμνυσι codices.

11. Ἀσκληπιοῦ om. F.Y.T.C.V.

12. γὰρ καὶ] καὶ om. B.

δείκνυσι ante τὸ μὲν αὐτοῦ habet B.

εὐλόγως B.F.V. ἀλόγως ceteri.

13. γινόμενον] γενόμενον B.F.V.

τὸν δὲ] τὸ δὲ R.Y.

15. ἠναγκάσατε W. pro ἠναγκάσατο.

17. γινομένη] γενομένη B.R.

ἐξαίφνης διὰ τὸ] διά τι ἐξαίφνης B.

τρεῖς γὰρ] ὅτι τρεῖς A. γὰρ om. T. C.V.

18. γίνονται] ἐγίνοντο T.C.V.

21. συγκαλοῦσι] συνεκάλουν V.

24. ἔτι om. C.G.

οἱ δὲ περὶ τῆς Φωκίδος. εἶτα ἐπειδὴ εἰκὸς ἦν τινας ἐννοεῖν ὅτι ἀλλ' ἔξωθεν ἐπεισάξει, λύων φησίν, "Οὔθ' ἡ σιτοπομπία δυνατή." T.C.V. τὸ δὲ ᾖρει ἀντὶ τοῦ ἐλάμβανε καὶ ἐχειροῦτο, ἔστι δὲ ὡς ἐκ τοῦ αἱρῶ ῥήματος περισπωμένου. A.—V.

379, 12. τί λέγεις] πλάσις χαριέντως τοῦ προσώπου ἀντιλέγοντος. ἔστι δὲ ἀποστροφὴ πρὸς αὐτόν, ὡς ἐκ τῶν Ἀθηναίων. τὸ δὲ ἔδει δὲ μένειν, ὡς ἐκ τοῦ Δημοσθένους· τὸ δὲ πῶς οὖν κατ' ἐρώτησιν· τοῦτο γάρ φησιν ὁ ῥήτωρ· τί οὖν; ὅτι χρεία ἦν παραμεῖναι. T.C.V.

379, 19. καὶ τέλος εἶχε τὸ μίσθωμα] ὡς μεσεγγυήσαντος Αἰσχίνου καὶ ὁμολογήσαντος, ἃ ἔπαθον Φωκεῖς. T.C.V.

379, 22. ὑμῖν ἐκκλησιάζουσι] δηλονότι σκοπούντων αὐτῶν ἢ περὶ τοῦ νεωρίου ἢ περὶ ἄλλου τινός. παρατήρησαι δὲ ἐκ τούτου ὅτι, ὡς ἤδη ἔγνωμεν, οὐ μόνον ἐν πυκνὶ ἠκκλησίαζον, ἀλλὰ πολλάκις ἐν Πειραιεῖ καὶ ἐν ἄλλοις τόποις. καὶ λοιπὸν, ὅπου συνήγοντο, ἐκκλησία ἐκαλεῖτο· οὐχ ὅτι οἱ τόποι ἐκκλησίαι ἐκαλοῦντο, ἀλλὰ μόνον ὅτε συνήγετο ὁ δῆμος, παρὰ τὸ αὐτὸν ἐκεῖσε ἐκκλησιάσαι. ἡ δὲ πνὺξ ἐκαλεῖτο διὰ τὸ ἀεὶ ὡς ἐπὶ τὸ πλεῖστον ἐκεῖ τὸν δῆμον ἐκκλησιάζειν. A.—V.

379, 28. ἐπειδὴ ταῦτ' ἦν] ἡ πιθανὴ ἀπολογία. B.S.

379, 29. ἐπειδὴ τοιαύτη ταραχὴ] συνῆψεν ἐντεῦθεν τὴν λεγομένην πιθανὴν ἀπολογίαν· καὶ μὴν εἰ συνῆδειν ἐμαυτῷ δεδωροδοκηκότι, οὐκ ἂν οὕτω προφανῶς ἀπῄειν ὥστε κατάφωρον ἐμαυτὸν καταστῆσαι. ἡ λύσις "ἀλλ' οὕτως ἔκφρων ἦς καὶ ὅλως πρὸς τῷ λήμ-
"ματι καὶ τῷ δωροδοκήματι ὥστε ταῦτα πάντα ἀνελὼν καὶ παριδὼν
"ᾤχου." ἀνελὼν δὲ ταῦτα, ποῖα; τὸ ἀρρωστῆσαι, τὸ φοβεῖσθαι Θηβαίους, ὅτι ἔλεγεν ἐν τῇ ἀρχῇ ὅτι οὕτως αὐτὸν ἐμίσουν οἱ Θη-

1. Φωκίδος W. pro Φωκίας.
τινὰς om. C.G.
3. τὸ δὲ om. A.R.
5. πλάσις —] Duæ hujus scholii particulæ sunt etiam in A.R. hoc modo, τί λέγεις;] ἀποστροφὴ πρὸς αὐτὸν ὡς ἀπὸ τῶν Ἀθηναίων. Tum ἔδει δὲ μένειν] τοῦτο ὡς ἀπὸ τοῦ Δημοσθένους. τὸ δὲ πῶς οὖν κατ' ἐρώτησιν.
9. ὡς—ἃ ἔπαθον W. pro οὐ—φασὶν ἔπαθον.
13. πυκνὶ A.R. πνυκὶ ceteri.
ἠκκλησίαζον] Scribebatur ἐκκλησίαζον.
15. ἀλλὰ μόνον—ἐκκλησιάζειν] ἀλλὰ ὅτι συνήγετο ὁ δῆμος παρὰ τὸ αὐτοὺς ἐκεῖσε ἐκκλησιάσαι· ἡ δὲ πνὺξ ἐκαλεῖτο ἀπὸ τοῦ πυκνῶς ἐκεῖ τὸν δῆμον πλησιάζειν V.
23. ἦς] εἶ V.
26. ἐμίσουν] ἐμίσησαν V.

βαῖοι ὥστε καὶ χρήματα κατ' αὐτοῦ ἐπεκήρυξαν, καὶ τἄλλα. ἄξιον δὲ ἰδεῖν ποῖόν ἐστι τὸ χρῶμα τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. ἐξωμόσατο Αἰσχίνης, ἕτερος ἐχειροτονήθη, αὐτὸς πορεύεται μετὰ τὴν πρεσβείαν. τί τοίνυν ἐρεῖ πρὸς ταῦτα; ὅτι οὖν ἐξαλήλιπτο ἡ χειροτονία· καὶ ἄτοπον ἦν χειροτονηθέντα, ἐπειδὴ ῥᾷον ἔσχε, μὴ βαδίζειν παρὰ τὸν 5 Φίλιππον. ὁ ῥήτωρ, ἔς τ' ἂν ἕτερος ἀντιχειροτονηθῇ, ἔδει σε βαδίζειν, οὐ τότε ὅτε Φωκέας ἀπολωλότας ἐπύθου. T.C.V.

380, 6. ἤρητο] ἀντὶ τοῦ ἠρέθη καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ ὁ ἀδελφὸς αὐτοῦ. χρῶμα δὲ λύει ἐνταῦθα. ἔμελλε γὰρ λέγειν ὁ Αἰσχίνης ὅτι ῥᾷον ἐσχηκὼς ὕστερον, διὰ τοῦτο ἐπρέσβευσα χειροτονη- 10 θεὶς ἐξ ἀρχῆς ἐν τῇ τρίτῃ πρεσβείᾳ. λύει οὖν τοῦτο ὁ ῥήτωρ λέγων ὅτι ἦν ἄλλος ἀντ' αὐτοῦ χειροτονηθεὶς, ὁ ἀδελφὸς αὐτοῦ. A.R.T.

380, 9. ἐπειδὴ Θηβαῖοι] ἰστέον ὅτι ἐνταῦθα ἐνέπεσεν ἡ πιθανὴ ἀπολογία. ἔμελλε γὰρ λέγειν ὁ Αἰσχίνης ὅτι, καίτοι εἰ συνῄδειν ἐμαυτῷ τὴν προδοσίαν, οὐκ ἂν ἐβάδιζον τότε πρὸς Φίλιππον, ἵνα μὴ 15 γένωμαι καταδηλος. λύει οὖν τοῦτο ὁ ῥήτωρ λέγων ὅτι ἡ δωροδοκία σὲ οὐκ ἀφῆκεν ἰδεῖν τὸ δέον, ἀλλ' ἔκφρονα κατέστησε τοῦ γινώσκειν ὅ τι ποιεῖς. A.R.

380, 13. ἀλλ' οὕτως ἔκφρων ἦν] ἡ ἀντίθεσις· καὶ μὴν, εἰ συνῄδειν ἐμαυτῷ δεδωροδοκηκότι, οὐκ ἂν οὕτω προφανῶς ἀπῄειν, ὥστε 20 κατάφωρον ἐμαυτὸν καταστῆσαι. ἡ λύσις· ἀλλ' οὕτως ἔκφρων ἦν. B.F.S.Y.

380, 14. πάντα ταῦτα] τὸ προφασίζεσθαι ἀρρωστεῖν καὶ τὰ ἐφεξῆς. A.

380, 15. καὶ τοιούτου τοῦ πράγματος] ἔθος ἦν κατὰ τὰ πάτρια 25 πέμπειν τῷ Ἀπόλλωνι ἐν τῷ ἀγῶνι τῶν Πυθίων τοὺς θεωροὺς καὶ τοὺς θεσμοθέτας, ἵνα μεῖζον ᾖ τὸ ἀξίωμα τῆς θυσίας. A.—V.

1. ὥστε P. ὅτι T.D.G.V. ὅτερ C. ὅτι etiam A.R. in quibus pars tantum hujus scholii legitur, ὅτερ ἔλεγεν ἐν τῇ ἀρχῇ ὅτι οὕτως αὐτὸν ἐμίσουν οἱ θηβαῖοι ὅτι καὶ χρήματα κατ' αὐτοῦ ἐπεκήρυξαν.

5. ἔσχεν W. pro ἔσχον.

μὴ om. V.

6. ὁ ῥήτωρ] ὁ δὲ ῥήτωρ V.

ἔς τ'] ἔστ' T.

ἀντεχειροτονήθη] ἀντιχειροτονηθείη V.

βαδίζειν, οὐ τότε ὅτε] βαδίζειν τότε, οὐχ ὅτε V.

7. Φωκέας W. pro Θηβαίους.

13. ἡ πιθανὴ ἀπολογία] Hæc verba sunt etiam in Y.

16. τοῦτο om. A.

25. κατὰ τὰ πάτρια] πάτριον T. C.V.

BIBLIOTHECA BODLEIANA

380, 23. ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον] Θηβαίους προσθεὶς τῷ Φιλίππῳ δεδήλωκε διὰ τῶν ἐχθρῶν ὅτι δεινὰ καὶ ὁ Φίλιππος κατὰ τῆς πόλεως ηὔχετο. ὅρα δὲ ὅπως ὃ μὲν ἦν ἀνεύθυνον, τὸ ἑστιᾶσθαι καὶ σπένδειν, τοὺς πρέσβεις ἔπεισε μαρτυρῆσαι· τὸ δὲ ἐστεφανῶσθαι κατὰ τῆς πατρίδος ὁ ῥήτωρ ἐκ τοῦ ἀκολούθου, καὶ μὴ εἰπόντων τῶν πρέσβεων, κατεσκεύασεν. T.C.V. 5

380, 27. καὶ φιλοτησίας] ἅπερ φιλεῖ γίγνεσθαι ἐν τοῖς συμποσίοις, τὸ δεξιοῦσθαι ἀλλήλους τοῖς ποτηρίοις—πολλάκις καὶ αὐτὰ τὰ ποτήρια χαρίζεσθαι τὸν βασιλέα οἷς προπίνει χρυσᾶ ὄντα· τοῦτο γὰρ ἦν τὸ προπίνειν—, ταῦτα πάλιν ὡς ἐγκλήματα καὶ σημεῖα προδοσίας πεποίηται. A.—V. φιλοτησία, ἡ κύλιξ ἣν κατὰ φιλίαν τοῖς φίλοις προὔτεινον. B.Y.P. 10

381, 2. δημόσιος] οἶκος δηλαδή. P.

381, 7. τὸ ψήφισμα] ὅπερ τις ἐψηφίσατο τῶν πολιτῶν, ὅτε ἐξωμόσατο ὁ Αἰσχίνης ἀρρωστεῖν. A.—V. 15

381, 9. τοὺς μάρτυρας] οἷον τοὺς συμπρεσβευτὰς τοῦ Αἰσχίνου τὴν τρίτην πρεσβείαν. A.

381, 10. τίνας οὖν εὐχὰς] ἐπιλογίζεται πληρώσας τὸ δεύτερον ζήτημα· σύνηθες γὰρ αὐτῷ μετὰ τὰς ἀποδείξεις τὰς ἰσχυροτάτας ἐπιλογίζεσθαι. B.F.R.S.Y. 20

381, 13. τοῖς συμμάχοις] φησὶ τῶν Φωκέων, ἵνα αἰνίξηται εἰς Ἀθηναίους. A. τοῖς Ἀθηναίοις αἰνίττεται. T.

381, 16. οὐκοῦν ᾤχετο μὲν παρὰ τὸν νόμον] ἐνταῦθα ἐπιλογίζεται λοιπὸν καὶ συναγωγὴν ποιεῖται τῶν ἐγκλημάτων, πληρώσας τὸ δεύτερον ζήτημα. σύνηθες γὰρ αὐτῷ τοῦτο ποιεῖν, μετὰ τὰς ἀποδείξεις ἐπιλογίζεσθαι. ἔστι δὲ τοῦ δευτέρου ζητήματος τὰ κεφάλαια ταῦτα. τῶν μὲν γὰρ παρειμένων ἓν πρῶτον· οὐδεπώποτ' ἐμνήσθης τοῦ Φιλίππου κακῶς, ἐπειδήπερ σαυτὸν περιπεπτωκότα δεινοῖς ἑώρας· μετὰ τὴν ἐπαγγελίαν οὐκ ἐμνησικάκησας. ἀπὸ δὲ τῶν πεπραγμένων, ὅτι Πύθωνος ἀφικομένου καί τινων ἑτέρων πρέσβεων, εἶτα ἀξιούντων Φίλιπ- 25 30

2. κατὰ τῆς πόλεως om. V.
3. ἑστιᾶσθαι] ἑστιάσαι C.G.
8. καὶ αὐτὰ codices. καὶ ταῦτα V. δέ φασι ταῦτα W.
10. ταῦτα πάλιν A.R. ταῦτα δὲ πάλιν ceteri.
12. προὔτεινον] Imo προὔπινον.
14. πολιτῶν] βουλευτῶν Sauppius.
19. ἰσχυροτάτας] ἰσχυροτέρας F. Comparandum cum hoc scholio inferius ad p. 381, 16. in quo post verba μετὰ τὰς ἀποδείξεις in P. additum τὰς ἰσχυροτέρας, quod abest ab T.C.D.G.V.

πον Ἀμφικτύονα ψηφίσασθαι, πάντων ἀντιλεγόντων μόνος συνεῖπε. τὸ χρῶμα συνῆπται τούτῳ, οὗπερ οὐκ ἐμνήσθημεν πρότερον, νυνὶ δὲ προσθήσομεν ὅτι πόλεμον εὐλαβηθεὶς συνεῖπον τοῖς πρέσβεσι. θαυμάσαι δὲ δεῖ τὸν ῥήτορα τῆς δεινότητος, ὅτι οὐχ ὡς χρῶμα εἰσήγαγεν, ἀλλὰ συγκρουστικῶς παροξῦναι μᾶλλον ἢ συστῆσαι τὴν ἀπο- 5 λογίαν αὐτοῦ προαιρούμενος. τρίτον ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅτι Φιλοκράτης δωροδόκος εἶναι ὁμολογεῖ, οὗτος δὲ Φιλοκράτει συνῆν. τέταρτον, ὅτι εἰσαγγείλαντος Ὑπερίδου Φιλοκράτην, καλοῦντός μου διαρρήδην τοὺς βουλομένους διαμαρτύρασθαι ὅτι μὴ κεκοινωνήκασιν, οὐ παρῆλθεν Αἰσχίνης. T.C.V. 10

381, 27. κοινωνεῖν] τοῦτο εἶπε προλαβών, ὅτι οὐκ ἔπεμψαν ἐν τοῖς Πυθίοις οὔτε τοὺς θεωροὺς οὔτε τοὺς θεσμοθέτας. A.R.

382, 10. ὃς ἐκ πολέμου ποιούμενος εἰρήνην] εἰ γὰρ, φησὶ, καὶ ὁ Φίλιππος ἡμᾶς ἠδίκει, ἀλλ' οὖν γε εἶχέ τινα συγγνώμην καθ' ὃ πολέμιος ἦν. A.R.T. 15

πωλούντων] παρὰ τῶν συνεστηκότων καὶ συναγορευόντων Αἰσχίνῃ. P.

382, 15. τάχα τοίνυν ἴσως] ἀντίθεσις τῶν ἐπιλόγων· κεχώρισται δὲ τῶν ἀγωνιζομένων. ἀντιθέσεις γὰρ ἐλέγομεν κυρίως τὰ πρὸς αὐτὰ τὰ κρινόμενα ἐξεταζόμενα, ἐπιλογικὰς δὲ ἀντιθέσεις τὰς ἀπὸ ποιοτή- 20 των ἐπιλογικῶν πιστουμένας. ἔστιν οὖν ἀπὸ τοῦ συμφέροντος ἡ ἀντίθεσις. B.F.R.S.Y. ἀντίθεσις ἐπιλογική. χρησίμως δὲ ταύτην ἔπλασεν ὁ ῥήτωρ, ἵνα δείξῃ Φίλιππον μέγαν διὰ τοῦ λέγειν ὅτι μέλλομεν αὐτὸν κινῆσαι πρὸς ὀργὴν, ἐὰν τὸν φίλον αὐτοῦ τιμωρησώμεθα, ἵνα διὰ τούτου κινήσῃ τοὺς δικαστὰς πρὸς τὸ αἱρεῖσθαι μᾶλλον 25 τιμωρήσασθαι τὸν Αἰσχίνην. A.—V.

τάχα τοίνυν] ἀπὸ τοῦ συμφέροντός ἐστιν ἡ ἀντίθεσις, ζητούντων εἰ λυσιτελήσει καταψηφίσασθαι. (ἔστι δὲ ἀκόλουθος τοῖς ἀνωτέρω ῥηθεῖσιν· εἰπόντος γὰρ τοῦ Δημοσθένους δίκαιον εἶναι τὸν Αἰσχίνην τιμωρηθῆναι, ἀκόλουθον ἦν εἰπεῖν τὸν Αἰσχίνην μὴ συμ- 30 φέρειν τοῦτο τοῖς Ἀθηναίοις, ἵνα μὴ ἐχθρῶς αὐτοῖς διατεθῇ ὁ

1. συνεῖπε] συνεῖπες P.
2. τούτῳ T.D. τούτου C.G. τούτοις V.
7. δωροδόκος add. P.
8. Ὑπερίδου] ὑπερίδους C.G.
24. πρὸς ὀργὴν] εἰς ὀργὴν T.C.V. τιμωρησώμεθα] τιμωρηθησόμεθα A.
27. τάχα τοίνυν] In V. præfixum Ἄλλως, quod non est in T.C.D.G. ἀντίθεσις] ἀντίθεσις αὕτη P.

Φίλιππος. P.) ἀλλ' ἐπειδήπερ οἱ ἐπίλογοι ἐκ τῶν τελικῶν κεφαλαίων λαμβάνονται, διὰ τοῦτο πολλάκις ἐκ τούτων ἐπιλογικαί τινες ἐμπίπτουσιν ἀντιθέσεις, ἐν στοχασμῷ καὶ ἐν ὅρῳ, ἤδη δέ που καὶ ἐν ἑτέραις στάσεσιν. ἡ δὲ ἐπίσκεψις λοιπὸν περὶ τῆς τιμωρίας. ἀμέλει γοῦν οὐχ ὡς παρ' Αἰσχίνου ταύτην εἰσ- 5 ήγαγεν, ἀλλ' ὡς παρὰ τῶν συνηγόρων, εἰπὼν "τάχα τοίνυν καὶ "τοιοῦτος ἥξει λόγος παρὰ τούτων," δηλονότι τῶν συνεστηκότων καὶ συνηγορούντων Αἰσχίνῃ. ἡ λύσις δὲ κατὰ ἀντιπαράστασιν. προτέραν δὲ τὴν λύσιν τῆς ἀντιθέσεως ἐξειργάσατο, ἔκ τε τῶν Αἰσχίνου λόγων καὶ παραδειγμάτων, τοῦτο μὲν τῶν κατὰ βασιλέα καὶ 10 Τιμαγόραν μνησθεὶς, τοῦτο δὲ τῶν κατὰ Θηβαίους καὶ τοὺς πρέσβεις. οἰκεῖα δὲ ἄμφω τὰ παραδείγματα. τὸ μὲν γὰρ πρότερον διαβάλλει τὸν Αἰσχίνην, ὅμοιον ἀποφαίνων Τιμαγόρᾳ τοῦτον, τὸ δὲ ἔπαινον περιέχει τοῦ ῥήτορος δι' εἰκόνος τῆς κατὰ Φίλωνα. ἃ γὰρ ἂν εἴποι τις περὶ τοῦ Φίλωνος, ταῦθ' ὁ Δημοσθένης λέγων ἑαυτὸν ἀποσεμνύνειν 15 βούλεται. ἐν σχήματι γὰρ τὸν μὲν ἀντίδικον διαβάλλει, ἑαυτὸν δὲ συνίστησι. πιστοῦται δὲ καὶ τὸ προκείμενον, ὅτι εὐεργετήσειεν ἂν τὴν πόλιν τῶν Ἀθηναίων Φίλιππος, μὴ ὄντων τῶν δωροδόκων. ἵνα δὲ ἐκ τῆς λύσεως ἀκολούθως ἐπὶ τὴν ἑξῆς ἀντίθεσιν ἔλθῃ, πάλιν κατὰ καιρὸν ἐμνημόνευσε τῶν τε οἰκείων εἰσηγήσεων, ἃς ἐποιήσατο βου- 20 λευομένης τῆς πόλεως περὶ τοῦ ποίαν χρὴ ποιῆσαι τὴν εἰρήνην, καὶ τῶν Αἰσχίνου λόγων οὓς εἶπε τότ' ἐναντιούμενος. πάλιν γὰρ ἀνέδραμεν ἐπὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, δεικνὺς ποῖα λέγων καὶ οἷα πολιτευόμενος Αἰσχίνης, οἵων αἴτιος γέγονε τῇ πατρίδι. ποῦ τοίνυν πεποίηκε; "καὶ κρατοῦντος ἐμοῦ τὴν προτέραν ἡμέραν καὶ πεπεικό- 25 "τος ὑμᾶς τὸ τῶν συμμάχων δόγμα κυρῶσαι ἐκκρούσας." οὗτος εἰς τὴν ὑστεραίαν τὴν Φιλοκράτους γνώμην ἑλέσθαι ἔπεισεν, ὁμοῦ μὲν ἀπὸ Φιλοκράτους μεταφέρων ἐπὶ τοῦτον τὸ ἔγκλημα, ὁμοῦ δὲ καὶ ὑπομιμνήσκων ὅτι οὐκ ἐσιώπησεν, ὁμοῦ δὲ καὶ διδοὺς χώραν τῇ ἑξῆς

8. κατ' ἀντιπαράστασιν] Alii *obsistentiam*, alii *depulsionem* vertunt, cum aliquid quod per se licet, ob circumstantiam aliquam licere negatur. WOLF.

9. ἐξειργάσατο codices et P. ἐξηργάσατο V.

14. γὰρ ἂν εἴποι τις περὶ τοῦ Φίλωνος W. pro γὰρ εἴπέ τις περὶ τοῦ ῥήτορος.

17. εὐεργετήσειεν] εὐεργετήσει V.

20. βουλευομένης] βουλομένης C.G.

22. οὓς—τότ'] οὐκ—τότε V.

23. ἐπὶ τὰ W. pro ἀπὸ τῶν.

25. καὶ κρατοῦντος—] p. 385, 23.

26. ἐκκρούσας om. V.

ἀντιθέσει. εἰπὼν γὰρ ἐν τούτοις ποῖα ἔπεισεν Αἰσχίνης τὸν δῆμον ψηφίσασθαι, βουλευόμενον περὶ τοῦ πῶς χρὴ ποιήσασθαι τὴν εἰρήνην, κακῶς τῷ πολέμῳ τῶν στρατηγῶν κεχρημένων, λέγων οἵους μὲν εἶπε Φίλων λόγους ὑπὲρ τῆς Θηβαίων πόλεως, οἵους δὲ Αἰσχίνης ὑπὲρ τῶν Ἀθηναίων, ἀναγκαίως ἐπὶ τὴν ἀντίθεσιν ἦλθεν· ἐν ᾗ φησι μὴ 5 εἶναι δυνατὸν οὕτω ποιήσασθαι τὴν εἰρήνην ὡς Δημοσθένης ἠξίου, καὶ διὰ τὴν μαρτυρίαν τοῦ ἀντιδίκου τῶν βελτίστων αὐτὸς νομίζεται. εἰ γὰρ ὁ μὲν ἠξίου βελτίστην γενέσθαι τὴν εἰρήνην καὶ μαρτυρῶν Αἰσχίνης φαίνεται, Αἰσχίνης δ' ἠναντιοῦτο, ἔπαινον μὲν ἑαυτοῦ διὰ τῆς μαρτυρίας καθίστησιν ἰσχυρότατον, Αἰσχίνῃ δ' οὐ τὸν τυχόντα 10 περιάπτει ψόγον. ἔστιν οὖν τρία μέρη τῆς ἀντιθέσεως· τὸ μὲν γὰρ αὐτῆς ἔχει ἔπαινον τοῦ ῥήτορος, τὸ δὲ ὁμολογίαν ὅτι Αἰσχίνης ἠξίου τὴν εἰρήνην γίνεσθαι, τρίτη δὲ ὅτι οἱ στρατηγοὶ κακῶς ἐχρῶντο τῷ πολέμῳ. ἡ λύσις δὲ αὐτῆς ἀπὸ τῆς δωροδοκίας γίνεται· ὅθεν καὶ δευτέρα μετὰ τὸν δεύτερον στοχασμὸν τέτακται. T.C.V. 15

382, 16. παρὰ τούτων] τῶν συνεστηκότων καὶ τῶν συναγορευόντων Αἰσχίνῃ. B.F.S.Y.

382, 18. ἐγὼ δ', εἰ τοῦτ' ἔστιν ἀληθὲς] ἡ λύσις κατὰ ἀντιπαράστασιν. B.F.S.Y.

382, 20. εἰ γὰρ ὁ τῆς εἰρήνης] σημείωσαι· τὸ τρίτον εἶδος τῆς 20 λύσεως τὸ βίαιόν ἐστιν, ὅταν εἰς τὸ ἐναντίον περιιστάναι δυνώμεθα τὸν λόγον, ἐξ αὐτῶν αἱροῦντες τὸν ἀντίδικον, οἷς θαρρῶν εἰσέρχεται. B.F.Y. ἡ λύσις ἐκ περιτροπῆς. F.S.Y. λύσις κατὰ τὸ πρῶτον εἶδος τοῦ βιαίου. P.

382, 20. ἀναλώσας] τοῖς περὶ Ἀριστόδημον. A. 25

382, 25. οὐ μὴν ἀλλ' ὅτι] ἑτέρα λύσις κατὰ τὸ δεύτερον εἶδος τοῦ βιαίου. P.

7. νομίζεται W. pro κομίζεται.

10. ἰσχυρότατον] ἰσχυρότερον T. solus.

11. ψόγον T. solus, ex quo haud dubie sumsit margo P. λόγον codices ceteri et V.

14. γίνεται om. V. In B.F.R.S.Y. haec scholii pars inde a verbis ἔστιν οὖν τρία μέρη legitur infra ad p. 386, 19. cum lemmate οὐ τοίνυν θαυμάσαιμ' ἂν sic scripta, ὅτι τρία μέρη εἰσὶ ταύτης τῆς ἀντιθέσεως τὸ μὲν—εἰρήνην γίνεσθαι· τρίτον ὅτι (γίγνεσθαι πρότερον ὅτι B.)—δωροδοκίας γίνεται, ὅθεν—δευτέρα μετὰ (κατὰ B.) τὸν—τέτακται.

16. καὶ τῶν S. τῶν om. ceteri.

20. σημείωσαι om. F.

383, 3. εἶπον ἐγὼ] ὡς ἐμοῦ ψευδομένου ἐφ' οἷς τότε εἶπον. A.R. T.P.

383, 6. ἀσυνθετώτατον] ἀπὸ τοῦ τὰ συντεθειμένα εὐτάκτως κεῖσθαι. A.R.T.P.

383, 8. ὁ μὲν ἦλθεν, ὁ δ' ἀπῆλθεν] τινὲς οὕτω· ἦλθέ τις διαλεχθῆναι αὐτῷ, ὁ δὲ ἀπῆλθεν οὐκ ἀναμείνας ἀκοῦσαι. T.C.V.

383, 14. ἤκουσεν] ὁ Φίλιππος. P.

τοὺς εἰπόντας] τοὺς περὶ τὸν Αἰσχίνην. A.R.T.

383, 16. ἐποίησεν ἂν] ὁ Φίλιππος. τῷ βασιλεῖ δὲ λέγει τῷ Ἀρταξέρξῃ, πρὸς ὃν ἀνῆλθεν ὁ Τιμαγόρας καὶ ὁ Λέων, πρεσβευταὶ, ὡς ἔγνωμεν. A.R.T.

384, 1. οὐδὲ γὰρ] ἀντιπῖπτον λύει, ἵνα μή τις εἴπῃ, καὶ διὰ τί μὴ καὶ ἐπὶ τῶν Θηβαίων τὸ ὅμοιον ἐποίησε καὶ εἵλετο μᾶλλον τοὺς πρεσβευτὰς αὐτῶν θεραπεῦσαι ἤπερ τὴν πᾶσαν πόλιν; A.R.T.

384, 8. ἠβούλετο δοῦναι] δηλονότι ἀφ' ἑαυτοῦ. καὶ μηδενὸς ἄλλου διδόντος δέξασθαι τὸ διδόμενον ἢ πεμπόμενον. Less.

ὡς ἔφασαν πολλὰ] οὐκ ἀνέχεται περὶ προδοσίας καὶ δωροδοκίας διαλαβὼν οἰκείῳ χρῆσθαι προσώπῳ, ἀλλ' ὡς παρ' ἑτέρων ἀκούσας λέγει. T.C.V.

384, 10. οἱ τῶν Θηβαίων πρέσβεις] βαρέως ἀναγνωστέον· οἱ τὸν Μῆδον ὑποδεξάμενοι. καὶ ὤφθη θέαμα καινότερον· Θηβαῖοι μὲν ἀττικίζοντες, Ἀθηναῖοι δὲ τὰ Θηβαίων νοήσαντες. T.C.V.

384, 16. Φίλων] ὄνομα κύριον. A.

384, 17. οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ ὑμῶν] ὁ μὲν εἰπὼν Θηβαῖος, ὁ δὲ λόγος Ἀθηναίων. ταῦτα γάρ ἐστιν ἃ συνεῖπεν. ἐνήλλαξε τὴν τάξιν, τὸ πρῶτον δεύτερον εἰπὼν, ἵν' ὅλον τῷ ἀντιδίκῳ λογίσηται. T.C.V.

384, 20. φίλοι καὶ ξένοι] ἐκ παραλλήλου τὰ αὐτά. A.R.T.P.

385, 5. Κορσιαί] ὀξυτόνως ὡς Θεσπιαί. A.R.T.

1. τότε Reiskius. τε R.T. om. P.
3. ἀπὸ] ἐκ T.
συντεθειμένα εὐτάκτως] συντεθειμένως εὔτακτα P.
5. τινὲς οὕτω] οὕτω τινές V.
9. τῷ Ἀ.] τῷ om. T.
21. Μῆδον W. pro δῆμον. Φίλιππον margo P.
22. νοήσαντες] γρ. φρονήσαντες margo P. quod in nullo nostrorum codicum est.
25. Ἀθηναίων—συνεῖπεν] ὑπὲρ Ἀθηναίων—συνεῖπε μὲν αἰσχίνης V.
ἐνήλλαξε] δὲ add. W.
29. Θεσπιαί] θεσπειαί R.

385, 12. ἀντιθῶμεν δὴ] ταὐτά ἐστιν ἃ λέγει ὁ Αἰσχίνης κακοήθη ἀντίθετα εἶναι ἐν τῷ ἰδίῳ λόγῳ. A.R.T.P.

385, 28. ἐν ᾗ καὶ ταῦτα καὶ πολλὰ] τὸ μὴ μετέχειν τοὺς Ἕλληνας τοὺς ἄλλους τῆς εἰρήνης. τὸ δὲ "πολλὰ ἔτι" τὸ μέχρι τῶν ἐκγόνων εἶναι τὴν εἰρήνην. A.R.T. 5

386, 3. ξύλα, πυροὺς] ταῦτα Φιλοκράτην ᾔδεσαν ἔχοντα ἅπαντες. προκατασκευάσας δὲ τὴν συνηγορίαν ἐβιάσατο δεῖξαι ὡς καὶ τούτων ἐστὶ κοινωνός. T.C.V.

386, 7. τριάκοντα μνᾶς] τὸ ἥμισυ ἐχαρίσατο τῷ Φιλοκράτει. A. R.T.P. 10

386, 19. οὐ τοίνυν θαυμάσαιμ' ἂν] διασυρτικῶς ἐπενήνεκται ἡ ἀντίθεσις. B. ἀντίθεσις μεταστατική. A.R.

386, 20. ὡς οὐκ ἦν καλὴν, οὐδ' οἵαν ἠξίουν] μεταστατικὴ ἀντίθεσις, ἐπὶ τοὺς στρατηγοὺς μεταφέρουσα τὴν αἰτίαν. ποιεῖ δὲ αὐτὸν ὁμολογοῦντα ὡς ἡ εἰρήνη κακὴ, ἵνα λύσωμεν ὅτι διὰ τὴν αὐτοῦ δωροδοκίαν ἐγένετο κακὴ, οὐ διὰ τοὺς στρατηγοὺς οὓς αἰτιᾶται. T. C.V. 15

386, 23. πότερον ἐξ ἑτέρας] οἷον νενικηκυίας, ἢ ταύτης, οἷον τῆς ἡττημένης. T.C.V.

387, 4. ἔτι τοίνυν κἀκεῖνο] δεύτερον ἐπιχείρημα εἰς τὸ αὐτὸ κατὰ ἀντιπαράστασιν, ἡττώμεθα τῷ πολέμῳ, ὡς σὺ φῄς, Αἰσχίνη, οὐκοῦν ἐκ τῶν παραδειγμάτων ἐξετάσωμεν ταὐτὸ τοῦτο πάλιν. B.F.R.S.Y. δεύτερον ἐπιχείρημα εἰς τὸ αὐτό. πειρᾶται δὲ ἀποδεικνύναι διὰ τῶν 20

1. Αἰσχίνης] p. 28, 18.

6. ᾗ. ἔχοντα] ἔχοντα ᾗ. V.

8. τούτων] αἰσχίνης τῶν τοιούτων V.

11. ἐπενήνεκται Sauppius pro ἐπῄνεκται. In R.S.Y. hæc notatio διασυρτικῶς ἐπῄνεκται ἡ ἀντίθεσις adscripta est ad p. 385, 24. ut ad verba recte ibi a Marklando deleta ἀλλὰ νὴ Δία τοὺς συμμάχους ἀπειρηκέναι φήσει τῷ πολέμῳ spectare videatur.

12. ἀντίθεσις] μετάθεσις R.

15. λύσωμεν] νοήσωμεν W.

19. ἡττημένης] His addit P. ἔν τινι βίβλῳ γέγραπται ταῦτα μετὰ τὸ ἐγίγνετο. "νῦν δὲ ἡ μὲν πόλις τῆς (corr. "τῶν) αὐτῆς ἀφέστηκεν, οὗτος δὲ χρή-"ματα εἴληφεν." ἀλλ' οὐχ ἡγοῦμαι εἶναι γνήσια Δημοσθένους. Videtur hæc Lambini aut alius viri docti non multo antiquioris annotatio esse. Verba illa νῦν δὲ—εἴληφεν in libris quibusdam post ἐγίγνετο p. 387, 3. addita legi in annotatione critica ad locum illum dixi.

21. ἀντιπαράστασιν] λέγων add. B. R.Y. λέγων F. Neutrum legitur in S.

22. παραδειγμάτων] πραγμάτων S. ταὐτὸ] αὐτὸ B.R.S.

23. δευτέρων] πρωτέρων C.G.

δευτέραν ὅτι οὔτε τὸ ἡττᾶσθαι οὔτε τὸ νικᾶν αἴτιον γέγονε τοῦ τὸν Φίλιππον ποιῆσαι κακῶς, ἀλλ' ἡ πρόφασις τῶν πρέσβεων. λέγει γὰρ ὅτι, εἰ καὶ συνέβαινεν ἡμᾶς ἡττᾶσθαι τῷ πολέμῳ, ὡς καὶ Θηβαίους ὑπὸ Φωκέων, οὐδὲν ἂν ἐκώλυσεν αὐξηθῆναι τὰ πράγματα τῆς πόλεως, μὴ αὐξηθέντος Φιλίππου. ἡττῶντο γὰρ οἱ Θηβαῖοι τῷ πολέμῳ τῶν Φωκέων· προσθέμενος δὲ τοῖς Θηβαίοις τοῖς ἡττημένοις ὁ Φίλιππος διὰ τοὺς λόγους τῶν πρέσβεων, ἐπικυδέστερα τὰ πράγματα τῶν Θηβαίων πεποίηται. T.C.V.

387, 9. ἀπειλήφεσαν αὐτῶν] πολιορκουμένους τινὰς καὶ ἀπειλημμένους ἐν τῷ χωρίῳ ἑαυτῶν διέσωσαν οἱ Φωκεῖς καὶ ἐρρύσαντο. τὸ δὲ Ἠδύλειον τόπος ἢ ὄρος ἐν Βοιωτίᾳ. T.C.V.

387, 11. ἐπὶ τῷ Ἠδυλείῳ] ὄρος Φωκίδος. A.R. Ἠδύλειον, ὄρος ἐν Βοιωτίᾳ ἔχον μέ στάδια. καλεῖται δὲ τριχῶς· τὸ μὲν σύνεγγυς τῶν Παραποταμίων, Ἠδύλειον· τὸ δὲ κατὰ μέσον, Ἀκόντιον· τὸ δὲ ὑπὲρ τὸν Ὀρχομενὸν κείμενον Ὁρμίσιον. B.F. Less. P.

387, 12. κακῶν Ἰλιὰς] ἀπὸ τῶν ἐν Τροίᾳ κακῶν ἡ παροιμία, ἐπὶ τῶν τὰ δεινότατα πασχόντων. φησὶ δὲ ὁ Γενέθλιος ὅτι ἐνήλλακται ἡ πτῶσις· ἔδει γὰρ εἰπεῖν Ἰλιάδος κακά. A.—V.

387, 24. ἀλλὰ νὴ Δία τοὺς συμμάχους] ἡ αὐτή ἐστιν ἀντίθεσις τῇ προκειμένῃ. τοῦ γὰρ γενέσθαι τὴν εἰρήνην κακὴν καὶ οἱ στρατηγοὶ αἴτιοι καὶ οἱ σύμμαχοι Φωκεῖς, ἀπειρηκότες τῷ πολέμῳ. προῆκται δὲ μετ' εἰρωνείας, ὡς εἰ ἔλεγεν· ἀλλ' ὅμως φανερῶς οὕτως ἡττηθέντων Θηβαίων τολμᾷ λέγειν Αἰσχίνης ὅτι ἀπειρήκασι Φωκεῖς τῷ πολέμῳ. καὶ οὕτως ἡ ἀντίθεσις διὰ τὴν τῆς τάξεως εὐκαιρίαν ἑαυτὴν λύει. T.C.V. διασυρτικῶς ἐπενήνεκται ἡ ἀντίθεσις. R. S.Y.

2. κακῶς] τοὺς Φωκέας add. P.
5. Φιλίππου W. pro Αἰσχίνου.
7. ἐπικυδέστερα] ἐπικηδέστερα V.
10. ἐρρύσαντο] ἐρύσαντο V.
11. Ἠδύλειον] εἰδύλειον V.
14. Παραποταμίων] ποταμείων B. ποταμῶν F.P.Less.
Ἠδύλειον] εἰδύλειον F. ἠδύλιον Less.
15. τὸν Ὀρχομενὸν] τοῦ ὀρχομενοῦ B.
Ὁρμίσιον F.P. ὀρσομών B. In Less. solæ literæ ὁρμ supersunt.
16. κακῶν] κακῶν δὲ T.C.D.G.V. In A.R. hoc scholion sic conformatum ἡ παροιμία ἐπὶ τῶν τὰ δ. π. ἀπὸ τῶν ἐν Ἰλίῳ συμφορῶν. φησὶ δὲ etc.
19. ἀντίθεσις τῇ προκειμένῃ W. pro ἀντὶ τῆς προκειμένης.
25. διασυρτικῶς] διασυρτικὴ R. In B. hanc annotationem ad p. 386, 19. adscriptam esse supra diximus: qui librarii error est.
ἐπενήνεκται] ἐπήνεκται libri.

387, 26. ὅτι γὰρ ταῦτα οὕτω πέπρακται] ἔστι μὲν οὖν τὸ προκείμενον ἐπιδεῖξαι ὅτι ἐκ τοῦ ψηφίσματος Φιλοκράτους καὶ τῆς συνηγορίας Αἰσχίνου τοῦτον τὸν τρόπον Φωκεῖς ἀπολώλασι καὶ ὅτι ἐπὶ τούτοις καὶ Αἰσχίνης κεκόμισται χρήματα· τὸ δὲ ἐπαγόμενον παρ' Αἰσχίνου ἀντέγκλημα κρύπτεται μὲν ἐπὶ τοῦ παρόντος, λύεται 5 δὲ εὐθὺς ἐφεξῆς· "Ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη." διὰ τοῦτο ἄρχεται μὲν λύειν, ὡς ἔφαμεν, τὸ ἀντέγκλημα, τὸ δ' αὐτὸ καὶ πρὸς ἀπόδειξιν λαμβάνει τῆς Αἰσχίνου δωροδοκίας. βούλεται γὰρ μὴ μόνον ἀπολογήσασθαι ὑπὲρ τῆς Θρᾴκης, ἀλλὰ καὶ ἀντεγκαλέσαι περὶ τῆς αὐτῆς Αἰσχίνῃ, ὡς ἑκοντὶ προεμένῳ καὶ αὐτὴν καὶ τὸν Κερσοβλέπτην. 10 περιφεύγων δὲ τὸ ὄνομα τοῦ Κερσοβλέπτου καὶ τὴν περὶ αὐτοῦ μνήμην τὴν Θρᾴκην ἀντ' ἐκείνου προβάλλεται, τῷ μείζονι τὸ ἔλαττον συμπεριλαμβάνων, μείζω καὶ πλείω ἐγκαλῶν ἢ ἐγκαλεῖται. φανερωτέραν δ' ἐποίησε καὶ ἐναργεστέραν τὴν χρῆσιν τοῦ θεωρήματος, εἰπὼν ἐφεξῆς "ἠξίουν ὑμᾶς ἐγώ." B.F.R.S.Y.Less.P. 15

ὅτι γὰρ ταῦτα οὕτω] τοῦτο πλείστην ἀκολουθίαν ἔχει πρὸς τὴν ἀντίθεσιν. ἐπειδὴ γὰρ βουλευομένης τῆς πόλεως περὶ τοῦ ποίαν δεῖ γενέσθαι τὴν εἰρήνην καὶ ἐπὶ τίσιν, ὁ Δημοσθένης ἐγκαλεῖ τῷ Αἰσχίνῃ ὡς παρελθόντι καὶ πείσαντι ἄνευ Φωκέων ποιήσασθαι· καὶ πάλιν Αἰσχίνης ἐγκαλεῖ τῷ Δημοσθένει ὡς πείσαντι ἄνευ Κερσο- 20 βλέπτου ποιήσασθαι. ἀποδείξας οὖν ἐν ταῖς προκειμέναις λύσεσιν ὅτι οὐ διὰ τὸ ἡττᾶσθαι τὴν πόλιν ἠνάγκασε τοιαύτην ποιήσασθαι τὴν εἰρήνην Αἰσχίνης, ἀπολογεῖται πάλιν ἐντεῦθεν ὡς οὐ δι' αὐτὸν ἀπώ-

1. οὖν om. P.
4. καὶ Αἰσχίνης] καὶ om. S.
κεκόμισται] κεκόμιστο B.
χρήματα] χρυσίον B. et, si quid Reiskii silentio tribuendum, Less.
5. ἀντέγκλημα] ἀντέγκλησις R.
λύεται] λέγεται B. et fortasse S.
6. εὐθὺς om. R.
εἰρήνη] καὶ τἄλλα add. P.
τοῦτο] τούτου W.
ἄρχεται μὲν] μὲν ἄρχεται P.
10. ὡς] καὶ ὡς B.
ἑκοντὶ B.R. ἑκόντι ceteri.
αὐτὴν] αὐτὸν B.S.R.Y. In scholio proximo ubi eadem fere leguntur circa finem verba καὶ αὐτὴν καὶ absunt.
11. περιφεύγων] παραφεύγων B.S. Non est verisimile scholiastam verbo Homerico (Od. M, 99.) quam vulgari περιφεύγειν ubi maluisse.
περιφεύγων—ὑμᾶς ἐγώ om. P. propterea, ut videtur, quod eodem fere modo scripta leguntur in fine scholii proximi. Ceterum in R. post hoc scholion deficiunt scholia usque ad p. 431, 5.
ὄνομα] ὄμμα F.R.
13. συμπεριλαμβάνων] συμπαραλαμβάνων F.R.
14. ἐναργεστέραν] ἐνεργεστέραν S.
19. ὡς παρελθόντι] ὥσπερ ἐλθόντι T.C.D.G.
21. οὖν om. V.

λετο Κερσοβλέπτης γράψαντα μὴ ἀναμένειν τοὺς παρ' ἐκείνου συνέδρους, ἀλλὰ δι' Αἰσχίνην βραδύναντα καὶ μὴ σπεύσαντα εἰς τοὺς τόπους ἔνθα ἐπίθετο εἶναι τὸν Φίλιππον, ὡς καὶ Δημοσθένης ἐγεγράφει, ὡς εἶναι τὴν ἀντίθεσιν ἀντεγκληματικήν· οὐ μόνον ἔπεισεν ἡμᾶς Αἰσχίνης τὴν εἰρήνην ἄνευ Φωκέων ποιήσασθαι, ἀλλὰ καὶ σὺ 5 ἔπεισας ἡμᾶς, ὦ Δημόσθενες, ἄνευ Κερσοβλέπτου ποιήσασθαι. ἀντεγκαλοῦσιν οὖν ἀλλήλοις περὶ ὧν ἔπεισαν, ὁ μὲν Δημοσθένης Αἰσχίνῃ ὅτι ἄνευ Φωκέων, ὁ δὲ Αἰσχίνης πάλιν τῷ ῥήτορι ὅτι ἄνευ τοῦ Κερσοβλέπτου. διὰ τοῦτο συστήσας ὁ Δημοσθένης ὅτι οὐ καλῶς ἄνευ Φωκέων, συνίστησιν ἐντεῦθεν ὅτι καλῶς ἄνευ Κερσοβλέπτου, 10 ἐπὶ τοῦ τότε παρόντος καιροῦ· ῥᾴδιον γὰρ ἦν σῶσαι τὸν Κερσοβλέπτην πλεύσαντας ἐπὶ τὴν Θρᾴκην τοὺς πρέσβεις. ἔθος δὲ τῷ Δημοσθένει τὰ χαλεπώτατα καὶ ἃ δέδοικε προλύσαντι μετὰ ταῦτα ἐπάγειν πολλάκις αὐτὰ τὰ λυποῦντα, τουτέστι τὰς παρὰ τῶν ἀντιδίκων προτάσεις. προϊούσης οὖν τῆς ἐργασίας τοῦτο ἐπήγαγεν· "ἐνθένδε 15 "τοίνυν αὐτοὺς ἐξήγαγον," ὡς σπεύδων σῶσαι τὸν Κερσοβλέπτην, τούτων δὲ βραδυνόντων καὶ μὴ θελόντων, ἵνα προδῶσιν αὐτόν. καὶ πάλιν ἑξῆς· "καὶ μὴν ὅτι τὸν Φίλιππον ἐν Ἑλλησπόντῳ κατελάβο- "μεν." ἐνταῦθα γάρ ἐστιν ἐνδεικνυμένου ποιήσασθαι ταχεῖαν τὴν εἰρήνην ἐπὶ τῷ σώζεσθαι Κερσοβλέπτην. καὶ ἡ μαρτυρία δὲ τοῦ 20 Εὐκλείδου αὐτὸ τοῦτο συνίστησι. διὰ γὰρ τὴν βραδύτητα τῶν πρέσβεων ἔφη πρὸς Εὐκλείδην ὁ Φίλιππος ἀγνοῆσαι τὸν καιρὸν τῆς εἰρήνης, καὶ διὰ τοῦτο χειρώσασθαι τὸν Κερσοβλέπτην. ὥστε τοῦτο τὸ μέρος λύσιν περιέχει τῶν κατὰ Δημοσθένους ἐγκλημάτων, καὶ ἀντέγκλημα κατ' Αἰσχίνου, ὡς ἑκόντος προεμένου τὸν Κερσοβλέπτην. 25 περιφεύγων δὲ τοὔνομα τοῦ Κερσοβλέπτου καὶ τὴν περὶ αὐτοῦ μνήμην τὴν Θρᾴκην ἀντ' ἐκείνου προβάλλεται, τῷ μείζονι τὸ ἔλαττον συμπεριλαμβάνων, καὶ πλείω καὶ μείζω ἐγκαλῶν ἢ ἐγκαλεῖται.

3. τὸν Φ.] τὸν om. V.

4. ἐγεγράφει W. ἐγγράφει codices omnes, etiam T. ex quo ἐγεγράφει affertur in P.

ἔπεισεν ἡμᾶς] ἔπεισεν ὑμᾶς V. Mox vero in C.G. ἔπεισας ὑμᾶς.

11. σῶσαι] ἐάσαι V.

15. ἐνθένδε—] p. 389, 23.

16. σπεύδων] σπεύσων C.G.

17. προδῶσιν αὐτόν] αὐτὸν προδῶσι V.

18. καὶ μὴν—] p. 392, 2.

21. βραδύτητα] βραδυτῆτα libri ut solent.

25. ἑκόντος] ἑκόντως V. in quo libri omnes consentiunt in scholio ad p. 390, 20. infra p. 412, 5.

φανερωτέραν δὲ ἐποίησε καὶ ἐναργεστέραν τὴν χρῆσιν τοῦ θεωρήματος εἰπὼν ἐφεξῆς, "ἠξίουν ὑμᾶς ἐγώ, καὶ τούτοις ἔλεγον πλεῖν τὴν "ταχίστην ἐφ' Ἑλλησπόντου·" ἡ γὰρ ταχύτης καὶ ἡ σπουδὴ ἔμφασιν ἔχει τῆς Δημοσθένους κηδεμονίας καὶ τοῦ σπεύδειν αὐτὸν σῶσαι τὸν Κερσοβλέπτην, ἵνα παρὰ τὸν μέλλοντα καὶ τὸν βραδύνοντα 5 ἡ προδοσία γένηται. T.C.V.

387, 26. καὶ ἐκ τῶν ἐπιλοίπων] τῶν Θρᾳκῶν λέγει. οὕτως οἶδεν οὐκ ἐγκλήματα προηγούμενα, ἀλλ' ὡς ὑπόλοιπα τῶν ἀποδείξεων. T.C.V.

387, 29. ἀπῄρκεσαν] ἀντὶ τοῦ ἀπέπλευσαν, ἀπὸ τοῦ ἀπᾶραι. 10 A.T.P.

388, 4. τὰ θαυμάσια] κατ' εἰρωνείαν. A.

388, 6. ἐφ' Ἑλλησπόντου] Ἀττική ἐστιν ἡ φράσις τὸ λέγειν, ἐπὶ Βυζαντίου, ἐφ' Ἑλλησπόντου. A.T.

καὶ μὴ προέσθαι μηδ' ἐᾶσαι] δείκνυσιν ὅτι οὐ παρὰ τὸ μὴ ἀνα- 15 μεῖναι τοὺς Κερσοβλέπτου συνέδρους ἀπόλωλεν ὁ Κερσοβλέπτης, ἀλλὰ διὰ τὴν τούτου βραδύτητα· ὥστε ἡ προδοσία ἐνταῦθα πέφηνεν. εἶτα ἐπειδήπερ ἀντέπιπτεν, ἀλλ' ἄδηλον εἰ μήπω ταῦτα κατειλήφει Φίλιππος, ἐμέρισε τὴν λύσιν, ταῦτα εἰπών, δίχα. ἀλλ' εἰ καὶ προειλήφει, ἀλλ' οὐ πάντα, καὶ αὐτὰ δὲ πάντα ἃ προειλήφει πάντως ἂν 20 ἀπέδωκε παρόντων ἡμῶν καὶ τῶν λοιπῶν ἐφείσατο ἄν. ἢ εἰ μὴ ταῦτα πεποιήκει, οὐκ ἂν ὡρκίζομεν αὐτόν, καὶ πάντες ἂν ἐφυλαξάμεθα, ταῦτα εἰδότες, ἐξαπατηθῆναι περὶ Φωκέων. καὶ κατασκευάζει διὰ τῶν ἑξῆς ὅτι καὶ ῥᾴδιον ἦν ἀνακομίσασθαι Κερσοβλέπτην Φωκέων σωζομένων. T.C.V. δυοῖν ἀποδεικτικὸν τὸ προκείμενον· ἑνὸς μὲν ὅτι οὐ παρ' 25 αὐτὸν ἀπόλωλε Κερσοβλέπτης, ἑτέρου δὲ τοῦ διὰ τὸν Αἰσχίνην καὶ τοὺς ἄλλους πρέσβεις ἑκόντας ἐπιβουλεύσαντας ἀπολωλέναι τὸν Κερσοβλέπτην. B.F.S.Y.Less.P.

1. ἐναργεστέραν] ἐνεργεστέραν V.
3. ταχύτης] ταχυτὴς libri.
10. ἀντὶ τοῦ om. P.
ἀπέπλευσαν] ἀπεπλεύκεσαν P.
ἀπὸ] ἐκ T.
ἀπᾶραι] ἀπαίρω P.
17. βραδύτητα] βραδυτῆτα libri.
πέφηνεν] πέφυκεν V.
21. ἡμῶν] ὑμῶν T.D.
24. Φωκέων add. W.
σωζομένων] σωζόμενον V.
25. δυοῖν] δυεῖν B.S.Y.Less. In B.S.Less. hoc scholion legitur ad p. 389, 23. cum lemmate ἐνθένδε μὲν τοίνυν.
ἀποδεικτικὸν] ἀποδείξεων S.
26. ἑτέρου] θατέρου Less.
27. τὸν Κερσοβλέπτην om. P.

388, 7. ἐν τῷ μεταξὺ χρόνῳ] τῆς εἰρήνης καὶ τῶν ὅρκων. T. C.V.

389, 1. ἀνατείνασθαι] ἀπειλῆσαι. T.C.V.

389, 12. ἐκκλησία] ἐκ τῶν τριῶν ἐκκλησιῶν λέγει τῶν ὡρισμένων, ὡς ἤδη ἐκείνων προαναλωθεισῶν τῶν τριῶν. A.T. 5

389, 13. διὰ τὸ προκατακεχρῆσθαι] δεδαπανῆσθαι. τὸν δὲ στρατηγὸν Πρόξενον λέγει, ἵνα μὴ προφασίζωνται φόβον ἢ κίνδυνον. T.C.V.

389, 25. σύνεσμεν τῷ Προξένῳ] ἵνα μὴ εἴπῃ, σὺ μὲν ἔγραψας λαβεῖν παρὰ Προξένου ἡμᾶς τριήρη, οὐκ ἠδυνήθημεν δὲ εὑρεῖν αὐτόν· 10 διὰ τοῦτο ἐπάγει, "ἐπορεύοντο κύκλῳ," καμπάς τινας καὶ οὐκ ὀρθὴν ποιούμενοι. T.C. V.

389, 28. τρεῖς καὶ εἴκοσιν ἡμέρας] λύσιν περιέχει τοῦ ἀντιπίπτοντος. ἐπειδὴ γὰρ ἠδύνατο Αἰσχίνης ἀνθυποφέρειν, ἀλλ' οὐκ ἦν ῥᾴδιον ἐν ἐλαχίστῳ χρόνῳ ὡς τὸν Φίλιππον ἐλθεῖν, λύει διττῶς, ὅτι 15 μάλιστα μὲν ἔδει πλεῖν, εἰ δὲ ἄρα μὴ ἐβούλεσθε, ἱκανὸς ἦν ὁ χρόνος ὥστε κατὰ γῆν ὑμᾶς πορευθέντας συμμῖξαι Φιλίππῳ. T.C.V.

390, 1. Πέλλῃ] ἰστέον ὅτι Πέλλη ἐκλήθη διὰ τὸ ἀπὸ βοὸς εὑρῆσθαι τὴν προσηγορίαν πελλῆς τὸ χρῶμα, ὅ ἐστι τεφρῶδες κατὰ τὴν Μακεδόνων φωνήν, ἢ παρὰ τοὺς πέλλας, τοὺς λίθους κατὰ τὴν Μακε- 20 δόνων φωνήν. A.T.C.V.

390, 2. ἐν δὲ τούτῳ Δορίσκον] ἔδειξε δι' ἣν αἰτίαν ἀπώλετο Κερσοβλέπτης καὶ Θρᾴκη. καὶ τὰ μὲν τῶν ἐγκλημάτων ἐπὶ Φίλιππον μετήνεγκε, τὰ δὲ εἰς τοὺς πρέσβεις. T.C.V.

390, 3. τὰ ἐπὶ τειχῶν] ἐν Θρᾴκῃ δηλονότι χωρία καὶ φρούρια. 25 σκόπει δὲ ὅτι ἄνω μὲν ἐπορεύοντο εἶπεν, ἑαυτὸν τοῦ ἐγκλήματος ὑπεξαιρῶν· ὕστερον δὲ καὶ ἑαυτὸν συγκατέμιξεν, ὃ ἦν διὰ τὴν ἀνάγκην ἀνεύθυνον. T.C.V.

6. τὸν δὲ στρατηγὸν] τὸν δὲ στρατηγὸν δὲ T. τὸν στρατηγὸν δὲ C.D.G. V.

7. λέγει] τοῦτο λέγει P., quæ præcedentia verba τὸν δὲ στ. Πρ. ut lemma habet.

9. σύνεσμεν] Apud Demosthenem συνεμίξαμεν.

ἵνα μὴ W. μὴ om. libri.

10. Προξένου] τοῦ προξένου V.

15. ὡς W. εἰς V. Neutrum est in codicibus.

18. ἰστέον ὅτι Πέλλη] πέλλη δὲ T. C.D.G. πέλλη δὲ ἡ πατρὶς φιλίππου V.

ἀπὸ Sauppius pro ὑπό.

19. πελλῆς] Libri πέλλης.

23. τῶν om. T.C.D.G.

390, 5. πολλὰ λέγοντος ἐμοῦ] ἵνα μὴ πρὸς ἀφοσίωσιν ἅπαξ εἰρηκέναι δοκῇ, προσέθηκε τὸ ἀεὶ κοινῇ τε καὶ φανερῶς λέγοντος, ὡς ἐνδεχομένου καὶ σωθῆναι τὸν Κερσοβλέπτην. αἱ δὲ ποικίλαι δημηγορίαι καὶ συμβουλαὶ καὶ πλάσεις καὶ πρὸς τοὺς πρέσβεις ἀπέχθειαι ἔνδειξιν περιέχουσι τῆς τε εὐνοίας τοῦ ῥήτορος καὶ τῆς ἐπιβουλῆς 5 ἐκείνων. T.C.V.

θρυλοῦντος] ἠρέμα αὐτοῖς λέγοντος. A.

390, 10. ὁ δὲ τούτοις ἀντιλέγων] τοῦτο εἶπεν, ἵνα μὴ γένηται παντελῶς κοινὸν, ἀλλ' ἴδιον. τοῦτο μὲν οὖν καὶ πάλαι προδιῳκήσατο ἐν τῇ τῶν ἐλέγχων ἀπαιτήσει, εἰπὼν μέγιστον εἶναι τοῦτο τὸ σημεῖον 10 τῆς δωροδοκίας τοῦ Αἰσχίνου, τὸ ἐξὸν αὐτῷ καταμαρτυρήσαντα Φιλοκράτους ἀπηλλάχθαι τῆς ὑποψίας, μήτε παρελθεῖν μήτε εἰπεῖν ἐναντίον Φιλοκράτει μηδέν. ἐνταῦθα δὲ ὁμοίως τῷ αὐτῷ κατακέχρηται καὶ ἐπὶ τῶν ἄλλων πρέσβεων, ἐνάγων αὐτοὺς καὶ προτρεπόμενος ἐπὶ τὴν μαρτυρίαν τὴν κατ' Αἰσχίνου. T.C.V. 15

390, 19. οἵτινες δ' οἱ τούτων μετεσχηκότες] πολλή γε ἡ δεινότης. ἐγκαλούμενος γὰρ τοσοῦτον ἀπέχει καθ' ἑαυτοῦ δοῦναι λαβὴν, ὥστε καὶ περὶ τῶν αὐτῶν ἐγκαλῶν φαίνεται. τὸ δὲ ἀνοσιωτάτους ἀνθρώπους, ἡ λέξις αὕτη δηλοῖ τὸν φιλόπολιν· πῶς γὰρ οὐκ ἀσεβέστατοι προδιδόντες τὴν γῆν ἐν ᾗ πρῶτον εἶδον τὸν ἥλιον; T.C.V. 20

390, 20. ἀλλὰ νὴ Δία ἐν τούτῳ τῷ χρόνῳ] ἐν τῷ χρόνῳ ἐν ᾧ ἐκάθηντο ἐν Πέλλῃ τὸν Φίλιππον ἀναμένοντες. δεινῶσαι δὲ ἐβουλήθη διὰ τῶν ἑξῆς τὸ ἀδίκημα καὶ σύστασιν δοῦναι τῷ δωροδοκήματι, ὅπου γε ἐπανιόντες τοὺς ὅρκους ἔλαβον, καὶ οὐκ ἐπ' αὐτῆς τῆς Μακεδονίας οὐδ' ἐν μέσῳ τῶν στρατοπέδων οὐδ' ἐν ἱερῷ, ἀλλ' ἐν πανδοκείῳ 25 καὶ κρύβδην κατὰ τὴν ἐπάνοδον. καὶ δῆλον ὅτι διατεθῆναι ὀργιλώτερον βούλεται τοὺς δικάζοντας, ὅμως δ' οὐδὲν ἧττον καὶ τὸ καθ' ἑαυτὸν ἀπολύσασθαι. ἵνα δὲ μὴ εἴπωσιν ὅτι οὐκ ἐνῆν ἱερὸν, ἀντεξήτασε τοὺς τόπους· ὅτι καὶ ἱεροῦ παρακειμένου ἐν πανδοκείῳ οἱ ὅρκοι ἐγίνοντο ἐν

1. ἵνα μὴ—λέγοντος] Hæc unius versus spatio scripta sunt in T. et ita quidem ut facile oculos legentis fugere possint: unde factum videtur ut hæc verba omitterentur in C.G.

4. πλάσεις T.D.V. πράξεις C.G. παραινέσεις W.

9. παντελῶς] φανερῶς pr. T.

12. εἰπεῖν] ἀντειπεῖν C.G.

14. προτρεπόμενος] τρεπόμενος V.

17. ἑαυτοῦ] ἑαυτὸν V.

24. γε] Legebatur γάρ.
οὐκ ἐπ'] οὐδ' ἐπ' C.G.

28. ἀπολύσασθαι. ἵνα δὲ μὴ] ἀπολύεται. ἵνα μὴ C.G.

βεβήλῳ τόπῳ καὶ φαύλῳ, καὶ ταῦτα ἱεροῦ πλησίον ὄντος Διοσκουρίου, καὶ διὰ τοῦτο καὶ μάρτυρας τοὺς θεασαμένους τὸν τόπον ἐπικαλεῖται. παρενέβαλε δὲ τὰ κατὰ τοὺς ὅρκους οὐκ ἀκολούθως, ἀλλ' ἵνα σημείου σημεῖον καὶ τοῦτο γένηται. ἡ μὲν γὰρ βραδύτης σημεῖόν ἐστι τῆς δωροδοκίας καὶ τοῦ ἑκόντως παραδοῦναι τὴν Θρᾴκην, ἡ δὲ 5 κατὰ τοὺς ὅρκους μνήμη, δείξασα μήτ' ἐν καιρῷ γεγενῆσθαι μήτ' ἐν τόπῳ προσήκοντι, πιστοῦται τὸ σημεῖον τῆς δωροδοκίας. T.C.V.

390, 28. ὅτε δεῦρο ἤδη τὸ στράτευμα] βούλεται μὲν εἰς Φωκέας εἰπεῖν, ἐπειδὴ ἄνω κατεσκεύασεν ὡς τεῖχος καὶ ἀσφάλεια τῶν Ἀθηναίων ἦσαν οἱ Φωκεῖς σωζόμενοι· διὰ δὲ τοῦ ἀπολέσθαι ἐκεῖνα ἀνεφύγει 10 αὐτῷ καὶ ἐπὶ τὴν Ἀττικὴν ὁδός. T.C.V.

391, 27. εἶτα τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου] ἣν ἀνέγνωκεν ἐν τῷ περὶ τοῦ στεφάνου, ὅπου εἶπεν ὅτι "ἐγὼ ταῦτα πεποίηκα ἀκόντων "Ἀθηναίων" τὸ δέ γε ψήφισμα τοῦ Φιλοκράτους, ὃ ἔγραψεν ἑκατέρους ἔχειν ἃ ἔχουσι· τὸ δὲ τοῦ δήμου, ἔνθα διωρθώσαντο ἕκαστον 15 ἔχειν τὰ ἑαυτοῦ. T.C.V.

392, 2. καὶ μὴν ὅτι τὸν Φίλιππον] ἐπιμένει ταῖς ἀποδείξεσι· τὸ γὰρ ἔγκλημα πανταχοῦ χαλεπὸν, διὰ πάντων συνιστὰς, ὅτι οὐ δι' αὐτὸν ἀπώλετο Κερσοβλέπτης. T.C.V.

392, 8. λέγε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν] ἀκούσασα ἡ πόλις 20 ἀπολωλέναι τὸν Κερσοβλέπτην ἀπέστειλεν ὕστερον Εὐκλείδην αἰτιασόμενον Φίλιππον διὰ τὰ ἐν Θρᾴκῃ γενόμενα. ὁ δὲ ἀπεκρίνατο μηδὲν ἡμαρτηκέναι· ὀψὲ γάρ ποτε συντυχεῖν τοῖς πρέσβεσι καὶ πρὸ τῶν ὅρκων λαβεῖν αὐτά. σκόπει δὲ καὶ τὰς λέξεις, καὶ ἐπιτήρει πῶς μὲν ἐπὶ τοῖς ἀνευθύνοις τὸ ἀπῄραμεν λέγει, πῶς δὲ ἐπὶ τοῖς μεμπτοῖς 25 "ἦλθον εἰς Ὠρεὸν οὗτοι," πόρρω ἑαυτὸν ποιῶν. καὶ τὸ "οὐκ ἀνέμει-"ναν τὸν κήρυκα" καὶ τὰ τοιαῦτα, ἐπιτήρει. T.C.V.

392, 12. ὅτι τοίνυν οὐδ' ἄρνησίς ἐστιν] ἀπολογησάμενος ὑπὲρ

1. Διοσκουρίου] Διοσκουρείου P. Vetus forma Attica Διοσκόρειον est: sed scholiastæ relinquendum Διοσκούριον.

3. παρενέβαλε W. pro παρέβαλε.

4. σημείου σημεῖον] Inverso ordine V.

βραδύτης] βραδυτὴς libri.

5. ἡ δὲ κατὰ] ἡ δὲ τῶν κατὰ P.

6. μήτ' ἐν καιρῷ W. pro μήτε ἐνὶ καιρῷ.

10. δὲ addidit P.

12. ἀνέγνωκεν W. pro ἀνέγνωκα.

13. περὶ τοῦ T.D. τοῦ om. ceteri. ὅτι om. V.

14. Ἀθηναίων] τῶν ἀθηναίων C.G.

21. ἀπολωλέναι] ἀπολωλεκέναι C. G.

ἑαυτοῦ καὶ συστήσας ὅτι οὐ δι' αὐτὸν ἀπώλετο Κερσοβλέπτης, ἐντεῦθεν ἄρχεται τῶν ἀποδείξεων τῶν κατ' Αἰσχίνου, συνιστὰς δι' αὐτὸν ἀπολωλέναι τὴν Θρᾴκην. T.C.V.

393, 5. ἔστιν οὖν ὅπως ἂν] ἐνθύμημα ἐπὶ τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ ἀπόδειξις ἐναργὴς ὥσπερ ἐν συλλογισμῷ τοῦ διὰ τὸν 5 Αἰσχίνην ἀπολωλέναι τὸν Κερσοβλέπτην. B.F.S.Y.R.

393, 10. σκέψασθε τί πράττων ἕκαστος] εὐκαίρως βούλεται φιλοτιμίαν ἑαυτοῦ προειπεῖν, ἢ τὴν ἀγρυπνίαν καὶ τὴν σπουδὴν αὐτοῦ δηλοῖ· οἷον, ποῦ πλανᾶται πολίτης ἐμός; ποῦ δυστυχεῖ τις αὐτόχθων αἰχμάλωτος; προσένειμε δὲ τοὺς αἰχμαλώτους τούτῳ τῷ μέρει, ἵνα 10 ἀναίρεσιν ἐργάσηται τῆς ὑπονοίας. τίς γὰρ ἂν εἵλετο παρὰ τῶν πολεμίων λαβεῖν, τὴν οὐσίαν ὑπὲρ τῶν αἰχμαλώτων καὶ τῆς πόλεως προέμενος; ἀλλὰ καὶ ἡ εἰσαγωγὴ τῆς μνήμης τῶν ξενίων δεινότητος ἀνάπλεως. οὐ γὰρ ὡς ἄπιστον κατασκευάζων εἰσήγαγεν, ἀλλ' ὡς ὁμολογουμένῳ κατεχρήσατο, ξένια αὐτοῖς ἐδίδου Φίλιππος, ὥς φησιν. 15 ἐμέρισε δὲ τοὺς ἐλέγχους τῆς δωροδοκίας καὶ τούτῳ τῷ μέρει, ἵνα τὰ καθ' ἑαυτὸν ἀποτρέψηται. ἐπειδὴ γὰρ ἀναγκαῖον ἦν τὸν ἑκόντα προδεδωκότα Κερσοβλέπτην, ἐπὶ χρήμασιν αὐτὸν προδεδωκέναι, ἀναγκαίως ἐνταῦθα ἐζήτησε, τίς ἐστιν ὃς χρήματα εἴληφεν; ὁ γὰρ μὴ ξένια ἑλόμενος παρὰ Φιλίππου λαβεῖν, ἀλλὰ μισήσας καὶ ἀποστρα- 20 φεὶς καὶ τοῖς ἄλλοις ἀπειπὼν μὴ λαβεῖν, δῆλός ἐστι μὴ προδούς. τί γὰρ ἂν ἐβουλήθη προδοῦναι μέλλων κερδαίνειν μηδέν; ὁ δέ γε λαβὼν κρύβδην παρὰ Φιλίππου τὰς δωρεὰς δῆλός ἐστι προέμενος αὐτῷ τὴν Θρᾴκην. τοῦτο δὲ πεποίηκεν Αἰσχίνης. δι' Αἰσχίνην ἄρα καὶ Κερσοβλέπτης ἀπώλετο. T.C.V. 25

393, 17. διεκωδώνιζεν ἅπαντας] ἐδοκίμαζεν, ἐπείραζεν· ἀπὸ μεταφορᾶς τοῦ κώδωνος οὗ περιάγουσι νύκτωρ οἱ φύλακες, ἀποπειρώμενοι εἰ ἐγρηγόρασιν οἱ περὶ τὰς πύλας φυλάττοντες. T.C.V. εὕρηται τὸ διακωδωνίσαι . . . . . φύλακας διὰ κώδωνος, εἰ καθεύδουσιν. A. 30

2. ἄρχεται—Θρᾴκην] Hæc pars scholii est etiam in B.F.Y. sic scripta ἀρχὴ τῶν ἀποδείξεων (ἀποδόσεων B.) τ. κ. αἰσχ. συνιστῶσα, δι' α. ἀ. τ. θρᾴκην.

8. φιλοτιμίαν—προειπεῖν, ἢ W. pro φιλοτιμίας—προειπεῖν ἤ.

12. οὐσίαν margo P. οὖσαν libri. καὶ τῆς W. καὶ om. libri.

13. καὶ ἡ W. ἡ om. libri.

17. ἀποτρέψηται] ἀποτρίψηται W.

19. τίς] ἔστις C.G.

29. Post διακωδωνίσαι aliquot verba præsecta sunt in A. quorum

393, 19. ὡς δ' ἀπετύγχανεν] ἐνταῦθα τὴν ἑαυτοῦ βούλησιν κατασκευάζει ὡς ἐπὶ τοῦ Κερσοβλέπτου, τίνα εἰκὸς ἦν μᾶλλον αὐτὸν προδοῦναι, τὸν ἑλόμενον μηδὲ ξένια λαβεῖν καὶ τὸν τὴν οὐσίαν προέμενον ὑπὲρ τῶν αἰχμαλώτων, ἢ τὸν λάθρα παρὰ Φιλίππου προσιέμενον ξένια; B.F.S.Y.T.C.V. 5

393, 22. εὐήθως] οὐ λέγει μωρῶς, ἀλλ' ἀκακούργως. A.T. ἁπλούστερον λαβεῖν ὡς οὐ δηλοῦντα δωροδοκίαν. T.C.V.

394, 2. τὸ διεκρούσατο ἀντὶ τοῦ ὑπερέθετο. A.T.

394, 6. φέρε δὴ καὶ ὅσα αὐτὸς] δυοῖν ἐστιν ἐν τούτῳ σύστασις, τοῦ τε αὐτὸν μὴ δωροδόκον γεγενῆσθαι καὶ τοῦ μόνον τῶν πρέσβεων 10 εἶναι φιλόπολιν. ἐπειδὴ γὰρ τὸ ἔγκλημα εἰς ἅπαντας διήκει—ἅπαντες γὰρ ἐδόκουν διατετριφέναι κατὰ τὴν Μακεδονίαν—, τῇ διαφορᾷ τὸ ἐξισάζον λύει· οὗτοι μὲν τηνάλλως διῆγον, ἐγὼ δὲ ὑπὲρ τῆς πόλεως καὶ τῶν αἰχμαλώτων τὴν διατριβὴν ἀνήλισκον. T.C.V.

394, 9. ἀπιστοῦντες ὡς ἐμοὶ δοκεῖ] μεγάλην ἀποφαίνει τὴν 15 δαπάνην, ὡς καὶ τοὺς αἰχμαλώτους ἀδύνατον νομίσαι προῖκα τὴν ἄφεσιν γενέσθαι. τὸ δὲ ἐδανείζοντο δοκεῖ μὲν ὑβριστικὸν εἶναι, αὐξῆσαι δὲ τὴν δαπάνην βουλόμενος εἶπεν ὅτι Καὶ τὸν τόκον ἀφῆκα καὶ τὸ κεφάλαιον. T.C.V.

394, 16. οἷς αὐτὸς ἔχρησα τἀργύριον] ἐπειδὴ ἐκακίζετο ὁ τόκος, 20 ὑπέμνησε μὲν ἐξ ἀρχῆς, χρηστῷ δὲ ὀνόματι τῷ ἔχρησα ἐκφεύγει τὸ ἄτοπον. T.C.V.

394, 19. τῶν ἄλλων ὑπὸ τοῦ Φιλίππου] αἰνίττεται ὅτι πάντας ἀφῆκεν, εἰ μὴ προλαβὼν ὑπέσχετο αὐτοὺς λύσασθαι καὶ δώσειν εἰς δύναμιν. ἀφῆκα δὲ, λέγει, τὰ δοθέντα παρὰ Φιλίππου αὐτῷ εἰς λόγον 25 ξενίων. τὸ δὲ δέδωκα δωρεὰν, ἅπερ ἐχαρίσατο τοῖς αἰχμαλώτοις. T.C.V.

sensus hic fere fuisse videtur πρὸς τὸ πειράζειν τοὺς—, vel, si εὕρηται in εἴρηται mutandum sit, ἀπὸ τοῦ π. τ.

2. ὡς ἐπὶ τοῦ] τὴν περὶ W.

μᾶλλον αὐτὸν] αὐτὸν μᾶλλον Y.V.

3. μηδὲ] μὴ S. Verba τὸν ἑλόμενον —λαβεῖν καὶ absunt a T.C.V.

4. παρὰ Φιλίππου] τῷ φιλίππῳ B.

προσιέμενον ξένια] ξένια προσιέμενον S. ξένια λαβόντα T.C.V.

7. ὡς οὐ T. οὐ om. ceteri.

12. διατετριφέναι] διατετριβέναι V.

διαφορᾷ] φορᾷ C.G.

16. νομίσαι—γενέσθαι] Inverso ordine C.G.

21. ἔχρησα et in scholio proximo ἀφῆκα P. ἔχρησεν et ἀφῆκε codices et V.

25. ἀφῆκα—αἰχμαλώτοις] Hæc etiam A., sed cum lacuna, ἀφῆκε γὰρ λέγει τὰ ..... δωρεὰν ἅπερ ἐ. τ. αἰ.

394, 24. καὶ δωρεὰν ἔδωκα τοῖς ἀτυχήσασι] συλλογίζεται τὸ κεφάλαιον μετὰ τῶν τόκων, ἵνα φαίνηται αὐτῷ τὸ τῆς φιλοτιμίας διπλάσιον. T.C.V.

395, 3. δεινὸν οὖν ψεύσασθαι] ἐμοὶ μὲν δεινὸν ἐπὶ ὀλίγων ψεύσασθαι, Αἰσχίνης δὲ παρούσης ὅλης τῆς πόλεως ἐψεύσατο. εἰ δεινὸν πρὸς ὀλίγους ψεύσασθαι καὶ ταῦτα δυστυχοῦντας, δεινότερον πρὸς ὅλον δῆμον, καὶ ταῦτα τὸν Ἀθηναίων. T.C.V. ἀντιπῖπτον λύει, ἵνα μή τις εἴπῃ, ἀλλ' ἡδύνω καὶ ἐν τῇ δευτέρᾳ πρεσβείᾳ ἐξομόσασθαι, ὥστε μὴ ἀπελθεῖν μετὰ τῶν πρέσβεων, ἀλλ' ἰδίᾳ· ἐπάγει οὖν, ἀλλ' οὐκ ἦν μοι ἀσφαλὲς τὸ ἰδίᾳ ἀπελθεῖν καὶ πλανᾶσθαι ἐκεῖσε, μὴ ἔχοντι τὸ ἀσφαλὲς τὸ ἐκ τῶν πρέσβεων. A.T.C.V.

395, 4. ἰδίᾳ δ' ἐξομοσάμενον] οὐκ ἔστιν ἀργόν, ἀλλ' ἔχει τὴν ἀναφορὰν πρὸς τὴν Αἰσχίνου πρεσβείαν, μᾶλλον δὲ πορείαν καὶ πλάνην παρὰ τὸν Φίλιππον. T.C.V. ἐξώλης δὲ λέγεται ὁ ἀπολούμενος ἐκτὸς τῆς πατρίδος, προώλης δὲ ὁ πρὸ τῆς εἱμαρμένης τελευτῶν. τὸ δὲ παράλληλα ἀντὶ τοῦ παρατιθέμενα ἀλλήλοις καὶ συγκρινόμενα. A.T.C.V.

396, 3. εἶθ' ὁ γενναῖος οὑτοσὶ] τῇ ὑπερβολῇ τῶν ἐγκλημάτων τὸ κατὰ Θρᾴκην ἔγκλημα λύει· ὅταν γὰρ παρὰ τὴν ἀξίαν καὶ τὴν ὑπόνοιαν μείζονά τις ἐγκαλῇ τῷ ἔλαττον ἡμαρτηκότι, τὸ τηνικαῦτα διὰ τὴν ὑπερβολὴν ἀπιστεῖν εἰώθασιν οἱ ἀκούοντες. T.C.V.

396, 4. καταλύσειν ἐπηγγέλθαι] καὶ τοῦτο ἀπίθανον ἀπὸ τοῦ μεγέθους τῶν ἐγκλημάτων. τίς γὰρ ἂν πιστεύσειεν ὅλον Ἀθηναίων δῆμον προδοθῆναι ὑφ' ἑνὸς ἀνδρὸς τῷ Μακεδόνι; T.C.V.

396, 5. ὅτι ταῦτ' ἐπέπληττον] τοῦτο ἡ λύσις· τὸν γὰρ ἐπιπλήττοντα τοῖς δωροδόκοις, τοῦτον ἔδει τἀναντία ποιεῖν. καὶ ἄλλη δὲ λύσις, δεδιὼς μὴ συμπαραπόλωμαι· τίς γὰρ ἂν προδοίη τούτους μεθ' ὧν συναπολεῖται; T.C.V.

5. εἰ δεινὸν] εἰ δεῖν codices.
7. τὸν T.D. τῶν ceteri.
λύει] δὲ λύει T.C.V.
8. ἡδύνω] ἡδύνου codices.
14. παρὰ] περὶ V.
15. ἐκτὸς A. ἐκ ceteri. In A. hoc scholion sic conformatum, τί ἐστιν ἐξώλης καὶ προώλης; ἐξώλης λέγεται—ἐκτὸς—προώλης ὁ πρὸ—τελευτῶν.
16. τὸ δὲ (τὸ δὲ om. A.) παράλληλα] p. 395, 24.
ἀλλήλοις] παρ' ἀλλήλοις V.
23. ὅλον] ὅλον τῶν C.G. ὅλον τὸν V.
24. δῆμον προδοθῆναι] τὸν δῆμον καταπροδοθῆναι V.
27. τούτους V. τούτοις ceteri, nisi quod D. τούτους a m. sec. habet.
28. συναπολεῖται T.D. συναπόληται C.G. συναπόλοιτο V.

396, 9. Δερκύλος δ' αὐτὸν] ἵνα μὴ δοκῇ ὡς ἐχθρὸς λέγειν, ἄλλῳ περιτίθησι· καὶ ὁ καιρὸς δὲ τῆς νυκτὸς ὑποψίαν ἐργάζεται. οὐκέτι δὲ περὶ τῆς Θρᾴκης ταῦτα λέγει, ἵνα μὴ ὥσπερ ἴδιον γένηται τὸ ἔγκλημα, ἀλλὰ τῆς ὅλης δωροδοκίας. ἐπειδὴ γὰρ ἐνεκάλεσε τῷ Δημοσθένει προδεδωκέναι τὸν Κερσοβλέπτην, διὰ τοῦτο ἐφύλαξε τὰς ἀποδείξεις τῆς δωροδοκίας κἀν τούτῳ τῷ μέρει. T.C.V.

396, 15. καὶ ταῦτα ὅτι ἀληθῆ λέγω] πῶς κατηγορῶν μαρτυρεῖν ἐπαγγέλλεται; ἢ δῆλον ὡς ἐν ἄλλοις καὶ οὐκ ἐν οἷς ἐγγράφει; ἔστι δὲ τὸ ἐγγράφως καταμαρτυρεῖν μᾶλλον ἐπικίνδυνον. ἐπεὶ οὖν ἄτοπον ἦν τὸν αὐτὸν κατηγορεῖν καὶ μαρτυρεῖν, ἔδωκεν ἡμῖν μεθόδους, προσθεὶς καὶ εἰπὼν καὶ συγγραψάμενος. ὁ γὰρ κατὰ συγγραφὴν μαρτυρῶν ἑαυτὸν ὑπεύθυνον κατηγορίᾳ καθίστησιν. ἔπειθ' ὅτι εὐθύνας ἀπαιτῶν οὐδὲν παράδοξον, εἰ βούλεται μαρτυρεῖν συγγραψάμενος. ἔπειτα καὶ δι' ἄλλο τι χρήσιμον τοῦτο πεποίηκεν, ἵνα καὶ τοὺς ἄλλους προτρέψηται ταὐτὸν ποιῆσαι, ἑαυτὸν παράδειγμα τοῖς ἄλλοις παρασχών, καὶ προδοποιῶν ἐκείνοις τὴν μαρτυρίαν, οὐ περὶ ὧν νῦν προέτεινε. κατηγορεῖ μὲν γὰρ προδοσίας Φωκέων καὶ δωροδοκίας ἐνταῦθα, ὅτι νύκτα καὶ ἡμέραν ἔμεινε παρὰ Φιλίππῳ Αἰσχίνης. πολλὴ δὲ διαφορὰ μαρτυρίας καὶ μάρτυρος· ὁ μὲν γὰρ μάρτυς αὐτοπροσώπως εἰσιὼν ἐμαρτύρει καὶ οὐκ ἦν ὑπόδικος, ὁ μέντοι γε μαρτυρίαν συγγραψάμενος ἐδίδου ἑαυτὸν ὑπεύθυνον τῷ καταμαρτυρηθέντι καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον. T.C.V.

395, 19. μαρτυρεῖν ἢ ἐξομνύναι] προϊδὼν τὴν τῶν πρέσβεων ἀπέχθειαν χρησίμως ἐπὶ τὴν μαρτυρίαν αὐτοὺς καλεῖ· ἢ γὰρ μαρτυρήσαντες παρέξουσιν ὃ βούλεται, ἢ ἐναντιούμενοι δείξουσιν ὡς οὐ ταὐτὰ ἐκείνῳ ἐπρέσβευσαν. τοῦτο δέ ἐστιν ὃ μάλιστα συστῆσαι βούλεται. T.C.V.

396, 22. οἵοις μὲν τοίνυν] ὡς σχετλιάζων λέγει, διὰ τὸ τοὺς πρέσβεις ἐξομόσασθαι, μὴ εἰδέναι. A.T. κληθέντες οἱ πρέσβεις οὐκ ἠθέλησαν μαρτυρεῖν. διὸ σχετλιάζων ταῦτα λέγει. κινηθείσης

1. Δερκύλος] Libri δερκύλλος (hoc accentu).
6. κἀν V. καὶ codices.
9. καταμαρτυρεῖν W. pro κατηγορεῖν.
16. προδοποιῶν] προδοποιούμενος C. G.
17. κατηγορεῖ V. κατηγόρει codices.
γὰρ] γὰρ ἂν C.G.
23. μ. ἢ ἐ.] Lemma om. V.
25. ὡς οὐ ταὐτὰ V. ὡς τὰ codices.

δὲ ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀντιθέσεως καθ' ἃ ἔδοξεν Αἰσχίνης πεπεικέναι τὸν δῆμον ἄνευ Φωκέων ποιήσασθαι τὴν εἰρήνην, ἀντετέθη ἑτέρα ἀντίθεσις ἀντεγκληματική· καὶ μὴν σὺ δεινότερα ἔπεισας, ὦ Δημόσθενες, καταναγκάσας τὴν πόλιν ποιήσασθαι θᾶττον τὰς συνθήκας, πρὶν ἀφικέσθαι τοὺς παρὰ Κερσοβλέπτου συνέδρους, καὶ τοῦτον τὸν τρόπον αὐτὸς ἀπολώλεκας Κερσοβλέπτην. διὰ τοῦτο τοίνυν ἠναγκάσθη ὁ Δημοσθένης μὴ μόνον τὸ κατὰ Φωκέων συστῆσαι προδοσίαν γεγονὸς, ἀλλὰ καὶ ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ ὡς μὴ ἀπολωλεκότος τὸν Κερσοβλέπτην, καὶ ἀντεγκαλέσαι Αἰσχίνῃ ἐκ τῆς αὐτῆς ἀκολουθίας περί τε τοῦ Κερσοβλέπτου καὶ αὐτῆς τῆς Θρᾴκης, παν- 10 ταχοῦ συνιστὰς ἐπὶ δώροις αὐτὸν καὶ τὰς εἰσηγήσεις καὶ τὰς βραδύτητας πεποιηκέναι τῶν χρόνων· ὡς μὴ ζήτημα τοῦτο εἶναι, ἀλλ' ἀπόδειξιν καὶ σύστασιν τῆς δωροδοκίας, ὅτι οὐδεπώποτε οὔτ' εἶπεν Αἰσχίνης οὔτε εἰσηγήσατο ἄνευ τοῦ λαβεῖν χρήματα καὶ ἐπὶ δώροις τὰς εἰσηγήσεις ποιεῖσθαι. T.C.V. 15

396, 26. συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορημένα] ἀνακεφαλαίωσις μερική. A. ἀνακεφαλαίωσιν ποιεῖται τῶν εἰρημένων πολλῶν ὄντων, ἵνα μὴ ἐπιλάθωνται. αὐτὸς δὲ ἐπισημαίνεται καὶ διὰ τῶν ἐπιλόγων ταῦτα. ηὔξησε δὲ, ἵνα μᾶλλον τοὺς ἀκούοντας εἰς ὀργὴν ἐκκαλέσηται. αὐτίκα γοῦν οὐκ ἀποδείξεις, ἀλλὰ αὐξήσεις 20 πεποίηται. αἱ δὲ αὐξήσεις πάθους εἰσὶ κινητικαὶ, ἡγησάμενος συναρπάζειν ἐκ τούτων τοὺς ἀκούοντας καὶ προαγαγεῖν εἰς ὀργήν. T.C.V. συλλογίζεται λοιπὸν καὶ ἀνακεφαλαιοῦται τὰ προειρημένα πάλιν, ἵνα δείξῃ τοῦτο τὸ μέρος ὂν τῶν προειρημένων, οὐκ αὐτὸ καθ' αὑτὸ ὑπάρχον ζήτημα· ὁ γὰρ κοινὸς ἐπίλογος τὴν τῶν πραγμάτων κοινωνίαν 25 συνίστησιν. B.F.S.Y.P.

397, 21. οὐ γὰρ μόνον Φωκέας] ἐντεῦθέν τινες συγκατασκευαζόμενον ἀπεφήναντο εἶναι τὸν λόγον οὐκ ὀρθῶς. οὐ γὰρ ἐξ ἀρχῆς οὐδ' ἐν τοῖς ἀγῶσι τοῦτο ποιήσας φαίνεται, ἀλλ' ὕστερον ὡς ἐν ἐπιλόγοις

7. Φωκέων V. φωκέας codices.
11. βραδύτητας] βραδυτῆτας libri.
14. καὶ om. V.
ἐπὶ om. C.G.
20. ἐκκαλέσηται] ἐγκαλέσηται C. G.V.
27. ἐντεῦθέν τινες—διὰ τὸ] ὅτι οὐκ ἔστι συγκατασκευαζόμενος στοχασμὸς, ἀλλ' ἐμπίπτει . . . . . (sedecim fere literæ præsectæ, quæ ex scholio edito apparet τινὲς γὰρ ᾠήθησαν fuisse) εἶναι συγκατασκευαζόμενον διὰ τὸ A.
συγκατασκευαζόμενον] συγκατασκευαζόμενοι C.G.

αὔξων τὴν δωροδοκίαν. ἔστι δὲ ἐμπῖπτον. τινὲς γὰρ φήθησαν συγκατασκευαζόμενον διὰ τὸ ὥσπερ δύο ἐγκλήματα εἶναι, τὰ περὶ Θρᾴκην καὶ τὰ κατὰ Φωκέας. ἡμεῖς δὲ λέγομεν ὅτι οὐκ ἀπὸ ἑνὸς ῥήματος δεῖ χαρακτηρίζειν πᾶσαν στάσιν, ἀλλ' ἐκ τῶν πλειόνων. εἰ γὰρ ἦν συγκατασκευαζόμενος, διὰ τί μὴ ἔταξε τὰ κατὰ Θρᾴκην μήτε ἐν τῇ διηγήσει μήτε ἐν τοῖς ἀγῶσι; λέγομεν γοῦν ὅτι εἰς σημεῖον μόνον τῆς προδοσίας λέγει τὰ κατὰ Θρᾴκην, ὥσπερ καὶ ἄλλων σημείων ἐμνήσθη. A.T.C.V.

398, 11. καίτοι τούτων οὐδενὸς] μετὰ τὴν ἀπώλειαν τῆς Θρᾴκης καὶ τῶν Φωκέων ἐψηφίσαντο ἀναγκάζοντες αὐτὸν ἀφεῖναι τὸν Κερσοβλέπτην καὶ τῆς Ἀμφικτυονίας ἀποστῆναι. διὸ λέγει "καίτοι "τούτων οὐδενὸς ἄν." οὐ γὰρ ἂν ἔφθη χειρωσάμενος τὸν Κερσοβλέπτην ὁ Φίλιππος, εἰ πλεῖν ἤθελεν Αἰσχίνης· ἐσώζοντο γὰρ ἂν Φωκεῖς, καὶ οὐ κατεφρόνει τῆς πόλεως ὁ Φίλιππος. T.C.V.

398, 13. νῦν δ' ἃ μὲν ἦν] περίοδος. B.

398, 15. ἀγανακτήσει] ἔστι μὲν ἀντιληπτικὴ ἡ ἀντίθεσις. ἔγνωμεν δὲ ἐξ ὧν ἠκούσαμεν ἐν ταῖς τέχναις ὅτι, ὅταν τις κρίνηται ἐφ' οἷς αὐτὸς εἴρηκεν ἢ πεποίηκεν ἢ κέκτηται, τὸ τηνικαῦτα εἰς τὸ τοιοῦτο χωρεῖ κεφάλαιον· ἐπὶ γὰρ τὴν ἀντίληψιν καταφεύγειν βούλεται. τὸ δὲ συνεκτικώτατον τῆς ἀπολογίας Αἰσχίνου τοῦτό ἐστι τὸ κεφάλαιον. ἡ δὲ λύσις κατὰ συνδρομὴν, ὅτι πάντως λόγον δεῖ παρέχειν εὐθύνας. ἔστι δὲ τῶν σημείων τοῦ προτέρου ζητήματος τὸ ἀντιληπτικόν. εἰσῆκται δὲ βαρέως· τὸ γὰρ ἀγανακτήσει σημαίνει τὸ τυραννικὸν, οὐκ ἀνεχόμενον ἔτι τὰς εὐθύνας διδόναι. B.F.S.Y. ἀντίθεσις ἀντιληπτικὴ, ἥντινα λύει ὁ ῥήτωρ μεταληπτικῶς· τοῦ γὰρ Αἰσχίνου λέγοντος ὅτι ἐξῆν μοι συμβουλεύειν ἅπερ ἐνόμιζον εἶναι συμφέροντα, λύει ὁ ῥήτωρ· "ἀλλ' ἐξῆν σοι (φησί) λέγειν ἐν ἄλλοις, "ἀλλ' οὐκ ἐν οἷς ἔβλαπτες τὴν πόλιν δῶρα δεξάμενος." A.T.

1. γὰρ] δὲ V.

5. συγκατασκευαζόμενος] συγκατασκευαζόμενον A.

16. ἡ om. S.

17. ταῖς τέχναις] τῇ τέχνῃ F.

20. τὸ συνεκτικώτατον—κεφάλαιον] Hæc verba habet etiam P.

21. ἡ δὲ λύσις] δὲ om. S.Y. in quibus hoc est novi scholii initium, in S. scriptum ad marginem verborum συγγνώμην ἔχετε (398, 22).

23. σημαίνει τὸ τυραννικὸν S. τὸ τυραννικὸν σημαίνει B.F. τὸν τύραννον σημαίνει Y.

24. ἀνεχόμενον ἔτι τὰς εὐθύνας διδόναι S.Y. ἀνεχομένου τὰς εὐθύνας ἔτι διδόναι B.F.

ἀγανακτήσει τοίνυν] ἀντιληπτικὴ ἡ ἀντίθεσις. ἐξῆν γὰρ λέγειν, φησί, καὶ τὸ ἀπαγγέλλειν ἀνεύθυνον. λύει δὲ κατὰ συνδρομὴν, ὅτι πάντως λόγων δεῖ παρέχειν εὐθύνας. ἔστι δὲ τῶν σημείων τοῦ προτέρου ζητήματος. τὸ δὲ ἀντιληπτικὸν εἰσῆκται βαρέως. τὸ δὲ ἀγανακτήσει σημαίνει τὸν τύραννον μὴ ἀνεχόμενον εὐθύνας διδόναι. 5 καλῶς δὲ ἐφ' ἅπασι τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους τέθειται, ἵνα μηδαμόθεν ἔχῃ πρὸς τὴν ἀπολογίαν ἐπικουρίαν. ἐάλωκεν εἰσηγούμενος ταὐτὰ τῷ Φιλοκράτει, κωλύσας τοὺς Ἕλληνας κοινωνῆσαι τοῦ συνεδρίου, πείσας τὴν πόλιν ἄνευ Φωκέων ποιήσασθαι τὴν εἰρήνην, μὴ συγχωρήσας τε περὶ τῶν δικαίων μηδένα ποιῆσαι λόγον, περὶ 10 τῆς Ἀμφιπόλεως λέγω καὶ περὶ Θρᾴκης, ἐξηπάτησεν ἀπελθὼν ἐκ τῆς πρεσβείας πρὸς τὸν δῆμον, εἶπε σωθήσεσθαι Φωκέας, καὶ ἀπολώλασιν, ἀπολεῖσθαι Θηβαίους, καὶ σώζονται. πῶς οὖν δυνήσεται καταφεύγειν ἐπὶ τὸ ἐξεῖναι λέγειν; T.C.V.

399, 14. καὶ τοῦθ' ὅταν ᾖ κήρυξι] πρόγραμμά ἐστι τὸ προτιθέ- 15 μενον τῆς ἐκκλησίας, ὥστε βουλεύσασθαι ἢ περὶ τοῦ πέμψαι πρέσβεις, ἢ πρέσβεων ἡκόντων μαθεῖν ὅ τι λέγουσι. T.C.V.

399, 20. τῇ τῶν πολλῶν ἀδυναμίᾳ] τῇ τῶν πενήτων διοικήσει· δεῖ γὰρ ἐνδοῦναι αὐτοῖς, ἵνα τὰ οἴκοι διοικήσωνται. T.C.V.

399, 24. ἔστι τοίνυν τις πρόχειρος λόγος] ἀντίθεσις ἀπὸ τοῦ 20 συμφέροντος. A.F.Y. ἀντίθεσις ἐπιλογικὴ καὶ ἀκόλουθος τῇ προτέρᾳ. ἡ μὲν γὰρ ἀρχὴν ἔχθρας λέγει γίνεσθαι, ἡ δὲ νῦν ὅτι οὐκ ἐῶσιν εὖ ποιεῖν τὸν Φίλιππον. καὶ ἐν ἐκείνῃ μὲν ἔλεγεν ὅτι ἀρχὴ γενήσεται τῆς πρὸς Φίλιππον ἔχθρας, ἐνταῦθα δὲ ἀκολούθως ὅτι οὐδὲ εὐεργετήσει· οὐ γὰρ οἷόν τε τὸν ἔχθιστον εὐεργέτην γενέσθαι τῶν 25 πολεμίων. ἐκεῖνο περὶ τῆς εἰρήνης ἦν, ἐνταῦθα περὶ τῆς εὐεργεσίας, καὶ ὅτι οὐκ εὖ ποιήσει τοῦ λοιποῦ τὸν δῆμον, εἰ καταψηφιούμεθα τῶν πρέσβεων. ἡ δὲ λύσις ἐξ ἀτέχνων πίστεων. παρέχεται γὰρ διαφόρους ἐπιστολὰς, ἐν αἷς πλεῖστα πολλάκις ὑποσχόμενος οὐδέν τι τὴν πόλιν ποιήσας φαίνεται. T.C.V. πεπληρωμένων τῶν κεφα- 30

2. κατὰ συνδρομὴν] Fort. κατ' ἀναίρεσιν. Negat enim sermones esse liberos, sed de iis rationem esse reddendam. WOLF.

4. τὸ δὲ ἀντιληπτικὸν] Fort. τὸ δὲ παραλειπτικόν. WOLF.

8. ταὐτὰ W. pro ταῦτα.

10. π. λόγον] λόγον π. V.

11. καὶ περὶ] καὶ τῆς V.

23. καὶ ἐν ἐκείνῃ] καὶ ἐκείνῃ V.

24. γενήσεται] Legebatur γεγένηται. Correctum ex p. 420, 4.

λαίων καὶ τῶν ἀγώνων ἤδη καὶ τῶν ἀποδείξεων μετελήλυθεν ἐπὶ τὴν ἀντίθεσιν ταύτην, ἐπιλόγου χρείαν πληροῦσαν· ἔχει δὲ ἀκολουθίαν πλείστην καὶ συγγένειαν πρὸς τὴν προειρημένην ἤδη ἐπιλογικὴν ἑτέραν ἀντίθεσιν. ἐν ἐκείνῃ μὲν γὰρ ἐλέγετο ὅτι ἀρχὴ γενήσεται τῆς πρὸς Φίλιππον ἔχθρας, ἐνταῦθα δὲ ἀκολούθως ὅτι οὐδὲ εὐεργετήσει καὶ ὅτι οὐκ εὖ ποιήσει τοῦ λοιποῦ τὸν δῆμον, εἰ καταψηφιούμεθα τῶν πρέσβεων. ἡ δὲ λύσις ἐξ ἀτέχνων πίστεων. παρέχεται γὰρ διαφόρους ἐπιστολὰς, ἐν αἷς πλεῖστα πολλάκις ὑποσχόμενος Φίλιππος οὐδέν τι τὴν πόλιν εὖ ποιήσας φαίνεται. B.F.S.Y.P.

399, 29. τὰς δ' ἐπιστολὰς ὑμῖν ἀναγνώσομαι] ἐν αἷς εὖ ποιεῖν ἐπαγγειλάμενος οὐδὲν ἤγαγεν εἰς πέρας. T.C.V.

400, 1. ὅτι τὸ ψυχρὸν τοῦτο ὄνομα] ἤτοι ἀλαζονείας γέμον· ψυχροὺς γὰρ τοὺς ἀλαζόνας λέγουσιν· ἐν οἷς ἄνω καὶ κάτω βοᾷ εὐεργετῆσαι τοὺς Ἀθηναίους. παρελήλυθεν ἄχρι κόρου ἀπατῶν· ἐκορέσθημεν τῆς ἀπάτης. ἢ, ὥς τινες, ψυχρὸν τὸ εὐτελὲς, καὶ παροιμιῶδες τὸ ἄχρι κόρου. T.C.V.

400, 4. οὕτω τοίνυν αἰσχρὰ] παρέκβασις, προοίμιον καὶ εἰσβολὴ τῆς παρεκβάσεως. B.F.S.Y. προοίμιον καὶ εἰσβολὴ τῆς παρεκβάσεως. ἀπὸ δὲ τοῦ οἰκείου ἤθους ἀρξάμενος πειρᾶται τὴν οἰκείαν σώζειν ὑπόληψιν, φιλοσόφου μᾶλλον πρᾶγμα ἢ ῥήτορος ἀπεργασάμενος· τοῦ μὲν γὰρ ῥήτορος συμφέρων ἐστὶ τὸ τὰ ἐμπίπτοντα ζητεῖν, τοῦ δὲ φιλοσόφου φροντίζειν τῆς εἰς ἅπαντα τὸν βίον ὑπολήψεώς τε καὶ δόξης. εἴληφεν οὖν τὴν πρόφασιν ἀπὸ τῶν Αἰσχίνου λόγων. Δημοσθενικῆς γὰρ τοῦτο μεθόδου, τὸ μὴ ἀπὸ τοῦ οἰκείου προσώπου εἰσάγειν ἢ ψόγου ἀναίρεσιν ἢ οἰκείων ἐπαίνων σύστασιν, ἀλλὰ κατά τινα ἀνάγκην καὶ χρείαν. ὡς οὖν Αἰσχίνου βλασφήμους περὶ αὐτοῦ πεποιημένου λόγους, οὕτως ἀναγκάζεται τὴν ἀπολογίαν ποιεῖσθαι. εἶτ' εὐαφόρμως μέτεισιν ἀπὸ τοῦ οἰκείου ἤθους ἐπὶ τὴν ἀντεξέτασιν τοῦ ἤθους Αἰσχίνου. καὶ γίνεται τὸ ἴδιον τῆς παρεκβά-

1. καὶ τῶν ἀγώνων om. Y.P. In B. pro verbis πεπληρωμένων τῶν— ἔχει δὲ nihil legitur præter τὴν χρείαν πλήρη (πληροῖ Sauppius), ἔχει δὲ—.

6. καὶ ὅτι οὐκ] οὐδὲ B.

εὖ ποιήσει] εὐποιήσει B.S. et infra εὐποιήσας:

7. διαφόρους—φαίνεται] Pro his P. brevitatis caussa posuit καὶ τὰ ἑξῆς ὥσπερ ἄνω.

12. ἤτοι W. pro ἢ τό.

13. εὐεργετῆσαι] εὐεργετήσειν W.

20. μᾶλλον om. V.

29. παρεκβάσεως] παραβάσεως V.

σεως κατὰ τὴν ἀντεξέτασιν, ὡς εἶναι παρόμοιον τῷ ἐν τῷ περὶ τοῦ στεφάνου μέρει. ἐκεῖ μὲν γὰρ βίον ὅλον ὅλῳ ἀντεξήτασε βίῳ, ἐνταῦθα δὲ τὴν ἀπὸ τῆς πρεσβείας ὑπάρχουσαν ὑπόληψιν ἑκατέροις, τίς μὲν παρὰ τοῖς ἀνθρώποις Δημοσθένης εἶναι δοκεῖ, τίς δ' Αἰσχίνης ὑπείληπται, καὶ ὅτι Δημοσθένης καὶ σώφρων τὸν βίον καὶ ὅτι ἀκόλουθον ἦθος παρέχεται τῇ πολιτείᾳ, καὶ ὅτι οὐ φιλαπεχθήμων, οὐ περὶ φίλους ἀβέλτερος, οὐ περὶ ἅλας καὶ τράπεζαν ἀσεβής· ὁ δὲ περὶ τὴν πόλιν ἄδικος, ὅτι ἀκόλαστος, ὅτι οὐ σώφρων. οὐ γὰρ οἷόν τε τὸν περὶ ταῦτα ἀκόλαστον δικαιοπραγίαν τιμᾶν. T.C.V.

400, 19. ἐγὼ δὲ οἶδ' ὅτι πάντες] διὰ παραδειγμάτων ἡ λύσις. T.C.V.

400, 24. εἰσιτήρια] προηγεῖται γὰρ εἰσιούσης τῆς βουλῆς ὁ τὰς θυσίας ποιούμενος. T.C.V.

400, 29. συμπεπρεσβευκὼς τέσσαρα ἔτη] τῷ μήκει τοῦ χρόνου τὴν ἀπολογίαν ἐπέτεινεν· οὐκ ᾐσχύνθη τεττάρων ἐτῶν συνήθειαν. T.C.V.

401, 12. ἐπειδὴ γὰρ εἶλεν Ὄλυνθον] διηγηματικὸν χωρίον. A. ὑπέμνησε πάθους καὶ συμφορᾶς τοὺς ἀκούοντας. ἀλγοῦσι γὰρ ἐπὶ τοῖς Ὀλυνθίοις, ὡς μόνοις ἂν κωλύσασι Φίλιππον ἐλθεῖν ἐπὶ τὴν Ἑλλάδα. T.C.V.

401, 13. Ὀλύμπια ἐποίει] ἐκ τῆς πανηγύρεως τὸ πάθος τῶν ἀκουόντων ἔτι μᾶλλον ηὔξησεν. αἱ γὰρ εὐπραγίαι τῶν πολεμίων λυποῦσι τοὺς ἡττωμένους. ὁ μὲν οὖν πανήγυριν εἰσήγαγεν ἐπὶ νίκῃ καὶ συμφορᾷ τῶν Ἑλλήνων, ἡ δὲ πόλις πληγεῖσα τοῖς συμβεβηκόσιν ἔστενε τὰς συμφοράς. τὰ Ὀλύμπια δὲ πρῶτος Ἀρχέλαος ἐν Δίῳ τῆς Μακεδονίας κατέδειξεν. ἤγετο δ' ἐπ' ἐννέα, ὥς φασιν, ἡμέρας, ἰσαρίθμους ταῖς Μούσαις. συνέζευξε δὲ τὰ κατὰ τὴν Ὄλυνθον, ἵνα δοκῇ πανηγυρίζειν ἐπὶ τῇ ἁλώσει τῶν Ἑλλήνων καὶ συνεορτάζειν καὶ ὁ Αἰσχίνης, οἷον, Ἐγὼ μὲν ἐθρήνουν, Φίλιππος δὲ ἐτέλει μετὰ Αἰσχίνου πανήγυριν. T.C.V.

εἰς δὲ τὴν θυσίαν ταύτην] ἐκ δευτέρων ηὔξησε τὰ συμβεβηκότα·

1. τὴν om. C.G.
ἀντεξέτασιν] ἀντιπαρεξέτασιν V.
ἐν τῷ περὶ τοῦ] Legebatur περὶ τοῦ ἐν τῷ (ἐν τῷ om. C.G.).
2. στεφάνου C.G. Legebatur στεφάνῳ.
6. καὶ ὅτι οὐ] καὶ ὅτι οὐχὶ V.
7. ὁ δὲ περὶ] ὁ δὲ ὅτι περὶ P.
15. οὐκ om. C.G.V.
28. ἁλώσει post Ἑλλήνων V.
29. συνεορτάζειν W. pro συνεορτάζει.
31. δευτέρων] δευτέρου V.

λαίων καὶ τῶν ἀγώνων ἤδη καὶ τῶν ἀποδείξεων μετελήλυθεν ἐπὶ τὴν ἀντίθεσιν ταύτην, ἐπιλόγου χρείαν πληροῦσαν· ἔχει δὲ ἀκολουθίαν πλείστην καὶ συγγένειαν πρὸς τὴν προειρημένην ἤδη ἐπιλογικὴν ἑτέραν ἀντίθεσιν. ἐν ἐκείνῃ μὲν γὰρ ἐλέγετο ὅτι ἀρχὴ γενήσεται τῆς πρὸς Φίλιππον ἔχθρας, ἐνταῦθα δὲ ἀκολούθως ὅτι οὐδὲ εὐεργετήσει καὶ ὅτι οὐκ εὖ ποιήσει τοῦ λοιποῦ τὸν δῆμον, εἰ καταψηφιούμεθα τῶν πρέσβεων. ἡ δὲ λύσις ἐξ ἀτέχνων πίστεων. παρέχεται γὰρ διαφόρους ἐπιστολάς, ἐν αἷς πλεῖστα πολλάκις ὑποσχόμενος Φίλιππος οὐδέν τι τὴν πόλιν εὖ ποιήσας φαίνεται. B.F.S.Y.P.

399, 29. τὰς δ' ἐπιστολὰς ὑμῖν ἀναγνώσομαι] ἐν αἷς εὖ ποιεῖν ἐπαγγειλάμενος οὐδὲν ἤγαγεν εἰς πέρας. T.C.V.

400, 1. ὅτι τὸ ψυχρὸν τοῦτο ὄνομα] ἤτοι ἀλαζονείας γέμον· ψυχροὺς γὰρ τοὺς ἀλαζόνας λέγουσιν· ἐν οἷς ἄνω καὶ κάτω βοᾷ εὐεργετῆσαι τοὺς Ἀθηναίους. παρελήλυθεν ἄχρι κόρου ἀπατῶν· ἐκορέσθημεν τῆς ἀπάτης. ἢ, ὥς τινες, ψυχρὸν τὸ εὐτελὲς, καὶ παροιμιῶδες τὸ ἄχρι κόρου. T.C.V.

400, 4. οὕτω τοίνυν αἰσχρὰ] παρέκβασις, προοίμιον καὶ εἰσβολὴ τῆς παρεκβάσεως. B.F.S.Y. προοίμιον καὶ εἰσβολὴ τῆς παρεκβάσεως. ἀπὸ δὲ τοῦ οἰκείου ἤθους ἀρξάμενος πειρᾶται τὴν οἰκείαν σώζειν ὑπόληψιν, φιλοσόφου μᾶλλον πρᾶγμα ἢ ῥήτορος ἀπεργασάμενος· τοῦ μὲν γὰρ ῥήτορος συμφέρων ἐστὶ τὸ τὰ ἐμπίπτοντα ζητεῖν, τοῦ δὲ φιλοσόφου φροντίζειν τῆς εἰς ἅπαντα τὸν βίον ὑπολήψεώς τε καὶ δόξης. εἴληφεν οὖν τὴν πρόφασιν ἀπὸ τῶν Αἰσχίνου λόγων. Δημοσθενικῆς γὰρ τοῦτο μεθόδου, τὸ μὴ ἀπὸ τοῦ οἰκείου προσώπου εἰσάγειν ἢ ψόγου ἀναίρεσιν ἢ οἰκείων ἐπαίνων σύστασιν, ἀλλὰ κατά τινα ἀνάγκην καὶ χρείαν. ὡς οὖν Αἰσχίνου βλασφήμους περὶ αὐτοῦ πεποιημένου λόγους, οὕτως ἀναγκάζεται τὴν ἀπολογίαν ποιεῖσθαι. εἶτ' εὐαφόρμως μέτεισιν ἀπὸ τοῦ οἰκείου ἤθους ἐπὶ τὴν ἀντεξέτασιν τοῦ ἤθους Αἰσχίνου. καὶ γίνεται τὸ ἴδιον τῆς παρεκβά-

1. καὶ τῶν ἀγώνων om. Y.P. In B. pro verbis πεπληρωμένων τῶν— ἔχει δὲ nihil legitur præter τὴν χρείαν πλήρη (πληροῖ Sauppius), ἔχει δὲ —.

6. καὶ ὅτι οὐκ] οὐδὲ B.

εὖ ποιήσει] εὐποιήσει B.S. et infra εὐποιήσας.

7. διαφόρους—φαίνεται] Pro his P. brevitatis caussa posuit καὶ τὰ ἑξῆς ὥσπερ ἄνω.

12. ἤτοι W. pro ἢ τό.

13. εὐεργετῆσαι] εὐεργετήσειν W.

20. μᾶλλον om. V.

29. παρεκβάσεως] παραβάσεως V.

σεως κατὰ τὴν ἀντεξέτασιν, ὡς εἶναι παρόμοιον τῷ ἐν τῷ περὶ τοῦ στεφάνου μέρει. ἐκεῖ μὲν γὰρ βίον ὅλον ὅλῳ ἀντεξήτασε βίῳ, ἐνταῦθα δὲ τὴν ἀπὸ τῆς πρεσβείας ὑπάρχουσαν ὑπόληψιν ἑκατέροις, τίς μὲν παρὰ τοῖς ἀνθρώποις Δημοσθένης εἶναι δοκεῖ, τίς δ' Αἰσχίνης ὑπείληπται, καὶ ὅτι Δημοσθένης καὶ σώφρων τὸν βίον καὶ ὅτι ἀκόλουθον ἦθος παρέχεται τῇ πολιτείᾳ, καὶ ὅτι οὐ φιλαπεχθήμων, οὐ περὶ φίλους ἀβέλτερος, οὐ περὶ ἅλας καὶ τράπεζαν ἀσεβής· ὁ δὲ περὶ τὴν πόλιν ἄδικος, ὅτι ἀκόλαστος, ὅτι οὐ σώφρων. οὐ γὰρ οἷόν τε τὸν περὶ ταῦτα ἀκόλαστον δικαιοπραγίαν τιμᾶν. T.C.V.

400, 19. ἐγὼ δὲ οἶδ' ὅτι πάντες] διὰ παραδειγμάτων ἡ λύσις. T.C.V.

400, 24. εἰσιτήρια] προηγεῖται γὰρ εἰσιούσης τῆς βουλῆς ὁ τὰς θυσίας ποιούμενος. T.C.V.

400, 29. συμπεπρεσβευκὼς τέσσαρα ἔτη] τῷ μήκει τοῦ χρόνου τὴν ἀπολογίαν ἐπέτεινεν· οὐκ ᾐσχύνθη τεττάρων ἐτῶν συνήθειαν. T.C.V.

401, 12. ἐπειδὴ γὰρ εἶλεν Ὄλυνθον] διηγηματικὸν χωρίον. A. ὑπέμνησε πάθους καὶ συμφορᾶς τοὺς ἀκούοντας. ἀλγοῦσι γὰρ ἐπὶ τοῖς Ὀλυνθίοις, ὡς μόνοις ἂν κωλύσασι Φίλιππον ἐλθεῖν ἐπὶ τὴν Ἑλλάδα. T.C.V.

401, 13. Ὀλύμπια ἐποίει] ἐκ τῆς πανηγύρεως τὸ πάθος τῶν ἀκουόντων ἔτι μᾶλλον ηὔξησεν. αἱ γὰρ εὐπραγίαι τῶν πολεμίων λυποῦσι τοὺς ἡττωμένους. ὁ μὲν οὖν πανήγυριν εἰσήγαγεν ἐπὶ νίκῃ καὶ συμφορᾷ τῶν Ἑλλήνων, ἡ δὲ πόλις πληγεῖσα τοῖς συμβεβηκόσιν ἔστενε τὰς συμφοράς. τὰ Ὀλύμπια δὲ πρῶτος Ἀρχέλαος ἐν Δίῳ τῆς Μακεδονίας κατέδειξεν. ἤγετο δ' ἐπ' ἐννέα, ὥς φασιν, ἡμέρας, ἰσαρίθμους ταῖς Μούσαις. συνέζευξε δὲ τὰ κατὰ τὴν Ὄλυνθον, ἵνα δοκῇ πανηγυρίζειν ἐπὶ τῇ ἁλώσει τῶν Ἑλλήνων καὶ συνεορτάζειν καὶ ὁ Αἰσχίνης, οἷον, Ἐγὼ μὲν ἐθρήνουν, Φίλιππος δὲ ἐτέλει μετὰ Αἰσχίνου πανήγυριν. T.C.V.

εἰς δὲ τὴν θυσίαν ταύτην] ἐκ δευτέρων ηὔξησε τὰ συμβεβηκότα·

1. τὴν om. C.G.
ἀντεξέτασιν] ἀντιπαρεξέτασιν V.
ἐν τῷ περὶ τοῦ] Legebatur περὶ τοῦ ἐν τῷ (ἐν τῷ om. C.G.).
2. στεφάνου C.G. Legebatur στεφάνῳ.
6. καὶ ὅτι οὐ] καὶ ὅτι οὐχὶ V.
7. ὁ δὲ περὶ] ὁ δὲ ὅτι περὶ P.
15. οὐκ om. C.G.V.
28. ἁλώσει post Ἑλλήνων V.
29. συνεορτάζειν W. pro συνεορτάζει.
31. δευτέρων] δευτέρου V.

καὶ γὰρ τοῖς θεοῖς ἔθνε καὶ πανήγυρις συνεκροτεῖτο. τεχνίτας δὲ, τοὺς ὑποκριτὰς οὕτω καλεῖ κωμικούς τε καὶ τραγικούς. τὴν δὲ τοῦ ἤθους ἔμφασιν, ἣν περιτίθησι τῷ Σατύρῳ, ἔδειξε διὰ τῆς διανοίας τοῦ λόγου. τὸ γὰρ σιγᾶν καὶ μὴ φθέγγεσθαι σημεῖον τοῦ στένειν καὶ ἀνιᾶσθαι τοῖς συμβεβηκόσι γίγνεται. T.C.V. 5

401, 17. τί δὴ μόνος οὐδὲν ἐπαγγέλλεται] ἀντὶ τοῦ αἰτεῖ. A. τὸ μὲν ἐπαγγέλλεσθαι αἰτεῖν σημαίνει. ὅτι δὲ ἔθος τῷ Φιλίππῳ διαφθείρειν ἐν συμποσίῳ συνίστησι, καὶ τὴν ἐγκράτειαν ἐπαινεῖ τοῦ σιωπῶντος. μικροψυχίαν δὲ ὠνόμασε τὴν περὶ τὰ χρήματα φειδώ. ἡ δὲ πλάσις σύμπασα τὸ ἦθος ἐμφανίζει, ὅπως χρημάτων κρείττων 10 ὁ Σάτυρος, καὶ ταῦτα τεχνίτης ὢν καὶ συνήθειαν ἔχων τοῦ λαμβάνειν. καὶ ἡ πολλὴ δὲ παράκλησις, καὶ ὁ μετὰ τοῦ δέους λόγος, καὶ τὸ μὴ ἐπιδραμεῖν εὐθὺς ταῖς αἰτήσεσι μέγεθος ἐμφανίζει τῆς αἰτήσεως, εὔνοιαν δὲ τοῦ αἰτοῦντος. T.C.V.

401, 22. δεδοικέναι δὲ μὴ διαμάρτῃ] δι' ὧν εὐλαβεῖσθαι προσ- 15 ποιεῖται πλέον εἰς τὸ δοῦναι παροξύνει τὸν Φίλιππον. T.C.V.

401, 24. καί τι καὶ νεανιευσαμένου τοιοῦτον] τὸ ἀλαζονικὸν αὐτοῦ καὶ αὔθαδες διαβάλλει. ἐμφαίνει δὲ βαθέως ὅτι καὶ Φωκέας εἰ ἐξῄτησε Φίλιππον Αἰσχίνης, οὐκ ἂν ἀπέτυχεν. T.C.V.

401, 26. ξένος καὶ φίλος] ξένος ἐστὶν ὁ φίλος ὤν τινος ἀπ' 20 ἄλλης πόλεως, φίλος δὲ ἀπὸ τῆς αὐτῆς πόλεως. A.T.

402, 1. αἰχμάλωτοι γεγόνασιν] οὐδὲν ἁμαρτήσασαι τῆς ἀλλοτρίας μετεσχήκασι τύχης. T.C.V.

402, 3. βούλομαι δέ σε ἀκοῦσαι] ἵνα μὴ ἄλλο τι ὑποπτεύσῃ ὁ Φίλιππος, διδάσκει αὐτὸν τὴν αἰτίαν τοῦ μὴ ἀνάξιον παθεῖν. ὥραν 25 γάμου γὰρ ἐχούσας, μὴ διὰ τὴν ἀπορίαν τῶν ἀναγκαίων πορνεύσωσι. T.C.V.

402, 8. τοσοῦτον κρότον] τὸ ἴδιον τῆς εὐημερίας τῆς ἐν τῇ κωμῳδίᾳ προσέθηκεν ὁ ῥήτωρ. T.C.V.

402, 9. ὥστε τὸν Φίλιππον παθεῖν] τὰς ἀνθρωπίνας ἠλέησε 30 τύχας καὶ πέπονθέ τι ἀνθρώπινον. T.C.V.

402, 10. καίτοι τῶν ἀποκτεινάντων] ὅσον εὔκαιρος αἴτησις ἰσχύει

21. τῆς αὐτῆς] αὐτῆς τῆς A.

25. τὴν αἰτίαν τοῦ μὴ ἀνάξιον] τὴν αἰτίαν τοῦ αἰτήματος, δηλονότι ἕνεκα τοῦ μὴ αὐτὰς ἑαυτῶν οὔτε πατρὸς οὔθ' ἡμῶν ἀνάξιον P.

26. γάμου om. V.

ἐχούσας] ἔχουσαι P.

δεδήλωκε δι' ὧν ἐπελάθετο τῆς πρὸς τὸν ἀδελφὸν εὐνοίας ὁ Φίλιππος. T.C.V.

402, 12. ἐξετάσωμεν δὴ] εἰρωνείᾳ διέσυρε τὴν δόξαν. διὰ δὲ τοῦ κληθέντες γὰρ οὗτοι δηλοῖ ὅτι αὐτὸς οὐ κέκληται· ᾔδει γὰρ ὅτι οὐ πεισθήσομαι. διὰ δὲ τοῦ οὐκ ἐπορεύθην μεῖζον αἰνίττεται, ὡς καὶ κληθεὶς οὐκ ἀπελήλυθε. δηλοῖ δὲ ὅτι ὁ τοῦ τυράννου παῖς οὐκ ἠγνόησε διακρῖναι τοὺς εὔνους καὶ δύσνους τῇ πόλει· καλεῖ γὰρ Αἰσχίνην καὶ Φιλοκράτην καὶ Φρύνωνα. οὕτως ᾔδει τοὺς ὁμοίους συγκροτεῖν εἰς συμπόσιον. T.C.V.

402, 15. κληθέντες περὶ συμποσίου. B.

402, 16. τὸν υἱὸν τοῦ Φαιδίμου] ἀπὸ τοῦ πατρὸς χαρακτηρίζει τὸν παῖδα. ὑπέμνησε καὶ τῶν συμβεβηκότων τῇ πόλει δεινῶν, καὶ ὅτι ἐδείπνουν παρὰ παιδὶ τοῦ πατρὸς τὴν δημοκρατίαν λυμηναμένου τότε. εἰκὸς γὰρ ἦν τεθραμμένον ἐν ὕβρει τοιαῦτα συγκροτεῖν συμπόσια γεγυμνωμένα τοῦ σώφρονος. καὶ τὸ ᾤχοντο πλείστην ἐμφαίνει τὴν ἡδονήν. μόνον οὐκ ἦσαν ὑπόπτεροι φθάσαντες τῇ παρουσίᾳ τὴν κλῆσιν. T.C.V.

402, 17. ἐγὼ δὲ οὐκ ἐπορεύθην] ἔμφασιν μὲν ἔχει τοῦ αὐτὸν μὲν κληθέντα μὴ ἀπελθεῖν, ἔχει δὲ καὶ μεσότητα τοῦ μὴ κληθῆναι. τὸ γὰρ "κληθέντες οὗτοι" οὐχ ὅτι διὰ καταφρόνησιν οὐκ ἐκλήθη αὐτὸς δείκνυσιν, ἀλλ' ὅτι ἐγινώσκετο μισῶν τοὺς τριάκοντα καὶ τοὺς τῶν λυπησάντων παῖδας τὴν πόλιν. T.C.V.

ἐπειδὴ δὲ ἧκον εἰς τὸ πίνειν] παυσάμενοι τοῦ ἐσθίειν ἔπινον μόνον, καὶ εἰκότως ἐμεθύσκοντο καὶ παρῴνουν. τὸ δὲ μετὰ δεῖπνον ἥκειν εἰς φιλοποτίαν ἱκανὸν εἰς κατηγορίαν ἀνδρὸς πρεσβευτοῦ καὶ ῥήτορος τὴν δοκοῦσαν δὲ σωφροσύνην ἐξελέγχει, δεικνὺς ἀκρατῆ περὶ μέθην. T.C.V.

402, 18. εἰσάγει τινὰ] ἵνα ἡ εἴσοδος τῆς γυναικὸς καιρὸν τὸν πρέποντα λάβῃ, πίνουσιν αὐτοῖς καὶ μεθύουσιν εἰσάγει. δείκνυσι δὲ

3. τὴν] τὴν τοῦ Αἰσχίνου P.
12. ὑπέμνησε] δὲ add. P.
13. παρὰ παιδὶ—τότε] παρὰ παιδίων (παρὰ παιδὶ P. παρὰ τῷ παιδὶ W.) τοῦ λυμηναμένου τότε τὴν δημοκρατίαν V. Vocabulum πατρός, quod om. V., in codicibus nostris πρὸς scriptum.
15. γεγυμνωμένα] γεγυμνασμένα V.
20. οὐχ ὅτι P. ὅτι οὐ T. οὐ, omisso ὅτι, C.G.V.
25. φιλοποτίαν] φιλοποσίαν V. in qua forma consentiunt libri infra p. 429, 5.
26. ἐξελέγχει] ἐλέγχει C.G.

συγγένειαν τῶν συμποσίων, ὅτι ὁ μὲν Φίλιππος μετ' Ὀλυνθον ἤγαγε συμπόσιον, ὁ δὲ ξενόφρων συνεκρότει συμπόσιον ἐπὶ τοῖς λαφύροις καὶ τοῖς αἰχμαλώτοις τῶν Ὀλυνθίων. ἐλευθέραν δὲ καὶ σώφρονα εἰπὼν τὸ οἰκεῖον ἦθος καὶ ἣν εἶχεν ὑπόληψιν περὶ Ὀλυνθίων ἐπισημαίνεται. ἐλευθέραν δὲ καὶ σώφρονα καὶ μετὰ τὴν ἅλωσιν οὐ διέφθειρεν ἡ τύχη τὸν τρόπον, οὐκ ἤμειψεν ἡ δουλεία τὴν γνώμην. ἵνα δὲ παροξύνῃ τοὺς ἀκούοντας, τῆς αἰχμαλώτου γυναικὸς ἐμνημόνευσεν· ἵνα δὲ ἀφέληται τὴν Αἰσχίνου δόξαν, τὴν ἀκολασίαν καὶ ἀκρασίαν διεκωμῴδησεν· ἵνα δὲ πιθανότητα ὁ λόγος λάβῃ, ὡς ἐν ποιήσεως εἴδει συνέπλασε τὸ διήγημα, ἐνάργειαν τῷ λόγῳ διδούς. T.C.V.

402, 20. οὕτωσὶ πίνειν ἡσυχῇ καὶ τράγειν] ἔδει τινὰ εἶναι καὶ τὸν ἐξαγγέλλοντα, ἵνα καὶ ὁ λόγος τὴν πίστιν λάβῃ καὶ ὁ ἐξαγγέλλων μαρτυρίαν ἔχῃ τῆς ἀκολασίας μὴ κοινωνεῖν. τὸ δὲ ἠνάγκαζον βεβαιοῦντός ἐστι τῆς γυναικὸς τὴν σωφροσύνην· καὶ ἡσυχῇ προσθεὶς πιθανότητα εἰργάσατο. οὐ γὰρ ἦν ἀπεικὸς ἀναγκαζομένην, εἶθ' ὁρῶσαν ἡσυχῇ κοινωνεῖν τραπέζης, μηδὲν οἰομένην ἀδικήσεσθαι. T.C.V.

402, 21. ὡς διηγεῖτο Ἰατροκλῆς ἐμοί τῇ ὑστεραίᾳ] αὐτῇ γὰρ τῇ ἡμέρᾳ οὐδὲ συντυχεῖν μοι δεδύνηται, διὰ τὸ μέχρι τῆς ἑσπέρας κατεσχηκέναι τὸ συμπόσιον. τὸ δὲ ἐμοί ἔμφασιν ἔχει τῆς αὐτοῦ ὀρθῆς προαιρέσεως. οὐ γὰρ ἂν αὐτῷ διηγεῖτο, εἰ μὴ ᾔδει ὅτι ἀγανακτῆσαι ἔμελλεν. T.C.V.

402, 22. ὡς δὲ προῄει τὸ πρᾶγμα] οὐκ ἀθρόως ἐξήγγειλε τὴν ἀκολασίαν. οὐδὲ γὰρ πιθανὸν οὐδὲ ῥητορικὸν ἦν εὐθὺς ἀπιθάνως ἐπιβαλεῖν τῷ πράγματι καὶ τῆς ἀκμῆς γενέσθαι τὸν ἔλεγχον, ἵνα ἡ ἀνάγκη τὴν φύσιν ἐξελέγχῃ καὶ τὴν προαίρεσιν. οὐ γὰρ ἦν ἀπεικὸς παρὰ τῷ τυράννῳ εἰς ὕβριν γυναῖκα αἰχμάλωτον γενέσθαι. T.C.V. ἰστέον ὅτι ἐν τούτῳ τῷ χωρίῳ ἀνέστησαν οἱ δικασταὶ καὶ εἴασαν τὸν

1. συμποσίων] συμποτῶν margo P. Ὀλυνθον] ἁλοῦσαν add. W.
4. περὶ Ὀ.] περὶ τῶν ὀ. C.G.
5. σώφρονα καὶ] σώφρονα γενομένην καὶ W.
8. ἀκολασίαν καὶ ἀκρασίαν] ἀκρασίαν καὶ ἀκολασίαν V. Illo ordine etiam in scholio ad p. 402, 25.
11. εἶναι καὶ] καὶ om. V.
13. μὴ om. C.G.
14. προσθεὶς] πρὸς C., plane om. G.
16. ἀδικήσεσθαι] ἀδικηθήσεσθαι W.
17. γὰρ τῇ ἡ.] τῇ ἡ. γὰρ C.G.
20. ἀγανακτῆσαι] ἀγανακτήσεσθαι C.G.
23. οὐδὲ] οὐ V.
25. τὴν φύσιν W. pro τῆς φύσεως.
27. ἰστέον] δὲ add. T.C.V.
εἴασαν] Ex ἔπαυσαν corruptum

ῥήτορα λέγοντα, τοῦ Εὐβούλου συμπράττοντος τῷ Αἰσχίνῃ, μισοῦντος δὲ τὸν ῥήτορα, εἰπόντος αὐτοῖς, τοιούτων αἰσχρῶν ἀνέχεσθε λέγοντος ῥήτορος; A.Y.T.C.V.

402, 24. καί τι καὶ ᾄδειν ἐκέλευον] μίμησις ἀκριβὴς τῶν ἀκρατῶς ἐχόντων. προσποιοῦνται γὰρ εἶναι καὶ μουσικοί. τῆς δὲ αὐτῆς ἀσελγείας καὶ τὸ ᾄδειν κελεύειν καὶ τὸ κατακλίνεσθαι. T.C.V.

ἀδημονούσης δὲ τῆς ἀνθρώπου] ἔδει εἰπεῖν, βοώσης καὶ ἐπικαλουμένης τοὺς βοηθήσοντας, οὐκ ἀδημονούσης· ἀλλὰ τῆς φύσεως τὴν ἀσθένειαν διὰ τῆς λέξεως ἐνέφηνεν. οὕτως οἶδεν οἰκείοις χρῆσθαι ὀνόμασι, σημαίνουσι τῶν ὑποκειμένων πραγμάτων τὰς φύσεις. T.C.V.

402, 25. καὶ οὔτε ἐθελούσης] ἵνα τὸ μὴ θέλειν τῆς γνώμης ἔργον γένηται, τὸ δὲ μὴ ἐπισταμένης τῆς ἀγωγῆς καὶ τοῦ βίου· οὐ γὰρ ἦκτο διὰ τοιούτων. T.C.V.

ὕβριν τὸ πρᾶγμα ἔφασαν] ὅταν μὲν δέῃ διαβάλλειν εἰς δωροδοκίαν, Φιλοκράτης συνάπτεται· ὅτε δὲ εἰς ἀκολασίαν καὶ ἀκρασίαν, τότε Φρύνων διὰ τὴν περὶ τὸν υἱὸν πρᾶξιν. οὐ γὰρ ἦν ἀπεικὸς τὸν προδόντα τὴν ὥραν τοῦ παιδὸς, τοῦτον εἰς γυναῖκα ἀλλοτρίαν ὑβρίζειν. T.C.V.

402, 26. καὶ οὐκ ἀνεκτὸν εἶναι τῶν θεοῖς ἐχθρῶν] ἐνταῦθα λαμπρῶς ἣν ἔχουσι δυσμένειαν πρὸς τὴν δημοκρατίαν ἐξήλεγξεν. ταῦτα γὰρ, φησὶ, τῆς πικρίας, ἣν ἔχουσι πρὸς τὸν δῆμον, ἔστι τεκμήρια· τὸ δὲ τρυφᾶν οἷον ἐν ἐξουσίᾳ εἶναι τοῦ πράττειν ὅ τι βούλεται.

402, 28. καὶ κάλει παῖδα] μιμεῖται, ὥσπερ ἐν δράματι, ἦθος ἐξεστηκότων ἀνδρῶν μέθῃ καὶ ἔρωτι πεπληγότων. T.C.V.

κάλει] βέλτιον παροξύνειν, ἵνα ᾖ προστακτικόν. A.

402, 29. ῥυτῆρα] οἷον μάστιγα· κυρίως δὲ λέγεται ῥυτὴρ ὁ χαλινὸς ἀπὸ τοῦ ῥύεσθαι καὶ ἕλκεσθαι παρὰ τῶν ἡνιόχων. "αὐέρυσαν μὲν πρῶτα." A.T.C.V.

videri in Commentariis dictum est p. 474. In Y., qui hoc scholion a m. sec. habet, hæc sic sunt contracta, οἱ δικασταὶ τοῦ εὐβούλου ὑπὲρ τοῦ αἰσχίνου εἰπόντος αὐτοῖς ἀνέχεσθε τοιούτων λόγων κατὰ τοῦ ῥήτορος.

3. ῥήτορος] Δημοσθένους V.

5. αὐτῆς codices, ut W. αὐτοῦ V.

11. θέλειν] θέλων C.G.

23. ἦθος om. V.

26. ῥυτῆρα οἷον μάστιγα A. ῥυτῆρα δὲ μάστιγα T.C.G. ῥυτῆρα δὲ μάλιστα V.

27. παρὰ τὸ] ἀπὸ τοῦ T.C.V.

ἕλκεσθαι] εἰς τὰ πάντα add. A., non tamen satis clare scriptum.

παρὰ τῶν] ὑπὸ τῶν V.

Verba Homerica (Il. A, 459.) αὐέρυσαν μὲν πρῶτα om. T.C.V.

403, 2. εἰπούσης τι καὶ δακρυσάσης] καλῶς εἰσήγαγε τὰ ὑπὲρ ἐκείνης ῥηθέντα, ἵνα ὁ ἀκροατὴς οἴηται περιαλγοῦσαν αὐτὴν ἐπικαλεῖσθαι τὴν Ἀθηναίων πόλιν. τὸ τί γὰρ εἰπεῖν ἔμφασιν ἔχει ὅτι ἐπὶ τὴν πόλιν ἀνέδραμε ταῖς ἐλπίσιν ὑπογεγγύσασα καὶ ταῦτα φάσκουσα, Παρὰ τῶν Ἀθηναίων ὑπομένω; ἆρα μὴ ἐν Σκύθαις εἰμί; 5 οὗτοι τῆς φιλανθρωποτάτης πρέσβεις πόλεως; καὶ τὸ ἐδάκρυσε δὲ, ὅτι ἐξ ὧν ἤλπισεν ἐλεεῖσθαι, παρὰ τούτων ὑβρίζετο. T.C.V.

403, 3. περιρρήξας τὸν χιτωνίσκον] καὶ τὸ ἄγριον καὶ τὸ αἰσχρὸν σημαίνει τῆς γνώμης. ἐγύμνου γὰρ τὸ σῶμα, διότι πρὸς ἡδονὴν ᾔδει γιγνόμενον τοῖς θεωμένοις. T.C.V. 10

ξαίνει κατὰ τοῦ νώτου πολλὰς] τὸ ἄμετρον τῶν πληγῶν τὴν πρὸς τὴν πόλιν βεβαιοῖ δυσμένειαν. T.C.V.

403, 4. ἔξω δ' αὐτῆς οὖσα] ἐμαρτύρησε τῆς γυναικὸς τὴν σωφροσύνην. οὐ γὰν ἂν κατέφυγεν ἐπὶ τὸν συνηδόμενον ταῖς ἀσελγείαις. οἶδε γὰρ πάντως αὐτὸν ἐπὶ τοῖς γιγνομένοις ἀηδιζόμενον· ὅθεν αὐτὸν 15 ὑπέθετο καὶ διηγούμενον αὐτῷ τῇ ὑστεραίᾳ τὰ γιγνόμενα. οὐ κατὰ προαίρεσιν δὲ ἀνατρέπει τὴν τράπεζαν. τοῦτο δὲ ὡς πρὸς τὸ ὑπ' Αἰσχίνου εἰρημένον κατὰ τοῦ ῥήτορος· ποῦ δ' ἅλες; ποῦ τράπεζαι; ἰδοὺ γὰρ αὐτὸς ἃ αἰτιᾶται πεποίηκε. T.C.V.

403, 8. καὶ γὰρ ἡ παροινία] καλῶς ὠνόμασεν ἐπὶ τοιούτοις 20 ἔργοις κάθαρμα τὸν Αἰσχίνην. αὐτὸ γάρ ἐστι κάθαρμα τὸ καθαιρόμενον καὶ ὃ ἂν ἀποσείσαιτό τις. ἵνα δὲ μὴ μικρὸν ἠγήσωνται οἱ ἀκούοντες τὸ γιγνόμενον, ηὔξησεν αὐτὸ τῇ μαρτυρίᾳ τῶν Θετταλῶν καὶ τῶν Ἀρκάδων, γένεσιν Ἑλληνικοῖς καὶ ἀντικειμένοις τῇ πόλει. λυπεῖ δὲ τοὺς ἀκούοντας, ὅταν τὰ παρ' αὐτοῖς συμβαίνοντα ἡδονὴν 25 καὶ γέλωτα κατασκευάζῃ τοῖς ἐναντίοις· ἐχθροὶ γὰρ καὶ Ἀρκάδες καὶ Θετταλοί. T.C.V.

403, 10. ἐν τοῖς μυρίοις] τὸ συνέδριον τῶν Ἀρκάδων μυρίων ὑπῆρχεν ἀνδρῶν. A.

403, 11. καὶ Διόφαντος ἐν ὑμῖν] οὐκ ἐκ τῆς Δημοσθένους μόνης 30

1. τι] τὸ V., om. codices.
ὑπὲρ] παρ' C.G.
3. τὸ τί W. pro τότε.
5. ὑπομένω] ὑπομενῶ V.
15. ἀηδιζόμενον W. pro ἀνδριζόμενον.
19. αὐτὸς ἃ] ἃ αὐτὸς V.
21. ἔργοις W. μίσοις T. μίσεις C.G.V. et corr. D. μέσοις pr. D. et P.
24. γένεσιν—ἀντικειμένοις] Genitivos requiri monet Wolfius.

κατηγορίας φαίνεται δεινὸν τὸ γεγονὸς, ἀλλὰ καὶ ἐκ τῆς Διοφάντου καταβοήσεως· ὅτι μέντοι γε τοῦ βίου ἕνεκα τοῦ Αἰσχίνου καὶ τῆς ὑπολήψεως ἐρρέθη σύμπαντα δῆλον ἐκ τῶν ἐπαγομένων. τί γάρ φησιν; "καὶ τοιαῦτα συνειδὼς αὐτῷ πεπραγμένα," καὶ ἑξῆς. οὕτως ἄρα ἐφαίνετο ὁ Δημοσθένης ἀνιώμενος ἐπὶ τῇ ὑπολήψει καὶ τῇ δόξῃ, 5 ἧς ἐτύγχανε παρὰ τὴν ἀξίαν, Αἰσχίνου. ἀνιῶσι γὰρ τὸ φρόνημα τῶν ἐλευθέρων οἱ παρ' ἀξίαν εὖ πράττοντες· καὶ ἐπιμαρτυρεῖ τῷ θεωρήματι καὶ Ἰσοκράτης ἐν τῷ Παν̓ηγυρικῷ, τοῖς βαρβάροις ἀξιῶν φθονεῖν παρὰ τὴν ἀξίαν πολλῶν κυρίοις καθεστηκόσι. T.C.V.

403, 19. καὶ παῖδα ὄντα ἐν θιάσοις] ἀναμίξας τὴν ἡλικίαν τὴν 10 διαβολὴν ὑπέφηνε. δοκεῖ δὲ ταῦτα εἶναι μυστήρια δημοτελῆ καὶ κοινὰ καὶ οὐ πάνυ σεμνά. T.C.V.

403, 21. καὶ δυοῖν καὶ τριῶν δραχμῶν] ἐνίοτε γὰρ λαμβάνοντες οἱ γραμματεῖς ἀργυρίδιον ἑτέρως πρὸς τὸ χρήσιμον ἀνεγίνωσκον τοὺς νόμους καὶ τὰ ψηφίσματα. T.C.V. 15

403, 22. ἐν χορηγίοις ἀλλοτρίοις] πρὸς ἑαυτὸν ἀντιδιαστέλλει τοῦτο, ὅτι αὐτὸς μὲν ἐκ τῶν ἰδίων ἐχορήγησεν, Αἰσχίνης δὲ ἐν ἀλλοτρίοις, ἐν τῷ μισθοῦσθαι τραγῳδός. A.T.

404, 9. ἐγγυτάτω μανίας] τὸ ψιλῷ λόγῳ δωροδοκίαν ὀνειδίζειν τῷ φιλοπόλιδι. T.C.V. 20

404, 11. ἀκούω γὰρ αὐτὸν] ἕως ὧδε ἐπλήρωσε τὸ περὶ κατηγορίας Αἰσχίνου. ἐντεῦθεν δὲ βούλεται καὶ ὑπὲρ ἑαυτοῦ ἀπολογήσασθαι εἰς ἃ αὐτοῦ κατηγόρησεν Αἰσχίνης. καλῶς δὲ ἐποίησεν ὅτι ἐν τοῖς ἐπιλόγοις ἔταξε ταῦτα καὶ οὐκ ἐν τοῖς ἀγῶσιν. ἢ γὰρ ἂν ἐδόκει ἑαυτοῦ κατηγορεῖν. A.T.C.V. 25

πάντων ὧν κατηγορῶ] τῇ ὑπερβολῇ διὰ τοῦ πάντων εἰπεῖν ἐμφαίνει τὸ ἄτοπον καὶ ὅτι ψεύδεται. T.C.V.

404, 16. ἐμοῦ μέντοι τίς κατηγορεῖ] οὐ γὰρ εἰ Δημοσθένης μετέσχεν, ἤμειψεν ἡ φύσις τὰ πράγματα. T.C.V.

1. γεγονὸς W. pro γένος.
4. αὐτῷ] ἑαυτῷ C.G.
ἑξῆς. οὕτως ἄρα] ἑξῆς οὕτως. ἄρα V.
6. Αἰσχίνου] αἰσχίνης C.G.P.
11. καὶ κοινὰ om. C.G.
14. ἀνεγίνωσκον post ἑτέρως V. Post τὸ χρήσιμον Wolfius addidit τῶν μισθωσαμένων.
18. τραγῳδός] τραγῳδῶν A.
19. ἐγγυτάτω—ψιλῷ P. ἐν χορηγίοις ἀλλοτρίοις. ἐγγυτάτω μανίας καὶ ψιλῷ codices et V. adscripto in marg. T. a m. prima ἔσφαλται ὡς λέγει τὸ ἀντίγραφον.
δωροδοκίαν] δωροδοκίας V.
22. ἑαυτοῦ] αὐτοῦ T.C.D.G.

ἐγὼ μὲν γὰρ εἰ ταῦτα] συντρέχει πρῶτον τῇ ἀντιπαραστάσει χρώμενος. θαρρεῖ γὰρ αὐτοῦ τῇ ποιότητι. T.C.V.

405, 4. οὐκοῦν ὡς οὐ κεκοινώνηκα] ἐντεῦθεν ἡ ἔνστασις. T.C.V.

406, 7. ὅτ' αὐτὸν εἰᾶτε πρεσβεύειν] βουλόμενον γὰρ ἐπὶ τὴν τρίτην αὐτὸν ἐξελθεῖν πρεσβείαν, ἣν ὡς νοσῶν παρῃτήσατο, οὐκ εἴων ἐξελθεῖν, ἀλλ' ἐκώλυε μὲν ἡ πόλις, κατηγόρουν δ' ἐγώ. καὶ ἔστι μὲν ὡς δυσχεραίνοντος τὰ ῥήματα, ἴσως δὲ καὶ διὰ τὴν τέχνην καὶ τὴν ὑπόκρισιν. T.C.V.

406, 11. ἃ κἂν ἐχθὲς ἐωνημένος] οὐ προμελετήσας οὐδὲ πεπαιδευμένος, ἀλλὰ ἐχθὲς ἐκ βαρβάρων ἥκων. T.C.V.

406, 15. ἢ μετειληφὼς] τὸ μέρος μετ' ἐμοῦ λαβὼν, ἵνα τέως ὁμολογήσῃ εἰληφέναι ὁ Αἰσχίνης. T.C.V.

406, 26. λογισταῖς] λογισταὶ ἐκαλοῦντο οἱ εἰσάγοντες ἐν τῷ δήμῳ τοὺς ὑπευθύνους. ἀρχὴ γὰρ ἦν καὶ αὕτη ἡ τῶν λογιστῶν. T.C.V.

ἔχων μάρτυρας] τοὺς ἀκούοντας. οἷον ἐπὶ μαρτύρων λέγων πολλῶν. T.C.V.

406, 28. καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον] ἐγὼ μὲν οὐκ ἔφευγον τὰς εὐθύνας, αὐτὸς δὲ ἐκώλυεν. T.C.V. ὅτι ἐμοῦ βουλομένου δοῦναι εὐθύνας ἐκεῖνος οὐ συνεχώρει. A.T.

407, 16. οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ] τοῦτ' ἔστιν, οὐδείς μοι λόγον μετὰ ταῦτα δίδωσιν, οὐδὲ ἀπολογίαν, ἤγουν οὐκ ἐξέσται μοι μετὰ ταῦτα περὶ τῶν ἐμοὶ κατηγορημένων ἀπολογεῖσθαι. T.C.V.

407, 19. ἔτι τοίνυν κἀκεῖνα σκοπεῖτε] καθ' ὑπόθεσιν τὸ σχῆμα. A. πληρώσας οἰκείαν γνώμην ἀπὸ τῆς ποιότητος τῶν δικαζόντων ἐπιλογίζεται καὶ ἧς ἔχουσι προαιρέσεως ἐπὶ τοῦ παρόντος, καὶ τίνα δόξαν περὶ αὐτῶν ἕξουσιν οἱ Ἕλληνες, εἰ κακῶς κρίνοιεν τὸν παρόντα ἀγῶνα. ἔχοντος δὲ ὑπόληψιν κατὰ τὴν πόλιν Αἰσχίνου οὐ φαύλην οὐδὲ ἄδοξον ἀφ' ἧς ἡμέρας τὸν Τίμαρχον ἔκρινε, ταύτην τὴν δόξαν

5. αὐτὸν ante ἐπὶ V.
6. ἐκώλυε] ἐκώλυσε C., non G.
κατηγόρουν W. pro κατηγορούμην.
9. πεπαιδευμένος] προπεπαιδευμένος V.
13. λογισταὶ] δὲ add. T.C.D.G.V. in quibus hoc scholion, sine lemmate, sequitur post ἑαυτοῦ κατηγορεῖν in fine scholii ad p. 404, 11. Legitur etiam in A., in quo tamen primo versu præsecto hæc tantum supersunt, πρὸς τὸ δοῦναι εὐθύνας. ἀρχὴ γὰρ—τῶν λογιστῶν.
14. ἡ om. C.G.
20. εὐθύνας] δίκας T.

ἀπωθεῖσθαι Δημοσθένης βουλόμενος καὶ δεῖξαι τὸν βίον οὐ συμφωνοῦντα τῇ δόξῃ, ὑπέθετο δύο συμπόσια, ὅμοιον ὁμοίῳ παρατιθείς. τόπος μὲν γὰρ ὁ αὐτὸς τῷ συμποσίῳ ὑπόκειται ἡ Μακεδονία, τὰ δὲ πρόσωπα ὅμοια. ὑποκριτὴς γὰρ τραγῳδίας Αἰσχίνης, ὑποκριτὴς δὲ καὶ ὁ Σάτυρος. φιλοποσία ἀμφοτέροις καὶ κρίσις τῆς περὶ τὰ 5 ἀφροδίσια ἀκρασίας καὶ μέθης. οὐκοῦν ὁ μὲν Σάτυρος παρθένους ὥραν ἐχούσας γάμου αἰτεῖ διὰ σωφροσύνην οὐχ ἡττημένος τῆς ὥρας, ἀλλὰ σώζων ταῖς κόραις τὰς ὥρας. ὁ δὲ ῥήτωρ ὁ Ἀθηναῖος γυναῖκα συνοικοῦσαν ἀνδρὶ λαβὼν ἡττᾶτο τῆς ὄψεως καὶ μεθύων διεθερμαίνετο. καὶ ἐπειδὴ τὸ λεγόμενον ὕποπτον ἦν, δέδωκε τῷ δράματι τόπον 10 τὴν τοῦ τυράννου ξενίαν, τοῦ τῶν τριάκοντα. ἔδει γὰρ παρὰ ἀνδρὶ ἀσώτῳ συγκροτηθῆναι συμπόσιον. καὶ ἵνα ὁ λόγος τὴν πειθὼ προσλάβῃ, πότος μετὰ τὸ δεῖπνον συνίσταται· καὶ ὁ μὲν τὰς θυγατέρας τοῦ λυπήσαντος τὸν Φίλιππον σώζειν αἱρεῖται—τῶν γὰρ ἀπεκτονότων τὸν ἀδελφὸν τοῦ Φιλίππου Ἀλέξανδρον εἷς ἦν Ἀπολλοφάνης—, ὁ δὲ 15 τῶν συμμάχων τῶν τοῖς Ἀθηναίοις Ὀλυνθίων γυναῖκα καὶ αἰχμάλωτον ὕβρισε, καὶ ἣν ἔδει ἐλεεῖν, ταύτην ᾠκίζετο. T.C.V.

407, 25. εἰ παρ' ἐκείνῳ τοὺς ἐκείνου τις εὐεργέτας] φανερῶς μὲν εὐεργέτην Φιλίππου τὸν Αἰσχίνην εἴρηκε, βαρὺ τὸ πρᾶγμα ποιῶν, ἑαυτὸν δὲ τῆς πόλεως οὐκέτι, διὰ τὸ φορτικόν, καίτοι τοῦ νοήματος 20 ἴσον ἀπαιτοῦντος. T.C.V.

408, 18. μηδ' εἰ φαῦλον ἐγὼ] πρὸς τὸ καλὸν καὶ μέγα φαῦλον ἐπήγαγεν, ὃ δηλοῖ καὶ τὸ κακὸν καὶ τὸ εὐτελές. T.C.V.

411, 2. συνεπισπάσησθέ με] συνελκύσητε, συγκατενέγκητε. T.C.V. 25

411, 3. νῦν δὲ ἀναπεπτωκότες] οἷον ὕπτιοι καὶ νυστάζοντες, ἀλλ' οὐκ ὀρθοὶ καὶ νήφοντες. T.C.V.

411, 4. ἐκλελύσθαι] οἷον ὥσπερ ὑπὸ τρυφῆς χαῦνοι γενόμενοι. κατὰ κοινοῦ γὰρ τὸ δέδοικα. τὸ δὲ παντάπασιν γάρ, ὦ Ἀθηναῖοι, ἐκλελύσθαι ἐπεξηγεῖται τί ἐστιν ἀναπεπτωκότες. A.T. 30

1. ἀπωθεῖσθαι W. pro ἀποθέσθαι.
5. φιλοποσία] Vid. ad p. 423, 25.
ἀμφοτέροις T.D. ἐν ἀμφοτέροις ceteri.
κρίσις] χρῆσις W.
7. αἰτεῖ W. pro ἔτι.
10. τόπῳ W. pro ἄτοπον.
12. προσλάβῃ] λάβῃ C.D.
23. δηλοῖ καὶ] καὶ om. C.G.
28. τρυφῆς Sauppius pro τροφῆς.

411, 9. *νῦν λέγειν ἐξάγομαι*] *μανίας γὰρ ἐνέπλησάν με οἱ δυσσεβεῖς οὗτοι, ὥστε καὶ ἃ κρύπτειν ἔκρινον ἀναγκασθῆναι βοᾶν.* T.C.V.

411, 11. *καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν*] *ἵνα μὴ ἀντιπίπτῃ, τί οὖν εἰ τὴν φιλίαν ἔλυσας αὐτὸς κακὸς περὶ αὐτὸν φανείς; φησίν· ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται καὶ τὰ Φιλίππου φρονεῖ, κἂν ἡ τύχη συνάψῃ με αὐτῷ καὶ ἀναγκασθῇ που συντυχεῖν, κατὰ περίστασιν ἀμύνεται θᾶττον ἀποπηδῶν.* T.C.V.

411, 13. *ἐκτρέπεται*] *ἵνα μὴ διαβληθῇ πρὸς Φίλιππον.* A.T.

411, 15. *μετὰ δ' Αἰσχίνου περιέρχεται*] *ἵνα μή τις ὑπολάβῃ ὅτι ἄγριός ἐστι καὶ σκαιὸς τὸν τρόπον διὰ τοῦτό σε ἀποφεύγει, ἐπάγει ὅτι μετ' Αἰσχίνου περιέρχεται πᾶσαν τὴν πόλιν.* T.C.V.

411, 26. *ἀλιτηρίοις*] *ἐκλήθησαν ἀλιτήριοι ἐξ ἀρχῆς οἱ κλέπται καὶ ἄδικοι ἀπὸ τοιαύτης αἰτίας, ἀπὸ τοῦ λιμὸν γεγενῆσθαι παρὰ τοῖς Ἀθηναίοις καὶ ἁρπάζειν τινὰς τὰ ἄλευρα.* A.T.

412, 2. *ἓν, οἶμαι, σῶμα ἔχων καὶ ψυχὴν μίαν*] *σημείωσαι. ποῦ εἰσιν οἱ λέγοντες δύο ψυχὰς τὸν ἄνθρωπον, ἔχειν;* B.Y.

412, 11. *τούς γε οὐδένα βουλομένους*] *ἢ διὰ τὸ φθονεῖν τοῖς οὖσιν ἀγαθοῖς, ἢ διὰ τὸ μὴ βούλεσθαι εἶναί τινα μέγαν ἐν τῇ πόλει.* T.C.V.

412, 16. *τίς ἔσται λόγος*] *ὥς τινος Ἕλληνος ἐρωτῶντος, ἄλλου δὲ ἀποκρινομένου.* A.

412, 17. *Ἀθήνηθεν ἐπρέσβευσάν τινες*] *σκόπει τὴν μέθοδον, ὅτι, πλειόνων ὄντων πρέσβεων, τοὺς μὲν ἄλλους ἀφῆκε, τοὺς δὲ τρεῖς τοὺς ἐπισημοτάτους ἐπὶ κακίᾳ ὠνόμασεν, ἑαυτὸν μόνον ὡς εἴνοον ἀντιτιθείς.* T.C.V.

412, 24. *πρὶν εἰς ἄνδρας ἐγγράψαι*] *τὴν ὑποψίαν αἰσχρὰν ποιεῖ ἡ ἡλικία.* T.C.V.

413, 10. *ἐμβεβροντῆσθαι*] *τοῦ Θεολογου ὅμοιον.* B.

413, 14. *εἰ μήτε λαβεῖν*] *κύκλος.* B. *οὐκέτι ἀπὸ τοῦ ἄλλου προσώπου τῆς πλάσεως, ἀλλ' ὡς ἀπ' αὐτοῦ τοῦ ῥήτορος.* A.T.

2. *ἀναγκασθῆναι*] *ἀναγκασθήσομαι* C.G.
7. *με* add. W.
κατὰ περίστασιν ἀμύνεται] Nescio quid hæc verba sibi velint. WOLF.
14. *ἀπὸ—ἀπὸ*] *ἐκ—ἐκ* T.
16. *σημείωσαι*] *καὶ* Y.
18. *τὸ φθονεῖν* W. pro *τοῦ φθονεῖν*.
19. *μέγαν* W. pro *κακόν*.
29. *τοῦ Θεολόγου*] Gregorii Nazianzeni: v. ad schol. p. 227, 1.
30. *ἀπὸ*] *ἐκ* T.

413, 25. τοῦτον μὲν τοίνυν οὐκ ἔκρινεν Αἰσχίνης] ἀμύνεται τὸν Φρύνωνα τῆς καταμαρτυρήσεως, καὶ καιρὸν ἔχει τὸ πικρὸν τοῦ λόγου μετὰ τὴν γεγενημένην κατὰ Δημοσθένους ὕβριν. ἐφ' οἷς γὰρ παρελθόντες ἀντὶ τοῦ καταμαρτυρεῖν Αἰσχίνου αὐτὸν ὕβρισαν, ἐπὶ τούτοις παροξυνθεὶς ἐλέγχει τὸν βίον. εἶτα συνίστησιν ὅτι οὐδὲ σώφρων Αἰσχίνης. προδέδωκε, φησὶ, τὴν ὥραν τοῦ παιδὸς Φιλίππῳ Φρύνων. ποῦ τοίνυν ὁ σωφρονιστὴς Αἰσχίνης; καίτοι γε ἐπὶ παιδὶ μειρακίῳ δίκαιος ἦν κατηγορεῖν προδοθέντι τυράννῳ, ὃς ἀνδρὸς πρεσβύτου κατηγόρησεν, ἐκπεφευγότος ἤδη τῷ μήκει τῆς ἡλικίας τὸ ἔγκλημα. T.C.V.

413, 27. εἰ δέ τις ὢν ἐφ' ἡλικίας] ἀπολογεῖται δαιμονίως ὑπὲρ Τιμάρχου, ἔλαττον αὐτῷ κακὸν μαρτυρήσας, καὶ διὰ τούτου τοῦ μείζονος καὶ χαλεπωτέρου μᾶλλον ἀπαλλάξας ἐγκλήματος. ἰταμώτερον γὰρ αὐτὸν εἰπὼν κεχρῆσθαι τῷ μετὰ ταῦτα βίῳ, συνέδραμε τῷ θράσει καὶ ἀπήλλαξεν αὐτὸν ἑκατέρωθεν τῆς αἰσχύνης, τόν τε ἰταμὸν βίον εἰπὼν καὶ τὴν ἐκ τῆς εὐπρεπείας δόξαν· ἐντεῦθεν γὰρ κἀκείνῳ φῦναι τὴν γένεσιν τῆς διαβολῆς, οὐκ ἐκ τῶν ἔργων οὐδ' ἐκ τῶν βεβιωμένων. κανόνα γὰρ ἡμῖν δίδωσιν ὁ ῥήτωρ, ὅτι ἐν ταῖς ὑπὲρ τῶν φαυλοτάτων ἀπολογίαις ἀφεῖναι δεῖ τι μικρὸν καὶ δέξασθαι δι' οὗ τὸ μεῖζον ἀπωσόμεθα· καὶ γὰρ πιθανὸς ἔσται ὁ λόγος, οὐ τὸ πᾶν ἐκβαλλόντων ἡμῶν, ἀλλ' ἀντὶ τῆς πορνείας δεχομένων τὴν ἰταμότητα. T.C.V.

414, 1. φέρε δὴ καὶ περὶ τῆς ἑστιάσεως] ἐντεῦθεν λαμπρῶς εἰσῄει εἰς τὴν ὑπὲρ ἑαυτοῦ γενομένην ἀπολογίαν. ἔστι δὲ τὸ μὲν ἔγκλημα κατὰ τοῦ ῥήτορος, ὅτι δωροδόκος. αἱ δὲ ἀποδείξεις διτταί· μία μὲν ὅτι αὐτὸς ἔγραψε τὸ ψήφισμα περὶ ἑστιάσεως τῆς ἐν πρυτανείῳ περὶ τῶν πρέσβεων, οὕτως ἐκοινώνει τῆς πρεσβείας καὶ τῶν πραττομένων, ἑτέρα δὲ ὅτι αὐτὸς εἱστίασε τοὺς παρὰ Φιλίππου πρέσβεις, καὶ θέαν τὸν ἀρχιτέκτονα αὐτοῖς νεῖμαι προσέταξεν, καὶ φοινικίδας ὑπεστόρεσε, καὶ ὁρικοῖς ζεύγεσιν ἐξέπεμψε μέχρις Εὐρίπου

4. Αἰσχίνου αὐτὸν add. W.
13. καὶ χ. W. Aberat καί.
14. αὐτὸν εἰπὼν] Inverso ordine V.
15. αὐτὸν T. ἑαυτὸν ceteri.
27. πρέσβεων, οὕτως γρ. P. πρέσβεων οὕτος ceteri.
28. εἱστίασε P. ἑστίασε ceteri.
29. αὐτοῖς νεῖμαι (δοῦναι C.G.)] αὐτοῖς νεῖμαι αὐτοῖς V.
30. ὁρικοῖς W. pro ὁρικοῖς, et infra ὁρικῶν pro ὁρικῶν.
μέχρις] μέχρις τῆς C.G.

καὶ τῆς Χαλκίδος. περὶ μὲν οὖν τῆς ἑστιάσεως τῶν συμπρεσβευτῶν ἔστιν οὕτως εἰπεῖν τὴν διάνοιαν Αἰσχίνου· εἰ μὲν ἐδωροδόκησαν, δῆλον ὅτι καὶ Δημοσθένης ὁ ἐπαινέτης, εἰ δὲ μὴ αὐτός, οὐδὲ ἐκεῖνοι· περὶ δὲ τῶν κατὰ Φίλιππον, ὅτι εἰ Φίλιππος ἐδίδου τοῖς θεραπεύουσιν αὐτόν, καὶ τοῖς ἐκείνου πρέσβεσιν ἔδει δοῦναι. πρὸς μὲν οὖν 5 τὸ πρῶτον μέρος τῆς ἀντιθέσεως χρῶμα ἀπέδωκε λύων ἀπὸ τοῦ χρόνου, εἰπών, πρὸ τοῦ φανεροὺς αὐτοὺς γενέσθαι προδότας γέγραπται αὐτῷ τὸ ψήφισμα· πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐξένισα τοὺς Φιλίππου πρέσβεις, κατὰ συνδρομὴν ἀπήντηκεν ἀντιστατικῷ χρησάμενος, ὑπὲρ ὑμῶν ἐξένισα, ἐνδεικνύμενος ὅτι καὶ ἐν ἅπασι πλεον- 10 εκτοῦμεν καὶ ἐν ταῖς παρ' αὐτοῖς νομιζομέναις εὐδαιμονίαις τοὺς Μακεδόνας, καταγελῶν εἰ ἐν τοῖς συμποσίοις ὁρίζονται τὴν εὐδαιμονίαν. οὔτε δὲ τῶν ὁρικῶν ζευγῶν οὔτε τῶν ἐν τῷ θεάτρῳ στρωμάτων οὔτε ἄλλου οὐδενὸς ἐπεμνήσθη φοβηθεὶς ὀχυρωτέραν διὰ τούτων ἀπεργάσασθαι τὴν ἀντίθεσιν, ἔδοξε δὲ λύειν σύμπαντα ταῦτα συλλα- 15 βὼν τῷ τῆς λαμπρότητος καὶ τῷ τῆς ψευδομανίας ὀνόματι. ἐφ' οἷς γὰρ εἶδεν αὐτοὺς σεμνυνομένους καὶ μεγαλαυχουμένους, ταῦτα ἀπέφηνε πάντα μικρὰ διὰ τῆς οἰκείας μεγαλοπρεπείας καὶ ὧν παρέσχετο. T.C.V.

414, 28. ἴσως τοίνυν ἀδελφὸς] ἐκβολὴ τῶν συνηγόρων ὡς ἐν τοῖς 20 ἐπιλόγοις. ἐν δὲ ταῖς λέξεσιν ἐκακούργησεν ἴσως εἰπὼν ὡς καὶ τῶν ἀδελφῶν αἰσχυνομένων αὐτῷ βοηθῆσαι διὰ τὴν περιφάνειαν τῶν ἀδικημάτων. ἐπειδὴ δὲ στρατηγὸς εἷς τῶν ἀδελφῶν Αἰσχίνου γέγονε καὶ λαμπρός ἐστι κατὰ τὴν πόλιν, τῆς στρατηγίας ἀφέμενος καὶ τὸν ἔμπροσθεν διασύρας βίον, τὴν εὐδοξίαν ἣν ἔχουσιν ἀνῄρηκε τῇ 25 τῶν ὀνειδῶν τῶν ἀπὸ τοῦ γένους καὶ τῆς ἄλλης αἰσχύνης παραθέσει. εἶτα συνάπτει τὸν μὴ στρατηγήσαντα τῷ στρατηγήσαντι, ἵνα τὴν κοινὴν ποιότητα τῶν τριῶν λάβῃ. ἐπειδὴ γὰρ εἰώθασιν οἱ δικάζοντες πολλάκις καὶ διὰ τὸ εὐπατρίδας εἶναι καὶ διὰ τὸ γένος καταχαρί-

1. συμπρεσβευτῶν] πρεσβευτῶν V.
4. Φ. ἐδίδου] ἐδίδου Φ. V.
10. ἅπασι] πᾶσι V.
14. διὰ τούτων ἀ. τὴν ἀ.] δι' αὐτῶν τὴν ἀ. ἀ. V.
16. ψευδομανίας] εὐδαιμονίας P.
18. μικρὰ] σμικρὰ C.G.
20. τοῖς add. P.
21. ἴσως W. pro ὡς.
24. ἐστι κατὰ τὴν πόλιν] ἐστι τῇ πόλει V.
τῆς στρατηγίας om. C.G.
25. εὐδοξίαν] εὐδίαν P.
29. καὶ διὰ τὸ P. καὶ διὰ τοῦ ceteri.
διὰ τὸ γένος] διὰ γένος V.

ζεσθαι τοῖς κρινομένοις τὰς ψήφους, ἐξεφαύλισε τὴν παλαιὰν τύχην ἐξετάσας τὴν ὅλην οἰκίαν Αἰσχίνου. ἔδωκε δὲ ἡμῖν θεώρημα τὸ τὰ μέγιστα πᾶσι νομιζόμενα ὡς μικρὰ καὶ φαῦλα διαβάλλειν. ἐπειδὴ γὰρ ὁ Φιλοχάρης ζωγράφος ἦν κατὰ Ζεῦξιν ἢ Ἀπελλῆν γε ἢ Εὐφράνορα ἤ τινα τῶν ἐνδοξοτάτων, καθελεῖν βουλόμενος αὐτοῦ τὴν τέχνην ἀλαβαστροθηκῶν καὶ τυμπάνων γραφέα καθεστηκέναι φησὶν, ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ ἔλαττον καταβάλλων τὸ ἐπιτήδευμα καὶ διασύρων τῇ ταπεινότητι. T.C.V. πεπλήρωται αὐτῷ τὰ τῆς παρεκβάσεως. τὰ δὲ τῶν ἐπιλόγων τῶν ἐν τῷ ἀγῶνι ἐντεῦθεν ἄρχεται. ἴδιον δὲ τῶν ἐπιλόγων καὶ τοῦτο, τὸ τοὺς συνηγόρους ἐκβάλλειν. κοινωνεῖ δὲ ὁ ἐπίλογος τῇ παρεκβάσει τῷ προκεῖσθαι τῷ ῥήτορι ἐν ἀμφοτέροις ἢ διαβολὴν ἐργάσασθαι ἢ σύστασιν ἤθους καὶ βίου τῶν προκειμένων. διαφέρει δὲ τῷ τὴν μὲν παρέκβασιν τοῦ μὴ νῦν κρινομένου βίου τὴν ἐξέτασιν ἔχειν, ἀλλὰ τῶν ἐν τῷ ἄλλῳ χρόνῳ βεβιωμένων· τὸν δὲ ἐπίλογον αὐτῶν τῶν κρινομένων αὔξησιν περιέχειν, τῶν συντεινόντων πρὸς αὐτὰ τὰ κρινόμενα. ἓν οὖν καὶ τοῦτο τῶν ἐπιλόγων ἐστὶ, τὸ τοὺς συνηγόρους ἐκβάλλειν· ὃ ποιεῖ νῦν. B.F.S.Y.P. ἐκβολὴ συνηγόρων. A.T.

415, 4. σὲ] ὅτι τὸ "σὲ μέν" οὐ πρὸς τὸν Ἀφόβητον ἀπήντησεν, ἀλλὰ πρὸς τὸν Φιλοχάρην· ὑπογραμματέας δὲ, τὸν Ἀφόβητον καὶ τὸν Αἰσχίνην. A.T.

τὰς ἀλαβαστροθήκας] μυροθήκας, τὰς θήκας τῶν ἀλαβάστρων, αἵ εἰσι λήκυθοι, ὧν οὐκ ἔστι λαβέσθαι διὰ λειότητα. B.F.Y. ἀλάβαστρα λέγεται μικροὶ βίκοι οἱ δεχόμενοι τὰ μύρα. ἐκλήθησαν δὲ οὕτω παρὰ τὸ μὴ ἔχειν λαβάς· θήκη δὲ τὸ γλωσσόκομον τὸ δεχόμενον αὐτοὺς, τοὺς βίκους· τούτων οὖν αὐτὸν λέγει γενέσθαι γραφέα. A.T.

ἴσμεν σε τὰς ἀλαβαστροθήκας] τῶν ληκυθίων τῶν μὴ ἐχόντων λαβὰς, ἀλλὰ λείων, τὰς κίστας καὶ θήκας. ἐξωγράφουν δὲ αὐτὰς, ἵνα τοὺς ἀγοράζοντας δελεάζωσιν. ἔοικε δὲ οὐδὲ σεμνὸν αὐτὸν φάσκειν

3. ὡς add. P.
4. γε om. V.
Εὐφράνορα] ἀφράνορα codices.
10. τῶν ἐ. κ. τ.] κ. τ. τῶν ἐ. F.P.
ἐκβάλλειν] ὃ ποιεῖ νῦν add. B.F.P.
13. τῷ τὴν] τὸ τὴν B.
16. ἓν οὖν—νῦν om. B.F.P.
20. καὶ τὸν] τὸν om. A.
24. μικροὶ] οἱ A.
25. οὕτω] οὕτως T.
θήκη] θήβη T.
29. κίστας W. pro κύστας.
30. δελεάζωσιν T.D.G. δελεάσωσιν C. δελεάζωνται V.
οὐδὲ] οὐ C.G.

ζωγράφον, ἀλλ' εὐτελέστατον· ἦσαν γὰρ καὶ θαυμαστότεροι ζωγράφοι. T.C.V.

415, 5. τούτους δὲ ὑπογραμματέας] Ἀφόβητον λέγει καὶ τὸν Αἰσχίνην. εἶτα ἐπειδήπερ εἶδεν ἀντιπεσοῦσαν αὐτῷ τὴν τῶν ἀκουόντων ποιότητα—πλανῆται γὰρ καὶ χειροτέχναι σύμπαντες, ἢ οἱ πλείους—, ἀνήρηκεν εἰπὼν "καὶ οὐδεμιᾶς κακίας ταῦτα, ἀλλ' οὐδὲ "στρατηγίας ἄξια." καὶ ἵνα μὴ τοῦ ἀξιώματος αἰδῶς τις τοῖς ἀκούουσι γένηται, κατέστησεν αὐτὸν εἰς τὸ δεῖν μᾶλλον χάριν ὁμολογεῖν ἐπὶ τῷ ἀξιώματι, ὅμοιόν τι ποιῶν τοῖς ἐν τῷ κατὰ Μειδίου. καὶ γὰρ ἵνα μὴ δυσωπήσῃ κἀκεῖ τοῖς ἀξιώμασιν ὁ Μειδίας, εἰς τὸ δεῖν χάριν αὐτὸν ὁμολογεῖν ἐπὶ τῷ ἀξιώματι τῇ πόλει παρέστησε. προστίθησι δὲ ὅτι καὶ ἄξιος τιμωρίας ὁ παρ' ἀξίαν τυχὼν ἀξιώματος, καταισχύνων καὶ τὸ ἀξίωμα καὶ τὸν τηλικούτων ἠξιωκότα δῆμον. T.C.V.

415, 23. εἰ μὲν γὰρ] εἰ μὴ, φησὶν, ἀδικεῖ ἡμᾶς, κἀγὼ, φησὶ, σώζειν αὐτὸν λέγω. A.

416, 17. ἃ γὰρ ὡρίσω σὺ δίκαια] ἐπειδὴ πρὸς ἀπόδειξιν τὸ κατὰ Τιμάρχου λαμβάνει τῆς δωροδοκίας, εἰκότως ἀπολογεῖται ὑπὲρ τοῦ ἀνδρὸς καὶ προδιοικεῖται αὐτῷ τῆς ἀτιμίας ἄφεσιν· εἰ γὰρ ποιεῖ ταῦτα ἀεὶ καὶ κατὰ μέρος πείθει τὴν πόλιν, ἔστιν ὅτε καιροῦ γενομένου καὶ τὸν ἅπαντα δῆμον πείσει ῥᾳδίως ψηφίσασθαι τὴν ἐπιτιμίαν αὐτῷ. συμπλέκει δὲ τὸ κατὰ Τιμάρχου χρησιμώτερον διὰ δεινότητα· ἐπειδὴ γὰρ Αἰσχίνης, ἀμάρτυρον ἐκείνῳ ἀγῶνα παρασχόμενος, ἔδοξεν αἱρεῖν τὸν ἐναντίον, βουλόμενος τῶν ὁμοίων τυχεῖν καὶ αὐτὸς ἐπὶ τοῦ παρόντος ἀγῶνος, τῶν ὁμοίων παραδειγμάτων ἐμνήσθη, καὶ τὰ συνεκτικώτατα τοῦ λόγου τῆς κατὰ Τιμάρχου κατηγορίας λαβὼν τοῖς αὐτοῖς καὶ κατ' Αἰσχίνου κέχρηται· οἷς εἰ μὲν ἀκολου-

5. πλανῆται] πένητες W.
8. κατέστησεν] ταπεινὸν κατέστησεν W.
9. τῷ ἀ.] ἐπὶ τῷ ἀ. W.
10. μὴ δ. κἀκεῖ] κἀκεῖ μὴ δ. T. solus.
11. ἐπὶ τῷ] ἐπὶ habet inter versus T. ab ead. m., om. ceteri.
παρέστησε] περιέστησε W.
17. τὸ κατὰ T. λ. τῆς δ.] τῆς δ. λ. τὸ κατὰ P.
19. ποιεῖ—πείθει W. pro ποιῶν—πείθων, quo servato P. εἰ γὰρ in ὁ γὰρ mutaverat.
22. τὸ κατὰ W. pro τῷ κατά.
23. Αἰσχίνης add. W.
ἐκείνῳ V. In T. compendio scriptum, quod vel ἐκεῖνος vel ἐκεῖνον significare potest: ἐκεῖνον D. ἐκεῖνος C.G.
27. ἀκολουθήσουσιν] ἀκολουθήσωσιν V.

θήσουσιν οἱ δικάζοντες, ὀρθῶς νενίκηκεν Αἰσχίνης, εἰ δὲ μὴ πεισθεῖεν, οὐκ ἀκολούθως. εἰ γὰρ ὁ Αἰσχίνης διὰ τούτων νενίκηκεν, ὁ δὲ Δημοσθένης τοῖς αὐτοῖς χρώμενος οὐ νικήσει, οὐ τὰ αὐτὰ περὶ τῶν αὐτῶν οἱ δικασταὶ δικάζοντες ὀφθήσονται· ὥστε καὶ τὴν κατηγορίαν Τιμάρχου διαβεβλῆσθαι, καὶ τὴν κατηγορίαν Δημοσθένους μηδαμῶς 5 ἡττῆσθαι. T.C.V.

416, 24. πῶς; τί;] πῇ γάρ, ἐξιόντος αὐτοῦ ἀπὸ τοῦ δικαστηρίου, ἐρωτῶσιν οἱ φίλοι, πῶς, ὦ Δημόσθενες, ἔχει τὸ πρᾶγμα; τί γέγονεν; εἶτα ἀποκρίνεται αὐτοῖς, ᾠχόμην, αὐτοὺς ἀπατήσας τῷ λόγῳ. ἢ ὅλον ἀπ' αὐτοῦ τοῦ ῥήτορος πῶς ὑμῖν ἔδοξα; τί κατώρ- 10 θωσα; εἶτα ἐπάγει τὰ ἑξῆς. ἢ τὰ μὲν ἀπὸ τοῦ ῥήτορος, πῶς ὑμῖν ἔδοξα; τὰ δὲ ἀπ' ἄλλων. εἶτα καὶ ἐκεῖνοι ὑπολαμβάνουσι, τί κατώρθωκας, καὶ ἐπάγει τὰ ἑξῆς. T.C.V.

416, 26. μὴ σύ γε] ἰστέον ὅτι τῷ μὲν κατηγόρῳ ἔξεστι κατηγορεῖν ὃ βούλεται, τῷ δὲ ἀπολογουμένῳ μόνων τῶν κατηγορηθέντων 15 ποιεῖσθαι τὴν λύσιν. A.T.C.V.

416, 29. οὐδένα μάρτυρα ἔχων] οὐδένα μάρτυρα δυνάμενος παρασχέσθαι ἐπὶ τούτοις ἐφ' οἷς Τίμαρχον ἔκρινες· ἔλεγες δὲ δηλονότι τάδε τὰ Ἡσιόδου ἔπη. P.

417, 12. ὡς εἴπερ ἐστὶν ἀληθὴς] οὐ διστάζων εἶπεν, ἀλλ' ἔστιν 20 ἐπείπερ, ὡς καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους, Εἴπερ ἦν Ἕλλην ὁ παθών. T.C.V.

417, 18. ὅστις δ' ὁμιλῶν] γνώμη Εὐριπίδου ἐκ Φοίνικος. B.

παρῳδησε τὸ ἰαμβεῖον ἐκ τοῦ ὁμοίου. εἰ γὰρ ὁ φαύλοις συνὼν φαῦλος, οὐκοῦν καὶ ὁ δωροδόκοις συνὼν δωροδόκος. A.T. 25

417, 25. ὀρθῶς καὶ προσηκόντως] κατὰ παρῳδίαν. B.

418, 12. ἐξαίρετόν ἐστιν ὥσπερ γέρας] ἵνα μὴ ἔχῃ λέγειν, ἀλλ' οὐκ οἶδα, οὐ γὰρ ὑπεκρινάμην τὸ δρᾶμα· λέγει δὲ ὁ τὰς θεατρικὰς

2. ἀκολούθως] ὀρθῶς V.
8. Δημόσθενες] Αἰσχίνη W.
ἔχει om. codices.
10. τί κατώρθωσα—ἄλλων add. P.
12. εἶτα καὶ] καὶ om. V.
ὑπολαμβάνουσι add. P.
κατώρθωκας] κατώρθωσας V.
14. ἰστέον] ἰστέον δὲ T.C.V., omisso lemmate.
15. μόνων] μόνον A.C.G.
20. ἔστιν] ἀντὶ τοῦ add. V.
23. Φοίνικος] φοινίσσης B.
24. ἰαμβεῖον T. ἰαμβιον (sine accentu) A.
28. οἶδα W. pro οἶδας.
λέγει δὲ] δὲ om. V.
ὁ τὰς θεατρικὰς ἱστορίας συγγράψας] Juba, cujus θεατρικὴ ἱστορία aliquoties memoratur ab Athenæo.

ἱστορίας συγγράψας διὰ τοῦτο τοῖς τριταγωνισταῖς τὰς ὑποκρίσεις τῶν δυναστευόντων παρέχεσθαι, ἐπειδὴ ἧττόν ἐστι παθητικὰ καὶ ὑπέρογκα. T.C.V.

418, 15. ὁ Κρέων Αἰσχίνης] ὁ τὸν Κρέοντα ὑποκρινόμενος Αἰσχίνης. T.C.V. 5

418, 16. πεποίηται τῷ ποιητῇ] ἵνα ἀποσπάσῃ ἀπ' αὐτοῦ τὴν φιλοτιμίαν. οὐ γὰρ ἦν αὐτὸς ὁ ποιήσας. τὰ δὲ ἰαμβεῖά εἰσι ταῦτα.

Ιαμβεια εκ Αντιγονης Σοφοκλεους.

Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν 10
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ. 15
καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας, 20
οὔτ' ἂν φίλον ποτ' ἄνδρα συμμάχου χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
ἥδ' ἔστιν ἡ σώζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῶς τοὺς φίλους ποιούμεθα. T.C.V.

419, 12. ἐρρῶσθαι] ἀντὶ τοῦ οἰμώζειν· τῶν διφορουμένων γὰρ ἡ 25 λέξις· καὶ ἐπὶ κακοῦ λέγεται. A.T.C.V. τὸ δὲ στείχουσαν ὁμοῦ ἀντὶ τοῦ ἐγγύς. T.C.V.

419, 16. καὶ τοὺς βουλομένους εἰπεῖν] ἑαυτὸν δηλοῖ ἀνεπαχθῶς. T.C.V.

419, 18. ταύτης ἔπι τελοῦσα] τινὲς ἐνόμισαν μίαν λέξιν εἶναι, 30 οὐκ ἔστι δὲ, ἀλλὰ τὸ ἔπι συναπτέον πρὸς τὸ ταύτης καὶ τὸ τελοῦσα

4. ὁ τὸν] ἤγουν ὁ τὸν V.
7. τὰ δὲ ἰαμβεῖά εἰσι ταῦτα] Apparet scholiastam codice usum esse Demosthenis, in quo versus illi non essent appositi, unde ipse ex poeta excerpsit. Idem dicendum de Solonis versibus in schol. ad p. 420, 7.
13. ἅπτεται] ἅπτηται libri.
14. του] τὴν V.
21. συμμάχου] δυσμενῆ V. ex Sophocle.
24. ὀρθῶς] ὀρθῆς P. ex Sophocle.
25. διφορουμένων] διαφορουμένων A.
26. κακοῦ A.V. καλοῦ ceteri.

καθ' ἑαυτὸ, ἵνα ᾖ ἐπὶ ταύτης τελοῦσα. ἤδη δὲ ἔγνωμεν ὅτι ἐπῳδὸς ἦν ἡ μήτηρ αὐτοῦ κατὰ τὸν Δημοσθένους λόγον καὶ καθαίρουσα τοὺς μέλλοντας μνεῖσθαι. A.T.C.V.

419, 21. ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω] μέμνηται τῶν προγόνων Αἰσχίνου· ὅσῳ γὰρ ἂν ἐκ φαύλων καὶ ταπεινῶν ἐπιδείξῃ γενόμενον, τοσούτῳ μᾶλλον ἀφαιρεθήσεται καὶ τὴν τῆς ὑπολήψεως αἰδῶ καὶ ἄχρι τῆς ἀσελγείας. δύο δὲ μέρη τῶν ἐπιλόγων εἰργάσατο· ἓν μὲν τὸ κατὰ τὸ γένος, ἕτερον δὲ τὸ κατὰ τοὺς λόγους οἷς Αἰσχίνης ἐχρήσατο ἐν τῷ κατὰ Τιμάρχου. ἐντεῦθεν τρίτον ἐστὶ μέρος λοιπὸν, ὃ πρὸς τοὺς ἀκούοντάς ἐστιν, ἐκφοβοῦντος ἤδη καὶ ταράττοντος ἐφ' οἷς ἅπαξ αἱ πόλεις μετὰ προδοτῶν εἰσι, φόβον ἐργάσασθαι τοῖς ἀκούουσι βουλόμενος, ὡς οὐ μικρᾶς φροντίδος δεῖ τοῖς παροῦσι πρὸς τὰς ὑπερβαλλούσας δωροδοκίας· ἐν ᾧ μέρει καὶ τὰ κατὰ τὸν Ζελείτην ἐξήτασε καὶ ὅσα οἱ πατέρες κατὰ τῶν προδοτῶν πολλάκις ἐψηφίσαντο. προστίθησι δὲ καὶ ὅσα ἐπὶ τῆς παρούσης ἡλικίας ἐψηφίσται κατὰ προδοτῶν· ἐν ᾧ πάλιν μέρει ὁ Τιμαγόρας καὶ ὁ Λέων καὶ οἱ πρεσβεύσαντες πρὸς τὸν βασιλέα τῶν Περσῶν, τῆς εἰρήνης τῆς ἐπὶ Ἀνταλκίδου γενομένης, ἐξεταζόμενοι φαίνονται. T.C.V.

419, 22. ἥρως] οὕτως ἐκαλεῖτο ἥρως ἰατρός τις παρὰ τοῖς Ἀθηναίοις. ἐκλήθη δὲ ἥρως διὰ τὸ μέγεθος τοῦ σώματος. τὸ δὲ κύριον ὄνομα αὐτοῦ Ἀριστόμαχος. A.T.C.V.

419, 26. ἐν τῇ θόλῳ] ἡ θόλος τόπος ἐστὶν, ἔνθα ἐσιτοδοτοῦντο ἀπὸ τοῦ δημοσίου γραμματεῖς οἱ χειροτονηθέντες ἐκ τῆς πόλεως. ἐκλήθη δὲ θόλος διὰ τὸ θολοειδὲς καὶ στρογγύλον εἶναι τὸ σχῆμα. A.T.C.V. τόπος, ἔνθα ἐδείπνουν οἱ πρυτάνεις. B.Y.P.

419, 29. κατέδυσε] ἐνέμεινε τῇ τροπῇ τοῦ πλοίου. A.

420, 2. εἶτ' οὐ σὺ σοφιστὴς, καὶ πονηρός γε] προστίθησιν ἀπὸ

2. αὐτοῦ] αἰσχίνου V.
τὸν] τῶν τοῦ A.
5. φαύλων καὶ ταπεινῶν] φαυλοτέρων καὶ ταπεινοτέρων P.
ἐπιδείξῃ C.G. ἐπιδείξει ceteri.
8. τὸ γένος] τὸ om. C.G.
11. ἅπαξ αἱ — μετὰ] ἅπασαι — μισταὶ W.
φόβον] φοβερώτερον C.G.
16. ὁ T. καὶ ὁ Λ.] ὁ Λ. καὶ ὁ T. V.
19. Ἥρως—παρὰ] ὁ δὲ ἰατρὸς ἥρως ἐλέγετο παρὰ T.C.V.
22. ἐν τῇ—ἔνθα] ἡ δὲ θόλος τόπος ἐστὶ (ἦν V.) ἔνθα T.C.V.
ἐσιτοδοτοῦντο] ἐσιτοῦντο W.
23. ἀπὸ τοῦ] οἱ τοῦ T.C.V.
γ. οἱ] γ. ἡ P.
24. εἶναι] ἔχειν V.
25. ἔνθα] ἐν ᾧ P.

τῆς οἰκείας κρίσεως ἐπ' ἀμφοτέρων τὴν ῥοπὴν τοῦ κακοῦ, ἵνα τῆς γνώμης ᾖ καὶ μὴ τῆς τύχης τὸ κατηγόρημα. T.C.V.

420, 7. φερὲ δὴ καὶ περὶ τοῦ Σόλωνος] σημείωσαι περὶ τοῦ Σόλωνος ὅτι ἀμφισβητούντων Μεγαρέων καὶ Ἀθηναίων περὶ Σαλαμῖνος ὁ Σόλων ἐκ τῶν Ὁμηρικῶν ἐπῶν τὴν ἀπόδειξιν ἐποιήσατο, στίχον παρενθεὶς πεπλασμένον,

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,

καὶ προσέθηκε τόνδε τὸν στίχον,

Στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

τοῦτον πλάσας τὸν στίχον ἐνίκησεν ἐν τῇ δίκῃ τοὺς Μεγαρέας· ἔδειξε γὰρ ὅτι Ἀθηναίων ἦν ἡ Σαλαμὶς ἐκ παλαιοῦ. σημείωσαι δὲ καὶ τὰ ἐλεγεῖα αὐτοῦ· τὰ μὲν πρῶτα,

Ἴομεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου
ἱμερτῆς χαλεπὸν αἶσχος ἀπωσάμενοι.

τὰ δὲ δεύτερα,

Ἡμετέρα δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων·
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
ἀστοὶ βούλονται χρήμασι πειθόμενοι. A.T.C.V.

421, 22. καὶ πιλίδιον λαβὼν ἐπὶ τὴν κεφαλὴν] οἱ μέν φασιν ὅτι ἐν ταῖς πομπαῖς ἐλοιδοροῦντο ἀλλήλοις προσωπεῖα φοροῦντες, ὑποκάτω δὲ πιλίδια ἐφόρουν, ὥστε μὴ βλάπτεσθαι καὶ τρίβεσθαι τὴν κεφαλήν. ὅτι τὸν Οἰνόμαον ὑποκρινόμενος καὶ καταπεσὼν ἐπλήγη καὶ ἐτραυματίσθη καὶ ἐδέδετο τὴν κεφαλήν. οὐ φεύξῃ οὖν τὸ μὴ δοῦναι δίκην, κἂν πιλίδιον φορῇς. T.C.V.

3. σημείωσαι—χρήμασι πειθόμενοι] Hoc scholion in A. sic conformatum, ἐλεγεῖα "ἴομεν—ἀπωσάμενοι. ἀμφισβητούντων δὲ μεγαρέων—φάλαγγες. τοῦτον πλάσας—παλαιοῦ. Tum primum tertiumque Solonis distichon (ἡμετέρα—ἀθανάτων. et αὐτοὶ—πειθόμενοι) in summa paginæ ora scripta sunt.

4. Σαλαμῖνος] τῆς σαλαμῖνος C. G.

7. Αἴας δ'—] Iliad. B, 557. De fraude hac Solonis dixit præter alios Plutarchus in Vita Solonis c. 10.

12. αὐτοῦ] τούτου V.

13. ἴομεν] ἴσμεν C.G.V.

μαχησόμενοι A. ναυμαχησόμενοι ceteri.

17. ἀθανάτων] Duos versus τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη παλλὰς ἀθηναίη χεῖρας ὕπερθεν ἔχει, qui nullo in codice exstant, addidit V. ex Demosthene, ut videtur, sumtos.

21. ἐν] ἐπὶ V.

423, 17. ὑπακούσαντά τινα] τὸν Τίμαρχον λέγει. A.T.

424, 11. καὶ τὰ τοιαῦτα ὑποκοριζόμενοι] ὑποκορίζεσθαί ἐστι κυρίως τὸ τοῖς παισὶ πρὸς ψυχαγωγίαν καὶ ἀπάτην λέγειν τινὰ ὀνόματα, οἷον, ὡς Διόνυσός ἐστιν, ὡς βασιλεὺς, καὶ τὰ τοιαῦτα. καταχρηστικῶς δὲ καὶ τὸ εὐφήμοις ὀνόμασι κλέπτειν τὴν ἀτοπίαν. 5 A.T.C.V.

424, 19. τὴν ἡγεμονίαν καὶ τὸ κοινὸν ἀξίωμα] κοινὸν ἀξίωμα τὴν ἐλευθερίαν τῶν Ἑλλήνων φησὶν, οὐ τῆς Ἑλλάδος δέ φησι τὴν ἡγεμονίαν· οὐ γὰρ εἶχον ταύτην οἱ Θετταλοὶ, ἀλλ' ἢ τῆς Ἀμφικτυονίας ἢ τῶν οἰκείων πόλεων τὴν ἀρχήν. ἔοικε δὲ τὸ ἀξίωμα λέγειν ἢ τῆς 10 αὐτῶν ἀρχῆς, ἢ τῆς διοικήσεως τῆς Πυλαίας, ἢ ἁπλῶς τῆς ἐλευθερίας, ὡς καὶ προείπομεν. T.C.V.

424, 22. τὰς ἐν Ἤλιδι σφαγὰς] ἐστασίαζον πρὸς ἀλλήλους, οἱ μὲν τὰ Φιλίππου φρονοῦντες, οἱ δὲ τἀναντία βουλόμενοι. εἶτα ἀπέσφαξαν ἀλλήλους, τῶν φιλιππιζόντων ἐπικρατησάντων. T.C.V. 15

425, 7. καὶ τοὺς πρώτους εἰσαγαγόντας ἠτιμώσατε] ἀνέῳξε, φησὶ, τὰς Πύλας ὁ Φιλοκράτης τῇ νόσῳ Αἰσχίνου αὐτὸν καὶ μὴ βουλόμενον εἰσενήνοχεν· οὐ γὰρ ἀφ' ἑαυτοῦ εἰσῆλθεν, ἀλλ' οὐ βουλόμενον εἰσήγαγε. T.C.V.

425, 24. καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν] ὄνομα ἴδιον τῶν 20 ἀρχόντων. εἰσὶ δὲ οὗτοι, Τελευτίας, Ἀγησιλάου ἀδελφὸς, μετ' αὐτὸν Ἀγησίπολις, τρίτος Πολυβιάδης· πρὸς οὓς τὰς διαλύσεις οἱ Ὀλύνθιοι ἐπεποίηντο. T.C.V.

426, 1. ἤρεψε] ἐρέπτω τὸ θέμα αὐτοῦ, ὃ καὶ ἐρέφω. P.

426, 5. οὐχ ὅπως] οὐ μόνον. P. 25

426, 6. ἀλλ' ἀπέβλεπον] ὥσπερ ἐκθειάζοντες αὐτούς. T.C.V.

428, 13. ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως] ὡς ἀπὸ τῶν περιστατικῶν ἡ αὔξησις γέγονεν. T.C.V.

3. καὶ ἀπάτην om. V.
5. καὶ τὸ] καὶ om. A.
7. κοινὸν—Ἑλλήνων] Hæc verba sunt etiam in A. κοινὸν γὰρ ἀ. ἡ ἐλευθερία τῶν ἑλλήνων.
10. λέγειν ἢ ante τὸ ἀξίωμα. V.
11. αὐτῶν W. pro αὐτῆς.
12. ὡς καὶ] καὶ om. V.
13. πρὸς ἀλλήλους] οἱ Ἠλεῖοι add. W.
17. τῇ νόσῳ—καὶ] τῷ νοσήματι τούτῳ, Αἰσχίνης αὐτός· καὶ P. τῇ νόσῳ· Αἰσχίνην αὐτὸν καὶ W.
18. ἀλλ' οὐ βουλόμενον W. ἀλλὰ μὴ βουλόμενον P. Libri ἀλλὰ βουλόμενον.
21. Τελευτίας margo P. τελευτέας codices. τελευταίας V.

428, 29. ἵππου μὲν δρόμον] ὅρος τῆς Ἑλλάδος. ἐκ δὲ τῶν τῆς πόλεως ἀγώνων καὶ ἀποστόλων εἰς τοῦτο κατῆλθεν, ὥστε ὡμολόγησε δυοῖν ἐντὸς ὅροιν μηκέτι πλευσεῖσθαι, πρὸς μεσημβρίαν μὲν Χελιδονέας, πρὸς δὲ ἄρκτον Κυανέας θέσθαι. LESS.

430, 4. ὧν εἷς ἦν Ἐπικράτης] πολλῶν ὄντων τῶν κεκολασμένων τοῦ Ἐπικράτους ἐμνημόνευσεν, ἵνα φανῶσι μηδὲ τῶν εὐεργετῶν φειδόμενοι. T.C.V.

430, 25. καὶ ἠλέγχθησάν τινες] τοῦτο πάλιν ἐκ τοῦ προτέρου ψηφίσματος εἴληπται· ἀλλ' οἱ μὲν ἐπὶ τῆς βουλῆς μόνης ἐψεύσαντο, οὗτοι δὲ καὶ ἐπὶ τοῦ δήμου. T.C.V.

430, 26. οὗτοι δέ γε] ὡς παρ' Αἰσχίνου τοῦτο λαμβάνει. A.

430, 29. οὐδ' ἐπιστέλλοντες, φησί, τἀληθῆ] ἀπὸ κοινοῦ τὸ ἠλέγχθησαν. T.C.V.

431, 5. ἀλλὰ μὴν ὑπέρ γε τοῦ δῶρα] τῷ ἀπὸ τοῦ ἐναντίου κέχρηται ἐπιχειρήματι, φάσκων ἄτοπον εἶναι τοὺς μὲν εὐεργέτας καὶ τῶν εὐεργετῶν τοὺς παῖδας ἐκπεπτωκέναι δι' ἁμαρτήματα μικρὰ καὶ φαῦλα, τὸν Ἀτρομήτου δὲ μὴ ἐκπεσεῖν· ἐν ᾧ καὶ τὸν ἔλεον ἐκβάλλει, ὑπομνήσας καὶ τῶν λόγων οἷς τοῦ Τιμάρχου τὸν ἔλεον ἐξέβαλε. B.F.R.S.Y.T.C.V.

431, 6. ἐξελέγχειν] ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι. B.

431, 15. καὶ τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος] τὸν Πρόξενον λέγει τὸν στρατηγόν· ἐκεῖθεν γὰρ ἦν. T.C.V.

431, 22. παιδία ὁμώνυμα] εἰκὸς γὰρ ἦν τὸν Πρόξενον τῷ Ἁρμοδίου ὀνόματι χρῆσθαι ἐπί τινος υἱοῦ. T.C.V.

431, 25. ἐφ' οἷς ἑτέρα τέθνηκεν ἱέρεια] ἐφ' οἷς φαρμάκοις καὶ ἄλλη ἱέρεια τέθνηκεν. λέγει δὲ τὴν Νίνον λεγομένην. κατηγόρησε δὲ ταύτης Μενεκλῆς ὡς φίλτρα ποιούσης τοῖς νέοις. A.R.T.C.V.

3. ἐντὸς Sauppius pro μέν.
8. προτέρου] πρῶτον V.
12. ἠλέγχθησαν] ἠνέχθησαν C.G. V.
14. τῷ—ἐπιχειρήματι] ἐπιχείρημα ἀπὸ τοῦ (τοῦ om. S.) ἐναντίου F.R.S. Y. ex quo corruptum est quod in B. legitur ἐπειδὴ ἀπὸ τοῦ ἐναντίου.
16. τοὺς παῖδας B.F. τοὺς om. ceteri.
μικρὰ καὶ φαῦλα] φαῦλα μὲν καὶ μικρὰ B. φαῦλά τε καὶ μικρὰ F.
17. τὸν Ἀτρομήτου δὲ] τὸν δ' αἰσχίνην τὸν ἀτρομήτου B.F.
18. ὑπομνήσας—ἐξέβαλε om. B.F. R.S.Y.
22. τὸν στρατηγὸν W. pro τῶν στρατηγῶν.
26. νίνον T.D. νῖνον ceteri.

ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐξ ἀρχῆς γέλωτα εἶναι καὶ ὕβριν κατὰ τῶν ὄντως μυστηρίων τὰ τελούμενα ταῦτα νομίζοντες τὴν ἱέρειαν ἀπέκτειναν· μετὰ τοῦτο τοῦ θεοῦ χρήσαντος ἐᾶσαι γενέσθαι τὴν Αἰσχίνου μητέρα μυεῖν ἐπέτρεψαν. T.C.V.

432, 17. ὅτι τοῦτον εἶδεν ἀδικοῦντα] ἐπειδὴ διὰ σωφροσύνην ἔδοξε τοῦ Τιμάρχου κατηγορῆσαι, ὑποβάλλει ἄλλην αἰτίαν καὶ ἀναιρεῖ τὴν καλήν. T.C.V.

432, 19. εἰ γὰρ παρὰ τῶν εἰς αὐτοὺς ἐξαμαρτανόντων] πορνεύοντες ἑαυτούς. ἅπτεται δὲ τῆς ὑπολήψεως καθαιρῶν αὐτήν. T.C.V.

432, 23. νὴ Δί'. οἱ νέοι γὰρ] ἀνθυποφορὰν ἔθηκεν ἐπιλογικὴν ἐκ τῆς Αἰσχίνου ποιότητος, ἀπὸ τῆς ἐργασίας ἀνακύψασαν· ἀλλὰ χρήσιμός ἐστι τῇ πόλει σωφρονίζων διὰ τοῦ βίου τοὺς παῖδας. ἔστι δ' ὅτε ἐξεπίτηδες αὐτὸς ἑαυτῷ κινεῖ τὰς τοιαύτας ἐναντιώσεις, ἵνα πλείονας ἐπιχειρημάτων εὐπορίας εὑρίσκῃ. ἐπαινεῖ μὲν οὖν τὴν ἀγωγὴν τῶν παίδων διὰ τῆς λύσεως, διαβάλλει δὲ τὸν Αἰσχίνην ὅτι ἀδοξίαν ἰσχυρὰν περιῆψε τῇ πόλει. καὶ τίνος ἕνεκα κατηγόρησε Τιμάρχου συνίστησιν, ὅτι εὔνους, φησὶν, ἦν ὑμῖν καὶ πολέμιος τῷ Φιλίππῳ. τὴν δὲ βούλησιν Αἰσχίνου, δι' ἣν κατηγόρησε Τιμάρχου, διαπορήσεως σχήματι μᾶλλον ἔπλεξεν, εἰπὼν, οὐκ οἶδα ὅπως ἔχομεν. ὁ γὰρ ἀκροατὴς παρ' ἑαυτῷ βασανίζων τὸν λόγον μείζονα κατ' αὐτοῦ λαμβάνει τὴν ὑπόνοιαν ὧν ὁ ῥήτωρ ἐπέπληξεν, ἢ φανερῶς ὠνείδισε. T.C.V.

433, 6. πόσον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος] ὅτε καὶ νέος ἦν, καὶ χώραν εἶχεν ἡ γραφὴ πλέον. ἦν δὲ ἐν τῇ πόλει εἶπεν, ἵνα μὴ λέγῃ ὅτι ἀπόντος ἐλάνθανεν. T.C.V.

1. ἐξ ἀρχῆς] οἱ Ἀθηναῖοι ἐξ ἀρχῆς W.

2. τὰ W. pro ὅτι τά.

νομίζοντες add. W.

3. μετὰ] δὲ add. W.

4. ἐπέτρεψαν W. pro ἐπέτρεψεν.

5. ἔδοξε T.D. ἔδειξε C.G. ἐνομίζετο V.

8. πορνεύοντες—ἅπτεται δὲ] οἱ γὰρ πορνεύοντες ἑαυτοὺς ὑβρίζουσι. καθάπτεται δὲ W.

10. ἀνθυποφορὰν — ἀνακύψασαν] Hæc pars scholii est etiam in B.F. R.S.Y., sic scripta ἀνθυποφορὰ ἐπιλογικὴ ἐκ τῆς αἰσχίνου ποιότητος ἀ. τ. ἐ. ἀνακύψασα.

13. κινεῖ P. κινεῖν codices et V.

14. πλείονας] πλείους C.G.

17. π. τῷ φ. T.D. τῷ φ. π. ceteri, nisi quod τῷ om. V.

19. ἔπλεξεν] ἔδειξεν C.G. ἐπέπληξεν margo T.

20. μείζονα κατ' αὐτοῦ] Sc. τοῦ φεύγοντος. Sed quid si καθ' αὑτόν? WOLF.

433, 16. ἀπόλωλε καὶ ὕβρισται] τὸ δεύτερον προστεθὲν τὸ μάτην καὶ ἀδίκως ἀπολωλέναι δηλοῖ. T.C.V.

433, 19. κηδεσταῖν] κηδεστὰς ἐνταῦθα καλεῖ τοὺς ἀδελφοὺς τῆς γυναικὸς αὐτοῦ. A.—V.

433, 20. ὃς ἑαυτὸν ἐμίσθωσε Χαβρίᾳ] Αἰγύπτιον τινά φασιν οὕτω καλεῖσθαι. ἐμίσθωσε δὲ ἐπ' αἰσχρότητι. T.C.V.

433, 21. καὶ τοῦ καταράτου Κυρηβίωνος] τὸ μὲν ὄνομα Ἐπικράτης, τὸ δὲ Κυρηβίωνος Ἀττικῶς. λέγει δὲ τὸ κάθαρμα καὶ εὐτελές. κυρήβια γὰρ τὰ ἀποκαθάρματα τοῦ σίτου λέγουσι. T.C.V. τὸ ἀναίσχυντον αὐτοῦ βουλόμενος δεῖξαι, εἶπε τὸ ἄνευ τοῦ προσώπου. οἱ γὰρ ἐν ταῖς ἑορταῖς τότε βουλόμενοι σκώπτειν τινὰς ἐφόρουν προσωπεῖα, ἵνα μὴ αἰσχύνωνται. ἰστέον δὲ ὅτι οἱ νεώτεροι λέγουσιν αὐτὸ προσωπεῖον, ἐν δὲ τοῖς ἀρχαιοτέροις βιβλίοις εὑρίσκεται τὸ πρόσωπον. A.—V. σημείωσαι· λέξις ἐκ παρονομασίας, τρίτου εἴδους τῆς κατὰ λέξιν δριμύτητος. B.F.Y.P.

433, 24. ἀλλὰ δῆτα ἄνω ποταμῶν] ἐναλλὰξ καὶ ἀτάκτως ἡ παροιμία ἔχει· οἷον, Αἰσχίνης κατηγορεῖ πορνείας, ὅλην τὴν ἑστίαν πορνῶν ἔχων μεστήν. ἡ παροιμία δὲ λέγεται ἐπὶ τῶν ἐναντίως φρονούντων. T.C.V. ἡ παροιμία λέγεται ἐπὶ τῶν ἐναντίων. φησὶν οὖν ὅτι ἐναντία ταῦτα ἐγίνετο· πορνείας κατηγορεῖ ὁ Αἰσχίνης πᾶσαν αὐτὸς τὴν ἑστίαν ἔχων πόρνων. A.R. τὸ ἐρρήσαν περὶ ποταμοῦ λέγων ἐνέμεινε τῇ τροπῇ. A.—V.

434, 1. τοῦτ' ἐπετήρουν] ὥσπερ τι θεῖον ἐπετήρουν διὰ τὸ μὴ ἀπολέσαι τὸ κέρδος. T.C.V.

434, 2. νῦν δὲ δὴ περιερχόμεθ' ἡμεῖς] ὡς τῆς ἐσχάτης συμφο-

3. κηδεστὰς] δὲ add. T.C.V., omisso lemmate κηδεσταῖν.

7. Κυρηβίωνος] κηρυβίωνος libri in lemmate et in scholio.

8. Ἀττικῶς] σκωπτικῶς W. probabiliter.

9. κυρήβια] Libri κηρύβια.

τὸ ἀναίσχυντον] δὲ add. T. C. V.

10. εἶπε τὸ T.C.D.G. εἶπεν R.V. τοῦτο εἶπεν A., qui om. verba ἄνευ τοῦ προσώπου.

12. ἰστέον δὲ] δὲ om. A.

14. σημείωσαι om. Y.P.

λέξις] λέξις δὲ P.

παρονομασίας] παρωνομασίας Y.P.

τρίτου om. B.F.Y. in quibus hoc scholion adscriptum ad p. 434, 6.

19. φρονούντων] φερομένων W.

21. ἑστίαν] οἰκίαν codex Paris. 2997.

τὸ] τὸ δὲ T.C.V.

25. συμφορᾶς, ἀποδημεῖ] συμφορᾶς οὔσης εἰ ἀποδημεῖ W.

ρᾶς, ἀποδημεῖ τις τὰς Ἀθήνας ἐών, ἵνα συμβουλῆς ἀκούσῃ τινὸς ὁ τοῖς ἄλλοις ἀεὶ γενόμενος σύμβουλος. T.C.V.

434, 6. ἀλλ' εἰ τῆς πόλεως τέθνηκε] τὸ μὲν ἀπολόμενον ἔστι καὶ εὑρεθῆναι, τὸ δὲ τεθνηκὸς οὐκέτι ἔσται. T.C.V.

434, 8. ἀλλ'] κατὰ κοινοῦ τὸ φοβεῖ με. εἰς Εὔβουλον δὲ ἀποτείνεται, ὡς ἐπάγει. A.T.

434, 10. καὶ συνεροῦσί τινες τούτοις] ἐπ' ἄλλον συνήγορον μετέβη, τὸν Εὔβουλον, ὃν εἰς ὑποψίαν κατέστησε φιλιππισμοῦ καὶ κοινωνίας τῆς πρὸς τὸν Αἰσχίνην. B.F.R.S.Y. μετέβη ἐπ' ἄλλον συνήγορον, οὐ φαῦλόν τινα καὶ ἀδόκιμον οὐδὲ τῶν κατὰ τὴν πόλιν ἀριθμουμένων ἐν πολλοῖς, ἀλλ' ἀποφερόμενον τὰ πρῶτα καὶ δοκοῦντα ὑπὲρ τοὺς πολλοὺς εἶναι, Εὔβουλον, τὸν διὰ χειρὸς ἔχοντα τὴν πολιτείαν. τοῦτον γὰρ δέδοικε καὶ τὴν παρὰ τούτου ῥοπὴν καὶ προσθήκην· λέγουσι γάρ τινες δι' αὐτοῦ τὸν Αἰσχίνην σωθῆναι. εἰς ὑποψίαν οὖν κατέστησεν Εὔβουλον φιλιππισμοῦ καὶ κοινωνίας τῆς πρὸς τὸν Αἰσχίνην. καὶ ὅσῳ γε μάλιστα κατὰ τὴν πόλιν ἰσχύειν δοκεῖ, τοσούτῳ μᾶλλον ἐκφοβεῖ τὸν δῆμον, τῇ περιουσίᾳ τῆς δυναστείας εἰς περιουσίαν κακοποιίας δεικνὺς αὐτὸν ἐπιχρώμενον. ἐπειδὴ δὲ τῶν ἐπισημοτάτων καὶ δυναστευόντων ἦν κατὰ τὴν πόλιν ὁ Εὔβουλος, πλείστης ἐδεήθη τῆς ἀντιρρήσεως καὶ τῶν πρὸς αὐτὸν ἀγώνων. ἀντέθηκεν οὖν καὶ χρησμοὺς θεῶν καὶ μαντείας, δεικνὺς ἐκ λογισμῶν διὰ πάντων μηδὲν τοῖς τοιούτοις καθ' ἑαυτῶν ἐνδιδόναι, ἔτι δὲ καὶ ἀπὸ τῶν πολιτευμάτων αὐτῶν ἐπεχείρησε διαβάλλειν τὸν Εὔβουλον. T.C.V.

434, 14. Ἡγησίλεῳ μὲν κρινομένῳ] οὗτος εἰς Εὔβοιαν ἐπεστρατήγησεν, ὅτε τῷ Πλουτάρχῳ τὴν βοήθειαν ἔπεμψαν Ἀθηναῖοι, ὡς εἶπεν ἐν Φιλιππικοῖς. ἐκρίθη δὲ ὡς συνεξαπατήσας τῷ Πλουτάρχῳ τὸν δῆμον. βούλεται οὖν δεῖξαι ὅτι οὐ φιλανθρωπίας ἕνεκα συναγωνίζεται τῷ Αἰσχίνῃ, ἀλλὰ διὰ τὸ φιλιππίζειν, ὅπου γε τοῦ οἰκείου τοῦ Ἡγησίλεω οὐκ ἐφρόντισε. T.C.V.

2. γενόμενος] Legebatur γιγνόμενος. Codices γενόμενα.
8. ὃν εἰς Sauppius pro ὃς εἰς.
9. πρὸς τὸν] τὸν om. B.F.
13. παρὰ τούτου] παρ' αὐτοῦ V.
15. καὶ κοινωνίας] καὶ om. V.
τῆς πρὸς] τοῖς περὶ W.
17. τῇ περιουσίᾳ] τῇ om. V.
18. ἐπιχρώμενον] ἀποχρώμενον vel καταχρώμενον W.
24. ἐπεστρατήγησεν] ἐστρατήγησεν C.G.
26. ἐκρίθη δὲ W. pro ἐκρίθη γάρ.
τῷ Πλουτάρχῳ margo P. Libri τοῦ πλουτάρχου.

434, 15. τῷ Νικηράτου θείῳ] ἄλλο παράδειγμα, δεικνύον ὡς οὐ δι' ἔλεον συμβάλλεται ὁ καὶ τοῦ θείου καταφρονήσας τότε. T.C.V.

434, 16. καλούμενος] ἵνα μὴ εἴπῃ, Οὐ γὰρ ἐδέετό μου· ὅτι καὶ ἐβόα καλῶν· ἀλλ' ἀνόητος ἦν ἡ βοή. T.C.V. 5

434, 22. συγκατηγόρει μετ' ἐκείνου σου] οὗτος οὖν ὁ τοῖς συγγενέσι μὴ βοηθήσας, τῷ δὲ κατηγόρῳ συμπράττων, δόξειεν ἂν διὰ τὸν Φίλιππον πεποιῆσθαι τὴν βοήθειαν. T.C.V.

434, 24. δεδιξάμενος] ἀντὶ τοῦ εἰς δέος καταστήσας, ὡς ἀπὸ θέματος τοῦ δεδείξω. κακῶς δέ· ὤφειλε γὰρ δεδειξόμενος. A.T. 10

435, 5. τί γὰρ δήποτε Μοιροκλέα] ἐν τοῖς ἄνω παραδείγμασιν ὅτι οὐ φιλάνθρωπος ἔδειξε· πῶς γὰρ ὁ τοῖς ἐπιτηδείοις μὴ βοηθῶν; νῦν δὲ ὅτι καὶ τοὺς ὀλίγα ἡμαρτηκότας φαίνεται κρίνων, ἵνα μή τις λέγῃ, ἀήθης γάρ ἐστι τοῦ κατηγορεῖν, καὶ διὰ τοῦτο φείδεται τοῦ Αἰσχίνου. T.C.V. 15

435, 26. ξένοι καὶ φίλοι προσαγορευόμενοι] τοῦτο εἴρηκεν, ἐπειδήπερ ἄχρι ὀνόματος οἶδε τὴν φιλίαν οὖσαν τὴν παρὰ τῶν ἐχθρῶν. T.C.V.

435, 29. ἐν τοῖς τριακοσίοις] σύστημα ἦν τὸ τῶν τριακοσίων οἱ τὰ κοινὰ διοικοῦντες, ὥσπερ ἐν Ἀρκάσιν οἱ μύριοι. A.R.T. 20

436, 2. καὶ πλούτῳ καὶ γένει καὶ δόξῃ] ἵνα μὴ δόξῃ ὁ Εὔβουλος ὡς εὐεργέτης καὶ πλούσιος μὴ λέγεσθαι εἶναι προδότης, εἰκάζει αὐτῷ τὸν Πτοιόδωρον. ὅρα τὸν Πτοιόδωρον, φησὶ, καὶ φυλάττου τὸν Εὔβουλον. T.C.V.

436, 5. ἐτύρευε] κατεσκεύαζε, ἐμηχανᾶτο. μεταφορὰ ἀπὸ τοῦ 25 γάλακτος συναγομένου. P.

436, 8. σωζέσθω] εἰς τὸν Εὔβουλον πάλιν αἰνίττεται. μὴ πρὸς χάριν, φησὶ, τοῦ Εὐβούλου σωζέσθω ὁ Αἰσχίνης μηδ' ἀπολλύσθω. A.R.T.

436, 12. ἐπὶ καιρῶν γεγόνασιν] πάνυ θαυμασίως ἐπεχείρησεν, 30 οὐ πάντῃ τοὺς ἰσχυροὺς ἀτιμάζων καὶ ἐκβάλλων. ὠφελεῖ γὰρ καὶ

5. ἀνόητος] ἀνόητος C.G.V.
6. ὁ τοῖς] ὁ καὶ τοῖς V.
7. ἂν διὰ W. pro ἂν μὴ διά.
10. κακῶς—δεδειξόμενος om. A.
13. μή τις] μήτε T.C.D.G.
17. οἶδε τὴν φ.] τὴν φ. οἶδεν V.
22. λέγεσθαι] βούλεσθαι correctus T. et C.G. ἐλέσθαι D., quod in T. quoque librarius primo scripserat, ut videtur.

τοῦτο τὰς πόλεις, ἀλλὰ ἀπὸ τοῦ τόπου καὶ τοῦ τρόπου διαβάλλων. T.C.V.

436, 13. Καλλίστρατος] ὁ Καλλίστρατος τῶν πάνυ δεινῶν ἦν ῥητόρων, ὃς καὶ ἐφυγαδεύθη διὰ τὴν δεινότητα, οὗ καὶ ἀκούσας ὁ ῥήτωρ ἐπεθύμησε καὶ μετελθεῖν τὴν τέχνην. A.R.T.

Ἀριστοφῶν] πολλάκις καὶ περὶ Ἀριστοφῶντος εἴπομεν ὅτι οὗτός ἐστιν ὁ τὰς ἑβδομήκοντα γραφὰς διαφυγών. A.R.T.

436, 22. τὰς μαντείας] ἰστέον ὅτι ἡ μὲν Πυθία ἔφησεν ἀμφιβόλως ὡς δεῖ φυλάττεσθαι τοὺς ἡγεμόνας, ὅπερ δυνατὸν ἁρμόσαι καὶ κατὰ τῶν δημαγωγῶν καὶ κατὰ τῶν στρατηγῶν καὶ κατὰ τῶν ῥητόρων. A.R.T.

436, 27. πολέμου γάρ εἰσιν ἡγεμόνες] πολύπτωτον. B.

437, 7. ὅπως ἂν μὴ χαίρωσιν οἱ ἐχθροὶ] ὁρᾷς ὅτι οἱ μὲν ἔξωθεν, οἱ δὲ ἔνδοθεν ἐπιβουλεύουσιν. T.C.V.

457, 11. ἔξωθεν οἱ ἐπιβουλεύοντες] τοῦτο δοκεῖ μὲν εἶναι καθ' ἑαυτό· ἔχεται δὲ τῶν ἄνω, ἔνθα φησὶ συνέχειν δεῖν τὴν πόλιν, ὅπως ἐν μιᾷ γένηται γνώμῃ. T.C.V.

437, 20. τῷ παρὰ τῶν πωλούντων] ἐπαναφορά. B.

437, 21. προεστηκότας] τινὲς λέγουσι περὶ τοῦ Αἰσχίνου. βέλτιον δὲ λαβεῖν αὐτὸ περὶ Εὐβούλου. A.

437, 22. ταῦτα τοίνυν ἐφ' ὑμῖν ἐστι] φρονίμως πάνυ μετὰ τὴν αὔξησιν τῆς τῶν προδοτῶν κακίας καὶ τῆς δυναστείας μείζονα καὶ ἰσχυρότερα δείκνυσι τὰ δικαστήρια, ἵνα μὴ φοβῶνται αὐτούς, ἀλλὰ κολάζωσιν. T.C.V.

438, 4. ὃς γὰρ ἑαυτὸν τάξας] ἀνακεφαλαίωσιν ποιεῖται τῶν εἰρημένων ἐν τῇ καταστάσει πάντων, μηδὲν παραλείπων ὡς εὐσύνοπτον γενέσθαι τὴν ὑπόθεσιν. εἰ δέ τι καὶ παραβέβληται τοιοῦτον ἐκβολῆς ἐλέου ἕνεκα, ὥσπερ τὰ κατὰ Ἀτρεστίδαν, καὶ τὰ γύναια καὶ τὰ παιδάρια, ἢ ἄλλο τι τῶν αὐξήσεως ἐχομένων, οὐδὲν θαυμαστόν· σύνηθες γὰρ τῷ ῥήτορι κατὰ τοὺς καιροὺς τοὺς ἐμπίπτοντας χρῆσθαι τοῖς τοιούτοις τόποις. T.C.V.

13. ὁρᾷς ὅτι—ἐπιβουλεύουσιν] ὁρᾷς τῶν ἐχθρῶν ὅτι οἱ μὲν ἔξωθεν ἐπιβουλεύουσιν, οἱ δὲ ἔνδοθεν συμπράττουσιν P.

16. συνέχειν δεῖν τὴν πόλιν] συνέχει τὴν πόλιν libri. καὶ τὴν πόλιν δεῖν συνέχειν W. ex p. 337, 2.

27. παραβέβληται] παρεμβέβληται W.

οὐ μὴν οὐδενὶ μᾶλλον] ἀνακεφαλαίωσις τῶν προειρημένων ἁπάντων, ὡς εἶναι καὶ τοῦτο ἄλλο μέρος τῶν ἐπιλόγων· ἀναλαμβάνει γὰρ ἅπαντα τὰ κεφαλαιωδῶς εἰρημένα κατὰ τὴν ὑπόθεσιν, μηδὲν παραλιπὼν, ὡς εὐσύνοπτον γενέσθαι τὴν ὑπόθεσιν πάλιν τοῖς δικάζουσι διὰ βραχέων. ἐπειδὴ γὰρ πολλὰ τὰ εἰρημένα καὶ πολυμερὴς ὁ λόγος καὶ πλοκὴν ἔχει ποικίλην, πολλὰ δὲ τὰ ἐμβεβλημένα, πολλαὶ δὲ καὶ αἱ αὐξήσεις, ἐξ ὧν ἡ ἐν τοῖς πράγμασι πολλάκις συμβαίνει ἀσάφεια, διὰ τοῦτο κατηναγκάσθη πάλιν διὰ βραχέων αὐτῶν τῶν ἀναγκαιοτάτων ἐπιμνησθῆναι. ἄρχεται δὲ οὕτως· "ὁ γὰρ ἑαυτὸν τάξας·" τοῦτο γὰρ ὅμοιόν ἐστιν ἐκείνῃ τῇ ἐπιβολῇ τῆς καταστάσεως· "ἔστι τοίνυν "οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον." B.F.R.S.Y.P. ἀνακεφαλαίωσιν ποιεῖται τῶν προειρημένων ἐν τῇ καταστάσει πάντων. A.

438, 13. συσκευάζεσθαι] ἀντὶ τοῦ ἐπιβουλεύεσθαι. A.

438, 15. τίς ὁ τοὺς μακροὺς καὶ καλοὺς λόγους δημηγορῶν] ἀποσκώψας αὐτὸν καὶ εἰς μῆκος λόγων, ἐνεφάνισε δὲ καὶ τὸ Μιλτιάδου καὶ τὸ Θεμιστοκλέους ψήφισμα ἀναγνοὺς, ὅτι μισοφίλιππος ἦν Αἰσχίνης τὸ πρότερον. εἰ γὰρ ἠξίου τὴν πόλιν μιμεῖσθαι τὸν Μιλτιάδου δρόμον, καὶ τὰ Θεμιστοκλέους στρατηγήματα, καὶ τῶν ψηφισμάτων ὧν ἔγραφον ἐκεῖνοι προτρεπόμενοι τὴν πόλιν ἐπὶ τοὺς βαρβάρους, εὔδηλος ἦν τοῦτον διακείμενος τὸν τρόπον. ἐπαινεῖ δὲ, οὐχ ἵνα μαρτυρήσῃ τὴν ἀρετὴν, ἀλλ' ἵνα διὰ τῆς μαρτυρίας ταύτης φανερώτερον

1. ἁπάντων S. ἁπασῶν ceteri.
2. τοῦτο F.S.Y. τοῦτο τὸ μέρος B.R.
3. κατὰ S.R.Y. καὶ B.F.
μηδὲν—εὐσύνοπτον] ἀναφέρει δὲ διὰ τὸ μὴ ἀσύνοπτον B.
4. τοῖς δικάζουσι om. B. Hanc partem scholii inde a τοῖς δικάζουσι usque ad finem præcedenti scholio inter verba γενέσθαι τὴν ὑπόθεσιν et εἰ δέ τι παραβέβληται inseruit P., omissis præcedentibus ἀνακεφαλαίωσις τῶν προειρημένων—τὴν ὑπόθεσιν πάλιν.
6. πλοκὴν ἔχει ποικίλην S. πλοκὰς ἔχων (ἔχει P.) ποικίλας F.P.R.Y. πλοκὴν ἔχων B., omisso ποικίλην.
πολλὰ δὲ] πολλὰ δὲ καὶ B.F. Verba πολλὰ δὲ τὰ ἐμβεβλημένα om. P.
καὶ αἱ] καὶ om. S.
7. συμβαίνει] συνέβη P.
9. ὁ γὰρ] ὃς γὰρ F.P.
10. ἔστι τοίνυν—] p. 344, 4.
11. οὗτος] οὕτως R.
ὁ om. F.
Φίλιππον] καὶ τὰ ἑξῆς add. F.P.
15. τίς ὁ τοὺς—] Scholion hoc in codicibus et V. legitur post scholion ad p. 440, 1.
ἀποσκώψας—καὶ τὸ—ἀναγνοὺς] ἐπέσκωψε—καὶ τῷ τὸ—ἀναγνῶναι W.
16. καὶ τὸ] τὸ om. codices.
19. ψηφισμάτων] ἀνέμνησεν add. W.

ἕλῃ αὐτόν. τὸν γὰρ ἐναντία τούτων πολιτευόμενον τίς οὐκ ἂν μισήσειεν ὡς δωροδόκον; ἀλλὰ καὶ τὸν ὅρκον τῶν ἐφήβων ἐν τῷ τῆς Ἀγραύλου Αἰσχίνην ἀναγινώσκειν φησὶν, ἧς Πάνδροσος καὶ Ἕρση ἀδελφαί. ἱέρεια δὲ γέγονεν ἡ Ἄγραυλος Ἀθηνᾶς, ὥς φησι Φιλόχορος. T.C.V. 5

438, 16. καὶ τὸ Μιλτιάδου καὶ Θεμιστοκλέους] ἐπιόντων τῶν Μήδων ἐξ ἀρχῆς καὶ ὁ Μιλτιάδης δραμεῖν εὐθὺς ἐπὶ τὸν Μαραθῶνα ἐψηφίσατο καὶ μὴ ἀναμένειν ἕως συλλεγῶσιν οἱ συμμαχήσοντες. διὸ καὶ νενίκηκε μόνος. ὁ δὲ Θεμιστοκλῆς κατὰ γῆν ἄπορα βλέπων τὰ πράγματα συνεβούλευσε μὲν ἀφεῖναι τὴν πόλιν, εἰς Σαλαμῖνα 10 δὲ μετοικισθῆναι. ὁ γοῦν Αἰσχίνης παροξύνων κατὰ τοῦ Μακεδόνος αὐτοὺς ἐκεῖνα προὔφερε. T.C.V. οἱ δύο ἔγραψαν, ἀλλ' ἑκάτερος αὐτῶν προτρεπόμενος τοὺς Ἀθηναίους πρὸς ἀρετὴν καὶ ἐλευθερίαν. ὁ μὲν γὰρ Μιλτιάδης, ὅτε ἐπῆλθον οἱ Πέρσαι, ἔγραψεν ὥστε εὐθὺς ἀπαντῆσαι τοῖς πολεμίοις, Θεμιστοκλῆς δὲ καταλιπεῖν ἐρήμην τὴν 15 πόλιν καὶ εἰς τὰς τριήρεις μεταβιβασθῆναι, ὅτε τὰ ἐν Σαλαμῖνι καὶ ἐπ' Ἀρτεμισίῳ. A.R.

438, 17. καὶ τὸν ἐν τῷ τῆς Ἀγραύλου] ἔστι μὲν μία τῶν Κέκροπος θυγατέρων ἡ Ἄγραυλος. ἐν δὲ τῷ τεμένει αὐτῆς οἱ ἐξιόντες εἰς τοὺς ἐφήβους ἐκ παίδων μετὰ πανοπλιῶν ὤμνυον ὑπερμαχεῖν ἄχρι 20 θανάτου τῆς θρεψαμένης. ἡ δὲ ἱστορία αὕτη· Ἄγραυλος καὶ Ἕρση καὶ Πάνδροσος θυγατέρες Κέκροπος, ὥς φησιν ὁ Φιλόχορος. λέγουσι δὲ ὅτι, πολέμου συμβάντος παρ' Ἀθηναίοις, ὅτε Εὔμολπος ἐστράτευσε κατὰ Ἐρεχθέως, καὶ μηκυνομένου τούτου, ἔχρησεν ὁ Ἀπόλλων ἀπαλλαγήσεσθαι, ἐάν τις ἀνέλῃ ἑαυτὸν ὑπὲρ τῆς πόλεως. ἡ τοίνυν 25 Ἄγραυλος ἑκοῦσα αὐτὴν ἐξέδωκεν εἰς θάνατον· ἔρριψε γὰρ ἑαυτὴν ἐκ τοῦ τείχους. εἶτα ἀπαλλαγέντες τοῦ πολέμου ἱερὸν ὑπὲρ τούτου ἐστήσαντο αὐτῇ παρὰ τὰ προπύλαια τῆς πόλεως· καὶ ἐκεῖσε ὤμνυον οἱ ἔφηβοι μέλλοντες ἐξιέναι εἰς πόλεμον. T.C.V.

2. τῶν ἐφήβων] τὸν ἐφήβων C.G.
4. Ἀθηνᾶς] Legebatur Ἀθηναίων. Ex Hesychio s. v. Ἄγλαυρος correxit Muellerus ad Philochori fragm. 14. p. 386.
15. ἐρήμην] ἔρημον R.
18. ἔστι μὲν—ἱστορία αὕτη om. A.R.
20. πανοπλιῶν] τῶν πανοπλιῶν C.G.
23. Εὔμολπος] ὁ εὔμολπος A.
27. ἐκ τοῦ] ἀπὸ τοῦ R.
ἀπαλλαγέντες] ἀπαλλαγέντος A.
28. παρὰ R. περὶ ceteri.
πόλεως] ἀκροπόλεως W. frustra.

438, 19. τὴν ἐρυθρὰν θάλατταν] ὡσανεὶ ἔλεγε, πανταχοῦ τῆς οἰκουμένης. A.R.T.

438, 22. οὐχ ὁ μὲν γράφων τὸ ψήφισμα] ἐμερίζοντο, φησί, τὴν κατὰ Φιλίππου προσβολὴν Αἰσχίνης καὶ Εὔβουλος, ὁ μὲν ψηφίσματα γράφων, ὁ δὲ πρεσβεύων εἰς Πελοπόννησον, ἵνα τῇ κοινωνίᾳ καὶ αὐτὸς μεταβεβλημένος εὑρίσκηται. T.C.V.

439, 1. καὶ ἐγείρεται ἡ τῶν Ἀθηναίων πόλις] ἡ πολλὰ καθεύδουσα. T.C.V.

439, 3. συντυχεῖν γὰρ ἀπιὼν Ἀτρεστίδᾳ] χρησιμωτάτη γέγονεν αὐτῷ ἡ μνήμη τῶν κατὰ Ἀτρεστίδαν οὐ μόνον διὰ τὴν τοῦ ἐλέου ἐκβολήν, ἀλλ' ἵνα καὶ φαίνηται διὰ τούτου Αἰσχίνης συνομολογῶν τάς τε δωροδοκίας καὶ τὰς Φιλίππου δόσεις, καὶ ὅτι οἷός τέ ἐστι καὶ εἷς διαφθορεὺς καὶ ὅλας ὁμοῦ προδοῦναι πόλεις, ἵνα φαίνηται Αἰσχίνης διὰ τῶν οἰκείων ἁλισκόμενος λόγων. τὰ γὰρ ὅμοια τοῖς ὁμοίοις ἀκόλουθα. εἰ γὰρ Ἀτρεστίδας ἦγεν αἰχμάλωτα καὶ δι' Ἀτρεστίδαν ὠδύρετο τὴν Ἑλλάδα, ὠδύρετο ἄν τις καὶ διὰ τὸν Αἰσχίνην Φωκέας. οὐχ ἥττονες γὰρ Ἀτρεστίδου τὴν δωροδοκίαν Αἰσχίνης καὶ Φιλοκράτης. T.C.V. οὗτος ὁ Ἀτρεστίδας προδότης ἦν Ἀρκάς. A.R.T.

439, 4. γύναια καὶ παιδάρια ὡς τριάκοντα βαδίζειν] ὡς στοχαζόμενος εἶπεν ἀορίστως τὸν ἀριθμόν, ἵνα ὑπολάβωσι καὶ γυναῖκας τριάκοντα καὶ παιδάρια τριάκοντα. T.C.V.

439, 6. τίς ἄνθρωπός ἐστι; καὶ τίς ὄχλος;] ἆρα μὴ τύραννος; ἆρα μὴ στρατηγὸς τοῦ Φιλίππου λόχον καθίζει τινά; T.C.V.

439, 14. ἀκούειν γὰρ ἔφη τῶν φίλων] δίδωσιν αὐτῷ τότε καὶ φίλους, ὅτε καὶ αὐτὸς ἦν εὔνους. ἐπιστροφὴν δὲ ἢ τιμωρίαν κατὰ τῶν προδοτῶν ἢ μεταβολὴν τοῦ τρόπου ἀπὸ ῥᾳθυμίας εἰς σπουδήν. T.C.V.

439, 22. μήτε τρόπαια λέγειν] ὅρα πῶς οὐκ εἶπε μάχας οὐδὲ κινδύνους, ἀλλὰ τρόπαια, τὸ ἡδὺ καὶ σεμνὸν καὶ ἔνδοξον αἰδεῖσθαι οὐκ ἐῶν. T.C.V.

7. πολλὰ] πολιὰ C.
11. διὰ τούτου W. pro διὰ τοῦτο.
13. διαφθορεὺς] διαφθαρεὶς W.
17. ἥττονες W. pro ἥττον. ἥττων P.
Ἀτρεστίδου] ἀτρεστίδου διὰ libri. Ἀτρεστίδου κατὰ W.
18. οὗτος ὁ] ὁ om. A.
Ἀρκάς] ἀρκάσιν A.
20. ὑπολάβωσι] ἀπολάβωσι V. et, superscripto ab eadem manu ύ, T.
23. λόχον T. solus. λόγον ceteri.
29. αἰ. οὐκ ἐῶν] οὐκ ἐῶν αἰ. V.

μήτε βοηθεῖν οὐδενί] *τὸ καθόλου καὶ τὸ ἄτοπον, μηδ' ἂν οἰκεῖος ᾖ, μηδ' ἂν παῖς ἐμὸς, μηδ' ἂν εὖ πεποιηκὼς ἐμὲ πρότερον, μηδ' ἂν οἱ θεοὶ προστάττωσι καὶ Ἀθηνᾶ συγχωρῇ.* T.C.V.

439, 25. *εἶναί τε τὸν Φίλιππον αὐτὸν, Ἡράκλεις*] *σημεῖον τοῦ θαύματος τὸ Ἡράκλεις. Ἑλληνικώτατον δὲ καθαρώτατον, εἰλικρινέστατον· ὅπερ γὰρ οἱ βάρβαροι ἀρνοῦνται, τοῦτο δεδώρηται ὁ τρόπος αὐτῷ.* T.C.V.

439, 27. *δεινότατον λέγειν*] *καὶ τοῦτο γὰρ Ἑλληνικὸν, τὸ δύνασθαι λέγειν, ὡς εἶναι καὶ τῷ τρόπῳ καὶ τῇ γλώττῃ τὸν Φίλιππον Ἕλληνα.* T.C.V.

440, 1. *ἔστιν οὖν ὅπως ἂν ταῦτ' ἐκεῖνα*] *συναγωγὴ τῆς πίστεως. οὐκ ἠδύνατο, φησὶν, ὁ ἐκεῖνα προειρηκὼς ταῦτα εἰπεῖν ὄντα ἐναντία, εἰ μὴ προδιέφθαρτο. ὅρα δὲ αὐτὸν καὶ τὸ ἦθος Αἰσχίνου μιμησάμενον ἐν οἷς ὑπέμνησεν Αἰσχίνου δημηγορίαν εἰπών.* T.C.V.

440, 7. *ἤγαγε δεῦρ' ἐφ' ὕβρει*] *βαρέως εἰς ὄψιν τῶν Ἀθηναίων αἱ γυναῖκες ὑβρίζονται.* T.C.V.

440, 16. *ἀλλ' ὑπὲρ αὐτοῦ κλαιήσει*] *ἐντεῦθεν ἡ τοῦ ἐλέου ἐκβολή.* A.R.T. *ἵνα μὴ εἴπῃ ὅτι οὐ πέφυκα δακρύειν καὶ διὰ τοῦτο οὐκ ἐδάκρυσα, ἐπάγει ὅτι ὑπὲρ αὐτοῦ μὲν κλαιήσει, ἐκείνους δὲ οὐκ ἠλέησε.* T.C.V.

440, 20. *καὶ πτωχοὶ περιέρχονται*] *ἐπλήρωσαν θρήνων τὴν οἰκουμένην πλανώμενοι. ἐπειδὴ δὲ ἔστι πλανᾶσθαι καθ' ἱστορίαν ἢ ἐμπορίαν, ἵνα τὸν συμφορὰν ἐμφήνῃ, τὸ πτωχοὶ προσέθηκεν.* T.C.V.

440, 23. *καὶ προδότου πατρὸς*] *προέταξε τοῦ χρηστοῦ ὀνόματος, λέγω τοῦ πατρὸς, τὸ αἰσχρὸν τὸ τοῦ προδότου.* T.C.V.

441, 8. *ὡς ἐπέβη Μακεδονίας*] *τὰς Ἀθήνας καταλιπών.* T.C.V.

441, 13. *τίς γάρ ἐστιν Ἑλλήνων*] *τιμᾷ τὰς Ἀθήνας καὶ βάρβαρος, καὶ δίδωσί μοι τὴν ψῆφον, οὐχ ὡς Ἕλληνα φιλῶν, ἀλλ' εἰ καὶ δυσμενὴς, τῆς ἀληθείας ἡττώμενος. οὐκοῦν ἔστω καὶ τῶν φύσει πολεμίων Αἰσχίνης. πολεμιώτερος γάρ. τρία ἐστὶ τὰ ποιοῦντα μὴ*

2. *ἐμὲ πρότερον*] *πρότερον ἐμὲ* V.
6. *γὰρ* om. V.
14. *δημηγορίαν*] *δημηγορίας* C.
18. *οὐκ ἐδάκρυσα*] *οὐκ* om. codices et V.
22. *δὲ ἔστι*] *δέ ἐστιν ἀλᾶσθαι, τοῦτ' ἔστι* P.
28. *ἀλλ' εἰ καὶ*] *ἀλλὰ καὶ* V.
30. *πολεμιώτερος*] *πολεμιώτεροι* C. G.
τρία] Lemma iterum præfixum in T.

λέγεσθαι τῆς Ἀττικῆς τὰ ἀνδραγαθήματα· ἢ γὰρ ἀνόητος ὢν οὐκ οἶδεν, ἢ ἀνήκοος ἔμεινεν ἔξω τῆς οἰκουμένης οἰκῶν, ἢ ἐχθρὸς ὑπάρχει τῆς πόλεως καὶ μισῶν κρύπτειν πειρᾶται, δέον ἓν τῶν τριῶν ὑποστῆναι τὸν Αἰσχίνην, μὴ συντιθέμενον τῇ δόξῃ τῆς πόλεως. T. C.V. 5

441, 19. ἐν Μαραθῶνι] τὸ Μαραθῶνι, ὅπου μόνως ἐνίκησαν οἱ Ἀθηναῖοι. T.C.V.

441, 22. εἶθ' οὓς μηδὲ τῶν ἐχθρῶν] τὰ κοινὰ τὰ ἐν Σαλαμῖνι ἴδια πεποίηκεν οὗτος, ἀποστερῶν τῶν ἐπαίνων δηλονότι. καλῶς δὲ τὸ ἀποστερῶν. ἐπειδὴ καὶ κτῆμα αὐτῶν ἔφησε τὴν δόξαν εἶναι. 10 τοιοῦτον γάρ ἐστι καὶ τὸ στερηθείη ἑξῆς· στερίσκεται γάρ τις ὧν ἔχει, ἀποστερεῖται δὲ τὰ ἀλλότρια. ἐνεβράδυνε δὲ τοῖς προγόνοις, παροξύνων πλέον τοὺς δικαστὰς τοὺς αἰδουμένους αὐτούς. T.C.V.

441, 27. οἱ δὲ ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινοι] σημείωσαι· 15 περὶ ἐγκωμίων τεθνεώτων. B.

442, 2. τῆς ἐπιτιμίας] τῆς εὐπορίας ἢ τῆς μὴ ἀτιμίας. B.

442, 9. καὶ χάριν ὑμῖν ἔχειν] ᾔδει γὰρ ὅτι μείζονος ἢ καθ' αὑτὸν ἔτυχεν· ὁ γὰρ τυχὼν τιμῆς, ἧς ἄξιός ἐστιν, οὐκ ἔχει χάριν τῷ δόντι, ἀλλ' ὁ παρ' ἀξίαν λαβών. T.C.V. 20

442, 10. καὶ μέτριον παρεῖχεν ἑαυτὸν] οὐκ ὢν δηλονότι, ἀλλ' ὑποκρινόμενος. T.C.V.

442, 11. τὰς ὀφρῦς ἀνέσπακεν] ἵνα μὴ αὐτομάτως ἐκ φύσεως γένηται, αὐτὸς ἀνασπᾷ, φησὶ, πρὸς τοὺς καιροὺς σχηματιζόμενος. T.C.V. 25

442, 12. κἂν ὁ γεγραμματευκὼς Αἰσχίνης] ἐὰν τολμήσῃ τις ὅλως εἰπεῖν, οὐχ ὁ νῦν γραμματεὺς Αἰσχίνης, ἀλλ' ὁ ποτὲ γενόμενος, ἐχθρός ἐστιν εὐθέως· κατέχονται γὰρ πάντες τῷ δέει. T. C.V.

442, 14. θοἰμάτιον] τὸν τρίβωνα φησί. A.R.T. 30

1. λέγεσθαι] λέγοντα V.
3. ὑ. τὸν Αἰσχίνην] τὴν αἰσχύνην ὑ. V.
19. ὁ γὰρ] οὐ γὰρ codices.
26. ἐὰν τολμήσῃ—κατέχονται γὰρ P. ὁ καὶ νῦν γραμματεὺς, ἀλλ' οὔποτε (οὐδέποτε C.G.) γενόμενος. ἐὰν τολμήσῃ τις εἰπεῖν ὅλως (ὅλως εἰπεῖν V.) κατέχονται γὰρ codices et V.

442, 20. τὴν θόλον] ὁ τόπος, ἔνθα ἐδείπνουν οἱ πρυτάνεις. B.

βούλομαι τοίνυν ὑμῖν ἐπελθεῖν] ἀνακεφαλαίωσις τῶν ἐκ τῆς δωροδοκίας κακῶν, ὧν ἐπολιτεύσατο Φίλιππος. B.F.R.S.Y.T.C.V.

οὐ γὰρ τοῖς ὅπλοις εἷλεν ὑμᾶς, ἀλλ' ἐκ τῆς πολιτείας νενίκηκε. μόνον γὰρ οὐκ ἐδημηγόρει παρ' ὑμῖν, τοῖς προδόταις λέγων ἃ βούλεται. T.C.V.

442, 25. διαφορουμένης αὐτῷ τῆς χώρας] πορθουμένης, λεηλατουμένης· οἷον, ὁ τοὺς λῃστὰς μὴ φέρων τοὺς Φωκέας ἀνήρπασε. T.C.V.

442, 27. τοὺς τὰ φιλάνθρωπα λέγοντας] ἐν λόγοις γὰρ μόνον ἦν, οὐκ ἐν ἔργοις ἡ φιλανθρωπία. T.C.V.

443, 1. ἡμεῖς οἱ πρέσβεις] χωρίζει νῦν τὸν Αἰσχίνην. χρηστὸν γὰρ ὄνομα ἡ πρεσβεία. T.C.V.

443, 2. ἐμισθώσατο μὲν τοῦτον εὐθέως] τὸ εὔκολον αὐτοῦ καὶ εὔωνον δείκνυσι τὸ εὐθέως. T.C.V.

443, 17. συνεξαιρήσειν] καλῶς προσέθηκε τὸ σύν, ἀντὶ τοῦ σὺν αὐτοῖς πορθεῖν. A.R.T.

443, 28. οὔτε Ἕλληνος οὔτε βαρβάρου] οὐκοῦν καὶ νῦν ἠδύνατο καὶ μόνη ῥύσασθαι αὐτοὺς ἡ πολιτεία, ἡ μηδὲ τότε παρ' ἄλλων δεηθεῖσα συμμαχίας. T.C.V.

444, 11. πῶς; οὕτως] ὡς ἔτι ζητοῦντος. τὸ δὲ οὕτως, ὡς λοιπὸν εὑρόντος Ἀθηναίων τινὰς, καὶ τοῦ Φιλίππου ἀποροῦντος καὶ μονονοὺ δυσχεραίνοντος. ἆρα παρ' Ἀθηναίοις εὑρήσομεν ἄνδρα οὑτωσὶ μοχθηρότατον; ἆρα δυνατὸν ὀφθῆναί τινα παρ' ἐκείνοις ῥᾳδίως ψευσόμενον; φοβοῦμαι τὴν τῆς Ἀττικῆς φύσιν. χρηστοὺς ἐπίσταται τρέφειν οἰκήτορας. T.C.V.

444, 20. ἅπερ ἂν συνθέσθαι νῦν ἀξιώσαιμεν αὐτὸν] τί θέλετε, φησὶν, αὐτὸν ὁμολογήσειν τοῖς λόγοις ἃ κατορθώσει τοῖς ἔργοις; T.C.V.

445, 8. μηδ' ἐναντίον ἔλθῃ ψήφισμα] ἤρκει μοι πρὸς τὴν νίκην τὸ ψήφισμα δίκην στρατιᾶς. ἐφοβεῖτο γὰρ τὸ δόγμα τῶν Ἀθηναίων ὁ Φίλιππος. T.C.V.

2. τῶν ἐκ] ἐκ τῶν B.F.S.Y.
5. μόνον γὰρ οὐκ W. οὐ μόνον γὰρ οὐκ codices et V. μονονοὺ γὰρ P.
11. ἔργοις] ἔργῳ V.
21. οὕτως P. οὕτος libri.
22. εὑρόντος W. pro εὑρόντων.
25. τὴν om. V.
30. νίκην] δίκην V.

445, 20. ἀντὶ μὲν τοῦ Θεσπιὰς καὶ Πλαταιὰς] ἐπόθουν, φησὶ, πόλεις Ἑλληνίδας ἰδεῖν οἰκιζομένας, καὶ ἀνδραποδισθείσας ἀκήκοα. T.C.V.

445, 23. καὶ περιαιρεθῆναι τὴν ὕβριν] ἵνα μὴ κατὰ φθόνον δοκῇ λέγειν τὸ περιαιρεθῆναι, οἷον τοῦ φρονήματος καὶ τοῦ ἀξιώματος, προσέθηκε τὴν ὕβριν, ἵνα δικαίως δοκῇ λέγειν. T.C.V.

445, 25. Θηβαῖοι δὲ ἦσαν οἱ κατασκάπτοντες] διπλοῦν εἰργάσατο πάθος, ἐχθροὺς δεδειχὼς τοὺς αὐτόχειρας. T.C.V.

445, 26. οἱ διοικισθέντες] οἱ διαιρεθέντες, ὥστε μὴ ὁμοῦ οἰκεῖν. B.F.Y.

ὑπ' Αἰσχίνου τῷ λόγῳ] εἴθε καὶ Φωκέας εἶδον διοικισθέντας τῷ λόγῳ. νῦν δὲ οὓς τοῖς ῥήμασιν ἔσωσας διέφθειρας ἐν τοῖς πράγμασιν. T.C.V.

446, 2. περὶ Δρυμοῦ] πόλις μεταξὺ τῆς Βοιωτίας καὶ τῆς Ἀττικῆς. B.F.Y.

446, 5. τὰ πάτρια] τὰ πάτρια ἔθη λέγει, οἷς ἐκέχρηντο οἱ πατέρες. A.R.T.

446, 7. Ἀμφικτύονες] Ἀμφικτύονας τοὺς Φωκέας λέγει. A.R.T.

446, 12. ἡ πόλις δὲ] ἡ πόλις τῶν Ἀθηναίων. εἰ γὰρ καὶ οἱ Φωκεῖς εἶχον ταύτην, ἀλλ' οὖν γε κατὰ τιμὴν παρεχώρουν τοῖς Ἀθηναίοις, ὡς μείζοσιν. A.R.T.

446, 13. αἴνιγμα] αἰνίγματα γάρ ἐστι τὰ διὰ τῶν ἐναντίων δηλούμενα. A.R.T.

446, 26. ἔστιν ὄντιν' ὑμεῖς] ἀρχὴ τοῦ κατὰ τὴν δωροδοκίαν ἐπιλόγου. B.F.S.Y.

ἔστιν ὄντιν' ἂν ὑμεῖς] τὰ μέρη τοῦ προτέρου στοχασμοῦ ἐργασάμενος μνημονεύει οὐδὲν ἧττον καὶ τοῦ δευτέρου τοῦ περὶ τῆς δωροδοκίας. καὶ ἄρχεται λοιπὸν ἐντεῦθεν τοῦ κατὰ τὴν δωροδοκίαν ἐπιλόγου, φάσκων ὅτι οὐκ ἂν ὁ Φίλιππος ἔδωκεν· οὐδὲ γὰρ ἂν ὑμεῖς εἰκόνα δοίητε οὐδὲ σίτησιν οὐδὲ τῶν ἁπάντων οὐδὲν, εἰ μὴ ὑπὲρ ὑμῶν πολιτεύσαιτο. T.C.V.

8. δεδεῖχὼς margo P. δεδωκὼς libri.

11. εἶδον διοικισθέντας τῷ λόγῳ] εἶδον σωθέντας καὶ τοὺς Θηβαίους διοικισθέντας τῷ ἔργῳ P.

12. διέφθειρας] ἔφθειρας V.

πράγμασιν] οὓς δὲ διῴκισας τῷ λόγῳ, οὗτοι τοὺς Φωκέας αὐτόχειρες κατέσκαψαν τῷ ἔργῳ add. P.

30. σίτησιν W. pro σιτηρέσιον.

ἁπάντων] πάντων C.

447, 11. ἀλλὰ Ξενοκλείδην τουτονὶ] οὗτος ποιητὴς ὢν Ἀθηναῖος διέτριβεν ἐν τῇ Μακεδονίᾳ· ὃς ὑπεδέξατο πολίτην ὄντα καὶ ἀτιμαζόμενον τὸν Ἡγήσιππον. εἶτα μαθὼν ὁ Φίλιππος ἀπείρηκεν αὐτῷ εἶναι ἐν Μακεδονίᾳ. T.C.V.

447, 17. εἶπε τοίνυν μοί τις] πάλιν ἡ ἀντίθεσις αὕτη μεταστατικὴ ἐπὶ τοὺς στρατηγούς. A.R. 5

τίς ἄρτι προσελθὼν πρὸ τοῦ δικαστηρίου] ἵνα μὴ δόξῃ ἐσκεμμένα λέγειν. βούλεται δὲ πρὸς τῷ τέλει τοῦ λόγου στρατηγοὺς ἀντιτάξαι τῷ Αἰσχίνῃ, ὡς ὑβριζομένους ὑπ' αὐτοῦ. T.C.V.

447, 21. ἐγὼ δ' ὅτι πάντα τρόπον κρινόμενος Χάρης] ἐπειδὴ μεμερισμένοι ἦσαν οἱ στρατηγοὶ καὶ οἱ ῥήτορες καὶ ἀλλήλοις συνειστήκεισαν, οἱ μὲν Εὐβούλῳ, οἱ δὲ τῷ ῥήτορι, ὧν Φωκίων ἦν τῶν ἐναντιουμένων Δημοσθένει, εἰκότως ἐπάγεται καὶ αὐτὸς ἐνταῦθα τὴν εὔνοιαν τὴν τοῦ Χάρητος, ὥσπερ κἀν τῷ κατὰ Μειδίου πεποίηκε, συγκρούων τοὺς ἄλλους ἱππάρχους Μειδίᾳ. κἀνταῦθα τὸ αὐτὸ τοῦτο θεώρημα φαίνεται ἡμῖν ἐπιδειξάμενος. ποῖον τοῦτο; συγκρούειν βούλεται Χάρητα τῷ Αἰσχίνῃ, ὁμοῦ μὲν εὔνοιαν ἑαυτῷ κατασκευάζων, ὁμοῦ δὲ πρὸς ἐκεῖνον ἀπέχθειαν, ἵνα, ὥσπερ ὁ Φωκίων τέτακται μετὰ τῶν ἀντιδικούντων τῷ ῥήτορι, οὕτω φαίνηται καὶ Χάρης αὐτῷ συντεταγμένος. ἐνδιατρίβει οὖν ἀπολογούμενος ὑπὲρ τοῦ ἀνδρός. καὶ ἐπειδὴ ἡ ἀντίθεσις εἶχεν Αἰσχίνου ἐν τοῖς προειρημένοις, ἀλλ' οὐχ οἷόν τε ἦν ποιήσασθαι τὴν εἰρήνην οἵαν ἠξίου Δημοσθένης, κακῶς τῶν στρατηγῶν κεχρημένων τῷ πολέμῳ, φαίνεται ἀπαλλάττων τὸν στρατηγὸν τῆς τοιαύτης βλασφημίας, καταλιπὼν τὴν στρατηγίαν τῶν στρατηγῶν τῷ βλασφημοῦντι Αἰσχίνῃ, ἵν' Αἰσχίνης φαίνηται τῶν φίλων κατηγορῶν. T.C.V. 10 15 20 25

449, 14. καίτοι καὶ περὶ τῆς φωνῆς ἴσως εἰπεῖν ἀνάγκη] ἐπ' ἄλλο τι μεταβαίνει μέρος τῶν λυπούντων λύσων· ἔστι γὰρ εὐφωνότατος Αἰσχίνης, ὡς αὐτὸς μαρτυρεῖ πολλάκις ὁ Δημοσθένης. ἐπειδὴ οὖν πολλάκις συμβαίνει τοὺς ἀκούοντας καταγοητεύεσθαι τῇ ποιᾷ φωνῇ καὶ ὑποκρίσει, διὰ τοῦτο εἰκότως καὶ τοῦτο, ὡς ἕν τι τῶν λυπούντων, θεραπεῦσαι βούλεται. μέγα γὰρ εὐφωνία καὶ ὑπόκρισις 30

11. συνειστήκεισαν] συνειστήκεσαν C.G.

24. τὴν στρατηγίαν addidi ex codicibus.

28. λύσων W. pro λύσιν.

31. ἕν τι] Libri ἔνια. ἓν W. Probabilius ἕν τι.

ἐν ἀγῶνι καὶ λόγῳ, καὶ μάλιστα πρὸς ἰδιώτας κριτὰς ὅταν γένηται. ἐπειδὴ τοίνυν αὐτὸς ἐλαττοῦται τούτῳ τῷ μέρει, ἀντιτίθησι τῇ εὐφωνίᾳ τὴν ἑαυτοῦ γνώμην καὶ προαίρεσιν, βουλόμενος θηρεῦσαι τοὺς ἀκούοντας ἐκ τῆς περὶ αὐτὸν σχέσεως καὶ εὐνοίας, ἣν πολλάκις ἐπεδείξατο ἐν τοῖς κοινοῖς. ὅταν γὰρ μὴ ἔχωμεν ὅμοια ὁμοίοις 5 ἀντιτιθέναι, τὸ τηνικαῦτα οὐδὲν κωλύει καὶ ἕτερα πλεονεκτήματα καταλέγειν· καὶ διὰ τούτου καιρὸν ἔσχε καὶ τῶν ἑαυτοῦ πολιτευμάτων ὑπομνῆσαι καὶ λύσεων αἰχμαλώτων καὶ πολλῶν εὐεργετημάτων, ἵνα διὰ τούτων εἰς εὔνοιαν τοὺς ἀκούοντας ἐκκαλέσηται. T.C.V. 10

449, 18. τὰ Θυέστου] ἀντὶ τοῦ τὸν Θυέστην τὸ δρᾶμα. A.R.T.

449, 22. ἐπὶ τῆς σκηνῆς] σκηνῆς — κοινοῖς καθ' ὁμοιότητα λέξεως· δριμύτητος εἶδός ἐστιν. B.

450, 2. οὗτος δ' ἐκείνου μὲν προὐκυλινδεῖτο] ὡς ἀνδράποδον δραπετεῦσαν. διὰ δὲ τῶν ἐναντίων μῖσος κατασκευάζει Αἰσχίνῃ. 15 ἐπειδὴ δὲ ῥήτορες ἄμφω, ἐβουλήθη τὸ ἐξισάζον διαφορᾷ λῦσαι, δεικνὺς ὅτι οὐ τῆς ἴσης τιμῆς οὐδὲ τῆς ἀξίας ἀμφότεροι, εἴπερ ὁ μὲν ὑπὲρ τῆς πατρίδος, ὁ δὲ ὑπὲρ Φιλίππου πεπολίτευται. T. C.V.

450, 14. ἐπιεικῶς] ἀντὶ τοῦ μετρίως. A.R. 20

450, 17. ὅτι δ' οὐ μόνον κατὰ τὰ ἄλλα] ἐκβάσεις εἰπὼν, τί μὲν ἀποβήσεται αὐτοῖς ὀρθῶς δικάσασι, καὶ τί μὴ, κατέκλεισεν ἐν τούτοις λοιπὸν τὴν ὑπόθεσιν. B.F.R.S.Y.P.

5. ὅμοια ὁμοίοις codices. ὁμοίοις ὅμοια P. ὅμοια om. V.
7. καταλέγειν] λέγειν V.
11. ἀντὶ τοῦ om. T.
15. μῖσος W. pro μέρος.
18. πεπολίτευται] πολιτεύηται C.G.
20. ἀντὶ τοῦ om. A.
22. καὶ τί μὴ] τί δὲ μὴ B.
ἐν τούτοις λοιπὸν τὴν] ἐν τούτῳ τὴν B.

BIBLIOTHECA BODLEIANA OXFORD